πολλὰ δ' ὅ γ' ἐν πόντῳ ἔπαθ' ἄλγεα Ϝὸν κατὰ θυμὸν, 4b = ν 90
ἀρνύμενος Ϝήν τε ψυχὴν καὶ νόστον ἑταίρων.
ἀλλ' οὐδ' ὣς ἑτάρους ἐρρύσατο Ϝιέμενός περ·
αὐτῶν γὰρ σφετέρῃσιν ἀτασθαλίῃσιν ὄλοντο, 7 cf. Δ 409
νήπιοι, οἳ κατὰ βοῦς Ὑπερίονος Ἠελίοιο 8b = Θ 480
ἤσθιον· αὐτὰρ ὃ τοῖσιν ἀφείλετο νόστιμον ἦμαρ. 9b = τ 369
τῶν ἁμόθεν γε, θεὰ θύγατερ Διὸς, εἰπὲ καὶ ἡμῖν.

---

1 sqq.] prooemium contra Bekkerum defendit Lehrs Arist.[2] p. 419 sqq.

1] *virúm mihi Caména ínsece versútum* reddidit Livius Andronicus metro saturnio apud Gellium XVIII 9 § 5. ‖ *πολύτροπον*] adi. redit κ 330 h. Merc. 13, 439; lectionem *πολύκροτον*, in schol. Arist. Nub. 260 commemoratam, parodiae deberi vidit Eust. 1381,46. ‖ *πολλὰ*] *πάντων* H.

2 *Τροίης*] genit. explicativus; vid. ad κ 81.

3 *νόον*] *νόμον* Zen., quod coll. ζ 121 reiecit Ar.; vocabulo *νόμος* Hom. non utitur, quamquam *εὐνομίη* extat ρ 487. Vid. ad ψ 296 et Lehrs Arist.[2] p. 348.

4 **ἔπαθ'*] *πάθεν* mss.

6-9] del. Kirchhoff, quoniam narratio de Solis armentis (μ 260 sqq.) ab antiquissimo carmine de Ulixis reditu (vid. ad α 88 sqq.) aliena est.

7 *αὐτῶν*] *αὐτοὶ* N Y, quod recepit Bekker coll. vs. 33. At vid. ο 262 π 197.

10] del. Bentley[1]). ‖ *ἁμόθεν γε*] *undecunque*;

---

[1]) Hanc athetesin multasque alias observationes desumsimus ex Bentlei notis ad Odysseam ab Arthuro Platt primum evulgatis in Journal of Philology 1893 p. 27 sqq. (ad α—δ), 1894 p. 199 sqq. (ad ε—μ).

ἔνθ' ἄλλοι μὲν πάντες, ὅσοι 'φύγον αἰπὺν ὄλεθρον,
ϝοίκοι ἔσαν, πόλεμόν τε πεφευγότες ἠδὲ θάλασσαν·
τὸν δ' οἶον νόστου κεχρημένον ἠδὲ γυναικὸς
νύμφη πότνι' ἔρυκε Καλυψώ, δῖα θεάων, 14ᵇ sq. = ι 29 sq.
ἐν σπέεσι γλαφυροῖσι, λιλαιομένη πόσιν εἶναι. 15 cf. ψ 334ᵇ sq.ᵃ
ἀλλ' ὅτε δὴ ϝέτος ἦλθε περιπλομένων ἐνιαυτῶν, 16ᵇ cf. Ψ 833 λ 248
τῷ ϝοι ἐπεκλώσαντο θεοὶ ϝοῖκόνδε νέεσθαι
εἰς 'Ιθάκην, οὐδ' ἔνθα πεφυγμένος ἦεν ἀέθλων
καὶ μετὰ ϝοῖσι φίλοισι. θεοὶ δ' ἐλέαιρον ἅπαντες
νόσφι Ποσειδάωνος· ὃ δ' ἀσπερχὲς 'μενέαινε 20ᵇ cf. Δ 32 ζ 330
ἀντιθέῳ 'Οδυσῆι πάρος ϝὴν γαῖαν ἱκέσθαι. 21 = ζ 331
ἀλλ' ὃ μὲν Αἰθίοπας μετεκίαθε τηλόθ' ἐόντας,
Αἰθίοπας, τοὶ διχθὰ δεδαίαται, ἔσχατοι ἀνδρῶν,
οἳ μὲν δυσομένοι' Ὑπερίονος, οἳ δ' ἀνιόντος,
ἀντιάων ταύρων τε καὶ ἀρνειῶν ἑκατόμβης·
ἔνθ' ὅ γ' ἐτέρπετο δαιτὶ παρήμενος, οἳ δὲ δὴ ἄλλοι
Ζηνὸς ἐνὶ μεγάροισιν 'Ολυμπίου ἀθρόοι ἦσαν.
τοῖσι δὲ μύθων ἦρχε πατὴρ ἀνδρῶν τε θεῶν τε· 28 = X 167

29 'μνήσατο γὰρ κατὰ θυμὸν ἀμύμονος Αἰγίσθοιο, 29-31 cf. δ 187 sqq

cf. ἐξ οὗ Α 6, ἔνθεν ἑλών θ 500. Adv. † (neque aliae huius stirpis voces apud Hom. occurrunt), sententiae autem parum apte est insertum; Kayser ἄποθεν, Nauck ἀμόθεν τι. || εἰπὲ] neglecto ϝ; Fick ἔσπε (cf. § 246), at ipsum *dicendi* verbum hinc alienum videtur. || καί] abundare male contendit schol. Theocr. IV 54. Cum sententia cf. *B* 486.

11] vid. ad Α 9. || ἔνθ'] *tunc, illo tempore.* Kirchhoff interpretatur *quo tempore*, sententiam hoc versu continuari putans; at relativum ἔνθα apud poetam constanter valet *ubi*. Conferri possunt β 82 δ 285 etc.

12 ἴσαν] ἐπορεύθησαν schol., unde Ludwich efficit fuisse qui ἴσαν legerent.

15 σπέεσι § 71] σπέ(σ)σι mss. fere omnia.

16 περιπλομένων ἐνιαυτῶν] *volventibus annis*, cf. Verg. Aen. I 234.

17 ἐπεκλώσαντο] cf. Ω 525.

18 sq. οὐδ' ἔνθα — φίλοισι] in *parenthesi* collocabat Ar., a voce θεοί apodosin incipiens; vid. Ariston. ad Π 46.

18 ἔνθα] „τότε“ (schol.), cf. vs. 11; *in Ithaca insula* interpretatur Nitzsch. || ἀέθλων] ἄεθλον Bentley (coll. ι 455), quod ceteris locis accusativum adsciscit verbum φεύγειν; sed genitivum Nitzsch recte vertit *ex aerumnis* coll. Soph. Phil. 1044.

19 μετὰ ϝοῖσι φίλοισι] σὺν ἑοῖσι φίλοισι U², μετὰ οἷς ἑτάροισι M.

21] suspectus Nauckio. || ἱκέσθαι] ἰδέσθαι M; vid. ad γ 233.

22 Αἰθίοπας] vid. ad Α 423.

23 sq.] post PKnightium del. Duentzer.

23 Αἰθίοπας] Αἰθίοπες Ariston. Ζ 154 alii, cf. Ζ 396. De epanalepsi vid. ad Β 672.

24] ...cus genitivo, qui dicitur absolutus, indicatur. || οἳ μὲν... οἳ δ'] sic Ar., ἠμὲν... ἠδ' Crates apud Strab. I 30. || δυσομένοι' § 59] -νου mss. De forma aoristi mixti cf. § 152; alias participium est καταδύς (γ 138 π 366 etc.), vid. etiam infinitivus δῦναι (Β 413 Λ 194 etc.).

25 ἀντιάων § 191] -όων mss.

27 'Ολυμπίου] 'Ολυμπίοιο T²; „al. 'Ολύμπιοι“ (Clarke) fortasse recte, „sed cf. Ο 131“ (Ludwich).

29-31] versus ex δ desumtos del. FSchlegel; adi. ἀμύμων hinc alienum.

„ὢ πόποι, οἷον δή νυ θεοὺς βροτοὶ αἰτιάονται.
ἐξ ἥμων γάρ φασι κάκ' ἔμμεναι· οἳ δὲ καὶ αὐτοὶ
σφῇσιν ἀτασθαλίῃσιν ὑπὲρ μόρον ἄλγε' ἔχουσι.
ὡς καὶ νῦν Αἴγισθος ὑπὲρ μόρον Ἀτρεΐδαο
'γῆμ' ἄλοχον μνηστήν, τὸν δ' ἔκτανε νοστήσαντα,
ϝειδὼς αἰπὺν ὄλεθρον, ἐπεὶ προεϝείπομεν ἧμες
'Ερμείαν πέμψαντες ἐύσκοπον Ἀργεϊφόντην
μήτ' αὐτὸν κτείνειν μήτε μνάεσθαι ἄκοιτιν·
,ἐκ γὰρ 'Ορέσταο τίσις ἔσσεται Ἀτρεΐδαο,
ὁππότε χ' ἡβήσῃ καὶ ϝῆς ἱμείρεται αἴης.'
ὧς ἔφαθ' 'Ερμείας, ἀλλ' οὐ φρένας Αἰγίσθοιο
'πεῖθ' ἀγαθὰ φρονέων· νῦν δ' ἀθρόα πάντ' ἀπέτισε.“ 43ᵇ cf. X 271
τὸν δ' ἠμείβετ' ἔπειτα θεὰ γλαυκῶπις Ἀθήνη· 44 sq. = 80 sq. 44ᵇ sq. = Θ 30 sq.
„ὦ πάτερ ἡμέτερε Κρονίδη, ὕπατε κρειόντων,
καὶ λίην κεῖνός γε ϝεϝοικότι κεῖται ὀλέθρῳ· 46ᵃ cf. Θ 358 γ 203 λ 181 ο 155
ὧς ἀπόλοιτο καὶ ἄλλος ὅτις τοιαῦτά γε ῥέζοι. 47ᵇ = χ 315 cf. Ψ 494 ζ 286
ἀλλά μοι ἀμφ' 'Οδυσῆι δαΐφρονι δαίεται ἦτορ
δυσμόρῳ, ὃς δὴ δϝηθὰ φίλων ἄπο πήματα πάσχει 49 cf. η 152 θ 411
νήσῳ ἐν ἀμφιρύτῃ, ὅθι τ' ὀμφαλός ἐστι θαλάσσης· 50ᵃ = 198 μ 283
νῆσος δενδρεόεσσα, θεὰ δ' ἐν δώματα ναίει,
Ἄτλαντος θυγάτηρ ὀλοόφρονος, ὅς τε θαλάσσης 52ᵇ sq.ᵃ = δ 385 [sq.

30 τόν ῥ' Ἀγαμεμνονίδης τηλεκλυτὸς ἔκταν' 'Ορέστης.
τοῖ' ὅ γ' ἐπιμνησθεὶς ϝέπε' ἀθανάτοισι μετηύδα·

30 τηλεκλυτός] vid. ad Τ 400.

31 τοῖ' § 59] τοῦ mss. || ϝέπε' ἀθανάτοισι μετηύδα] ἔπεα πτερόεντα προσηύδα P H¹ mss. alia.

32 αἰτιάονται § 191] -όωνται mss.

33 ἥμων § 92] ἡμέων mss. || ἔμμεναι· οἳ δὲ καί] fuere qui iungerent ἔμμεναι οἵδε, καί.

34 ὑπὲρ μόρον] vid. ad Υ 30. || ἔχουσι] ἐπέσπον Heraclit. de incredib. 39.

35 ὡς] ὧς (ὥς) LaRoche.

37 προεϝείπομεν Bentley] πρό οἱ εἴπομεν mss.; PKnight οἱ ἐϝείπομεν (Hoffmann ϝείπομεν) deleto πρό, caesura vitiosa; Fick πρό ϝοι ἔσπομεν (cf. § 246). || ἧμες § 92] ἡμεῖς mss.

38] πέμψαντες Μαίης ἐρικυδέος ἀγλαὸν υἱὸν habebat liber Massiliensis; vid. ad ξ 435. || πέμψαντες] πέμψαντε Zen. Aristoph. noto errore, πέμψαντε διάκτορον autem eos dedisse probabilis est Buttmanni sententia; πέμψαντες διάκτορον b, idque legit schol. E; cf. vs. 84.

39 κτείνειν] κτεῖναι G M mss. alia. || μνάεσθαι § 190 et 191] μνάασθαι mss.

40-43] del. PKnight.

40] vid. ad Ψ 855.

41 ὁππότε χ' § 326] ὁππότ' ἂν mss., ὁππότ' ἄρ' Eust. || καὶ U] τε καὶ mss. cett. || ἱμείρεται] ἐπιβήσεται q, in marg. U² W.

47] del. PKnight. || ὧς] ὡς Nicanor mss. || ῥέζοι] ῥέζει K² Y¹ q¹; quod reiecit GHermann ad Soph. El. 1498.

48 δαίεται] cf. § 205 et καταδάπτεται π 92.

49 πήματα πάσχει] τῆλ' ἀλάληται schol. ε 3 (cf. γ 313).

50 ἀμφιρύτῃ] 'Ωγυγίῃ Strab. I p. 26.

51 νῆσος] de asyndeto explicativo vid. ad Β 672. || *δενδρεόεσσα] δενδρήεσσα mss.; vid. § 63. || δώματα G² P] δώμασι F mss. alia.

52 ὀλοόφρονος] *saevi, torvi*; sic in Iliade

πάσης βένθεα Ϝοῖδεν, ἔχει δέ τε κίονας αὐτὸς
μακρὰς, αἳ γαῖάν τε καὶ οὐρανὸν ἀμφὶς ἔχουσι·
τοῦ θυγάτηρ δύστηνον ὀδυρόμενον κατερύκει.
αἰεὶ δὲ μαλακοῖσι καὶ αἱμυλίοισι Ϝέπεσσι
θέλγει, ὅπως Ἰθάκης ἐπιλήσεται· αὐτὰρ Ὀδυσσεὺς,
Ϝιέμενος καὶ καπνὸν ἀποθρῴσκοντα νοῆσαι
Ϝῆς γαίης, θανέμεν ἱμείρεται. οὐδέ νυ σοί περ 59ᵇ sq.ᵃ = Ο 553 sq.
ἐντρέπεται φίλον ἦτορ, Ὀλύμπιε; οὔ νύ τ᾽ Ὀδυσσεὺς
Ἀργεΐων παρὰ νηυσὶ 'χαρίζετο ἱερὰ ῥέζων
Τροίῃ ἐν εὐρείῃ; τί νύ Ϝοι τόσον ὠδύσαο, Ζεῦ;“ [cf. ω 477 sq.
τὴν δ᾽ ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς· 63 sq. = ε 21 sq.
„τέκνον ἐμὸν, ποῖόν σε Ϝέπος 'φύγεν ἕρκος ὀδόντων; 64 = τ 492 ψ 70 64ᵇ = Δ 350
πῶς κεν ἔπειτ᾽ Ὀδυσῆος ἐγὼ θείοιο λαθοίμην; 65 = Κ 243
ὃς περὶ μὲν νόον ἐστὶ βροτῶν, περὶ δ᾽ ἱρὰ θεοῖσι
ἀθανάτοισιν ἔδωκε, τοὶ οὐρανὸν εὐρὺν ἔχουσι.
ἀλλὰ Ποσειδάων γαιήοχος ἀσκελὲς αἰεὶ
Κύκλωπος κεχόλωται, ὃν ὀφθαλμοῖ᾽ ἀλάωσε,
ἀντίθεον Πολύφημον, ὅο κράτος ἐστὶ μέγιστον 70ᵇ cf. Β 118 ε 4
πᾶσιν Κυκλώπεσσι· Θόωσα δέ μιν 'τέκε νύμφη,

vocantur animalia (*Β* 723 *Ο* 630 *Ρ* 21), in Odyssea reges Aeetes (κ 137), Minos (λ 322), Atlas (h. l.). Olim ὀλοόφρων scriptum fuisse Didymus (?) coniecit. Etiam de significatione adiectivi ambigebant veteres; Cleanthes philosophus ὁλοόφρονος legebat, quod τῶν ὅλων φροντιστικόν interpretabatur.

53 ἔχει] *tenet, servat, concreditas sibi habet*; cf. *Δ* 271 β 346 δ 737. Posteri *sustinere* interpretati sunt, vid. Hes. Theog. 517, arca Cypseli apud Pausan. V 18, Aesch. Prom. 349, 430, Eur. Hipp. 747 Ion. 1, Verg. Aen. IV 247, quibus assentitur RJebb Introduction to Homer p. 39; at *plures* columnas capite humerisve sustentare quomodo potuit Atlas, et quorsum tunc illae columnae? *Vertice* ipsum coelum ferre potius dicendus erat, si haec fuisset mens nostri poetae; et hanc antiquissimam fuisse fabulae formam demonstratum ivit vWilamowitz Eurip. Herakles II[1] p. 131.

54 ἀμφὶς ἔχουσι] *distinent*; cf. § 316.

55-57] imitatur Verg. Aen. I 670 sq.

56 δὲ] δ᾽ ἐν G[2] P[2] H mss. alia. || αἱμυλίοισι] *blandis*; adi. redit h. Merc. 317 Hes. Oper. 374, cf. αἱμυλόμητις h. Merc. 13. || Ϝέπεσσι vHerwerden] λόγοισι mss.; cf. *Ο* 393.

59 θανέμεν § 126] θανέειν mss.

60 οὔ νύ τ᾽] οὕνεκ᾽ mss. nonnulla. || τ᾽(οι)] cf. § 13.

62] del. PKnight. || Ϝοι τόσον ὠδύσαο] τόσσον ὀδύσσαο (metro invito) G.

65] „in suspicionem vocabat nescio quis ob θείοιο: cf. Ariston. *Ο* 15" Ludwich. || κεν § 326] ἂν mss. || ἔπειτ᾽] sententiae magis apta est particula loco parallelo et *Ι* 444.

68 ἀσκελὲς] vid. ad κ 463. || αἰεὶ U] αἰὲν mss. cett.; cf. *Δ* 827.

69 ὀφθαλμοῖ᾽ § 59] -μοῦ mss. || ἀλάωσε] verbum, quod ι 516 redit, genitivum adsciscit propter *privandi* sensum; comp. ἐξαλαόω extat ι 453, 504 (ubi vid.) λ 103 ν 343 (ἀλαός *Κ* 515 etc.). Nauck coniecit ἀπάμερσεν.

70 ὅο P[1]] ὅου mss. cett.; cf. § 59. || ἐστὶ] ἔσκε T et schol. V; vid. ad β 20.

71 πᾶσιν] πᾶσιν ἐν U[1] W; πᾶσ᾽ ἐν Bentley. || νύμφη] μήτηρ G et l. a. in schol. (cf. γ 95).

Φόρκυνος θυγάτηρ ἁλὸς ἀτρυγέτοιο μέδοντος,
ἐν σπέεσι γλαφυροῖσι Ποσειδάωνι μιγεῖσα.
ἐκ τοῦ δὴ Ὀδυσῆα Ποσειδάων ἐνοσίχθων
οὔ τι κατακτείνει, πλάζει δ᾽ ἀπὸ πατρίδος αἴης.
ἀλλ᾽ ἄγεθ᾽ ἧμες τοίδε περιφραζώμεθα πάντες
νόστον, ὅπως ἔλθῃσι. Ποσειδάων δὲ μεθήσει
Ϝὸν χόλον· οὐ μὲν γάρ τι δυνήσεται ἀντία πάντων
ἀθανάτων ἀϜέκητι θεῶν ἐριδαινέμεν οἶος.“
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα θεὰ γλαυκῶπις Ἀθήνη· 80 sq. = 44 sq.
„ὦ πάτερ ἡμέτερε Κρονίδη, ὕπατε κρειόντων,
εἰ μὲν δὴ νῦν τοῦτο φίλον μακάρεσσι θεοῖσι,
νοστῆσαι Ὀδυσῆα πολύφρονα Ϝόνδε δόμονδε, 83 = ξ 424 υ 239 φ 204 cf. υ 329
Ἑρμείαν μὲν ἔπειτα διάκτορον Ἀργεϊφόντην
νῆσον ἐς Ὠγυγίην ὀτρύνομεν, ὄφρα τάχιστα
νύμφῃ ἐυπλοκάμῳ Ϝείπῃ νημερτέα βουλὴν, 86 cf. ε 30
νόστον Ὀδυσσῆος ταλασίφρονος, ὥς κε νέηται. 87 = ε 31
αὐτὰρ ἐγὼν Ἰθάκηνδε ἐλεύσομαι, ὄφρα Ϝοι υἱὸν

72] om. G[1]. || μέδοντος,] sic Ar.; sed erant qui post θυγάτηρ distinguentes sequentia cum σπέεσι iungerent: *in antris regis maris (Neptuni) cum Neptuno congressa.* E scholio corrupto ad ν 96 apparet hanc etiam Aristophanis fuisse sententiam; quem μέδοντι legisse recte statuisse videtur Nauck Aristoph. p. 52, scholion autem bene correctum esse a Cobeto Mnemos. 1879 p. 439. Obloquitur Ludwich Arist. I p. 509.

73 σπέεσι § 71] σπέ(σ)σι mss. fere omnia.

76 ἧμες τοίδε § 92] ἄμμες τοίδε Fick, ἡμεῖς οἵδε mss. || περιφραζώμεθα] comp. †, sed cf. adi. περιφραδής *Δ* 466 etc.

77 μεθήσει] μεθῇσι (μεθήῃ § 121) Vogrinz.

78 Ϝὸν] τὸν Eust.

79 ἀϜέκητι θεῶν] languet.

80 ἠμείβετ᾽ ἔπειτα] αὖτε προσέειπε U.

82 εἰ ... δὴ] vid ad *Δ* 61.

83 πολύφ[illegible]να] [illegible]ονα M mss. alia, sed vid. vs. pa[illegible]

84 μὲν] iure [illegible]it Kirchhoff olim fuisse δή, diasceuastam autem id mutasse, ut Mercurium opponeret Minervae; vid. ad vs. 88 sqq.

85 Ὠγυγίην] Ὠγυλίην Antimachus; *Ogyliam* sive *Ogylum* insulam prope Cretam commemoravit Hesiodus teste schol., novit Steph. Byzant. s. v. || ὀτρύνομεν] -νέμεν Bentley. || τάχιστα] post complures demum dies illuc mittitur (ε 30), quapropter παραστὰς coniecit Lehrs; at vid. ad vs. 88 sqq.

87] del. PKnight. || κε νέηται] l. a. κεν ἵκηται.

88 sqq.] ab antiquo carmine, quo *Ulixis reditus* celebrabatur, aliena esse quae inde ab hoc versu usque ad ε 27 leguntur, luculenter demonstravit Kirchhoff. A diasceuasta insertum est aliud epos, id quoque antiquum, in quo describebatur *Telemachi patrem quaerentis iter*; quod epos continetur fere libris β 1 — δ 623 et ο (vid. ad ο init.). Ipsi diasceuastae (cui *Cynaetho* nomen fuisse Fickii est opinio) Kirchhoff tribuit versus α 88 sqq. usque ad finem libri et δ 624 — ε 27. Niese tamen aliique negant extitisse unquam carmen per se absolutum, quod nihil nisi Telemachi iter contineret, sed eo ipso consilio id excogitatum esse contendunt ut ad Ulixis errores enarrandos inde fieret transitus.

88 Ἰθάκηνδε ἐλεύσομαι Ahrens] -κηνδ᾽ ἐσελεύσομαι mss. pleraque, Ἰθάκην ἐσελεύσομαι T[2] et olim alii. Cf. *Δ* 169 *Ζ* 365 ρ 52.

μᾶλλον ἐποτρύνω καί Ϝοι μένος ἐν φρεσὶ θήω,
εἰς ἀγορὴν καλέσαντα κάρη κομάοντας Ἀχαιοὺς
πᾶσι μνηστήρεσσ' ἀποϜειπέμεν', οἵ τέ Ϝοι αἰεὶ 91^b sq. = δ 319 sq.
μῆλ' ἁδινὰ σφάζουσι καὶ εἰλίποδας Ϝέλικας βοῦς. 92^b = Ι 466
πέμψω δ' εἰς Σπάρτην τε καὶ εἰς Πύλον ἠμαθόεντα   93 sq. cf. β 359 sq. 93 sq.* cf. β 214 sq.
νόστον πευσόμενον πατρὸς φίλου, αἴ κεν ἀκούσῃ, 94^b cf. γ 83
ἠδ' ἵνα μιν κλέος ἐσθλὸν ἐν ἀνθρώποισιν ἔχῃσι."   95 = γ 78
ὧς Ϝειποῦσ' ὑπὸ ποσσὶν ἐδήσατο καλὰ πέδιλα 96^b-98 = Ω 340 sqq.
ἀμβρόσια χρύσεια, τά μιν φέρει ἠμὲν ἐφ' ὑγρὴν
ἠδ' ἐπ' ἀπείρονα γαῖαν ἅμα πνοιῇσ' ἀνέμοιο·
'βῆ δὲ κατ' Οὐλύμποιο καρήνων ἀίξασα.   102 = Β 167

'στῆ δ' 'Ιθάκης ἐνὶ δήμῳ ἐπὶ προθύροισ' Ὀδυσῆος
οὐδοῦ ἔπ' αὐλείου, παλάμῃ δ' ἔχε χάλκεον ἔγχος, 104^b = β 10
Ϝειδομένη ξείνῳ, Ταφίων ἡγήτορι Μέντῃ.   105 cf. Ρ 73
ηὗρε δ' ἄρα μνηστῆρας ἀγήνορας. οἳ μὲν ἔπειτα 106^a = β 299 106^b cf. 144
πεσσοῖσι προπάροιθε θυράων θυμὸν ἔτερπον
ἥμενοι ἐν ῥινοῖσι βοῶν, οὓς ἔκτανον αὐτοί·

99 εἵλετο δ' ἄλκιμον ἔγχος, ἀκαχμένον ὀξέι χαλκῷ,   99 = Κ 135
βριθὺ μέγα στιβαρόν, τῷ δάμνησι στίχας ἀνδρῶν   100 sq. = Ε 746 sq.
ἡρώων, τοῖσίν τε κοτέσσεται ὀβριμόπατρα·

97-101 Ar. —. Ante eum alii damnarant vs. 97 sq., fortasse etiam ceteros.

Cobet 'Ιθάκην ἐπιείσομαι, sed futurum -είσομαι verbi εἶμι nunquam extitisse videtur (cf. § 308), verbum -Ϝίεμαι autem (§ 201) hinc alienum.

89 μᾶλλον] ἐσθλὸν Nauck. ‖ θήω § 122] θείω mss., l. a. θήσω.

90-92] del. Duentzer.

90 κάρη κομάοντας] epitheton in Odyssea nonnisi β 7, 408 υ 277 redit, locis partim certe recentibus. ‖ κομάοντας § 191] -μόωντας mss.

91 -ρεσσ' ἀποϜειπέμεν'] -ρεσσιν (-ρσιν G P^2) ἀπειπέμεν mss.

92 ἁδινὰ] vid. ad Β 87.

93 δ' εἰς] δὲ H^1 (δ' ἐ G F P); cf. α 285 β 214 etc. ‖ Σπάρτην] Κρήτην Zen. (cf. schol. γ 313), fortasse e coniectura, ne Telemachus tempus sine causa Spartae trivisse videretur (vid. ad δ 599); cui oblocutus est Ar. coll. β 359 δ 702.

94 *αἴ κεν] ἤν (εἴ) που mss.; cf. Π 39 et § 326. Redit vitium β 360 γ 83. ‖ Post hunc versum P habet κεῖθεν δ' ἐς Κρήτην τε παρ' 'Ιδομενῆα ἄνακτα· | δ<ς> γὰρ δεύτατος ἦλθεν Ἀχαιῶν χαλκοχιτώνων (cf. α 285 sq.), quos versus alia mss. nonnulla post vs. 94 aut 102 addunt.

95 ἔχῃσι] λάβῃσιν Rhianus, ἕλῃσιν P^1 mss. alia.

97 sq.] om. liber Massiliensis, et melius sane abessent, aptius enim Iliadis loco dicuntur de *Mercurii* talaribus.

97 φέρει Naber] φέρον mss.; vid. ad Ω 341.

99-101] ne diasceuastae quidem, cui haec libri pars debetur, videntur posse imputari; hasta enim ingens hinc aliena est et propter versum 121 vel risum movet. Cf. ε 47 sqq.

101 ὀβριμόπατρα IMHoogvliet] ὀ(μ)βριμοπάτρη mss.

106 ἔπειτα] suspectum; Nauck ἐκεῖθι, sed Homericum est κεῖθι (vid. § 97).

107 πεσσοῖσι] †. Inepta Apionis de hoc ludo commenta profert Athen. I 16e.

κήρυκες δ' αὐτοῖσι καὶ ὀτρηροὶ θεράποντες
οἳ μὲν Ϝοῖνον ἔμισγον ἐνὶ κρητῆρσι καὶ ὕδωρ,
οἳ δ' αὖτε σπόγγοισι πολυτρήτοισι τραπέζας
'νίζον καὶ πρότιθεν, τοὶ δὲ κρέα πόλλ' ἐδατεῦντο.
τὴν δὲ πολὺ πρῶτος 'Ϝίδε Τηλέμαχος θεοϜειδής·   113 = ρ 328
ἧστο γὰρ ἐν μνηστῆρσι φίλον τετιημένος ἦτορ,
ὀσσόμενος πατέρ' ἐσθλὸν ἐνὶ φρεσίν, εἴ ποθεν ἐλθὼν 115^b sq. = υ 224 sq.
ἀνδρῶν μνηστήρων σκέδασιν κατὰ δώματα θείη,
τιμὴν δ' αὐτὸς ἔχοι καὶ κτήμασι Ϝοῖσι Ϝανάσσοι·
τὰ φρονέων μνηστῆρσι μεθήμενος εἴσϜιδ' Ἀθήνην.
'βῆ δ' ἰθὺς προθύροιο, 'νεμεσσήθη δ' ἐνὶ θυμῷ
ξεῖνον δϜηθὰ θύρῃσιν ἐφεστάμεν'· ἐγγύθι δὲ στὰς
χεῖρ' ἕλε δεξιτερὴν καὶ ἐδέξατο χάλκεον ἔγχος,
καί μιν φωνήσας Ϝέπεα πτερόεντα προσηύδα·
„χαῖρε, ξεῖνε, παρ' ἦμι φιλήσεαι· αὐτὰρ ἔπειτα   123 sq. cf. δ 60 sq.
δείπνου πασσάμενος μυθήσεαι οὗ τεό σε χρή."
ὧς Ϝειπὼν ἡγεῖθ', ἣ δ' ἕσπετο Παλλὰς Ἀθήνη.
οἳ δ' ὅτε δή ῥ' ἔντοσθεν ἔσαν δόμου ὑψηλοῖο,
ἔγχος μέν ῥ' ἔστησε φέρων πρὸς κίονα μακρὴν   127 = ρ 29 127^a cf. Ο 126
δουροδόκης ἔντοσθεν ἐυξόου, ἔνθα περ ἄλλα
ἔγχε' Ὀδυσσῆος ταλασίφρονος ἵστατο πολλά·
αὐτὴν δ' εἰς θρόνον εἷσεν ἄγων, ὑπὸ λῖτα πετάσσας,
καλὸν δαιδάλεον· ὑπὸ δὲ θρῆνυς ποσὶν ἦεν.   131 cf. Σ 390
πὰρ δ' αὐτὸς κλισμὸν 'θέτο ποικίλον ἔκτοθεν ἄλλων
μνηστήρων, μὴ ξεῖνος ἀνιηθεὶς ὀρυμαγδῷ
δείπνῳ Ϝαδήσειεν, ὑπερφιάλοισι μετελθών,

109 αὐτοῖσι] sic Ar., αὖ τοῖσι Nicias (sic U); cf. § 98.

110 μὲν Y Eust.] μὲν ἄρ' (ἄρ, γὰρ) mss. cett.

112 πρότιθεν, τοὶ δὲ M^1] sic Ar. teste schol. γ 10; mss. cett. προτίθεντο, ἰδὲ. Cf. Λ 433. ‖ πόλλ' ἐδατεῦντο] πολλὰ δ. mss. De termino -εῦντο vid. § 7 et 191.

113 πρῶτος] πρῶτός γ' M.

114 γὰρ ἐν] γὰρ om. D, δ' ἐνὶ q.

116 ἀνδρῶν μνηστήρων] sic (coll. υ 225) aut τῶν μὲν μνηστήρων Cobet; μνηστήρων τῶν μὲν mss. ‖ σκέδασιν] vox nonnisi loco par. redit (verbum σκίδνημι Λ 487 etc.).

117 κτήμασι(ν) G F H^2 n et „mss. deteriora" apud Did.] δώμασιν Ar. P H^1 M (cf. vs. 397 et 402), sed obstat versus 116.

123 ἦμι § 92] ἄμμι mss.

124 μυθήσεαι] l. a. μυθήσεο (? — μυθήσαιο corrigit Ludwich). ‖ *οὗ τεο] ὅττεο mss., cf. § 102; redit vitium χ 377 ρ 121. Rhianus ὅττευ, metro et lingua invitis.

127-129] de re cf. Verg. Aen. XII 92 sq.

128 δουροδόκης] †; cf. ἱστοδόκη Λ 434 et vid. ad Τ 387.

133-135] del. PKnight.

134 δείπνῳ] δείπνου Apoll. lex. ‖ Ϝαδήσειεν] ἀηδήσειεν P^1 mss. alia; in Apoll. lex. redditur ἀηδεσθείη. De verbo vid. § 41^2.

ἠδ' ἵνα μιν περὶ πατρὸς ἀποιχομένοι' ἐρέοιτο.
χέρνιβα δ' ἀμφίπολος προχόῳ ἐπέχευε φέρουσα
καλῇ χρυσείῃ ὑπὲρ ἀργυρέοιο λέβητος,
138 νίψασθαι· παρὰ δὲ ξεστὴν ἐτάνυσσε τράπεζαν.
141 δαιτρὸς δὲ κρεάων πίνακας παρέθηκεν ἀείρας
παντοίων, παρὰ δέ σφι 'τίθει χρύσεια κύπελλα.
κῆρυξ δ' αὐτοῖσιν θάμ' ἐπῴχετο Ϝοινοχοεύων.
εἰς δ' ἦλθον μνηστῆρες ἀγήνορες. οἳ μὲν ἔπειτα
ἑξείης ἕζοντο κατὰ κλισμούς τε θρόνους τε·
τοῖσι δὲ κήρυκες μὲν ὕδωρ ἐπὶ χεῖρας ἔχευαν,
147 σῖτον δὲ δμῳαὶ παρενήεον ἐν κανέοισι,
149 οἳ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον εἷντο
μνηστῆρες, τοῖσιν μὲν ἐνὶ φρεσὶν ἄλλ' ἐμεμήλει,
μολπή τ' ὀρχηστύς τε· τὰ γάρ τ' ἀναθήματα δαιτός.
κῆρυξ δ' ἐν χερσὶν κίθαριν περικαλλέ' ἔθηκε

135 cf. γ 77
136-142 = δ 52 sqq.
136-140 = η 172 sqq. κ 368 sqq. ο 135 sqq. ϱ 91 sqq.
141 cf. π 49
144 cf. υ 160
144b cf. 106
145 = γ 389 ω 385 cf. ο 134
146 = γ 338 cf. I 174
147 cf. π 51
149 sq. = I 91 sq.
150 = A 469
152 cf. φ 430

139 σῖτον δ' αἰδοίη ταμίη παρέθηκε φέρουσα,
εἴδατα πόλλ' ἐπιθεῖσα, χαριζομένη παρεόντων·
148 κοῦροι δὲ κρητῆρας ἐπεστέψαντο ποτοῖο.
139 sq. Ar. —

139 = ϱ 259
148 = I 175 cf. A 470

135 ἀποιχομένοι' (-νου) ἐρέοιτο Bentley] -νοιο ἔροιτο mss. hiatu vitioso, item α 405 γ 77; cf. ζ 298 et § 264. De -νοι' cf. § 59.

139 sq.] aliena hinc esse quae de ταμίᾳ dicuntur, parum apte enim παρεόντων dici, cum ante coenae initium iusto tempore advenerit hospes, optime vero habere in libro δ, ubi post tempus coenae Telemachus visit Menelaum, ad δ 54 annotat Aristonicus; quam Aristarchi esse observationem intellexit Kirchhoff. Versum 139 om. G[1]. Solum versum 140 delebat Nitzsch; vid. ad vs. 141 sq.

141 sq.] reiciendos censet Athen. V 193*b*, ne dapibus conviva moleste obruatur, εἴδατα enim esse κρεῶν λείψανα. Cui oblocutus Eustathius hesternos cibos ab ancilla, recens apparatas lances a scissore apponi nugatur. Cf. δ 57 sq. — Nitzsch deletis versibus 140 et 149 (148?) locum sic ordinat: vs. 139, 144-147, 141-143, 148 (149?), 150.

141 κρεάων § 72] κρειῶν mss.

143 αὐτοῖσιν] ἐν τοῖσιν Y[1].

146 ἔχευαν] -ον G mss. alia (sic Ar.? vid. Didym. Γ 270).

147 παρενήεον] παρενήνεον mss.; emendarunt PKnight Bekker. Vid. ad H 428, 431 π 51.

148] om. G, ante vs. 147 habent F mss. alia. || Post hunc versum in H M aliis additur: νώμησαν δ' ἄρα πᾶσιν ἐπαρξάμενοι δεπάεσσι, quae in textum recepit Barnes, item Kirchhoff, diasceuastam censens ad coenam quotidianam parum apte transtulisse quae in festis sollemnibus potius locum haberent (vid. γ 340 et ad A 471).

150 εἷντο] ἕντο mss.

151 ἄλλ' ἐμεμήλει] ἄλλα μεμήλει Ar. mss.

152 μολπή] *ludus*; vid. ad Σ 606. || τ'] om. F[1] P mss. alia. || ἀναθήματα δαιτός] cf. ϑ 99 ϱ 271. || ἀναθήματα] vox nonnisi φ 430 redit.

153] ex libro ϑ huc male invectum esse censet Kirchhoff, illic enim caeco Demodoco praeconis ministerium necessarium esse, Phemio vero hic inutile. || περικαλλέ' ἔθηκε(ν) Herod. vit. Hom. 26] -λλέα θῆκε mss.

Φημίῳ, ὅς ῥ' ἤειδε παρὰ μνηστῆρσιν ἀνάγκῃ.
ἦ τοι ὃ φορμίζων ἀνεβάλλετο καλὸν ἀείδειν·
αὐτὰρ Τηλέμαχος προσέφη γλαυκώπιδ' Ἀθήνην,
ἄγχι σχὼν κεφαλήν, ἵνα μὴ πευθοίαθ' οἱ ἄλλοι·
„ξεῖνε φίλ', ἦ καί μοι νεμεσήσεαι, ὅττι κε Ϝείπω;
τούτοισιν μὲν ταῦτα μέλει, κίθαρις καὶ ἀοιδή,
ῥεῖ', ἐπεὶ ἀλλότριον βίοτον νήποινον ἔδουσι
ἀνέρος, οὗ δή που λεύκ' ὀστέα πύθεται ὄμβρῳ
κείμεν' ἐπ' ἠπείροι', ἤ' ειν ἁλὶ κῦμα κυλίνδει.
εἰ κεῖνόν γ' Ἰθάκηνδε Ϝιδοίατο νοστήσαντα,
πάντες κ' ἀρησαίατ' ἐλαφρότεροι πόδας εἶναι
ἢ ἀφνειότεροι χρυσοῖό τε Ϝεσθῆτός τε.
νῦν δ' ὃ μὲν ὣς ἀπόλωλε κακὸν μόρον, οὐδέ τις ἧμιν
θαλπωρή, εἴ πέρ τις ἐπιχθονίων ἀνθρώπων
φῆσιν ἐλεύσεσθαι· τοῦ δ' ὤλετο νόστιμον ἦμαρ.
ἀλλ' ἄγε μοι τόδε Ϝειπὲ καὶ ἀτρεκέως κατάλεξον·
τίς πόθεν ἔσσ' ἀνδρῶν; πόθι τοι πόλις ἠδὲ τοκῆες;
ὁπποίης δ' ἐπὶ νηὸς ἀφίκεο; πῶς δέ σε ναῦται
ἤγαγον εἰς Ἰθάκην; τίνες ἔμμεναι ηὐχετάοντο;
οὐ μὲν γάρ τί σε πεζὸν ὀίομαι ἐνθάδ' ἱκέσθαι.

154 cf. χ 331
155 cf. ϑ 266
156 cf. β 399
157 = δ 70 ϱ 592
158 cf. E 421 α 389
159 cf. h. Ap. 188
160 cf. σ 280
161b cf. Ψ 328
163b = λ 361
166 cf. Φ 133
169 = K 384
170-173 = ξ 187 sqq.
170 = κ 325 ο 264 τ 105 ω 298
170a = Φ 150
171b cf. π 57
172 sq. = π 223 sq.
172 = π 58
173 cf. π 59

171-173 Ar. —

154] sic affertur Herod. vit. Hom. l. l.: Φημίῳ, ὃς δὴ πολλὸν ἐκαίνυτο πάντας ἀείδων.

155 ἀνεβάλλετο] *cithara proludere coepit*; sequitur infinitivus finalis. Redit locutio ϑ 266 ϱ 262.

156 γλαυκώπιδ' § 66] γλαυκῶπιν mss. hoc uno loco; cf. h. Ap. 323.

157 πευθοίαθ' οἱ] articulus molestus; item δ 70 (ubi vid.) ϱ 592. APlatt πευθοίατό Ϝ'(οι), quemadmodum alibi κλύειν et ἀκούειν dativum personae apud poetam adsciscunt.

158 ἦ P[2]] ἢ F, εἰ mss. pleraque.

162 ἠπείροι' § 59] -ρου mss. || ειν] ἐν GW[1] minus recte, nam non ictus vi producitur syllaba sed ειναλι ex ἐνσαλι natum est. Recurrit vox η 244 ι 25; cf. § 44 et 315.

165 ἢ] *celeriores quam ditiores* interpretantur schol., fortasse recte, quamquam eiusmodi structura in Homericis non redit; alii: *potius optabunt ... quam*. Simplicius Ameis: *aut celeriores* (ut effugere) *aut ditiores* (ut redimere se possint).

167 θαλπωρή] ἐλπωρή F[2] W et l. a. in schol.

168 φῆσιν] φησὶν P mss. alia, φήσει D alia; *φήῃ? cf. O 359 Ψ 805 alibi. Libenter scripseris φῇσί Ϝ' aut φῇ μιν, sed ipsa forma φῆσι vel φῇ vix est Homerica, vid. § 122.

170 ἔσσ' § 302] εἰσ' (sic G) vel εἷς mss.

171-173] hinc alienos in libro vero ξ genuinos ducebat Ar. (vid. schol. ad utrumque locum et ad π 57), in quibusdam autem mss. non lectos fuisse refert schol.; at a Minerva eos respici vs. 182-186 observavit THug. Quapropter Kirchhoff recte statuisse videtur diasceuastam versus importunos huc invexisse.

171 ὁπποίης δ'] ὁπποίης τ' Ar.; cf. K 409. Sed ποίης requiri observavit Naber; verum videtur *ποίης; δεῦρ'. Redit locutio ξ 188.

172 ηὐχετάοντο § 191] εὐχετόωντο (-νται) mss.

173] cf. O 505.

καί μοι τοῦτ᾽ ἀγόρευσον ἐτήτυμον, ὄφρ᾽ ἐὺ Ϝείδω, 174 = δ 645 ν 232 ξ 186 etc.
ἠὲ νέον μεθέπεις ἦ καὶ πατρώιός ἐσσι
ξεῖνος, ἐπεὶ πολλοὶ ἴσαν ἀνέρες ἡμέτερον δῶ
ἄλλοι, ἐπεὶ καὶ κεῖνος ἐπίστροφος ἦν ἀνθρώπων.“
τὸν δ᾽ αὖτε προσέϜειπε θεὰ γλαυκῶπις Ἀθήνη·
„τοιγὰρ ἐγώ τοι ταῦτα μάλ᾽ ἀτρεκέως ἀγορεύσω. 179 = ξ 192 cf. K 413 α 214
Μέντης Ἀγχιάλοιο δαΐφρονος εὔχομαι εἶναι 180 sq. cf. 418 sq.
υἱὸς, ἀτὰρ Ταφίοισι φιληρέτμοισι Ϝανάσσω.
νῦν δ᾽ ὧδε ξὺν νηὶ κατήλυθον ἠδ᾽ ἑτάροισι 182 cf. h. Ap. 471
πλείων Ϝοίνοπα πόντον ἐπ᾽ ἀλλοθρόους ἀνθρώπους
εἰς Τεμέσην μετὰ χαλκὸν, ἄγω δ᾽ αἴθωνα σίδηρον.
νηῦς δέ μοι ἥδ᾽ ἕστηκεν ἐπ᾽ ἀγροῦ νόσφι πόληος 185 = ω 308
ἐν λιμένι Ῥείθρῳ ὑπὸ Νηίῳ ὑλήεντι. 185ᵇ = π 383 ω 212
ξεῖνοι δ᾽ ἀλλήλων πατρώιοι εὐχόμεθ᾽ εἶναι 187 cf. Z 231
ἐξ ἀρχῆς, εἴ πέρ τε γέροντ᾽ εἴρηαι ἐπελθὼν
Λαέρτην ἥρωα, τὸν οὐκέτι φασὶ πόλινδε
ἔρχεσθ᾽, ἀλλ᾽ ἀπάνευθεν ἐπ᾽ ἀγροῦ πήματα πάσχειν
γρηὶ σὺν ἀμφιπόλῳ, ἥ Ϝοι βρῶσίν τε πόσιν τε

185 sq. Aristoph. Ar. —

175 μεθέπεις] μεθέπῃ F et l. a. in schol. idque praefert Leaf; at vid. § 117. Bentley μ᾽ ἐφέπεις.

176 sq.] aut verba ἐπεὶ — ἄλλοι aut praeeunte PKnightio totum vs. 177 del. PCMolhuysen.

176 ἴσαν] (Ϝ)ίσαν *norant* interpretantur schol. et Eust., quibus assentitur Nitzsch coll. ν 239, nisi verum sit ἴσαν ... ἡμέτερόνδε ut Ψ 137; etiam Cobetus Ϝίσαν poscit. Similis est controversia Soph. Ant. 71. Absurde ἴσαν Y¹ et l. a. in schol.

177 καὶ κεῖνος Ar. F P H] κἀκεῖνος G M; cf. § 9. || ἐπίστροφος] *appetens, amans*, φιλόξεινος. Adi. † (vid. tamen l. a. θ 163); cf. ἐπιστροφάω ρ 486 h. Merc. 44 et nomen proprium Ἐπίστροφος B 517 etc. || ἦν] ἴσκ᾽ (ἦσκ᾽) Nauck; vid. § 302.

180 Ἀγχιάλοιο] vid. ad. B 640.

182 ὧδε] *sic*, vid. ad Σ 392.

183 πλείων] πλέων ἐπὶ mss. synizesi vitiosa (cf. § 8), ἐπὶ omisit HStephanus, deinde alii πλείων vel πλώων (sic Nauck) proposuerunt; cf. H 88. Ipsum diasceuastam hoc deliquisse putat Kirchhoff. || ἐπ᾽] l. a. ἐς.

184 Τεμέσην] urbs *Temesa* sive *Tempsa* in Bruttiorum agro significari videtur; olim fuere qui (propter *aeris* mentionem) in Cypro quaererent Τάμασον aut -σιν scribentes. Vid. Steph. Byz. in v. Τάμασος, Strab. VI p. 255, Pausan. VI 6 § 3.

185 sq.] versus, ab Aristophane et Aristarcho damnatos, in quibusdam libris ne lectos quidem esse refert schol.

185 ἥδ᾽] *hic, in hac insula.* || ἀγροῦ] ἀγρόο? vid. § 59.

186] *Rheithrum* nomen †, pro *Neio* autem *Neritum* nominatur B 632 ι 22 ν 351; vid. tamen γ 81.

187-205] del. Duentzer, vs. 188-193 Kammer.

187 εὐχόμεθ᾽] *ego et Ulixes.*

188 τε] sic et τι Ar.

190 ἀγροῦ] ἀγρόο? vid. § 59. || πήματα] l. a. ἄλγεα. || πάσχειν] πάσχει HStephanus, πέσσειν Bentley.

191 ἀμφιπόλῳ] vid. ω 366.

παρτιθεῖ, εὖτέ κέ μιν κάματος κατὰ γυῖα λάβῃσι
ἑρπύζοντ᾽ ἀνὰ γουνὸν ἀλωῆς Ϝοινοπέδοιο. 193 cf. λ 193 h. Merc. 207
νῦν δ᾽ ἦλθον· δὴ γάρ μιν ἔφαντ᾽ ἐπιδήμιον εἶναι,
σὸν πατέρ᾽· ἀλλά νυ τόν γε θεοὶ βλάπτουσι κελεύθου.
οὐ γάρ πω τέθνηκεν ἐπὶ χθονὶ δῖος Ὀδυσσεὺς, 196 cf. λ 461
ἀλλ᾽ ἔτι που ζωὸς κατερύκεται εὐρέι πόντῳ 197 cf. δ 498, 552
νήσῳ ἐν ἀμφιρύτῃ, χαλεποὶ δέ μιν ἄνδρες ἔχουσι 198ᵃ = 50
ἄγριοι, οἵ ποθι κεῖνον ἐρυκανάουσ᾽ ἀϜέκοντα.
αὐτὰρ νῦν τοι ἐγὼ μαντεύσομαι, ὥς μ᾽ ἐνὶ θυμῷ 200ᵇ sq. = ο 172 sq.
ἀθάνατοι βάλλουσι καὶ ὡς τελέεσθαι ὀίω,
οὔτε τι μάντις ἐὼν οὔτ᾽ οἰωνῶν σάφα Ϝειδώς·
οὔ τοι ἔτι δϜηρόν γε φίλης ἀπὸ πατρίδος αἴης
ἔσσεται, οὐδ᾽ εἴ πέρ Ϝε σιδήρεα δέσματ᾽ ἔχῃσι·
φράσσεται ὥς κε νέηται, ἐπεὶ πολυμήχανός ἐστι.
ἀλλ᾽ ἄγε μοι τόδε Ϝειπὲ καὶ ἀτρεκέως κατάλεξον, 206 = K 384
εἰ σὺ δὴ ἐξ αὐτοῖο τόσος πάις ἔσσ᾽ Ὀδυσῆος.
αἰνῶς μὴν κεφαλήν τε καὶ ὄμματα καλὰ ϜέϜοικας
κείνῳ, ἐπεὶ θαμὰ τοῖον ἐμισγόμεθ᾽ ἀλλήλοισι,
πρίν γε τὸν εἰς Τροίην ἀναβήμεναι, ἔνθα περ ἄλλοι
Ἀργεΐων οἱ ἄριστοι ἔβαν κοίλῃσ᾽ ἐνὶ νηυσί·
ἐκ τοῦ δ᾽ οὔτ᾽ Ὀδυσῆα ἐγὼ Ϝίδον οὔτ᾽ ἐμὲ κεῖνος.“
τὴν δ᾽ αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·

192 εὖτέ κέ § 326] εὖτε P N, εὖτ᾽ ἄν mss. cett.

194 ἔφαντ᾽] ex schol. vs. 196: ᾠόμην δὲ αὐτὸν καὶ ἐπανεληλυθέναι efficimus fuisse qui ἔφην legerent, fortasse recte, vid. ι 496 ξ 176.

196 πω] που K, vid. ad λ 461.

198] in scholio ad Cyclopem eiusque insulam haec parum recte referuntur, perridicule autem Ulixes ibi dicitur ἁρπάσας τὴν θυγατέρα τοῦ Κύκλωπος a Polyphemo in captivitatem esse redactus: quae nugae fluxerunt ex male intellecto vocabulo κόρη (cf. Eust. 1392,39); idem error in schol. α 69 extat. Eiusdem farinae est ῥινῶν T 39 de *cute* acceptum; subsimilia autem de Xen. Rep. Laced. III 5 protulit rhetor de Sublim. 4, 4, derisus a Cobeto Nov. Lect. p. 611.

199] iure delevisse videtur Bekker. || ποθι § 322] που mss. || ἐρυκανάουσ᾽ § 191] -νουσ᾽, -νέουσ᾽, -νόωσ᾽ mss.; Nauck ἐρητύουσ᾽ (vid. ad Ω 218).

200 *μ᾽(οι)] adiecimus; cf. I 459 et § 13.

201 τελέεσθαι] τετελέσθαι P¹ mss. alia.

204 οὐδ᾽] in scholio obscuriore a Didymo commemoratur l. a. ἀλλ᾽, quam Aristarcho tribuit Cobet; obloquitur Ludwich Arist. I p. 513. || Ϝε Cobet] τε.

205] del. Hartman.

206 κατάλεξον] ἀγόρευσον G (cf. vs. 179).

207 *σὺ] adiecimus metri causa; vid. Δ 61 Ω 57 ι 456 et § 14. || τόσος πάις] πάις τόσος M K. || ἔσσ᾽ § 302] εἰς mss.

208 μὴν § 18] μὲν Aristoph. Ar., γὰρ mss.

209 τοῖον] ita usurpatur etiam Ψ 246 (336) γ 321 δ 776 η 30 ο 451 υ 302, et masc. λ 135 ψ 282; cf. τό(σ)σον Δ 130 Σ 378 X 322 (?) Ψ 454.

211 ἐνὶ] ἐπὶ H mss. alia (ut N 107). Cf. B 351 β 18, 27 γ 131 etc.

„τοιγὰρ ἐγώ τοι, ξεῖνε, μάλ' ἀτρεκέως ἀγορεύσω. 214 = δ 383, 399 ο 266, 352 π 113
μήτηρ μέν τέ με φησὶ τοῦ ἔμμεναι, αὐτὰρ ἐγώ γε cf. α 179
οὐ Ϝοῖδ'· οὐ γάρ πώ τις ἑϜὸν γόνον αὐτὸς ἀνέγνω.
ὡς δὴ ἐγώ γ' ὄφελον μάκαρός νύ τε' ἔμμεναι υἱὸς
ἀνέρος, ὃν κτεάτεσσιν ἑϜοῖσ' ἔπι γῆρας ἔτετμε.
νῦν δ', ὃς ἀποτμότατος 'γένετο θνητῶν ἀνθρώπων,
τοῦ μ' ἐκ φησὶ γενέσθαι, — ἐπεὶ σύ με τοῦτ' ἐρεείνεις.“ 220ª cf. Z 206ᵇ σ 128ª
τὸν δ' αὖτε προσέϜειπε θεὰ γλαυκῶπις Ἀθήνη·
„οὐ μέν τοι γενεήν γε θεοὶ νώνυμνον ὀπίσσω
'θῆκαν, ἐπεὶ σέ γε τοῖον ἐγείνατο Πηνελόπεια.
ἀλλ' ἄγε μοι τόδε Ϝειπὲ καὶ ἀτρεκέως κατάλεξον· 224 = K 384
τίς δὴ δαὶς, τίς ὅμιλος ὅδ' ἔπλετο; τίπτε δέ σε χρή;
εἰλαπίνη ἠὲ γάμος; ἐπεὶ οὐκ ἔρανος τάδε γ' ἐστί.
ὥς τέ μοι ὑβρίζοντες ὑπερφιάλως δοκέουσι
δαίνυσθαι κατὰ δῶμα· νεμεσσήσαιτό κεν ἀνὴρ
αἴσχεα πόλλ' ὁράων, ὅς τις πινυτός γε μετέλθοι.“
τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
„ξεῖν', ἐπεὶ ἂρ δὴ ταῦτά μ' ἀνείρεαι ἠδὲ μεταλλᾷς· 231 = ο 390
'μέλλεν μέν ποτε Ϝοῖκος ὅδ' ἀφνειὸς καὶ ἀμύμων
ἔμμεναι, ὄφρ' ἔτι κεῖνος ἀνὴρ ἐπιδήμιος ἦεν.
νῦν δ' ἑτέρως 'βούλοντο θεοὶ κακὰ μητιάοντες,
οἳ κεῖνον μὲν ἄϜιστον ἐποίησαν περὶ πάντων

---

214 ἀγορεύσω] καταλέξω P H mss. alia. Cf. vs. 206.

215 τέ] γέ Ilgen. || φησὶ] φασὶ G. Vid. vs. 220.

217 ἐγώ γ'] ἐγὼν Nauck. || μάκαρος] cf. Λ 68. || τε' § 99] τευ mss.

220 φησὶ Naber] φασὶ mss.

222 τοι] τῷ aut Ϝοι vHerwerden. || νώνυμνον] νώνυμον mss.; cf. M 70.

225 δὴ δαὶς, τίς Nauck] δαὶς, τίς δαὶ Ar. (sic G[1] Apoll. synt. 78,2 Ammon. 39); δαὶς, τίς δὲ (δ') mss.; δαὶς, τίς δέ θ' Bentley. De particula δαί cf. K 408 ω 299. || χρή PKnight] χρηώ P[2], χρε(ι)ώ mss. cett., cf. § 8; l. a. τίς δέ σε χρεία.

226 εἰλαπίνη ἠὲ] synizesis novicia, cf. § 8; εἰλαπίν' (εἰλ.) G[1] mss. alia (hinc PKnight εἰλάπιν'), εἰλαπίνης F[2]. Nominativus vocabuli, cuius origo incerta est, alibi non reperitur; *εἰλαπίνης τε γάμου τ'? || ἐπεὶ — ἐστί] *non enim de suo istos epulari manifestum est.* Cf. δ 621-624 λ 415; Hes. Oper. 722 sq.: πολυξείνου δαιτὸς … | ἐκ κοινοῦ, πλείστη δὲ χάρις, δαπάνη τ' ὀλιγίστη. || τάδε] τόδε G P[2].

229 ὁράων § 191] ὁρόων mss.

232 'μέλλεν] μέλλει T. Hoc loco et σ 138 ἔμελλον cum infin. praesentis eodem sensu usurpatur quo alias (N 777 Σ 362 Φ 83 Ω 46 δ 377 ξ 133) praesens μέλλω cum infin. aoristi; vid. § 107.

234 ἑτέρως — θεοὶ] vertit Verg. Aen. II 428: *dis aliter visum.* || ἑτέρως] adv. † (ἑτέρωθι -σε -θεν saepius). || βούλοντο] sic aut ἐβούλοντο mss. pleraque, ἐβόλοντο Ar. F[1] H[1] T D[2]; cf. Λ 319 π 387. L. a. ἐβάλοντο, hinc Spitzner ἑτέρωσ' ἐβάλοντο, reddens: *in alteram partem se verterunt.* || μητιάοντες § 191] -ιόωντες mss.

235 περὶ] incommodum; aut enim notus est aliquis aut ignotus, cernitur aut non cernitur.

ἀνθρώπων· ἐπεὶ οὔ κε θανόντι περ ὧδ' ἀκαχοίμην,
εἰ μετὰ Ϝοῖσ' ἑτάροισ' ἐδάμη Τρώων ἐνὶ δήμῳ [sqq.
ἠὲ φίλων ἐν χερσὶν, ἐπεὶ πόλεμον 'τολύπευσε. 238-241 = ξ 368 238 = δ 490
τῷ κέν Ϝοι τύμβον μὲν ἐποίησαν Παναχαιοὶ, 238ᵇ cf. ω 95 239 sq. cf. ω 32 sq.
ἠδέ κε καὶ Ϝῷ παιδὶ μέγα κλέος ἤρετ' ὀπίσσω·
νῦν δέ μιν ἀκλεέως ἅρπυιαι ἀνηρέψαντο. 241ᵇ = υ 77
οἴχετ' ἄϜιστος ἄπυστος, ἐμοὶ δ' ὀδύνας τε γόους τε
κάλλιπεν. οὐδ' ἔτι κεῖνον ὀδυρόμενος στεναχίζω
οἶον, ἐπεί νύ μοι ἄλλα θεοὶ κακὰ κήδε' ἔτευξαν. [sqq.
ὅσσοι γὰρ νήσοισιν ἔπι κρατέουσιν ἄριστοι, 245-251 = π 122 245 sq. = τ 130 sq.
Δουλιχίῳ τε Σάμῃ τε καὶ ὑλήεντι Ζακύνθῳ, 245 cf. K 214
ἠδ' ὅσσοι κραναὴν 'Ιθάκην κάτα κοιρανέουσι, 246 cf. ι 24 h. Ap. 429
τόσσοι μητέρ' ἐμὴν μνῶνται, τρύχουσι δὲ Ϝοῖκον. 247 sq. cf. τ 132 sq. 247 cf. ο 510 φ 346
ἣ δ' οὔτ' ἀρνέεται στυγερὸν γάμον οὔτε τελευτὴν 249 cf. ω 126
ποιῆσαι δύναται, τοὶ δὲ φθινύθουσιν ἔδοντες
Ϝοῖκον ἐμόν· τάχα δή με διαρραίσουσι καὶ αὐτόν.“ 251 cf. Ω 355
τὸν δ' ἐπαλαστήσασα προσηύδα Παλλὰς Ἀθήνη·
„ὢ πόποι, ἦ δὴ πολλὸν ἀποιχομένοι' 'Οδυσῆος
δεύε', ὅ κε μνηστῆρσιν ἀναιδέσι χεῖρας ἐφείη. 254 cf. ν 376
εἰ γὰρ νῦν ἐλθὼν δόμου ἐν πρώτῃσι θύρῃσι
σταίη ἔχων πήληκα καὶ ἀσπίδα καὶ δύο δοῦρε,
τοῖος ἐών, οἷόν μιν ἐγὼ τὰ πρῶτ' ἐνόησα
Ϝοίκῳ 'ν ἡμετέρῳ πίνοντά τε τερπόμενόν τε,
ἐξ 'Εφύρης ἀνιόντα παρ' Ἴλου Μερμερίδαο, —

---

236 οὔ κε] οὐδὲ D, οὔτι H[2]; *οὐδὲ … ὥς κ'?

237 ἑτάροισ' ἐδάμη] -σι δ. mss.

238] del. Hennings.

240 ἤρετ' § 284] ἤρατ' mss.

241 ἀκλεέως § 73] ἀκλειῶς mss. || ἅρπυιαι] vid. ad Π 150. || ἀνηρέψαντο Doederlein] ἀνηρείψαντο mss.; vid. ad Υ 234, et cf. ἀναρπάξασαι ἄελλαι θ 409. Restat caesura vitiosa post quartum trochaeum (cf. § 3), item ξ 371 υ 77.

243 στεναχίζω] στοναχίζω M mss. alia.

246 Δουλιχίῳ] cf. § 21. || Σάμῃ] Σάμῳ U[2] Apollodorus (vid. Strab. X p. 453), cf. B 634 δ 671, 845 ο 29. *Cephalleniam* apud poetam modo *Samen* modo *Samum* appellari observavit Ar.; de *Samothrace* cf. N 12. || ὑλήεντι Ζακύνθῳ] cf. § 28 et 53.

249 ἀρνέεται § 191] ἀρνεῖται mss.

250 ἔδοντες] ἕκαστος Y.

252 ἐπαλαστήσασα] comp. † (simplex M 163 O 21). || προσηύδα] -δαε? cf. § 195.

253 ἀποιχομένοι' § 59] -νου mss.

254 δεύε' § 117] δεύῃ vel δεύει mss.; Aristophanem -ῃ scripsisse refert Didymus, ipse -ει praeferens et pro 3ª persona activi perperam habens. || ἐφείη] ἐφείῃ (ἐφήῃ) GHermann coll. Δ 191. De locutione vid. ad A 88.

255 εἰ γὰρ] *utinam*; loco consimili δ 341 legitur αἲ γάρ; in tertio vero versu simillimo λ 498 εἰ γάρ *nam si* significat.

259] *Ephyram*, quae h. l. et β 328 commemoratur, in *Thesprotia* sitam esse (cf. B 659 O 531 N 301) intellexit Ar.; de *Co-*

ᾤχετο γὰρ καὶ κεῖσε θοῆς ἐπὶ νηὸς Ὀδυσσεὺς
φάρμακον ἀνδροφόνον διζήμενος, ὄφρα Ϝοι εἴη
ἰοὺς χρίεσθαι χαλκήρεας· ἀλλ' ὃ μὲν οὔ Ϝοι
'δῶκεν, ἐπεί ῥα θεοὺς 'νεμεσίζετο αἰὲν ἐόντας,
ἀλλὰ πατήρ Ϝοι ἔδωκεν ἐμός· 'φιλέεσκε γὰρ αἰνῶς, —
τοῖος ἐὼν μνηστῆρσιν ὁμιλήσειεν Ὀδυσσεύς· 265 sq. = δ 345
πάντες κ' ὠκύμοροί τε γενοίατο πικρόγαμοί τε. sq. ρ 136 sq.
ἀλλ' ἦ τοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται, 267 = Ρ 514
ἤ κεν νοστήσας ἀποτίσεται ἠὲ καὶ οὐκὶ,
Ϝοῖσιν ἐνὶ μεγάροισι· σὲ δὲ φράζεσθαι ἄνωγα, 269ᵇ = π 312 cf.
ὅππως κε μνηστῆρας ἀπώσεαι ἐκ μεγάροιο. ρ 279 υ 43
εἶ' ἄγε νῦν ξυνίει καὶ ἐμῶν ἐμπάζεο μύθων.
αὔριον εἰς ἀγορὴν καλέσας ἥρωας Ἀχαιοὺς 272 cf. Τ 34
μῦθον πέφραδε πᾶσι, θεοὶ δ' ἐπὶ μάρτυροι ἔστων·
μνηστῆρας μὲν ἐπὶ σφέτερα σκίδνασθαι ἄνωχθι,
μήτηρ δ', εἴ Ϝοι θυμὸς ἐφορμάεται γαμέεσθαι,
ἂψ ἴτω εἰς μέγαρον πατρὸς μέγα δυναμένοιο·
οἳ δὲ γάμον τεύξουσι καὶ ἀρτυνέουσιν ἔϜεδνα. 277 = β 196

---

rintho (cf. *Z* 152, 210) aut *Elidis* urbe (cf. *Λ* 738 sqq.) cogitarunt alii, cf. Strab. VIII p. 338. ‖ *Ἴλου*] notetur Ϝ neglectum.

260 *καὶ κεῖσε* Ar.] *κἀκεῖσε* mss. pleraque; cf. § 9 et 97.

261] *veneni* nonnisi h. l. et β 329 mentio fit in Homericis. ‖ *ὄφρα Ϝοι εἴη*] *ὄφρα δαείη* Zen., cui lectioni obstare *dandi* quod sequitur verbum vere observavit Ar.; l. a. in schol. *ἥν που ἐφεύροι.*

264 *ἔδωκεν*] *δῶκεν* mss.

266 *κ'*] *ἂν* schol. M; cf. § 326. ‖ *πικρόγαμοι*] adi. nonnisi locis par. redit; vid. Aesch. Prom. 764 et ad ρ 448.

267 *θεῶν — κεῖται*] vid. ad *P* 514.

269-278] del. Duentzer.

271 *εἶ'* § 328] *εἰ δ'* mss. ‖ *νῦν*] *δὴ* G P.

273 *ἐπὶ μάρτυροι*] *ἐπιμάρτυρες* P mss. alia; cf. *B* 302 *Γ* 280 *Ξ* 274 et § 63, et de comp. *ἐπιμ.* vid. ad γ 422.

275-278] his versibus resectis integram et genuinam restare Minervae orationem censebat GHermann. Tres easque dissimillimas recensiones (vs. 271-278, 279-292, 293-302) conglutinatas esse arbitratur Friedlaender. Vid. ad vs. 292.

275 *μήτηρ* Didym.] *μητέρα* mss., cuius anacoluthi (conferunt *B* 681, vid. etiam ad *B* 353) iusta causa indicari nequit. Vetustam litteraturam peperisse vitium (*ΜΕΤΕΡΔΕ — ΜΕΤΕΡΑΔΕ*) prudenter statuit Didymus (Aristarchus?); servari posse *μητέρα*, si vs. 276 *ἴμεν'* legatur, observavit Bentley. ‖ *ἐφορμάεται* § 191] *ἐφορμᾶται* mss., *ἐποτρύνει* schol. Aristoph. Nub. 1115.

276] vert. *redeat in potestatem patris Icarii* (de quo vid. ad α 329).

277 *οἵ*] *procos* intellegit schol. β 196 ex Aristarchi sententia. Kirchhoff *parentes nuptae* h. l. et β 196 significari ratus versum 278 servat, de *procis* autem *γάμον τεύχειν* apte dici posse negat; sed iniuria hoc negasse videtur, cf. τ 137, et multo gravius incommodum habet haec interpretandi ratio, sic enim *ἔϜεδνα* vocabulum contra constantem Homeri usum de *dote* est accipiendum non solum recenti hoc loco sed etiam in versu β 196, qui est antiquissimus.

σοὶ δ' αὐτῷ πυκινῶς ὑποθήσομαι, αἴ κε πίθηαι· 279 cf. Φ 293
νῆ' ἄρσας ἐρέτῃσιν ἐϜείκοσιν, ἥ τις ἀρίστη, [sq.
ἔρχεο πευσόμενος πατρὸς δϜὴν οἰχομένοιο, 281 sq. cf. β 215 / 281 cf. β 264 ο 270
αἴ κέν τις Ϝείπῃσι βροτῶν ἢ Ϝόσσαν ἀκούσῃς
ἐκ Διὸς, ἥ τε μάλιστα φέρει κλέος ἀνθρώποισι. 283 = β 217
πρῶτα μὲν εἰς Πύλον ἐλθὲ καὶ εἴρεο Νέστορα δῖον, 284ᵇ cf. Ω 390
κεῖθεν δὲ Σπάρτηνδε παρὰ ξανθὸν Μενέλαον·
ὃς γὰρ δεύτατος ἦλθεν Ἀχαιῶν χαλκοχιτώνων.
εἰ μέν κεν πατρὸς βίοτον καὶ νόστον ἀκούσῃς, 287-289 cf. β 218
ἦ κε τρυχόμενός περ ἔτι τλαίης ἐνιαυτόν· sqq.
εἰ δέ κε τεθνηῶτος ἀκούσῃς μηδ' ἔτ' ἐόντος,
νοστήσας δὴ ἔπειτα φίλην εἰς πατρίδα γαῖαν 290 = β 221
σῆμά τέ Ϝοι χεῦαι καὶ ἐπὶ κτέρεα κτερεΐξαι. 291 cf. β 222 / 291ᵇ cf. Ω 38
αὐτὰρ ἐπεὶ δὴ ταῦτα τελευτήσῃς τε καὶ ἔρξῃς, 293ᵇ cf. λ 80
φράζεσθαι δὴ ἔπειτα κατὰ φρένα καὶ κατὰ θυμὸν, 294 cf. Ο 163
ὅππως κε μνηστῆρας ἐνὶ μεγάροισι τεοῖσι 295sq. cf. λ 119 sq.
κτείνῃς ἠὲ δόλῳ ἢ' ἀμφαδόν. οὐδ' ἔτι σε χρὴ

---

278 πολλὰ μάλ', ὅσσα ϜέϜοικε φίλης ἐπὶ παιδὸς ἕπεσθαι. 278 = β 197 / 278ᵃ = 292 β 223 cf. Τ 265

292 πολλὰ μάλ', ὅσσα ϜέϜοικε, καὶ ἀνέρι μητέρα δοῦναι. 292 cf. β 223 / 292ᵃ = 278

278 Rhianus om. (teste scholio, quod librariorum errore versui 279 adscriptum est; corr. Bekker)

278] a Rhiano iure spretum esse ostendit Cobet. Cf. X 51. Si genuinus esset, deberet significare: *multa, qualia pro filia* (*patri*) *offerri decet*, id vero e verbis elici nequit et *ἐπί* illo sensu inauditum (conferunt *I* 602, ubi vid.). ‖ *ἕπεσθαι*] *ἔσεσθαι* H[1] N; ferri fortasse posset versus, si **φίλῃ ἐπὶ παιδὶ δέχεσθαι* legeretur: *quantum patrem pro filia dilecta accipere par est.*

282] imitatur Soph. Oed. R. 42 sq. ‖ **αἴ κέν τις*] *ἥν τίς τοι* mss.; cf. § 326.

283 *κλέος*] *rumorem*, cf. *B* 486 β 217 γ 83 ν 415 π 461 etc.

285 *δὲ Σπάρτηνδε*] *δὲ* (vel *δ' ἐς*) *Σπάρτην τε* mss. multa (cf. vs. 93). ‖ *Σπάρτηνδε παρὰ ξανθὸν Μενέλαον*] *Κρήτηνδε παρ' Ἰδομενῆα ἄνακτα* Zen. teste schol. γ 313; vid. ad vs. 93 sq.

286] del. PKnight.

288 *κε* § 326] *τ' ἂν* mss.

289 *τεθνηῶτος* G (Ar.)] *-ειῶτος* mss. pleraque.

290 *δὴ ἔπειτα*] vid. ad *O* 163.

291 *χεῦαι* Ar. P[2] Eust. Hesych.] *χεῦσαι* mss. pleraque. ‖ *κτερεΐξαι*] sic Ar.; l. a. *κτερέϊξον.*

292] del. GHermann. Non *Telemachi* sed *Icarii* fuisse novo marito dare (vendere) Penelopen coll. β 53, 114 aliis locis ostendit Naber; neque ipsius diasceuastae hunc esse errorem vs. 293 sqq. evincere videntur, nam post *nuptias matris* proci nulli futuri erant neque insidias iis struere attinebat. Non hunc versum reicit Friedlaender, sed arbitratur ex alia recensione adiectos esse versus 293-302; vid. ad vs. 275 sqq.

293 *ἐπεὶ* § 326] *ἐπὴν* mss.; cf. *Λ* 478 et l. a. *Π* 453. ‖ *ταῦτα*] *πάντα* Porphyr. ad X 468. ‖ *ἔρξῃς*] neglecto Ϝ.

294 *δὴ ἔπειτα*] vid. ad *O* 163.

295 *κε*] *καὶ* T, *δὴ* M mss. alia.

νηπιίας ὀχέειν, ἐπεὶ οὐκέτι τηλίκος ἐσσί. 297b cf. τ 88
οὐκ ἀίεις οἷον κλέος ἔλλαβε δῖος Ὀρέστης
πάντας ἐπ' ἀνθρώπους, ἐπεὶ ἔκτανε πατροφονῆα 299b sq. = γ 307 [sq.
Αἴγισθον δολόμητιν, ὅ Ϝοι πατέρα κλυτὸν ἔκτα; 300-302 = γ 198 sqq.
καὶ σύ, φίλος, — μάλα γάρ σ' ὁράω καλόν τε μέγαν τε, —
ἄλκιμος ἔσσ', ἵνα τίς σε καὶ ὀψιγόνων εὖ Ϝείπῃ.
αὐτὰρ ἐγὼν ἐπὶ νῆα θοὴν κατελεύσομαι ἤδη
ἠδ' ἑτάρους, οἵ πού με μάλ' ἀσχαλάουσι μένοντες·
σοὶ δ' αὐτῷ μελέτω, καὶ ἐμῶν ἐμπάζεο μύθων." 305a = ο 231
τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
„ξεῖν', ἦ τοι μὲν ταῦτα φίλα φρονέων ἀγορεύεις
ὥς τε πατὴρ Ϝῷ παιδί, καὶ οὔ ποτε λήσομαι αὐτῶν.
ἀλλ' ἄγε νῦν ἐπίμεινον ἐπειγόμενός περ ὁδοῖο, 309 cf. Τ 142
ὄφρα λοεσσάμενός τε τεταρπόμενός τε φίλον κῆρ 309b = γ 284 cf. ο 49
δῶρον ἔχων ἐπὶ νῆα κίῃς, χαίρων ἐνὶ θυμῷ,
τιμῆεν, μάλα καλόν, ὅ τοι κειμήλιον ἔσται
ἐξ ἐμέ', οἷα φίλοι ξεῖνοι ξείνοισι διδοῦσι." 312b cf. Ψ 618
τὸν δ' ἠμείβετ' ἔπειτα θεὰ γλαυκῶπις Ἀθήνη·
„μή μ' ἔτι νῦν κατέρυκε λιλαιόμενόν περ ὁδοῖο.
δῶρον δ' ὅττι κέ μοι δόμεναι φίλον ἦτορ ἀνώγῃ,
αὖτις ἀνερχομένῳ δόμεναι Ϝοῖκόνδε φέρεσθαι,
καὶ μάλα καλὸν ἑλών· σοὶ δ' ἄξιον ἔσσετ' ἀμοιβῆς."
ἡ μὲν ἄρ' ὣς Ϝειποῦσ' ἀπέβη γλαυκῶπις Ἀθήνη· 319 = Ε 133
ὄρνις δ' ὣς ἀνόπαια διέπτατο. τῷ δ' ἐνὶ θυμῷ

'θῆκε μένος καὶ θάρσος, ὑπέμνησέν τέ Ϝε πατρὸς
μᾶλλον ἔτ' ἢ τὸ πάροιθεν· ὃ δὲ φρεσὶ Ϝῇσι νοήσας
'θάμβησεν κατὰ θυμόν· ὀίσσατο γὰρ θεὸν εἶναι.
αὐτίκα δὲ μνηστῆρας ἐπῴχετο Ϝισόθεος φώς.

τοῖσι δ' ἀοιδὸς ἄειδε περικλυτός, οἳ δὲ σιωπῇ
ἥατ' ἀκούοντες. ὃ δ' Ἀχαιῶν νόστον ἄειδε
λυγρόν, ὃν ἐκ Τροίης ἐπετείλατο Παλλὰς Ἀθήνη.
τοῦ δ' ὑπερωιόθεν φρεσὶ σύνθετο θέσπιν ἀοιδὴν
κούρη Ϝικαρίοιο περίφρων Πηνελόπεια· 329 = λ 446 τ 375 υ 388 cf. π 435 ρ 562
κλίμακα δ' ὑψηλὴν κατεβήσετο Ϝοῖο δόμοιο, 330 cf. φ 5
οὐκ οἴη· ἅμα τῇ γε καὶ ἀμφίπολοι δύ' ἕποντο. 331-335 = σ 207; 331 = Γ 143 [sqq.
ἡ δ' ὅτε δὴ μνηστῆρας ἀφίκετο δῖα γυναικῶν, 332-334 = φ 63; 332 cf. π 414 [sqq.
'στῆ ῥα παρὰ σταθμὸν τέγεος πύκα ποιητοῖο 333 sq. = π 415 sq.
ἄντα παρειάων σχομένη λιπαρὰ κρήδεμνα· 333b = θ 458
ἀμφίπολος δ' ἄρα Ϝοι κεδνὴ Ϝεκάτερθε παρέστη.
δακρύσασα δ' ἔπειτα προσηύδα δῖον ἀοιδόν·
„Φήμιε, πολλὰ γὰρ ἄλλα βροτῶν θελκτήρια Ϝοῖσθα,
Ϝέργ' ἀνδρῶν τε θεῶν τε, τά τε κλείουσιν ἀοιδοί·
τῶν ἕν γέ σφιν ἄειδε παρήμενος, οἳ δὲ σιωπῇ
Ϝοῖνον πινόντων. ταύτης δ' ἀποπαύε' ἀοιδῆς
λυγρῆς, ἥ τέ μοι αἰὲν ἐνὶ στήθεσσι φίλον κῆρ
τείρει, ἐπεί με μάλιστα καθίκετο πένθος ἄλαστον·

---

297 *νηπιίας] νηπιάας mss.; cf. § 191 et Ι 491 etc.
298 οὐκ T] ἦ οὐκ mss. cett.; cf. § 8.
299 πατροφονῆα] vid. ad Ω 506.
300] del. PKnight. || ὅ Ar.] ὅς mss.
301 ὁράω § 191] ὁρόω mss.
302 ἔσσ'(ο)] cf. § 302.
304 ἀσχαλάουσι § 191] -λόωσι mss.
305 αὐτῷ] αὐτῶν q et l. a. in U.
308 αὐτῶν] novicium, vid. § 98; *αὐτός? cf. vs. 305.
313 ἐμέ' § 92] ἐμεῦ mss. || φίλοι] φίλοις Duentzer non recte, vid. § 60.
314 ἠμείβετ' ἔπειτα] αὖτε προσέειπε G b (cf. vs. 178).
316 κέ] σέ vel τέ Nitzsch coll. β 114. || μοι] τοι F1 Z k. || δόμεναι § 125] δοῦναι mss.
318] vert.: *tunc vel pulcrum admodum donum selige quod mihi offeras; equidem parem gratiam tibi referam.* || ἄξιον ... ἀμοιβῆς] Nauck ἄξιος (vel ἄρκιος) ... ἀμοιβή coll. σ 358. || ἔσσετ'] ἔσται (ἔστω G) mss. meliora. Cf. Δ 235, 271 ω 201.
320 ἀνόπαια] sic Ar., qui pro *nomine avis* (aliunde ignotae) perperam habebat coll. γ 372; alii legebant πανόπαια, *hirundinem* interpretati coll. χ 239 sq. (vid. Et. Magn. 111,22); alii ἀνοπαῖα interpretabantur ἀοράτως (sic Herodianus). IHVoss ἀν' ὀπαῖα (ἀν' ὄπαια F1), idque *per tecti foramina* vertit, Cratetem secutus: ἀνὰ ὀπήν, ἣ καὶ καπνοδόχος (immo καπνοδόκη aut κάπνη) καλεῖται (schol.). — Vox †; collato nomine semitae, per montes prope Thermopylas ducentis, *Anopaeae* (Herod. VII 216) et verbis Empedoclis de *igne* καρπαλίμως δ' ἀνόπαιον, i. e. ἄνω φερόμενον (Eust. 1419,32, cf. Aristot. de Gener. et corrupt. II 6 § 9 de Anima II 4 § 7), servanda videtur lectio Aristarchi, sed vertenda *sursum* (acc. plur. neutr. sensu adverbii); sic LaRoche, cf. IMueller Privatalterthümer p. 355, 1. Utrum autem per *ianuam* an per *tectum* dea foras evolaverit (διέπτατο) in medio relictum esto; nobis hoc videtur veri similius. || διέπτατο] cf. § 216.
321 'θῆκε] ἧκε Cobet; sed vid. Α 55 Ι 629, 637 Ν 121 Π 83 etc. (Ebeling Lex. Hom. II p. 331a).
323 ὀίσσατο G P] ὀίσατο F; cf. ι 213, 339 κ 232, 258 ο 443 τ 390 et § 295.
324 Ϝισόθεος] adi. nonnisi in hac formula occurrit: in Odyssea h. l. et υ 124, in Iliade pluribus locis: Β 565 Γ 310 etc.
326 ἥατ' § 220] εἵατ' mss.
329 Ϝικαρίοιο] *Icarius* apud posteros Tyndarei habebatur frater; sed vere observavit Ar. in Odyssea intellegi Ithacensem in hac insula habitantem, non Spartae; vid. schol. β 52 δ 1 ο 16 alibi.
330 κατεβήσετο] -σατο mss. pleraque; cf. § 152.
336 προσηύδα] -δαε? cf. § 195. || δῖον P H N] θεῖον G F M.
337 Ϝοῖσθα vid. Α 85] οἶδας Ar. mss., ᾔδεις Zen. non improbante Aristarcho, quod θελκτήρι' ἐϜείδης scribendum foret, sed ne haec quidem forma alibi in Homericis reperitur nisi Χ 280, ubi vid.
340 ἀποπαύε'] sic (ἀπόπαυε G F) recte h. l. traditum, cf. § 117.
341 αἰὲν Bekker] αἰεὶ mss.; cf. μ 64 ν 255 φ 146.

τοίην γὰρ κεφαλὴν ποθέω μεμνημένη αἰεὶ 343ᵃ = λ 549
ἀνδρός, τοῦ κλέος εὐρὺ καθ' Ἑλλάδα καὶ μέσον Ἄργος.“ 344 cf. δ 726, 816
τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα· 344ᵇ cf. ο 80
„μῆτερ ἐμή, τί τ' ἄρα φθονέεις ἐρίηρον ἀοιδὸν
τερπέμεν', ὅππῃ ϝοι νόος ὄρνυται; οὔ νύ τ' ἀοιδοὶ
αἴτιοι, ἀλλά ποθι Ζεὺς αἴτιος, ὅς τε δίδωσι
ἀνδράσιν ἀλφεστῇσιν, ὅπως ἐθέλῃσι, ϝεκάστῳ. 349ᵇ = ζ 189
τούτῳ δ' οὐ νέμεσις Δαναῶν κακὸν οἶτον ἀείδειν·
τὴν γὰρ ἀοιδὴν μᾶλλον ἐπικλείουσ' ἄνθρωποι,
ἥ τις ἀκουόντεσσι νεωτάτη ἀμφιπέληται.
σοὶ δ' ἐπιτολμαέτω κραδίη καὶ θυμὸς ἀκούειν·
οὐ γὰρ Ὀδυσσεὺς οἶος ἀπώλεσε νόστιμον ἦμαρ 354ᵇ cf. ϱ 253
ἐν Τροίῃ, πολλοὶ δὲ καὶ ἄλλοι φῶτες ὄλοντο.“

356 ἀλλ' εἰς ϝοῖκον ἰοῦσα τέ' αὐτῆς ϝέργα κόμιζε, 356 sq. = Z 490 sq. φ 350 sq.
ἱστόν τ' ἠλακάτην τε, καὶ ἀμφιπόλοισι κέλευε
ϝέργον ἐποίχεσθαι. μῦθος δ' ἄνδρεσσι μελήσει 358 cf. Z 492 φ 352
πᾶσι, μάλιστα δ' ἐμοί· τοῦ γὰρ κράτος ἔστ' ἐνὶ ϝοίκῳ. 358ᵇ sq. cf. λ 352 sq.
344 Ar. — ‖ 356-359 Ar. — 359 = φ 353
359ᵃ = Z 493

343 *μεμνημένη*] absolute positum, ut *E* 263 *T* 153 *δ* 106, 151 etc.
344 *ἀνδρὸς*] iungendum cum *κεφαλήν*. ‖ *Ἑλλάδα*] *Graeciam* (vid. ad *B* 530); at Homero *Hellas* est pars Thessaliae (cf. *I* 395, 478); quapropter versum h. l. et *δ* 726, 816 damnavit Ar., vid. Aristonicus ad *I* 395. Sed diasceuastae hoc peccatum iure imputasse videtur Kirchhoff (vid. ad *α* 88 sqq.); redit *δ* 726, 816 *ο* 80.
346 *ἄρα*] *ἄρ' αὖ* (*ἂν*) mss. multa. ‖ *φθονέεις*] l. a. *φρονέεις*.
347 *τερπέμεν'* § 125] *τέρπειν* mss. ‖ *νύ τ'*] *δή* Eust.; de dativo *τ'*(*οι*) eliso cf. vs. 60 et § 13. *Δ* 153 *Γ* 164 *θ* 311 sic adhibitum est *μοι*.
349 *ἀλφεστῇσιν* Wackernagel] *ἀλφηστῇσιν* mss. Vocabulum, quod ex *ἄλφι* (h. Cer. 208) et *ἔδω* compositum esse vidit KFHermann, recurrit *ζ* 8 *ν* 261 h. Ap. 458. Idem significat *σῖτον ἔδοντες* *θ* 222 (*Z* 142 *Φ* 465), formatum autem est eadem ratione atque *ὠμηστής* (*Δ* 454 etc.); ad *ἀλφεῖν* perperam rettulere veteres. Ab hominum cultu, qui terrae frugibus vescuntur, discrepat hinc Cyclopum barbaries (*ι* 108, 191), illinc deorum vita beata (*E* 341).
350 *τούτῳ*] *τοῦτον* Naber coll. *Γ* 156. ‖ *οὐ νέμεσις*] cf. *Γ* 156.
351 *ἐπικλείουσ'*] comp. † (simplex vero legitur *α* 338 etc.); *ἐπιφρονέουσ* Plat. Rep. IV 424*b*.
352 *ἀκουόντεσσι*] *ἀιόντεσσι* duo codices Longini prol. ad Hephaest. initio, fortasse recte; *ἀειδόντεσσι* Plat. l. l. (quod ex *ἀειόντεσσι*, i. e. *ἀϊόντεσσι*, corruptum esse videtur). Vid. ad vs. 353, Schulze Qu. Ep. p. 357. ‖ *ἀμφιπέληται*] comp. †.
353 *ἐπιτολμαέτω* § 191] *-μάτω* mss. ‖ *ἀκούειν*] *ἀίειν* Y, vid. ad vs. 352 et v. l. *β* 42 Hes. Op. 213.
355] post *Τροίῃ* sententiam incidi vetabat Nicanor, non enim in Troade occubuisse Ulixem; hinc Kayser coniecit *ἐν Τροίῃ· πολλοί τε*.
356-359] e libro *Z* parum apte huc translatos esse sensit Ar.; in melioribus (sui temporis?) libris non inventos esse refert Didymus. Ipsi diasceuastae (vid. ad *α* 88 sqq.) tribuit Kirchhoff; nobis postmodo inserti esse videntur.
356 *ἀλλ' εἰς ϝοῖκον ἰοῦσα*] l. a. *ἀλλὰ σύ γ' εἰσελθοῦσα*, vid. ad vs. 360. ‖ *τέ' αὐτῆς* PKnight] *τὰ σαυτῆς* mss.; cf. *Δ* 185.

ἡ μὲν θαμβήσασα πάλιν θάλαμόνδ' ἐβεβήκει, 360 cf. φ 354
παιδὸς γὰρ μῦθον πεπνυμένον ἔνθετο θυμῷ· 361-364 = φ 355 sqq.
εἰς δ' ὑπερῷ' ἀναβᾶσα σὺν ἀμφιπόλοισι γυναιξὶ 362-364 = τ 602 sqq.
'κλαῖεν ἔπειτ' Ὀδυσῆα φίλον πόσιν, ὄφρα ϝοι ὕπνον 363 sq. = π 450 sq.
ϝηδὺν ἐπὶ βλεφάροισι 'βάλε γλαυκῶπις Ἀθήνη.
μνηστῆρες δ' ὁμάδησαν ἀνὰ μέγαρα σκιόεντα· 365 = δ 768 σ 399 cf. ϱ 360
πάντες δ' ἠρήσαντο παραὶ λεχέεσσι κλιθῆναι. 366 = σ 213
τοῖσι δὲ Τηλέμαχος πεπνυμένος ἤρχετο μύθων· 367 = ο 502
„μητρὸς ἐμῆς μνηστῆρες ὑπέρβιον ὕβριν ἔχοντες, 368 = δ 321 cf. π 410
νῦν μὲν δαινύμενοι τερπώμεθα, μηδὲ βοητὺς
ἔστω, ἐπεὶ τό γε καλὸν ἀκουέμεν' ἐστὶν ἀοιδοῦ 370 cf. ι 3
τοιοῦδ', οἷος ὅδ' ἐστί, θεοῖσ' ἐναλίγκιος αὐδήν. 371 = ι 4
ἠῶθεν δ' ἀγορήνδε καθεζώμεσθα κιόντες 372ᵇ = Y 136
373 πάντες, ἵν' ὕμιν μῦθον ἀπηλεγέως ἀποϝείπω.“ 373ᵇ cf. I 309
381 ὣς ἔφαθ'· οἳ δ' ἄρα πάντες ὀδὰξ ἐν χείλεσι φύντες 381 sq. = σ 410 sq. υ 268 sq.
Τηλέμαχον 'θαύμαζον, ὃ θαρσαλέως ἀγόρευε.
τὸν δ' αὖτ' Ἀντίνοος προσέφη, Εὐπείθεος υἱός·
„Τηλέμαχ', ἦ μάλα δή σε διδάσκουσιν θεοὶ αὐτοὶ
ὑψαγόρην τ' ἔμεναι καὶ θαρσαλέως ἀγορεύειν.

374 ἐξίμεναι μεγάρων· ἄλλας δ' ἀλεγύνετε δαῖτας, 374 cf. β 139
ὑμὰ κτήματ' ἔδοντες, ἀμειβόμενοι κατὰ ϝοίκους. 375-380 = β 140 sqq.
εἰ δ' ὔμιν δοκέει τόδε λωίτερον καὶ ἄμεινον
ἔμμεναι, ἀνδρὸς ἑνὸς βίοτον νήποινον ὀλέσσαι,
κείρετ'· ἐγὼ δὲ θεοὺς ἐπιβώσομαι αἰὲν ἐόντας,
αἴ κέ ποθι Ζεὺς δῷσι πάλιν τιτὰ ϝέργα γενέσθαι·
νήποινοί κεν ἔπειτα δόμων ἔντοσθεν ὄλοισθε.

360 *θαμβήσασα*] *subitam filii prudentiam mirata*; sic recte schol. (Ar.?). ‖ *θάλαμόνδ'*(*ε*) l. a. in schol.] *οἰκόνδε* mss., sed *domum* intrare Penelope iuberi nunc nequit; redit vitium *Z* 288 (l. a.) *φ* 350, 354 et *ψ* 292, ubi vid.
365-420] del. Niese, unum vs. 366 PKnight.
367 *ἤρχετο μύθων*] *ἀντίον ηὔδα* F (cf. vs. 388).
369 *βοητύς*] † (*βοή* et *βοάω* passim).
370 *τό γε* Ar. G P M] *τόδε γε* H, *τόδε* F.
371 *ἐναλίγκιος*] *-ίου* Bentley.
373 *ὔμιν* § 92] *ὔ*(*μ*)*μιν* *ὔμμιν* *ὑμῖν* mss. ‖ *ἀπηλεγέως*] vid. ad *I* 309.
374-380] versus, ex libro *β* invectos, del. GHermann; non diasceuastae sed posterioris aetatis interpolatori tribuendos censemus.
374 *ἐξίμεναι* P] *ἐξιέναι* mss. pleraque; cf. § 125.
376 *ὔμιν* schol. *Δ* 147] *ὔ*(*μ*)*μιν* *ὔμμιν* *ὑμῖν* mss.
377 *ὀλέσσαι* U] *ὀλέσθαι* mss. pleraque, quod ferri potest (vid. ad *N* 349), minus tamen aptum est sententiae. Cf. *β* 142 et *Ω* 242.
378 *ἐπιβώσομαι*] de syllaba *-βω-* vid. § 192.
379 *αἴ*] l. a. *εἴ*, cf. *β* 144. ‖ *ποθι*] *ποτε* G F mss. alia. ‖ *δῷσι*] novicium pro *δώῃσι* vel *δώῃ*. Apud Ernestium ad *β* 144 proponitur *αἴ κε Ζεὺς δώῃσι*. Cf. *Δ* 129 et § 122.
380 *νήποινοι*] vHerwerden *νηποινεὶ* h. l. et *β* 145.
381 sq.] om. F[1].
381 *ὀδὰξ ἐν χείλεσι φύντες*] cf. *Ω* 213.

μή σέ γ' ἐν ἀμφιάλῳ Ἰθάκῃ βασιλῆα Κρονίων
ποιήσειεν, ὅ τοι γενεῇ πατρώϊόν ἐστι."
τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
„Ἀντίνο', εἴ πέρ μοι καὶ ἀγάσσεαι ὅττι κε Ϝείπω, 389 cf. Ε 421 α 158
καί κεν τοῦτ' ἐθέλοιμι Διός γε διδόντος ἀρέσθαι.
ἦ φῂς τοῦτο κάκιστον ἐν ἀνθρώποισι τετύχθαι;
οὐ μὲν γάρ τι κακὸν βασιλευέμεν'· αἶψά τέ Ϝοι δῶ
ἀφνειὸν πέλεται καὶ τιμηέστερος αὐτός.
ἀλλ' ἦ τοι βασιλῆες Ἀχαιῶν εἰσι καὶ ἄλλοι
πολλοὶ ἐν ἀμφιάλῳ Ἰθάκῃ, νέοι ἠδὲ παλαιοί, 395 cf. β 293
τῶν κέν τις τόδ' ἔχῃσιν, ἐπεὶ 'θάνε δῖος Ὀδυσσεύς· 396^{b} = β 96
αὐτὰρ ἐγὼ Ϝοίκοιο Ϝάναξ ἔσομ' ἡμετέροιο
καὶ δμώων, οὕς μοι 'ληίσσατο δῖος Ὀδυσσεύς." 398 cf. Σ 28
τὸν δ' αὖτ' Εὐρύμαχος Πολύβου πάις ἀντίον ηὔδα·
„Τηλέμαχ', ἦ τοι ταῦτα θεῶν ἐν γούνασι κεῖται, 400 cf. Ρ 514
ὅς τις ἐν ἀμφιάλῳ Ἰθάκῃ βασιλεύσει Ἀχαιῶν·
κτήματα δ' αὐτὸς ἔχοις καὶ δώμασι σοῖσι Ϝανάσσοις.
μὴ γὰρ ὅ γ' ἔλθοι ἀνήρ, ὅς τίς σ' ἀϜέκοντα βίηφι
κτήματ' ἀπορραίσει', Ἰθάκης ἔτι ναιεταούσης.
ἀλλ' ἐθέλω σε, φέριστε, περὶ ξείνοι' ἐρέεσθαι,
ὁππόθεν οὗτος ἀνήρ, ποίης δ' ἐξ εὔχεται εἶναι 406^{b} sq. cf. υ 192 sq.
γαίης, ποῦ δέ νύ Ϝοι γενεὴ καὶ πατρὶς ἄρουρα.
ἠέ τιν ἀγγελίην πατρὸς φέρει ἐρχομένοιο; 408 cf. Π 13 β 30
ἦ ἑϜὸν αὐτοῦ χρῆος ἐϜελδόμενος τόδ' ἱκάνει; 409^{a} cf. β 45
οἷον ἀναΐξας ἄφαρ οἴχεται οὐδ' ὑπέμεινε

386 *βασιλῆα*] *regem summum*. Opponuntur *Ithacensium primores* vs. 394 *βασιλῆες* vocati; cf. σ 64 ω 179. Item in Scheria ϑ 390 sq. (ζ 54 η 49 ϑ 41); vid. etiam inscr. Elid. 1152 Collitz, Mitylen. $214^{1,9,13}$ Collitz etc., Gilbert Gr. Alt. II^{1} p. 272.

387 *ὅ — ἐστι*] cf. ο 533 sq.

389 *καὶ ἀγάσσεαι*] *καὶ* om. P mss. alia; *νεμεσήσεαι* l. a. apud Didymum, Eust. *εἰ καί μοι νεμεσήσεαι*, Wolf *ἦ καί μοι νεμεσήσεαι* (ut vs. 158).

390 *Διός γε διδόντος*] caesura post quartum trochaeum vitiosa (cf. § 3); ecquid **διδόντος Ζηνός*? cf. υ 42.

392 *βασιλευέμεν'*] *βασιλῆ' ἔμεν'* Naber eleganter, ut *Ϝοι* habeat quo possit referri. || *Ϝοι δῶ*] *δῶμα* Goebel, quoniam *δῶ* ceteris locis accusativus est.

394 *βασιλῆες*] vid. ad vs. 386. || *Ἀχαιῶν*] pendet ab *ἄλλοι*.

400 *θεῶν — κεῖται*] vid. ad Ρ 514.

402 *δώμασι σοῖσι(ν)* M] *-σιν οἷσιν* G F P H male, cf. § 95.

404 *ἀπορραίσει'* Bentley] *-σει* mss.; cf. § 113. || *'Ἰθάκης*] *'Ἰθάκης γ'* H^{2} U W. || *ναιεταούσης* Y] *-αώσης* mss. cetera, cf. § 191.

405 *ξείνοι' (-νου) ἐρέεσθαι* Bentley] *ξείνοιο ἔρεσθαι (ἐρέσθαι)* mss.; cf. vs. 135.

408 *τιν'*] *τοι* F mss. alia. || *ἐρχομένοιο*] l. a. *οἰχομένοιο* ab Ar. reiecta.

409 *ἑϜὸν — ἐϜελδόμενος*] *sua ipsius negotia expedire cupiens*. || *χρῆος* § 190] *χρεῖος* mss.

γνώμεναι· οὐ μὲν γάρ τι κακῷ εἰς ὦπ' ἐϜεϜοίκει."
τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
„Εὐρύμαχ', ἦ τοι νόστος ἀπώλετο πατρὸς ἐμοῖο·
οὔτ' οὖν ἀγγελίῃ ἔτι πείθομαι, εἴ ποθεν ἔλθῃ,
οὔτε θεοπροπίης ἐμπάζομαι, ἥν τινα μήτηρ 415 cf. Π 50
εἰς μέγαρον καλέσασα θεοπρόπον ἐξερέηται.
ξεῖνος δ' οὗτος ἐμὸς πατρώιος ἐκ Τάφου ἐστί·
Μέντης Ἀγχιάλοιο δαΐφρονος εὔχεται εἶναι 418 sq. cf. 180 sq.
υἱός, ἀτὰρ Ταφίοισι φιληρέτμοισι Ϝανάσσει."
ὣς 'φάτο Τηλέμαχος, φρεσὶ δ' ἀθανάτην θεὸν ἔγνω.
οἳ δ' εἰς ὀρχηστύν τε καὶ ἱμερόεσσαν ἀοιδὴν 421-423 = σ 304 sqq.
τρεψάμενοι 'τέρποντο, 'μένον δ' ἐπὶ Ϝέσπερον ἐλθεῖν.
τοῖσι δὲ τερπομένοισι μέλας ἐπὶ Ϝέσπερος ἦλθε·
δὴ τότε κακκείοντες ἔβαν Ϝοῖκόνδε Ϝέκαστος. 424 cf. Λ 606
Τηλέμαχος δ', ὅθι Ϝοι θάλαμος περικαλλέος αὐλῆς
ὑψηλὸς 'δέδμητο περισκέπτῳ ἐνὶ χώρῳ, 426 cf. ξ 6; 426^{b} = κ 211, 253
ἔνθ' ἔβη εἰς εὐνὴν πολλὰ φρεσὶ μερμηρίζων.
τῷ δ' ἄρ' ἅμ' αἰθομένας δαΐδας 'φέρε κεδνὰ Ϝιδυῖα 428 cf. 434
Εὐρυκλέει' Ὦπος θυγάτηρ Πεισηνορίδαο, 429 = β 347 υ 148

411 *ὦπ' ἐϜεϜοίκει*] *ὦπα ἐῴκει* mss.

413 *ἐμοῖο*] *ἐμεῖο* N^{1} U^{2} et l. a. (Zen.) in schol.; vid. ad Ξ 118.

414 *ἀγγελίῃ*] *-λίην* G^{1}, *-ης* mss. pleraque. Cf. ξ 374. || *ἔτι πείθομαι*] *ἐπιπείθομαι* F mss. alia (cf. Σ 296), *ἀγγελίης ἔτι πεύθομαι* Bentley coll. β 255. || *εἴ ποθεν*] *ὁππόθεν* U W. || *ἔλθῃ* Platt coll. ζ 286] *ἔλθοι* mss.; *ἔλθοιν* Nauck infelici coniectura; cf. § 113 et Φ 611 υ 383.

415 *ἥν*] *ἥν* F P et l. a. apud Herodianum.

418 *Μέντης*] sic G F P, *Μέντης δ'* mss. pauca.

419] om. F^{1}.

423 *μέλας*] vid. ad Φ 232.

424] l. a. *δὴ τότε κοιμήσαντο καὶ ὕπνου δῶρον ἕλοντο* (cf. Ι 713) a Didymo commemoratur, qui addit versum ab Aristophane sic rescriptum credi, *„ἐν δὲ τῇ Ἀργολικῇ προστέθειται."* Ex ultimis verbis Polak efficit in libro Argolico fuisse *πρὸς οἶκον ἕκαστος*, probabilius Ludwich censet versum suspectum in illo libro adscriptum fuisse (ex Ι 712 sq.); vid. de Aristarchi lectione Π 613.

425 sq.] ex ξ 5 sq. haec desumta esse, ibi autem perspicua esse et aptissima, hic admodum obscura quaeque delineari vix possint, iure statuit Kirchhoff. Nam nisi in *θόλῳ*, qui χ 442-446 commemoratur, putemus fuisse Telemachi cubiculum, id quod credibile non est, parum intellegitur quo sensu iuvenis dicatur *in aula* pernoctasse (conferri tamen possunt Ι 473 et τ 48 sq.); locum autem *qui ab omni parte conspici posset* vel unde *late circumspectaret* nisi in *turri* habere vix potuit. Qualis turris in angulo meridionali regiae, quae *Tirynthe* his annis est effossa, reperta est haud procul ab aula, in descriptione tamen domus Ulixis apud Homerum alias non commemoratur. Redit locutio *περισκέπτῳ ἐνὶ χώρῳ* κ 211, 253 ξ 6, recte autem comparatur *ἐν περιφαινομένῳ* ε 476; parum probabiliter Doederlein *ab omni parte tectum* interpretatus est coll. *σκέπας σκεπάω*.

428 *κεδνὰ Ϝιδυῖα* § 160] *κέδν' (κεδνὰ* G) *εἰδυῖα* mss.

429 *Εὐρυκλέει'* § 73] *-κλει'* mss.

τήν ποτε Λαέρτης 'πρίατο κτεάτεσσιν ἑϜοῖσι
πρωθήβην ἔτ' ἐοῦσαν, ἐϜεικοσίβοια δ' ἔδωκε·
Ϝῖσα δέ μιν κεδνῇ ἀλόχῳ 'τίεν ἐν μεγάροισι,
εὐνῇ δ' οὔ ποτ' ἔμικτο, χόλον δ' ἀλέεινε γυναικός.
ἥ Ϝοι ἅμ' αἰθομένας δαΐδας 'φέρε, καί Ϝε μάλιστα
δμῳάων 'φιλέεσκε καὶ ἔτρεφε τυτθὸν ἐόντα.
ὤιξεν δὲ θύρας θαλάμου πύκα ποιητοῖο,
ἕζετο δ' ἐν λέκτρῳ, μαλακὸν δ' ἔκδυνε χιτῶνα·
καὶ τὸν μὲν γραίης πυκιμηδέος ἔμβαλε χερσί.
ἣ μὲν τὸν πτύξασα καὶ ἀσκήσασα χιτῶνα
πασσάλῳ ἀγκρεμάσασα παρὰ τρητοῖσι λέχεσσι
'βῆ ῥ' ἴμεν' ἐκ θαλάμοιο, θύρην δ' ἐπέρυσσε κορώνῃ
ἀργυρέῃ, ἐπὶ δὲ κληῖδ' ἐτάνυσσεν ἱμάντι.
ἔνθ' ὅ γε παννύχιος, κεκαλυμμένος οἰὸς ἀώτῳ,
'βούλευε φρεσὶ Ϝῇσιν ὁδὸν τὴν 'πέφραδ' Ἀθήνη.

430ᵇ = ξ 115, 452 ο 483
434 cf. 428 [Θ 283
435ᵇ = ψ 325 cf.
436ᵃ = χ 399 cf. ψ 370 ω 501
437 cf. Β 42

431 ἐϜεικοσίβοια] -σάβοια mss.; cf. χ 57. — De re vid. ad Ζ 236.
436 θύρας] nonne *θύρην? vid. vs. 441 et ad ζ 19. Pluralis tamen extat Ι 473 et 475.
438] om. G¹ F¹. ‖ γραίης] γρηὸς P mss. alia. Genitivus †. ‖ πυκιμηδέος] adi. nonnisi h. Cer. 153 redit.
440 ἀγκρεμάσασα] ἐγκρεμ. P² H², ἐκκρεμ. W. Comp. nonnisi h. Ap. 8 redit. ‖ τρητοῖσι] cf. Γ 448.
441 sq.] anus *manubrio* (κορώνῃ) ianuam *attrahit*, ἐπιϜερύει, quod alias ἐπιθεῖναι dicitur; contrarium est ianuam ἀνεῖναι (Φ 537) vel ἀνακλῖναι (Ε 751), *aperire*. Deinde *pessulum* (κληῖδα = μοχλόν, vid. ad Ω 318) loro adductum inserit in postem. Lorum hoc, exsertum per foramen, extra cubiculum pendebat, pessulus autem a parte interiore additus erat ianuae. Cf. δ 802 φ 46, 391.
441 ἐπέρυσσε] neglecto Ϝ; PKnight ἐϜέρυσσε, sed necessaria videtur praepositio. ‖ κορώνῃ] vid. Δ 111.

ΟΔΥΣΣΕΙΑΣ β.

'Ιθακησίων ἀγορά (vs. 1—257). — *Τηλεμάχου ἀποδημία* (vs. 258 sqq.).

ἦμος δ' ἠριγένεια 'φάνη ῥοδοδάκτυλος 'Ηώς,
ὤρνυτ' ἄρ' ἐξ εὐνῆφιν Ὀδυσσῆος φίλος υἱὸς
Ϝείματα Ϝεσσάμενος, περὶ δὲ ξίφος ὀξὺ 'θέτ' ὤμῳ,
ποσσὶ δ' ὑπὸ λιπαροῖσιν ἐδήσατο καλὰ πέδιλα·
'βῆ δ' ἴμεν' ἐκ θαλάμοιο θεῷ ἐναλίγκιος ἄντην.
αἶψα δὲ κηρύκεσσι λιγυφθόγγοισ' ἐκέλευσε
κηρύσσειν ἀγορήνδε κάρη κομάοντας Ἀχαιούς.
οἳ μὲν ἐκήρυσσον, τοὶ δ' ἠγείροντο μάλ' ὦκα.
αὐτὰρ ἐπεί ῥ' ἤγερθεν ὁμηγερέες τ' ἐγένοντο,
'βῆ ῥ' ἴμεν' εἰς ἀγορὴν, παλάμῃ δ' ἔχε χάλκεον ἔγχος,
οὐκ οἶος· ἅμα τῷ γε δύω κύνες ἀργοὶ ἕποντο.
θεσπεσίην δ' ἄρα τῷ γε χάριν κατέχευεν Ἀθήνη·
τὸν δ' ἄρα πάντες λαοὶ ἐπερχόμενον 'θηέοντο.

1 sq.ᵃ = γ 404 sq. δ 306 sq. cf. ϑ 1 sq.
1 = Λ 477
3-5 = δ 308 sqq.
3 sq. = υ 125 sq.
4 = Β 44
5ᵇ cf. τ 267 ω 371
6 cf. Β 50
7 sq. = Β 51 sq.
9 = Ω 790
10ᵃ cf. υ 146
10ᵇ = α 104
11 cf. Γ 143
11ᵃ = Β 745
11ᵇ-13 = ρ 62 sqq.
11ᵇ = υ 145 cf. Σ 578

2 ὤρνυτ'] sic Ar.; alii olim ὄρνυτ'.
3 ξίφος ὀξὺ 'θέτ' ὤμῳ] μέγα βάλλετο φᾶρος (= Β 43) Y, ubi post vs. 4 additur: ἀμφὶ δ' ἄρ' ὤμοισι(ν) βάλετο ξίφος ἀργυρόηλον (= Β 45).
4] om. F¹. ‖ ὑπὸ] ὑπαὶ K mss. alia; vid. § 315.
5 θαλάμοιο] μεγάροιο M K.
6-8] hic non molestos, in Iliade tamen aptius adhibitos esse observavit Ar.
6 λιγυφθόγγοισ' ἐκέλευσε] -γγοισι κέλευσε (vel κέλευε) mss.
7 κάρη κομάοντας] vid. ad α 90. ‖ κομάοντας § 191] -μόοντας H, -μόωντας mss. cett.
10 ἔγχος] *armatus* in concionem procedit, item υ 127, 145, ut ab adversariis se possit defendere; *sceptrum* autem eum non tenere, non enim regem esse, vere observant scholia.
11 τῷ γε] τῷδε M mss. alia. ‖ δύω κύνες] κύνες πόδας (= Σ 578) P H; cf. ρ 62 υ 145. Vergil. Aen. VIII 461 *gemini custodes limine ab alto | procedunt gressumque canes comitantur herilem.*
13 'θηέοντο] θηεῦντο mss.; vid. § 249 et ad Ψ 728.

ἕζετο δ' ἐν πατρὸς θώκῳ, 'Ϝεῖξαν δὲ γέροντες.
τοῖσι δ' ἔπειθ' ἥρως Αἰγύπτιος ἦρχ' ἀγορεύειν,
ὃς δὴ γήραϊ κυφὸς ἔην καὶ μυρί' ἐϜείδει.
καὶ γὰρ τοῦ φίλος υἱὸς ἅμ' ἀντιθέῳ 'Οδυσῆι
Ϝίλιον εἰς ἐύπωλον ἔβη κοίλῃσ' ἐνὶ νηυσί,
Ἄντιφος αἰχμητής· τὸν δ' ἄγριος ἔκτανε Κύκλωψ
ἐν σπέεϊ γλαφυρῷ, πύματον δ' ὡπλίσσατο δόρπον.
τρεῖς δέ Ϝοι ἄλλοι ἔσαν, καὶ ὃ μὲν μνηστῆρσιν ὁμίλει
Εὐρύνομος, δύο δ' αἰὲν ἔχον πατρώια Ϝέργα·
ἀλλ' οὐδ' ὣς τοῦ ἐλήθετ' ὀδυρόμενος καὶ ἀχεύων. 23^{b} = Ι 612
τοῖ' ὅ γε δάκρυ χέων ἀγορήσατο καὶ μετέϜειπε· 24 = ω 425
„κέκλυτε δὴ νῦν μοι, 'Ιθακήσιοι, ὅττι κε Ϝείπω. 24^{b} sq. = 160 sq. 228 sq. ω 453 sq.
οὔτε ποθ' ἡμετέρη ἀγορὴ 'γένετ' οὔτε θόωκος, 25^{a} = ω 443
ἐξ οὗ 'Οδυσσεὺς δῖος ἔβη κοίλῃσ' ἐνὶ νηυσί. 27 cf. σ 181
νῦν δὲ τίς ὧδ' ἤγειρε; τίνα χρηὼ τόσον ἵκει
ἠὲ νέων ἀνδρῶν ἢ' οἳ προγενέστεροί εἰσι;
ἠέ τιν' ἀγγελίην στρατοῦ ἔκλυεν ἐρχομένοιο, 30-32 cf. 42 sqq. 30 cf. Π 13 α 408
ἥν χ' ἧμιν σάφα Ϝείποι, ὅτε πρότερός γε πύθοιτο;
ἠέ τι δήμιον ἄλλο πιφαύσκεται ἠδ' ἀγορεύει;
ἐσθλός μοι δοκεῖ ἔμμεν', ὀνήμενος. εἴθε Ϝοι αὐτῷ

19 sq. Ar. —

15 *Αἰγύπτιος*] mirum in Ithaca nomen †, sed vid. ad ϱ 68; num sanum?

16 *κυφὸς*] adi. †, cf. *κύπτειν* Δ 468 etc. || *ἔην*] *ἔεν* ? cf. § 302. || *μυρί' ἐϜείδει*] *μυρία ᾔδη* mss. (*ᾔδει* Eust.). || Post hunc versum haec fere intercidisse putat Bergk: *δακρυχέων· πένθος γὰρ ἐνὶ φρεσὶν ἦν οἱ ἄλαστον.*

17 *καὶ γὰρ*] ad *ἦρχ' ἀγορεύειν* (vs. 15) spectat: de filio sollicitus primus loquitur Aegyptius.

18 *ἐνὶ*] *ἐπὶ* b, cf. α 211.

20 *σπέεϊ* § 71] *σπῆι* mss. || *πύματον*] ultimum (sextum, cf. ι 344) hunc ex sociis Ulixis devoravit Cyclops. *Mortuum* esse Polyphemum ex vulnere quod Ulixes ei intulerat neque alibi innuitur neque hoc loco. Cf. α 70. || *δόρπον*] *δεῖπνον* G; cf. ι 311, 344 κ 116.

22 *αἰὲν*] sic et *ἄλλοι* Ar.

23 *ἐλήθετ'*] *λήθετ'* mss.

24 *τοῖ'* § 59] *τοῦ* (Ar.?) F P^1 H^1 M, *τοῖς* G P^2 H^2.

25 *μοι* T] *μευ* mss. cett.; vid. § 92 et ad Α 37.

26 *οὔτε ποθ'* Ar. G H] *οὐδέ ποθ'* F P M. De Ar. lectione vid. Ludwich Arist. I p. 519. || *θόωκος*] forma trisyllaba redit μ 318, ceteris locis (Θ 439 β 14 ε 3 ο 468 h. Ap. 345) legitur *θῶκος*. Verbum est *θαάσσειν* (Ι 194 Ο 124 γ 336 h. Merc. 172, 468).

27 *ἐνὶ*] *ἐπὶ* Y; vid. α 211.

28 *τίς ὧδ'*] *δή τίς* G. || *χρηὼ* § 190] *χρειὼ* mss. || *ἵκει*] *ἥκει* P^1; vid. Ε 478 ν 325 et ad ι 20.

29] del. PKnight.

30 *στρατοῦ... ἐρχομένοιο*] *venientis* (i. e. *cum Ulixe redeuntis*) *exercitus*; item vs. 42. Nitzsch interpretatur *appropinquantium hostium.* || *ἔκλυεν*] *ἔκλυον* H.

31 *ὅτε*] l. a. *ὅτι.* || *πύθοιτο*] *μάθοιτο* F.

33 *δοκεῖ*] pro *δοκέει* suspectum, vid. ad Ι 103. || *ἔμμεν'* § 125] *εἶναι* mss. || *ὀνήμενος*] adiectivi loco usurpatur, ut alibi *ὀλόμενος.* || *αὐτῷ*] *αὐτὸς* Nauck.

Ζεὺς ἀγαθὸν τελέσειεν, ὅ τι φρεσὶ Ϝῇσι μενοινᾷ."
ὣς 'φάτ', ἔχαιρε δὲ φήμῃ 'Οδυσσῆος φίλος υἱός·
οὐδ' ἄρ' ἔτι δϜὴν ἧστο, 'μενοίνησεν δ' ἀγορεύειν.
'στῆ δὲ μέσῃ ἀγορῇ· σκῆπτρον δέ Ϝοι ἔμβαλε χειρὶ 37^{b} = σ 103
κῆρυξ Πεισήνωρ, πεπνυμένα μήδεα Ϝειδώς. 38 cf. Η 278
πρῶτον ἔπειτα γέροντα καθαπτόμενος προσέϜειπε· 39 cf. ω 393
„ὦ γέρον, οὐ Ϝεκὰς οὗτος ἀνήρ, — τάχα Ϝείσεαι αὐτός, — 40^{b} cf. Φ 292
ὃς λαὸν ἤγειρα· μάλιστα δέ μ' ἄλγος ἱκάνει.
οὔτε τιν' ἀγγελίην στρατοῦ ἔκλυον ἐρχομένοιο, 42-44 cf. 30 sqq.
ἥν χ' ὗμιν Ϝείποιμι, ὅτε πρότερός γε πυθοίμην,
οὔτε τι δήμιον ἄλλο πιφαύσκομαι οὐδ' ἀγορεύω,
ἀλλ' ἐμὸν αὐτοῦ χρῆος, ὅ μοι κακὰ ἔμπεσε Ϝοίκῳ 45^{a} cf. α 409 45^{b} cf. ο 375
δοιά· τὸ μὲν πατέρ' ἐσθλὸν ἀπώλεσα, ὅς ποτ' ἐν ὗμιν
τοισίνδ' ἐμβασίλευε, πατὴρ δ' ὣς ἤπιος ἦεν· 47^{b} = 234 ε 12 cf. ο 152
νῦν δ' αὖ καὶ πολὺ μεῖζον, ὃ δὴ τάχα Ϝοῖκον ἅπαντα
πάγχυ διαρραίσει, βίοτον δ' ἀπὸ πάμπαν ὀλέσσει.
μητέρ' ἐμῇ μνηστῆρες ἐπέχραον οὐκ ἐθελούσῃ,
τῶν ἀνδρῶν φίλοι υἷες, οἳ ἐνθάδε γ' εἰσὶν ἄριστοι·

52 *οἳ πατρὸς μὲν ἐς οἶκον ἀπερρίγασι νέεσθαι*
Ϝικαρίοι', ὥς κ' αὐτὸς ἐϜεδνώσαιτο θύγατρα,

35 *'φάτ', ἔχαιρε*] *φάτο, χαῖρε* mss.

37 *χειρὶ*] *χερσὶ* G P^2; vid. ad γ 51.

40 *τάχα*] *μάλα* U. || *Ϝείσεαι* Bentley] *δ' εἴσεαι* mss.; redit vitium π 246. Cf. Ξ 110.

41 *ἤγειρα*] *ἤγειρε(ν)* Zen., sic P^2 mss. alia; *ἄγειρα* W U^1, Cobet *ὃς τὸν λαὸν ἄγειρα.* De primae personae in huiusmodi enunciatis usu vid. Ω 521 ι 20 Ar. Ach. 406 Eur. Herc. 4 etc.; item in secunda persona π 195 (et ϱ 217?).

42 *ἔκλυον*] *ἤιον* Zen. (vid. l. a. α 352 sq.).

43] *spurius? || *ὗμιν* § 92] *ὔμμιν* vel *ὑμῖν* mss. || *εἴποιμι* Nauck] *σάφα εἴπω* mss. vitiose. || *ὅτε*] *ὅτι* K, vid. ad vs. 31.

44 *οὐδ'*] *ἠδ'* M K q.

45 *χρῆος* § 190] *χρεῖος* mss. || *κακὰ* Aristoph. (cf. § 103)] *κακὸν* Ar. mss.

46 *δοιά*] adverbii loco (= *διχθά*) accepit Ar. || *ἀπώλεσα*] *-σεν* Ahrens infeliciter.

47 *τοισίνδ' ἐμβασίλευε* Nauck] *τοῖσδεσσι(ν) βασίλευε* mss. Vid. § 97 et ad Κ 462; comp. *ἐμβασιλεύειν* usurpatur praeterea Β 572 ο 413 (ubi vid. v. l.).

50 **μητέρ' ἐμῇ*] *μητέρι μοι.* Cf. Σ 458 δ 771 π 73 et § 13. || *ἐπέχραον*] *ἐπέχρων* Aristoph.; cf. Π 352.

51] Aristophanes addebat: *ἄλλοι θ', οἳ νήσοισιν ἐπικρατέουσιν ἄριστοι, | Δουλιχίῳ τε Σάμῃ τε καὶ ὑλήεντι Ζακύνθῳ* (cf. α 245 sq.); quos versus improbabat Ar., genuinos censet Kirchhoff, vid. etiam Heraclides in schol.

52-54] del. Hartman. Spurios esse ostendit primo vocis *Ϝοῖκος* Ϝ neglectum (frustra Bekker *μὲν Ϝοῖκον*), dein verbum *ἀπέρριγα* (†) violentius quam pro sententia, simplex autem *ἔρριγα* nusquam accusativum cum infinitivo adsciscit; tertio verbum *νέεσθαι* non *redeundi* sed *eundi* sensu adhibitum (vid. ad Φ 48); nam interpolator nihil voluit dicere quam: *qui patris Icarii domum adire nolunt.* Tentaveramus **οἳ πατρός Ϝ' εἰς Ϝοῖκον ἐποτρύνουσι νέεσθαι*, sic tamen non satis apte subiungitur *οἳ δέ* vs. 55.

53 *Ϝικαρίοι'* § 59] *-ίου* mss. — De viro vid. ad α 329. || *ὥς* P^2 M] *ὅς* G F H P^1. || *ἐϜεδνώσαιτο*] †, cf. *ἐϜεδνωταί* Ν 382.

οἳ δ' εἰς ἡμέτερον πωλεύμενοι ἤματα πάντα 55-59 = ρ 534 sqq.
βοῦς ἱερεύοντες καὶ ὄις καὶ πίονας αἶγας
εἰλαπινάζουσιν πίνουσί τε αἴθοπα Ϝοῖνον
μαψιδίως, τὰ δὲ πολλὰ κατάνεται· οὐ γὰρ ἔπ' ἀνὴρ,
οἷος Ὀδυσσεὺς ἦσκεν, ἀρὴν ἀπὸ Ϝοίκου ἀμῦναι. 59ᵇ cf. Ω 489
ἧμες δ' οὔ νύ τι τοῖοι ἀμυνέμεν'· ἦ καὶ ἔπειτα 60ᵇ sq. cf. φ 131
λευγαλέοι τ' ἐσόμεσθα καὶ οὐ δεδαηκότες ἀλκήν.
ἦ κεν ἀμυναίμην, εἴ μοι δύναμίς γε παρείη· 62 cf. X 20
οὐ γὰρ ἔτ' ἀνσχετὰ Ϝέργα τετεύχαται, οὐδ' ἔτι καλὰ
Ϝοῖκος ἐμὸς διόλωλε. νεμεσσήθητε καὶ αὐτοὶ
ἄλλους τ' αἰδέσθητε περικτίονας ἀνθρώπους,
οἳ περιναιετάουσι· θεῶν δ' ὑποδέδϜιτε μῆνιν,
μή τι μεταστρέψωσιν ἀγασσάμενοι κακὰ Ϝέργα.
λίσσομαι ἠμὲν Ζηνὸς Ὀλυμπίου ἠδὲ Θέμιστος,
ἥ τ' ἀνδρῶν ἀγορὰς ἠμὲν λύει ἠδὲ καθίζει· 69 cf. Υ 4
σχέσθε, φίλοι, καί μ' οἶον ἐάσατε πένθεϊ λυγρῷ 70 cf. X 416
τείρεσθ', — εἰ μή πού τι πατὴρ ἐμὸς, ἐσθλὸς Ὀδυσσεὺς,
δυσμενέων κάκ' ἔρεξεν ἐυκνήμιδας Ἀχαιοὺς,
τῶν μ' ἀποτινύμενοι κακὰ ῥέζετε δυσμενέοντες, 73ᵇ = υ 314
τούτους ὀτρύνοντες. ἐμοὶ δέ κε κέρδιον εἴη 74ᵇ = Z 410
ὑμέας ἐσθέμεναι κειμήλιά τε πρόβασίν τε·

54 δοίη δ' ᾧ κ' ἐθέλῃ καί Ϝοι κεχαρισμένος ἔλθῃ·

54 ἐθέλῃ ... ἔλθῃ G F] ἐθέλοι ... ἔλθοι mss. pleraque. Cf. π 392 (= φ 162) ε 471 sq. ξ 374.

55 ἡμέτερον T U] ἡμετέρου mss. cetera cum Aristarcho (-ρους G P²). Cf. η 301 ρ 534 h. Merc. 370 Herodot. I 35 VII 8. ‖ πωλεύμενοι] cf. § 7 et 191.

59 ἦσκεν] ἔσκεν mss.

60-62] del. Kammer, Friedlaender aut vs. 60 sq. aut vs. 62, duas recensiones coniunctas esse ratus.

60 ἧμες § 92] ἡμεῖς mss. ‖ τοῖοι ἀμυνέμεν'] *tales ut arcere possimus.* Hoc uno loco pronomini τοῖος subiungitur infinitivus. Vid. ad β 272 ε 484 ρ 20 τ 160 sq. φ 172 sq., 195.

62 κεν § 326] τ' ἂν mss. ‖ ἀμυναίμην ... παρείη] de optativo vid. ad Δ 314.

63 ἀνσχετὰ] †, vid. ad E 892. ‖ καλὰ Heyne ad Θ 400 (coll. Z 326 N 116)] καλῶς mss., quod adv. apud Hom. non redit.

64 διόλωλε] *funditus periit*; comp. †.

65 sq. περικτίονας — περιν.] vid. ad Ω 488.

66 *ὑποδέδϜιτε] ὑποδείσατε mss.; cf. E 521 Υ 366.

68-79] del. Kammer, Fick vs. 70-79, Peppmueller vs. 74-79, Lehrs vs. 76-79.

68 Ζηνὸς] notetur praepositio omissa (ὑπὲρ O 660 X 338 Ω 466); item post γουνάζομαι omittitur πρός vel ὑπὲρ X 345 λ 66.

70 σχέσθε] *abstinete, desinite* (*procos incitare*); vid. β 74 et ad X 416. Ad *populum*, certe ad γέροντας, haec dicuntur, vid. vs. 74 sq.; *opitulandi* tamen verbum requiritur potius, quapropter Lehrs coniecit ἰσχέμεναι (cf. υ 330). ‖ καί] sic Ar., μή Aristoph., imperativum σχέσθε igitur male interpretatus ἀντίσχεσθε, προσλάβεσθε. ‖ οἶον] *sine molestorum convivarum quotidiana caterva*; Ar. *tantummodo* intellegebat, = *plura mala addere nolite.*

71 εἰ μή πού τι] item ξ 373.

72 ἔρεξεν] ἔρεζεν Ar.

75 ὑμέας] *ipsos Ithacenses.* Forma trisyllaba †, quam tamen formae ἡμέας et σφέας compluribus locis, Odysseae praesertim, obviae satis tuentur; cf. § 92. ‖ πρόβασιν] † (vid. ad E 623), *pecora* (cf. τὰ πρόβατα Ξ 124 Ψ 550 h. Merc. 571).

εἴ γε φάγοιθ' ὗμες, τάχα κέν ποτε καὶ τίσις εἴη.
τόφρα κε γὰρ κατὰ Ϝάστυ ποτιπτυσσοίμεθα μύθῳ
χρήματ' ἀπαιτίζονθ' ἧος ἀπὸ πάντα δοθείη·
νῦν δέ μοι ἀπρήκτους ὀδύνας ἐμβάλλετε θυμῷ."
ὣς 'φάτο χωόμενος, ποτὶ δὲ σκῆπτρον 'βάλε γαίῃ 80ᵇ = A 245
δάκρυ' ἀναπρήσας· οἶκτος δ' ἕλε λαὸν ἅπαντα. 81ᵃ = I 433
ἔνθ' ἄλλοι μὲν πάντες ἀκὴν ἔσαν, οὐδέ τις ἔτλη 82 cf. δ 285
Τηλέμαχον μύθοισιν ἀμείψασθαι χαλεποῖσι· [χ 44
Ἀντίνοος δέ μιν οἶος ἀμειβόμενος προσέϜειπε· 84 cf. δ 286 ϑ 235
„Τηλέμαχ' ὑψαγόρη, μένος ἄσχετε, ποῖον ἔϜειπες 85 = ρ 406 cf. β 303
ἡμέας αἰσχύνων; ἐθέλοις δέ κε μῶμον ἀνάψαι.
σοὶ δ' οὔ τι μνηστῆρες Ἀχαιῶν αἴτιοί εἰσι,
ἀλλὰ φίλη μήτηρ, ἥ τοι περὶ κέρδεα Ϝοῖδε.
ἤδη γὰρ τρίτον ἐστὶ Ϝέτος, τάχα δ' εἶσι τέταρτον,
ἐξ οὗ ἀτέμβει θυμὸν ἐνὶ στήθεσσιν Ἀχαιῶν. 90 cf. I 8
πάντας μὲν Ϝέλπει καὶ ὑπίσχεται ἀνδρὶ Ϝεκάστῳ 91 sq. = ν 380 sq.
92 ἀγγελίας προϊεῖσα· νόος δέ Ϝοι ἄλλα μενοινᾷ. 92ᵇ cf. σ 283

93 ἣ δὲ δόλον τόνδ' ἄλλον ἐνὶ φρεσὶ 'μερμήριξε· 93 cf. ω 128
στησαμένη μέγαν ἱστὸν ἐνὶ μεγάροισιν ὕφαινε, 94-110 = ω 129 sqq.
95 λεπτὸν καὶ περίμετρον, ἄφαρ δ' ἧμιν μετέϜειπε· 94 sq. cf. τ 139 sq.

76 *εἴ γε φάγοιθ' ὗμες, τάχα κέν] εἴ χ' ὑμεῖς γε φάγοιτε, τάχ' (τάχα δ' F¹) ἂν mss., in qua lectione novicium est ἂν (vid. § 326), vitiose autem optativo praemittitur εἴ κε. Cf. A 205 N 676; eodem vitio laborat η 315.

77 *κε γὰρ] γὰρ ἂν mss.; cf. § 326. ‖ ποτιπτυσσοίμεθα] προτιπτ. G P H mss. alia (sic Ar.)?

78] del. vHerwerden. ‖ χρήματ'] l. a. κτήματ'. ‖ *ἀπαιτίζονθ', ἧος] -ζοντες, ἕως κ' mss. De se et matre Telemachus loquitur (pluralis maiestaticus qui dicitur a dictione Homerica alienus). De particula ἧος vid. § 323; de vocula κ', quam delevimus, cf. ψ 151.

81 δάκρυ' ἀναπρήσας] δάκρυα θερμὰ χέων Zen.; cum vulgata cf. I 433 Π 349 sq. ‖ δάκρυ'] singularem δάκρυ sine causa praeferebat Spitzner; singularem numerum eodem sane sensu quo pluralem poeta solet adhibere (vid. A 357 B 269 etc.), sed hiatus post δάκρῠ non videtur concessus. Cf. I 433 Σ 124 λ 530.

86 ἐθέλοις] -λεις N mss. alia, unde GHermann coniecit ἐθέλεις· δ' ἐκ, cf. μ 51, 162, 179. ‖ μῶμον] †; vid. ad Γ 412. ‖ ἀνάψαι] cf. ἐξανάψαι Eur. Or. 829, περιάψαι Aristoph. Plut. 590. Vid. ad E 492.

87 τι] τοι (sic K l) Thiersch. ‖ Ἀχαιῶν] ἀχέων F mss. alia absurde, quae lectio in scholio commendatur (cf. lectio tradita ν 295).

89 εἶσι] *veniet*; cf. τ 571.

90 ἀτέμβει] *frustrat*; verbi, cuius origo latet, activum redit υ 294 φ 312, passivum Δ 705 Ψ 445, 834 ι 42, 549.

91 sq.] suspecti Kirchhoffio (p. 598).

91 μὲν N T] μέν ῥ' mss. ‖ Ϝέλπει] praesens activi nonnisi loco par. redit (pf. ϜέϜολπα saepius).

93-110] ex τ desumti male divellunt Antinoi orationem, vs. autem 106 sq. pugnant cum versu 89. Del. GHermann, diasceuastae (vid. ad α 88 sqq.) tribuit Kirchhoff.

σοὶ δ' ὧδε μνηστῆρες ὑποκρίνονθ', ἵνα Ϝείδῃς
αὐτὸς σῷ θυμῷ, Ϝείδωσι δὲ πάντες Ἀχαιοί·
μητέρα σὴν ἀπόπεμψον, ἄνωχθι δέ μιν γαμέεσθαι
τῷ ὅτεῳ τε πατὴρ κέλεται καὶ Ϝανδάνει αὐτῇ.
εἰ δ' ἔτ' ἀνιήσει γε πολὺν χρόνον υἷας Ἀχαιῶν,
τὰ φρονέουσ' ἀνὰ θυμόν, ἅ Ϝοι περὶ 'δῶκεν Ἀθήνη,
Ϝέργα τ' ἐπίστασθαι περικαλλέα καὶ φρένας ἐσθλὰς — 117 = η 111
κέρδεά θ', οἷ' οὔ πώ τιν' ἀκούομεν οὐδὲ παλαιῶν
τάων αἳ πάρος ἦσαν ἐυπλοκαμῖδες Ἀχαιαί,
Τυρώ τ' Ἀλκμήνη τε ἐυστέφανός τε Μυκήνη,....
τάων οὔ τις ὁμοῖα νοήματα Πηνελοπείῃ
'Ϝείδε'· ἀτὰρ μὲν τοῦτό γ' ἐναίσιμον οὐκ ἐνόησε. — 122 cf. η 299

‚κοῦροι, ἐμοὶ μνηστῆρες, ἐπεὶ 'θάνε δῖος Ὀδυσσεύς, — 96-102 = τ 141
μίμνετ' ἐπειγόμενοί περ ἐμὸν γάμον, εἰς ὅ κε φᾶρος — 96^{b} = α 396 sqq.
ἐκτελέσω, μή μοι μεταμώνια νήματ' ὄληται,
Λαέρτῃ ἥρωι ταφήιον, εἰς ὅτε κέν μιν
μοῖρ' ὀλοὴ καθέλῃσι τανηλεγέος θανάτοιο· — 100 = γ 238
μή τίς μοι κατὰ δῆμον Ἀχαιιάδων νεμεσήσῃ,
αἴ κεν ἄτερ σπείρου κέεται πολλὰ κτεατίσσας.'
ὣς ἔφαθ', ἧμιν δ' αὖτ' ἐπεπείθετο θυμὸς ἀγήνωρ. — 103-106 cf. τ 148
ἔνθα καὶ ἠματίη μὲν ὑφαίνεσκεν μέγαν ἱστόν, — 103 = κ 466 μ 28
νύκτας δ' ἀλλύεσκεν, ἐπεὶ δαΐδας παραθεῖτο. — cf. κ 406, 475, 550 h. Merc. 132
ὣς τρίϜετες μὲν ἔληθε δόλῳ καὶ ἔπειθεν Ἀχαιούς·
ἀλλ' ὅτε τέτρατον ἦλθε Ϝέτος καὶ ἐπήλυθον ὧραι, — 107 = τ 152
καὶ τότε δή τις ἔϜειπε γυναικῶν, ἣ σάφ' ἐϜείδει, — 107^{b} = λ 295 h. Ap. 350
καὶ τήν γ' ἀλλύουσαν ἐφηύρομεν ἀγλαὸν ἱστόν.
ὣς τὸ μὲν ἐξετέλεσσε καὶ οὐκ ἐθέλουσ', ὑπ' ἀνάγκης. — 110 cf. τ 156

---

97 *περ] τὸν mss. Vid. ad X 280.

98 μεταμώνια] -λια mss. pleraque; eadem est varietas σ 332, 392 τ 143 ω 133; praeterea Δ 363 legitur vox incertae originis.

102 κέεται § 169] κεῖται mss.; de syllaba κε- pro κει- vid. § 17.

104 καὶ] κεν P vitio aperto, sed etiam καὶ corruptum videtur; expectaveris *ἔνθ' ἤ γ'.

105 νύκτας] l. a. νύκτωρ. || ἐπεὶ Thiersch (sic codd. i n?)] ἐπὴν mss.; cf. Ω 227 et § 326.

106 sq. τρίϜετες ... τέτρατον] δίετες ... δὴ τρίτον olim quidam (Zen. indice Osann; cf. Ι 130 Τ 245 sq.); vid. vs. 89.

107] in E U W additur: μηνῶν φθινόντων, περὶ δ' ἤματα πόλλ' ἐτελέσθη (vid. κ 470 τ 153 ω 143).

108 ἣ σάφ' ἐϜείδει] θηλυτεράων G (ut λ 386 ψ 166). || σάφ' ἐϜείδει] σάφα ᾔδη (ᾔδει) mss. Cf. § 160.

111 ὑποκρίνονθ', ἵνα Bentley] -νονται, ἵν' (ἵνα G P^1) mss.

114] del. PKnight.

115-122] *spurii? Vs. 119-122 del. PKnight.

115 ἀνιήσει γε] γε om. F, ἀνίησι(ν) γε P^1 mss. alia (= ἀναπείθει). GHermann ἀνιήσῃσι, Nauck ἀνιήσει πολλόν.

116 ἀνὰ θυμόν] ἐνὶ θυμῷ T i n. || ἅ] l. a. ὅ.

117] del. Lehrs, in vs. 118 omittens particulam θ'.

118 παλαιῶν] novicium pro -άων, cf. § 56.

119 ἐυπλοκαμῖδες] redit vox τ 542, alias est ἐυπλόκαμος (Ζ 380 etc.).

120 ἐυστέφανος] ἐυπλόκαμος mss. pleraque quod ex vs. praecedenti irrepsit. Vid. ad Σ 597.

121 Πηνελοπείῃ] vid. ad Ρ 51.

122 'Ϝείδε' § 160] ᾔδη mss. || ἐνόησε] sc. Penelope.

τόφρα γὰρ οὖν βίοτόν τε τεὸν καὶ κτήματ' ἔδονται,
ὄφρα κε κείνη τοῦτον ἔχῃ νόον, ὅν τινά Ϝοι νῦν
ἐν στήθεσσι τιθεῖσι θεοί· μέγα μὲν κλέος αὐτῇ
ποιέετ', αὐτὰρ σοί γε ποθὴν πολέος βιότοιο.
ἧμες δ' οὔτ' ἐπὶ Ϝέργα πάρος γ' ἴμεν οὔτε πῃ ἄλλῃ, — 127 = σ 288
πρίν γ' αὐτὴν γήμασθαι Ἀχαιῶν ᾧ κ' ἐθέλῃσι." — 128 cf. σ 289
τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
„Ἀντίνο', οὔ πως ἔστι δόμων ἀϜέκουσαν ἀπῶσαι
ἥ μ' ἔτεχ', ἥ μ' ἔθρεψε· πατὴρ δ' ἐμὸς ἄλλοθι γαίης — — 131^{b} cf. ρ 318
ζώει ὅ γ' ἦ τέθνηκε· κακὸν δέ με πόλλ' ἀποτίνειν — 132^{a} = δ 837 λ 464 cf. δ 110
Ϝικαρίῳ, αἴ κ' αὐτὸς ἐγὼν ἀπὸ μητέρα πέμψω.
ἐκ γὰρ τοῦ πατρὸς κακὰ πείσομαι, ἄλλα δὲ δαίμων
δώσει, ἐπεὶ μήτηρ στυγερὰς ἀρήσετ' ἐρινῦς
Ϝοίκου ἀπερχομένη· νέμεσις δέ μοι ἐξ ἀνθρώπων
ἔσσεται. ὣς οὐ τοῦτον ἐγώ ποτε μῦθον ἐνίσπω.
ὑμέτερος δ' εἰ μὲν θυμὸς νεμεσίζεται αὐτῶν,
ἔξιτέ μοι μεγάρων, ἄλλας δ' ἀλεγύνετε δαῖτας, — 139 cf. α 374
ὑμὰ κτήματ' ἔδοντες, ἀμειβόμενοι κατὰ Ϝοίκους. — 140-145 = α 375 sqq.
εἰ δ' ὔμιν δοκέει τόδε λωίτερον καὶ ἄμεινον
ἔμμεναι, ἀνδρὸς ἑνὸς βίοτον νήποινον ὀλέσσαι,
κείρετ'· ἐγὼ δὲ θεοὺς ἐπιβώσομαι αἰὲν ἐόντας,
αἴ κέ ποθι Ζεὺς δῷσι πάλιν τιτὰ Ϝέργα γενέσθαι· — 144 cf. ρ 51, 60
νήποινοί κεν ἔπειτα δόμων ἔντοσθεν ὄλοισθε."

---

137 Ar. —

---

123 βιοτόν τε τεὸν] Aristoph. βίοτός τε τεὸς non recte, cf. Δ 237 Ω 129 ι 369 etc.

125 αὐτῇ H^2 M] αὐτῆς G F P, αὐτῆς Ptolem. Ascal. apud Apoll. Pron. 101. Aristarcho lectionem αὐτῇ tribuit Lehrs.

126 ποιέετ' § 191] ποιεῖτ' mss. || αὐτάρ σοί γε] *ἀλλὰ τεῒν γε? cf. X 513 λ 252, 371 et § 92. || ποθὴν] ποθὴ G^1 (Ar.), item schol. et Apoll. Pron. 101, verbum ποιεῖται interpretatus γίγνεται (ib. 102 Synt. 142). Aristarchum igitur ποθὴ legisse vidit Lehrs.

127 sq.] spurios censet Kirchhoff, e libro σ insertos.

127 ἧμες § 92] ἡμεῖς mss.

131-133] del. Naber; non enim Telemachum, si matrem domo exigeret, simul eius *dotem* avo reddere debuisse; vid. ad α 292. Nitzsch solum vs. 133 damnabat, Duentzer vs. 132 sq.

132 κακὸν] *durum* (*mihi esset*).

133 ἐγὼν G M] ἑκὼν male F P H, vid. δ 649.

137 *ἐνίσπω § 246] ἐνίψω mss.; vid. ι 37 et ad Η 447 λ 148. Verbum ἐνίψω significare ἐπιπλήξω, λοιδορήσω recte observavit Ar., versum ideo damnans; sed necessarium eum iure ducit Kirchhoff. De subiunctivo vid. § 108.

138-145] ex α male iteratos ducit Naber.

142 ὀλέ(σ)σαι F M] ὀλέσθαι mss. multa. Cf. α 377.

143 ἐπιβώσομαι] de syllaba -βω- vid. § 192.

144 ποθι] ποτε mss. complura. || δῷσι] vid. ad α 379.

145 νήποινοι] vid. ad α 380.

ὥς 'φάτο Τηλέμαχος· τῷ δ' αἰετὼ εὐρύϜοπα Ζεὺς
ὑψόθεν ἐκ κορυφῆς ὄρεος προέηκε πέτεσθαι.
τὼ δ' ἕως μέν· ῥ' ἐπέτοντο μετὰ πνοιῇσ' ἀνέμοιο,
πλησίω ἀλλήλοισι τιταινομένω πτερύγεσσι·
ἀλλ' ὅτε δὴ μέσσην ἀγορὴν πολύφημον ἱκέσθην,
ἔνθ' ἐπιδινηθέντε 'τιναξάσθην πτερὰ πυκνά,
πάντων δ' εἰσϜιδέτην κεφαλάς, ὤσσοντο δ' ὄλεθρον·
δρυψαμένω δ' ὀνύχεσσι παρειὰς ἀμφί τε δειρὰς
δεξιὼ ἤιξαν διὰ Ϝοικία καὶ πόλιν αὐτῶν.
'θάμβησαν δ' ὄρνιθας ἐπεὶ 'Ϝίδον ὀφθαλμοῖσι, 155 cf. γ 373
ὥρμηναν δ' ἀνὰ θυμὸν ἅ περ τελέεσθαι ἔμελλον. 156ª cf. Φ 137
τοῖσι δὲ καὶ μετέϜειπε γέρων ἥρως Ἁλιθέρσης 157 sq.ª = ω 451 sq.
Μαστορίδης, — ὃ γὰρ οἶος ὁμηλικίην ἐκέκαστο 158ᵇ cf. Ν 431
γνώμεναι ὄρνιθας καὶ ἐναίσιμα μυθήσασθαι, — [ω 453 sq.
ὅ σφιν ἐὺ φρονέων ἀγορήσατο καὶ μετέϜειπε· 160 sq. = 228 sq. 160ᵇ sq. = 24 sq.
„κέκλυτε δὴ νῦν μοι, 'Ιθακήσιοι, ὅττι κε Ϝείπω.
μνηστῆρσιν δὲ μάλιστα πιφαυσκόμενος τάδε Ϝείρω·
τοῖσιν γὰρ μέγα πῆμα κυλίνδεται· οὐ γὰρ 'Οδυσσεὺς
δϜὴν ἀπάνευθε φίλων Ϝῶν ἔσσεται, ἀλλά ποθ' ἤδη
ἐγγὺς ἐὼν τοισίνδε φόνον καὶ κῆρα φυτεύει 165ᵇ cf. ρ 82
πάντεσσιν, πολέσιν δὲ καὶ ἄλλοισιν κακὸν ἔσται,
οἳ νεμόμεσθ' 'Ιθάκην ἐνδήελον. ἀλλὰ πολὺ πρὶν

146 τῷ] τὼ Herodianus.
147 πέτεσθαι] φέρεσθαι G.
148] om. P[1]. || ἕως] triplici vitio pro τῆος usurpatum, vid. § 323; perperam in schol. Α 193 perhibetur illic et nostro loco voculam ἕως idem valere quod τέως. || μετὰ] ἅμα Nauck; vid. α 98 Π 149 Τ 415 Ω 342 et ad Ψ 367.
149 πλησίω] -ον F mss. alia; vid. ad Ζ 54.
151 'τιναξάσθην] τιναξέσθην G P M mss. alia. || πυκνὰ] πολλὰ P, idem erasum in G.
152 *πάντων δ' εἰσϜιδέτην] ἐς δ' ἰδέτην (ἰκέτην M[2] N) πάντων mss.; PKnight ἐς δ' ἔϜιδον. || ὤσσοντο] ὄσσοντο mss., Rhianus ἔσσατο (εἴσαντο? Porson ὄσσαντο, Ludwich ὄσσωντο). Vertatur: (*aquilae*) *calamitatem praesagiebant*; cf. Α 105 (Ξ 17?) Ω 172 Hes. Theog. 551 (Att. βλέπειν).
153 παρειὰς] *παρήια? cf. Ψ 690 Ω 794 λ 529 π 190.
154 Ϝοικία Bentley] τ' οἰκία mss. || αὐτῶν] Aristoph. οὕτως (? — αὔτως LaRoche); languet pronomen (cf. § 98).
156 ὥρμηναν] ὥρμαινον F k. || ἔμελλον Ar.] ἔμελλεν mss. pleraque.
159 *γνώμεναι ὄρνιθας] ὄρνιθας γνῶναι mss. Cf. § 125 et Β 349 Φ 266, 609 α 411. Eodem vitio laborant ν 312 ω 159; vid. etiam Η 424.
160 ὅ] sic Ar.; ὅς P[2] mss. alia; cf. vs. 228.
161 δὴ] om. G F[1], unde κέκλυτε νῦν καὶ ἐμοὶ (vel ἐμεῖ') conieceris. || *μοι] μευ mss.; vid. § 92 et ad Α 37.
162 Ϝείρω] cf. § 306. Redit praesens λ 137 ν 7 Hes. Theog. 38.
164 ποθ' § 322] που mss.
165 τοισίνδε § 97] τοῖσι δὲ T, τοῖσδε(σ)σι mss. cetera. Cf. Κ 462. Versu parall. ρ 82 est τούτοισι.
167 ἐνδήελον] εὐδείελον mss.; -δη- correxit

φραζώμεσθ', ὥς κεν καταπαύσομεν· οἳ δὲ καὶ αὐτοὶ
παυέσθων, καὶ γάρ σφιν ἄφαρ τόδε λώιόν ἐστι.
οὐ γὰρ ἀπείρητος μαντεύομαι, ἀλλ' ἐὺ Ϝειδώς·
καὶ γὰρ κείνῳ φημὶ τελευτηθήμεν' ἅπαντα,
ὥς Ϝοι ἐμυθεόμην ὅτε Ϝίλιον εἲς ἀνέβαινον 172ᵇ = σ 252 τ 125
Ἀργέιοι, μετὰ δέ σφιν ἔβη πολύμητις 'Οδυσσεύς. 173 cf. σ 253 τ 126
'φῆν κακὰ πολλὰ παθόντ', ὀλέσαντ' ἄπο πάντας ἑταίρους, 174ᵇ cf. ι 534 λ 114 μ 141 ν 340
ἄγνωτον πάντεσσιν ἐϜεικοστῷ ἐνιαυτῷ
Ϝοίκαδ' ἐλεύσεσθαι· τάδε δὴ νῦν πάντα τελεῖται."
τὸν δ' αὖτ' Εὐρύμαχος Πολύβου πάις ἀντίον ηὔδα·
„ὦ γέρον, εἶ' ἄγε δὴ μαντεύεο σοῖσι τέκεσσι
Ϝοίκαδ' ἰών, μή πού τι κακὸν πάσχωσιν ὀπίσσω·
ταῦτα δ' ἐγὼ σέο πολλὸν ἀμείνων μαντεύεσθαι.
ὄρνιθες δέ τε πολλοὶ ὑπ' αὐγὰς ἠελίοιο
φοιτῶσ', οὐδέ τε πάντες ἐναίσιμοι· αὐτὰρ 'Οδυσσεὺς
ὤλετο τῆλ', ὡς καὶ σὺ καταφθίσθαι ἅμα κείνῳ
ὤφελες· οὔ κεν τόσσα θεοπροπέων ἀγορεύοις,
οὐδέ κε Τηλέμαχον κεχολωμένον ὧδ' ἀνιείης,
σῷ Ϝοίκῳ δῶρον ποτιδέγμενος, αἴ κε πόρῃσι.
ἀλλ' ἔκ τοι Ϝερέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται· 187 = Β 257
αἴ κε νεώτερον ἄνδρα παλαιά τε πολλά τε Ϝειδὼς 188ᵇ = η 157 ω 51
παρφάμενος Ϝεπέεσσιν ἐποτρύνῃς χαλεπαίνειν, 189ª = Μ 249
αὐτῷ μέν Ϝοι πρῶτον ἀνιηρότερον ἔσται,

191 πρῆξαι δ' ἔμπης οὔ τι δυνήσεται εἵνεκα τῶνδε. 191ª = Α 562

Brugmann. Adi. redit ι 21 ν 212, 234, 325 ξ 344 τ 132 h. Ap. 438; cf. δέελος (δῆλος) Κ 466 υ 333, ἔκδηλος (-δέελος) Ε 2.
168 οἳ δὲ schol. β 241 et l. a. in M] ἠδὲ mss.
169 καὶ γάρ σφιν ἄφαρ τόδε] τό κεν ἧμιν ἄφαρ πολὺ schol. B L V ad Α 349. || ἄφαρ] *statim* (*consideranti*), i. e. *sine dubio*; cf. Ν 814 Ρ 417 Ψ 593. || ἐστι] ἔσται N i n.
170 ἀπείρητος] -ρήτως male P mss. alia. || μαντεύομαι mss. meliora (Ar.) apud Did.] -σομαι mss. cett.; vid. ad ε 179.
171 κείνῳ U] ἐκείνῳ mss. cett.; vid. § 97. || τελευτηθήμεν' § 125] -θῆναι mss.
175 ἄγνωτον Nauck] -στον mss., item ν 191, 397, sed γνωτός Η 401 Ν 72 Ο 490 β 366. Cf. Χ 386 δ 494.
178 εἶ' § 328] εἰ δ' mss. || δὴ] νῦν N U.
180 ἀμείνων] l. a. ἀμείνω (sic Zen., vid. Α 80).
181 sq.] cf. Μ 238 sqq.
182 φοιτῶσ', οὐδέ τε] sic Ar.; alii olim πωτῶντ' (male, vid. § 216), et οὐδέ τι (sic P H[2] mss. alia). Fortasse *φοιτάουσ', οὐ verum est.
183 *ἅμα κείνῳ] σὺν ἐκείνῳ mss.; cf. § 97.
184 οὔ κεν § 326] οὐκ ἂν mss. || ἀγορεύοις Naber] ἀγόρευες mss.; vid. vs. 185 et ad Β 242.
190 Ϝοι] σοι F mss. alia vitio aperto. || ἀνιηρότερον § 20] -ρώτερον Y Plut. Mor. 408*d*, -ρέστερον mss. cetera.
191] versum molestum, qui ex Α 562 est conflictus, om. G F[1] M mss. alia. || εἵνεκα τῶνδε] οἶος ἀπ' ἄλλων D mss. alia.

192 σοὶ δὲ, γέρον, θωὴν ἐπιθήσομεν, ἥν κ᾽ ἐνὶ θυμῷ
τίνων ἀσχάλλῃς· χαλεπὸν δέ τοι ἔσσεται ἄλγος.
Τηλεμάχῳ δ᾽ ἐν πᾶσιν ἐγὼν ὑποθήσομαι αὐτός·
195 μητέρα ϝὴν εἰς πατρὸς ἀνωγέτω ἀπονέεσθαι,
196 οἳ δὲ γάμον τεύξουσι καὶ ἀρτυνέουσιν ἔϝεδνα. 196 = α 277
198 οὐ γὰρ πρὶν παύσεσθαι ὀίομαι υἷας Ἀχαιῶν
μνηστύος ἀργαλέης· ἐπεὶ οὔ τινα δέδϝιμεν ἔμπης, 199^b = Η 196
200 οὔτ᾽ οὖν Τηλέμαχον μάλα περ πολύμυθον ἐόντα,
οὔτε θεοπροπίης ἐμπαζόμεθ᾽, ἣν σὺ, γεραιὲ, 201 cf. Π 50
μυθέε᾽ ἀκράαντον, ἀπεχθάνεαι δ᾽ ἔτι μᾶλλον.
χρήματα δ᾽ αὖτε κακῶς βεβρώσεται, οὐδ᾽ ἀποτῖσαι
204 ἔσσεται, ὄφρα κεν ἥ γε διατρίβῃσιν Ἀχαιούς."
208 τὸν δ᾽ αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
„Εὐρύμαχ᾽ ἠδὲ καὶ ἄλλοι, ὅσοι μνηστῆρες ἀγαυοὶ, 209^b = φ 232
210 ταῦτα μὲν οὐχ ὗμας ἔτι λίσσομαι οὐδ᾽ ἀγορεύω·
ἤδη γὰρ τὰ ϝίσασι θεοὶ καὶ πάντες Ἀχαιοί.
ἀλλ᾽ ἄγε μοι δότε νῆα θοὴν καὶ ϝείκοσ᾽ ἑταίρους, 212 = δ 669

197 πολλὰ μάλ᾽, ὅσσα ϝέϝοικε φίλης ἐπὶ παιδὸς ἕπεσθαι. 197 = α 278
205 ϝὸν γάμον· ἧμες δ᾽ αὖ ποτιδέγμενοι ἤματα πάντα 205^b = φ 156
εἵνεκα τῆς ἀρετῆς ἐριδαίνομεν, οὐδὲ μετ᾽ ἄλλας
ἐρχόμεθ᾽, ἃς ἐπιϝεικὲς ὀπυιέμεν᾽ ἐστὶ ϝεκάστῳ.
205-207 Aristoph. —

192 *θωὴν*] vid. ad Ν 669. ‖ *ἐπιθήσομεν*] *ἐπιθήσομαι* F P mss. alia.
193 *ἀσχάλλῃς*] Bentley *ἀσχαλάῃς*. Verbum *ἀσχάλλω* † (vid. tamen τ 534), alias est *ἀσχαλάειν*. Comparari potest *ἀτασθάλλω* σ 57 τ 88.
195 *μητέρα ϝὴν*] *μητέρ᾽ ἑὴν* Wolf fortasse recte. ‖ *ἀπονέεσθαι*] cf. § 21.
196 sq.] vid. ad α 277 sq.
196 *οἳ*] *hi*, i. e. *ἡμεῖς οἵδε nos proci*; tertiam personam de procis, quorum unus est ipse, Eurymachus etiam vs. 198 adhibet.
198 *παύσεσθαι* H^2 K] *παύσασθαι* et *παύεσθαι* mss. cetera.
200 *πολύμυθον*] cf. Γ 214. Nauck *πολύμητιν* vel *πολύιδριν* (coll. ψ 82).
201 *ἐμπαζόμεθ᾽*] *ἐμπάζομαι* P^2.
202 *μυθέε᾽* § 117] *μυθέαι* vel *μύθεαι* mss., quod natum est e male transscripto *μυθεῖαι* (i. e. *μυθεῖ᾽*); cf. δ 811 θ 180.
203-207] del. PKnight.
203 *χρήματα*] *κτήματα* N W. ‖ *οὐδ᾽ ἀποτῖσαι* PCauer] *οὐδέ ποτ᾽ ἶσα* mss. metro sententiaque invitis. Bentley *οὐδέ ποτ᾽ αἶσα*, vid. Δ 705 ι 42; *οὐδ᾽ ἀποτείσα* (subst.) Fick parum probabiliter.
204 *ἥ γε*] *ἥδε* G P.
205 *ϝὸν γάμον*] ob duplicem accusativum verbo *διατρίβειν* additum Aristophanes locum damnavit; aptior praeterea ad claudendam orationem est versus 204 quam 207. ‖ **ἧμες* § 92] *ἡμεῖς* mss. ‖ *ποτιδέγμενοι*] *προτιδ.* G F mss. alia.
206 *τῆς*] *eius* (sic recte Ar.); *ϝῆς* Bentley coll. ξ 212 ω 197; sed vid. ad Ι 133. ‖ *ἀρετῆς*] *praestantiae*; cf. σ 251. De morum probitate contra usum poetae vocem h. l. adhibitam esse censebat Aristophanes.
209 *ἀγαυοὶ*] l. a. *ἀγαυοὶ* et *Ἀχαιοὶ* (vid. ad Ε 465).
210 *ὗμας* § 92] *ὑμέας* mss.
211 *τὰ* H^1] *τά γ᾽* vel *τάδ᾽* mss. cetera.

οἵ κέ μοι ἔνθα καὶ ἔνθα διαπρήσσωσι κέλευθον·
[sq. cf. α 93 sq.
εἶμι γὰρ εἰς Σπάρτην τε καὶ εἰς Πύλον ἠμαθόεντα 214 sq.* = 359
215 νόστον πευσόμενος πατρὸς δϝὴν οἰχομένοιο, 215 sq. cf. α 281
αἴ κέν τις ϝείπῃσι βροτῶν ἢ ϝόσσαν ἀκούσω 215 cf. 264 [sq.
ἐκ Διὸς, ἥ τε μάλιστα φέρει κλέος ἀνθρώποισι. 217 = α 283
εἰ μέν κεν πατρὸς βίοτον καὶ νόστον ἀκούσω, 218-220 cf. α 287 sqq.
ἦ κε τρυχόμενός περ ἔτι τλαίην ἐνιαυτόν·
220 εἰ δέ κε τεθνηῶτος ἀκούσω μηδ᾽ ἔτ᾽ ἐόντος,
νοστήσας δὴ ἔπειτα φίλην εἰς πατρίδα γαῖαν 221 = α 290
σῆμά κέ ϝοι χεύω καὶ ἐπὶ κτέρεα κτερεΐξω 222 sq. cf. α 291 sq.
πολλὰ μάλ᾽, ὅσσα ϝέϝοικε, καὶ ἀνέρι μητέρα δώσω."
ἦ τοι ὅ γ᾽ ὣς ϝειπὼν κατ᾽ ἄρ᾽ ἕζετο· τοῖσι δ᾽ ἀνέστη 224 = Α 68
225 Μέντωρ, ὅς ῥ᾽ Ὀδυσῆος ἀμύμονος ἦεν ἑταῖρος·
226 καί ϝοι ἰὼν ἐν νηυσὶν ἐπέτρεπε ϝοῖκον ἅπαντα,
228 ὅ σφιν ἐὺ φρονέων ἀγορήσατο καὶ μετέϝειπε· 228 sq. = 160 sq.
„κέκλυτε δὴ νῦν μοι, Ἰθακήσιοι, ὅττι κε ϝείπω.
230 μή τις ἔτι πρόφρων ἀγανὸς καὶ ἤπιος ἔστω 230-234 = ε 8 sqq.
σκηπτόοχος βασιλεὺς μηδὲ φρεσὶν αἴσιμα ϝειδὼς,
ἀλλ᾽ αἰεὶ χαλεπός τ᾽ εἴη καὶ αἴσυλα ῥέζοι· 232^b cf. Ε 403
ὡς οὔ τις μέμνηται Ὀδυσσῆος θείοιο

227 πείθεσθαί τε γέροντι καὶ ἔμπεδα πάντα φυλάσσειν. 227^b cf. λ 178 τ 525
214-223 Ar. —? (vid. annot.)

213 *διαπρήσσωσι*] vid. ad Δ 483.
214-223] del. Kayser, probabilius Duentzer vs. 218-223; de vs. 223 vid. ad α 292. — Omnibus in M librariorum errore praefixum est *antisigma* (Ͻ). Aristarchum *asteriscos* appinxisse, versus hoc loco genuinos in libro α vero spurios ratum, suspicatur Kirchhoff; Cobet contra putat *obelis* eum notasse nostrum locum.
214 *Σπάρτην*] *Κρήτην* Zen., cf. α 93 et 285. ‖ *ἠμαθόεντα*] *-εσσαν* Y. De sono *ἠ-* vid. § 21.
216 **αἴ κέν τις*] *ἤν τίς μοι* mss.; cf. § 326 et α 282. ‖ *βροτῶν*] *θεῶν* P.
219 **κε*] *τ᾽ ἂν* mss.; cf. § 326.
220 *τεθνηῶτος* (Ar.) G P] *-ειῶτος* F.
221 *δὴ ἔπειτα*] cf. Ο 163.
222 **κέ*] *τέ* mss. vitiose, nam futurum non est *χεύω* (cf. Η 336). Praeterea in vs. 223 legendum videtur **δώω* pro *δώσω*. ‖ *χεύω*] sic Herodianus et mss. meliora a prima manu; *χεύσω* mss. alia. Aristarchus quid scripserit non satis liquet, vid. Ludwich Arist. I p. 524.
223 *δώσω*] vid. ad vs. 222.
227] in margine habet G, del. vHerwerden; sententia contorta, nam vocem *γέροντι* non recte Eust. interpretatur *Laërtae* (ut π 153), sed vertendum est *ut omnes seni* (i. e. *Mentori*) *obedirent et ipse cunctae domui praeesset*.
228 *ὃ*] *ὅς* F P^2 M mss. alia; cf. vs. 160.
229 **μοι*] *μευ* mss.; vid. § 92 et ad Δ 37.
230 *καὶ ἤπιος*] hiatus vitiosus, cf. § 14; Nauck *μηδ᾽ ἤπιος*.
231 *σκηπτόοχος*] *-οῦχος* mss. ‖ *μηδὲ*] *μηδ᾽ ἐν* H.
232 *καὶ αἴσυλα*] hiatus vitiosus, cf. § 14; *καὶ ἀτάσθαλα* Nauck, *καὶ ἀίσυλα* aut *ἀήσυλα* PKnight coll. Ε 876. De voce *αἴσυλα* vid. ad Ε 403.

λαῶν, οἷσ' ἐϝάνασσε, πατὴρ δ' ὣς ἤπιος ἦεν. 234^b = 47
ἀλλ' ἦ τοι μνηστῆρας ἀγήνορας οὔ τι μεγαίρω
ϝέρδειν ϝέργα βίαια κακορραφίῃσι νόοιο·
σφὰς γὰρ παρθέμενοι κεφαλὰς κατέδουσι βιαίως
ϝοῖκον Ὀδυσσῆος, τὸν δ' οὐκέτι φασὶ νέεσθαι. 238 cf. ω 460
νῦν δ' ἄλλῳ δήμῳ νεμεσίζομαι, οἷον ἅπαντες
ἧσθ' ἄνεῳ, ἀτὰρ οὔ τι καθαπτόμενοι ϝεπέεσσι
παύρους μνηστῆρας καταπαύετε πολλοὶ ἐόντες."
τὸν δ' Εὐηνορίδης Ληόκριτος ἀντίον ηὔδα·
„Μέντορ ἀταρτηρὲ, φρένας ἠλεὲ, ποῖον ἔϝειπες
ἡμέας ὀτρύνων καταπαυέμεν; ἀργαλέον δέ.
εἴ περ γάρ τ' Ὀδυσεὺς Ἰθακήσιος αὐτὸς ἐπελθὼν
δαινυμένους κατὰ δῶμα ἑϝὸν μνηστῆρας ἀγαυοὺς
ἐξελάσαι μεγάροιο μενοινήσει' ἐνὶ θυμῷ,
οὔ κέν ϝοι κεχάροιτο γυνὴ μάλα περ χατέουσα
ἐλθόντ', ἀλλά κεν αὖθι ἀϝεικέα πότμον ἐπίσποι.

245 ἀνδράσι καὶ πλεόνεσσι μαχέσσασθαι περὶ δαιτί.
251 εἰ πλεόνεσσι μάχοιτο· σὺ δ' οὐ κατὰ μοῖραν ἔϝειπες.

234 οἷσ' ἐϝάνασσε] οἷσιν ἄνασσε mss.
236 κακορραφίῃσι] l. a. κακοφραδίῃσι (quae vox h. Cer. 227 extat). Vid. ad *Ο* 16.
237 παρθέμενοι] item γ 74 = ι 255 h. Ap. 455; idem significat παραβαλλόμενος *Ι* 322.
241 καταπαύετε Rhianus] κατερύκετε mss.; cf. vs. 168.
242 Ληόκριτος] Λαόκριτος PKnight, Λειόκριτος P^1 U, Λ(ε)ιώκριτος mss. cetera; vid. ad *Ρ* 344. Eodem vitio laborat nomen Λειώδης φ 144 etc. — Interficitur hic procus χ 294.
243 φρένας ἠλεὲ] cf. *Ο* 128.
244] ἡμέας *obiectum* est verbi καταπαύειν, subiectum autem τὸν δῆμον mente est supplendum (sic recte Clarke); vid. vs. 241.
245] coll. *Υ* 368 del. vHerwerden (Quaest. Ep. p. 39). Explicari nequit nisi *Telemachum* cogitet Leocritus: *molestum est* (*iuveni*) *pugnare cum viris* (*procis*) *qui vel numero superiores sint* (cf. π 88 υ 413). Nam *populum* numero vincere proci dici nequeunt. Itaque suspicetur fortasse quispiam, ὀτρύνων ϝ' ἧμας καταπαυέμεν' dedisse poetam; atqui non Telemachum sed plebem Mentor ad reprimendam procorum insolentiam modo incitavit. ‖ ἀνδράσι καὶ πλεόνεσσι] l. a. ἀνδράσι καὶ παύροισι (ex σ 383?). GHermann ἄνδρεσσι (sic H^2) πλεόνεσσι. ‖ μαχέσσασθαι] μαχήσασθαι H mss. alia.
246 τ' 1] κ' mss. cetera; cf. *Β* 123. De particularum γάρ τε iunctura vid. *Α* 81 *Ι* 406 γ 147 etc.; sed fortasse verum est *εἴ περ γὰρ Ὀδυσεύς, vid. ad *Ρ* 403.
247 ἑϝὸν] quidam ἔω sec. schol., quod in ἔο correxit LaRoche (sic H^1 D), item Polak, *Zenodoti* hanc fuisse lectionem iure statuens coll. *Ω* 486 α 413 (vid. etiam *Ξ* 118). An ἑοῦ Zenodotus dedit h. l. ut *Β* 239 *Τ* 384 (*Υ* 261) η 217? — Ahrens coniecit ἐλών. De pronominis forma vid. § 44.
248 μενοινήσει' D T] -σῃ(ι) F^2, -σει mss. cetera; cf. § 113. Quoniam Leocritus loquitur de re quam incredibilem censet, non subiunctivus requiritur sed optativus: *etiamsi ipse Ulixes* (*quem dudum mortuum esse arbitror*) *abigere nos tentaret*. Vid. ad *Α* 205.
249 sq. ϝοι … ἐλθόντ'(ι)] vid. ad *Ε* 682.
250 ἀλλά — ἐπίσποι] notetur subi. mutatum. ‖ αὖθι § 322] αὐτοῦ mss. ‖ ἐπίσποι] -ῃ F H^2 mss. alia.
251] del. Duentzer. ‖ πλεόνεσσι μάχοιτο] πλέον ἐπὶ μ. F^1, πλέονές οἱ ἕποιντο (Ar.?) Didymus, qui vulgatam ridiculam vocat; at vid. § 119.

ἀλλ' ἄγε, λαοὶ μὲν σκίδνασθ' ἐπὶ ϝέργα ϝέκαστος·
τούτῳ δ' ὀτρυνέει Μέντωρ ὁδὸν ἠδ' Ἀλιθέρσης,
οἵ τέ ϝοι ἐξ ἀρχῆς πατρώιοί εἰσιν ἑταῖροι. 254 = ρ 69
ἀλλ' ὀίω, καὶ δϝηθὰ καθήμενος ἀγγελιάων
πεύσεται ἐν Ἰθάκῃ, τελέει δ' ὁδὸν οὔ ποτε ταύτην."
ὣς ἄρ' ἐφώνησεν, 'λῦσεν δ' ἀγορὴν αἰψηρήν. 257 = *Τ* 276

οἱ μὲν ἄρ' ἐσκίδναντο ἑϝὸν πρὸς δῶμα ϝέκαστος, 258 cf. *Τ* 277
μνηστῆρες δ' εἰς δώματ' ἴσαν θείοι' Ὀδυσῆος. 259 cf. δ 621
Τηλέμαχος δ' ἀπάνευθε κιὼν ἐπὶ θῖνα θαλάσσης 260 cf. ζ 236
χεῖρας νιψάμενος πολιῆς ἁλὸς ηὔχετ' Ἀθήνῃ· 261^a = μ 336 cf. κ 182
„κλῦθί μοι, ὃ χθιζὸς θεὸς ἤλυθες ἡμέτερον δῶ
καί μ' ἐν νή' ἐκέλευσας ἐπ' ἠεροϝειδέα πόντον
νόστον πευσόμενον πατρὸς δϝὴν οἰχομένοιο 264 cf. α 281 β 215
ἔρχεσθαι· τὰ δὲ πάντα διατρίβουσιν Ἀχαιοὶ,
μνηστῆρες δὲ μάλιστα κακῶς ὑπερηνορέοντες." 266 cf. δ 766
ὣς ἔφατ' εὐχόμενος· σχεδόθεν δέ ϝοι ἦλθεν Ἀθήνη, 267^b = ν 221 υ 30
Μέντορι ϝειδομένη ἠμὲν δέμας ἠδὲ καὶ αὐδὴν, 268 = 401 χ 206 ω 502, 548
καί μιν φωνήσασ' ἔπεα πτερόεντα προσηύδα·
„Τηλέμαχ', οὐδ' ὄπιθεν κακὸς ἔσσεαι οὐδ' ἀνοήμων,
εἰ δή τοι σοῦ πατρὸς ἐνέστακται μένος ἠὺ,
οἷος κεῖνος ἔην τελέσαι ϝέργον τε ϝέπος τε· 272^a = ξ 491
οὔ τοι ἔπειθ' ἁλίη ὁδὸς ἔσσεται οὐδ' ἀτέλεστος.
εἰ δ' οὐ κείνου γ' ἐσσὶ γόνος καὶ Πηνελοπείης,

256 ἐν H] εἰν mss. pleraque; vid. § 315.
257 'λῦσεν] λῦσαν M^1 Apoll. lex. s. v. αἶψα, Suid. s. v. αἰψηρήν, quod recepit LaRoche, Aristarcho tribuit Kayser. ‖ αἰψηρήν] sic Ar.; λαιψηρήν H^2 M^2 mss. alia. Adi., quod nonnisi *Τ* 276 δ 103 redit, adverbii loco (per prolepsin) est collocatum; vert.: *dimisit concionem, quae statim discessit*.
258 ἑϝὸν (ϝεὸν) πρὸς δῶμα Bekker] ἑὰ πρὸς δώμαθ' mss.; vid. *Α* 606 *Ι* 656, 712 etc. et ad *Ω* 1. Wecklein coniecit ἑὰ πρὸς ἔργα coll. vs. 252.
259 εἰς] ἀνὰ D mss. alia (male). ‖ θείοι' P^2] θείου mss. cett.; vid. § 59.
260 ἀπάνευθε κιών] -θεν ἰὼν mss. pleraque. Cf. *Α* 35 *Ξ* 440. ‖ θῖνα F Ar.] θινὶ P M mss. alia (θινῇ G); cf. ζ 236.
261-267] del. Duentzer; Kirchhoff statuit diasceuastam (vid. ad α 88 sqq.) verba Telemachi vs. 262-266, quibus respicitur liber α, finxisse aut mutasse.
262 μοι] μευ G; vid. § 92, *Ε* 115 *Κ* 278 et ad *Α* 37 ζ 239, 324. ‖ ὃ] ὃς G P mss. alia.
263 νή' ἐκέλευσας] νηὶ κέλ. mss.
269 ἔπεα] neglecto ϝ. Vid. ad *Ο* 35.
271 εἰ δή] vid. ad *Α* 61. ‖ ἐνέστακται] comp. †, simplex *Τ* 39, 348, 354.
272 οἷος … τελέσαι] pronomini οἷος etiam ξ 491 χ 234 sq. subiungitur infinitivus; vid. ad β 60. ‖ κεῖνος (Ar.)] ἐκεῖνος mss.; vid. § 97 et ad *Ο* 94. ‖ ἔην] ἔεν? cf. § 302.
274-280] del. PKnight.
274 οὐ] vid. ad *Γ* 289.

275 οὐ σέ γ' ἔπειτα ϜέϜολπα τελευτήσειν ἃ μενοινᾷς.
278 ἀλλ' ἐπεὶ οὐδ' ὄπιθεν κακὸς ἔσσεαι οὐδ' ἀνοήμων
οὐδέ σε πάγχυ γε μῆτις Ὀδυσσῆος προλέλοιπε, [ψ 287
280 Ϝελπωρή τοι ἔπειτα τελευτήσειν τάδε Ϝέργα. 280^{a} = ζ 314 η 76
τῷ νῦν μνηστήρων μὲν ἔα βουλήν τε νόον τε 281^{b} = δ 267 λ 177 cf. μ 211 ν 305 π 374
ἀφραδέων, ἐπεὶ οὔ τι νοήμονες οὐδὲ δίκαιοι, 282 cf. γ 133
οὐδέ τι Ϝίσσασιν θάνατον καὶ κῆρα μέλαιναν,
ὡς δή σφι σχεδόν ἐστιν ἕν' ἤματι πάντας ὀλέσθαι.
285 σοὶ δ' ὁδὸς οὐκέτι δηρὸν ἀπέσσεται, ἣν σὺ μενοινᾷς· 285^{a} = ϑ 150
τοῖος γάρ τοι ἑταῖρος ἐγὼ πατρώϊός εἰμι,
ὅς τοι νῆα θοὴν στελέω καὶ ἅμ' ἕψομαι αὐτός.
ἀλλὰ σὺ μὲν πρὸς δώματ' ἰὼν μνηστῆρσιν ὁμίλει,
ὅπλισσόν τ' ἤια καὶ ἄγγεσιν ἄρσον ἅπαντα,
290 Ϝοῖνον ἐν ἀμφιφορεῦσι καὶ ἄλφιτα, μυελὸν ἀνδρῶν,
δέρμασιν ἓν πυκινοῖσιν· ἐγὼ δ' ἀνὰ δῆμον ἑταίρους
αἶψ' ἐθελοντῆρας συλλέξομαι. εἰσὶ δὲ νῆες
πολλαὶ ἐν ἀμφιάλῳ Ἰθάκῃ, νέαι ἠδὲ παλαιαί· 293 cf. α 395
τάων μέν τοι ἐγώ γε ἐπόψομαι ἥ τις ἀρίστη,
295 ὦκα δ' ἐφοπλίσσαντες ἐνήσομεν εὐρέϊ πόντῳ.“ 295^{b} = μ 293
ὣς 'φάτ' Ἀθηναίη κούρη Διός· οὐδ' ἄρ' ἔτι δϜὴν 296^{b} sq.^{a} = ρ 72 sq.
Τηλέμαχος παρέμιμνεν, ἐπεὶ θεοῦ ἔκλυεν αὐδὴν, 297^{b} = Ο 270
'βῆ δ' ἴμεναι πρὸς δῶμα φίλον τετιημένος ἦτορ. 298 = ϑ 303 cf. σ 153
ηὗρε δ' ἄρα μνηστῆρας ἀγήνορας ἐν μεγάροισι 299^{a} = α 106
300 αἶγας ἀνιεμένους σιάλους θ' εὕοντας ἐν αὐλῇ.

276 παῦροι γάρ τοι παῖδες ὁμοῖοι πατρὶ πέλονται,
οἱ πλέονες κακίους, παῦροι δέ τε πατρὸς ἀρείους.

275 *σέ γ'*] *δέ σ'* mss. complura, Ar. *σε*.
276 sq.] gnomicos versus eiecit Bekker; cf. *I* 63 sq., 320. Huic assensus Friedlaender praeterea statuit duas recensiones h. l. coaluisse, quarum altera versus 272-275 habuerit, altera versus 279 sq.
277 *κακίους... ἀρείους*] formae noviciae, vid. § 85.
280 *τελευτήσειν* D] *-τῆσαι* mss. cett.; vid. ψ 287. Aoristo favet η 76 (= ζ 314).
283 *ἴσσασι(ν)* G Y R] *ἴσασιν* mss. cett.; cf. § 160.
284 *ὡς* Nauck] *ὅς* mss. ‖ **ἕν'*] *ἐπ'* mss.; vid. *Z* 422 et ad *K* 48 *T* 229.
285 *δηρὸν*] neglecto Ϝ; **οὔ τ(ο)ι δϜηρὸν*?
292 *αἶψ'*] *ἆψ* F mss. alia; vid. ad ϑ 92. ‖ *ἐθελοντῆρας*] †.
294 *ἐγώ γε ἐπόψομαι* vHerwerden] *ἐγὼν ἐπιόψομαι* mss.; item *I* 167, vid. etiam *P* 381.
298 *ἴμεναι* G F H^{1}] *ἰέναι* mss. multa; cf. § 125.
299 *ἀγήνορας ἐν μεγάροισι*] *ἐνὶ μεγάροισιν ἑοῖσιν* G F P mss. alia (cf. α 295 τ 573 ω 162).
300 *ἀνιεμένους*] *aperientes* (cf. *X* 80 et *διαχέω* γ 456), i. e. excoriantes et visceribus purgantes; fuse res describitur Eur. Electr. 826. ‖ *εὕοντας*] *setas adurentes*; cf. *I* 468 ξ 426; quod *sub divo* factum esse quivis intellegit. Aperto errore *εὕδοντας* P^{1} H, nec melius Barnes *ἐν αὐγῇ* (ex *I* 206).

Ἀντίνοος δ' ἰθὺς γελάσας 'κίε Τηλεμάχοιο,
ἔν τ' ἄρα Ϝοι 'φῦ χειρὶ Ϝέπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε· 302 = Z 253
„Τηλέμαχ' ὑψαγόρη, μένος ἄσχετε, μή τί τοι ἄλλο 303 cf. 85
ἐν στήθεσσι κακὸν μελέτω Ϝέργον τε Ϝέπος τε,
305 ἀλλὰ μάλ' ἐσθέμεναι καὶ πινέμεν', ὡς τὸ πάρος περ.
ταῦτα δέ τοι μάλα πάντα τελευτήσουσιν Ἀχαιοὶ,
νῆα καὶ ἐξαίτους ἐρέτας, ἵνα θᾶσσον ἵκηαι
εἰς Πύλον ἠγαθέην μετ' ἀγαυοῦ πατρὸς ἀκουήν.“ 308 cf. δ 701 sq. ε 19 sq. ξ 179 sq.
τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα· [sq.
310 „Ἀντίνο', οὔ πως ἔστιν ὑπερφιάλοισι μεθ' ὕμιν 310 sq. cf. φ 289
δαίνυσθαί τ' ἀκέοντα καὶ εὐφραίνεσθαι ἕκηλον. 311^{a} cf. ξ 195
οὐ Ϝάλις ὡς τὸ πάροιθεν ἐκείρετε πολλὰ καὶ ἐσθλὰ
κτήματ' ἐμὰ, μνηστῆρες, ἐγὼ δ' ἔτι νήπιος ἦα; 313^{b} = τ 19
νῦν δ', ὅτε δὴ μέγας εἰμὶ καὶ ἄλλων μῦθον ἀκούων 314^{a} cf. σ 217 τ 532
315 πυνθάνομαι καὶ δή μοι ἀέξεται ἔνδοθι θυμὸς,
318 εἶμι μὲν — οὐδ' ἁλίη ὁδὸς ἔσσεται ἣν ἀγορεύω — 318 cf. Ω 92, 224
ἔμπορος, οὐ γὰρ νηὸς ἐπήβολος οὐδ' ἐρετάων
320 γίγνομαι· ὥς νύ ποθ' ὕμιν ἐϜείσατο κέρδιον εἶναι.“
321 ἦ ῥα, καὶ ἐκ χειρὸς χεῖρ' ἐσπάσατ' Ἀντινόοιο.

316 πειρήσω ὥς χ' ὕμι κακὰς ἐπὶ κῆρας ἰήλω,
ἠὲ Πύλονδ' ἐλθὼν ἤ' αὐτόθι τῷδ' ἐνὶ δήμῳ.
322 ῥεῖα· μνηστῆρες δὲ δόμον κάτα δαῖτ' ἐπένοντο. 322 cf. χ 199
316 sq. Ar. — ‖ 322 Aristoph. Ar. —

305 *μάλ'*] *μοι* G mss. alia. ‖ **ἐσθέμεναι*] *ἐσθιέμεν* mss.; cf. § 126. Cf. φ 69 η 220.
308 *ἠγαθέην*] *ἠμαθίην* Rhianus; item δ 599, 702 ε 20 ξ 180 (*ἠμαθόεις* dicitur haec urbs *I* 153 α 93 etc.). De sono *ἠ-* cf. § 21. ‖ *ἀκουήν*] redit vox *Π* 634 δ 701 ε 19 ξ 179 ρ 43.
311 *ἀκέοντα*] *ἀέκοντα* Rhianus (vid. Ludwich Arist. I p. 526), sic P mss. alia. Cf. *Α* 348. ‖ *ἕκηλον*] neglecto Ϝ; Malden *εὐφραίνεσθ' εὔκηλον* metro non favente, neque prima syllaba adiectivi *Ϝέκηλος - εὔκηλος* in *thesi* longa reperitur (vid. *Α* 554 *P* 371 γ 263 ξ 479 h. Merc. 480). Bekker *εὐφραίνεσθ' ἕυκηλον*. An **δαίνυσθαί τε Ϝέκηλον ἰδ' εὐφραίνεσθ' ἀκέοντα* (cf. φ 289 sq.)?
312 *οὐ* (Nauck) Menrad] *ἦ οὐχ* mss.; cf. α 298 et § 8.
314 *ὅτε δή*] praesenti tempori praemittitur etiam *Y* 29 ρ 461 σ 217 τ 532, item *ὅτε* sine *δή* ε 357 μ 22 ν 129.
316 sq.] versus ineptos iure damnavit Ar.
316 *χ' ὕμι* § 92] *χ' ὕμμι, κ' ὕ(μ)μι, κ' ὕμμι* mss.
317 *αὐτόθι* § 322] *αὐτοῦ* mss.
318-320] del. Adam; nobis unus vs. 320 spurius videtur.
319 *ἔμπορος*] redit vox ω 300; non *mercatorem* designari sed eum qui apud posteros dicebatur *ἐπιβάτης* (i. e. *qui mercede pacta aliena nave vehitur*), vere observatur in scholiis; cf. *ἐπίβαθρον* ο 449. ‖ *ἐπήβολος*] †, *particeps, compos*; cf. Herod. VIII 111 Aesch. Prom. 444 Soph. Ant. 492 Plat. Euthyd. 289*b* etc., *ἐπαβολά rata pars* leg. Gort. V^{50}.
320 *ποθ'* § 322] *που* mss. pleraque, *περ* F^{1} P^{1} alia. ‖ *ὕμιν* § 92] *ὕμιν ὑμῖν ὕμμιν ὕ(μ)μιν* mss.
321 *χεῖρ' ἐσπάσατ'*] *χεῖρα σπάσατ'* Ar. et mss. pleraque (*σπάσεν* K alia). Cf. *Α* 240.
322 *ῥεῖα*] *robur* Telemachi extollendi nullam

οἱ δ' ἐπελώβευον καὶ ἐκερτόμεον ϝεπέεσσι·
ὧδε δέ τις 'ϝείπεσκε νέων ὑπερηνορεόντων· 324 = δ 769 ϱ 482 υ 375 φ 361
„ἦ μάλα Τηλέμαχος φόνον ἧμιν μερμηρίζει.
ἤ τινας ἐκ Πύλου ἄξει ἀμύντορας ἠμαθόεντος,
ἢ ὅ γε καὶ Σπάρτηθεν; ἐπεί νύ περ ἵεται αἰνῶς.
ἠὲ καὶ εἰς 'Εφύρην ἐθέλει, πίειραν ἄρουραν,
ἐλθέμεν', ὄφρ' ἔνθεν θυμοφθόρα φάρμακ' ἐνείκῃ,
ἐν δὲ βάλῃ κρητῆρι καὶ ἧμας πάντας ὀλέσσῃ."
ἄλλος δ' αὖ 'ϝείπεσκε νέων ὑπερηνορεόντων· 331 = φ 401
„τίς ϝοῖδ' εἴ κε καὶ αὐτὸς ἰὼν κοίλης ἐπὶ νηὸς
τῆλε φίλων ἀπόληται ἀλώμενος, ὥς περ 'Οδυσσεύς;
οὕτω κεν καὶ μᾶλλον ὀφείλειεν πόνον ἧμιν· 334ᵇ cf. Π 651
κτήματα γάρ κεν πάντα δασαίμεθα, ϝοικία δ' αὖτε 335 sq. cf. π 385 sq.
τούτου μητέρι δοῖμεν ἔχειν ἠδ' ὅς τις ὀπυίοι."
ὣς 'φάν· ὃ δ' ὑψόροφον θάλαμον κατεβήσετο πατρὸς
εὐρὺν, ὅθι νητὸς χρυσὸς καὶ χαλκὸς ἔκειτο
ϝεσθής τ' ἐν χηλοῖσι ϝάλις τ' εὐῶδες ἔλαιον·
ἓν δὲ πίθοι ϝοίνοιο παλαιοῦ ϝηδυπότοιο
ἕστασαν, ἄκρητον θεῖον ποτὸν ἐντὸς ἔχοντες,
ἑξείης ποτὶ τοῖχον ἀρηρότες, εἴ ποτ' 'Οδυσσεὺς
ϝοίκαδε νοστήσειε καὶ ἄλγεα πολλὰ μογήσας.
κληισταὶ δ' ἔπεσαν σανίδες πυκινῶς ἀραρυῖαι 344ᵇ cf. Φ 535
δικλίδες· ἓν δὲ γυνὴ ταμίη νύκτας τε καὶ ἦμαρ 345ᵇ = Ε 490

---

hic esse occasionem senserunt critici Alexandrini; similis interpolatio est κ 306. || *δαῖτ' ἐπένοντο* H] *δαῖτα πένοντο* mss. cett.

323 *ἐπελώβευον*] comp. †, simplex ψ 15, 26, cf. *λωβήσασθαι* Α 232 etc. (*λώβη, λωβητήρ*).

325 *ἧμιν*] *ἧμισι?* cf. § 93; displicet vocabulum spondiacum quartum versus pedem implens.

326 *ἠμαθόεντος*] vid. § 21.

327 *περ ἵεται*] neglectum est verbi ϝ (vid. § 201), insolite autem particula *περ* alii particulae subiungitur (vid. § 329); Monro *τε ϝίεται*.

328] de *Ephyra* cf. α 259.

329 *ἐλθέμεν'* § 125] *ἐλθεῖν* mss. || *φάρμακ'*] vid. ad α 261.

330 *ἧμας* § 92] *ἡμέας* mss.

331 *αὖ* q] *αὖτ'* mss. cett.

332 *τίς* schol. Κ 204] *τίς δ'* (*γ'* U[2]) mss.

334 *ὀφείλειεν* Nauck] *ὀφέλλειεν* mss., item Π 651. Cf. § 272. || *πόνον*] ironice dictum. || *ἧμιν* § 92] *ἄμμι(ν)* mss.

337 *κατεβήσετο* G] *-σατο* F P; cf. § 152. — Cellam vinariam infra solum esse constructam et per se est veri simile et ex *descendendi* verbo efficitur; etiam Ζ 288 Ω 191 ο 99 significari videntur cellae ad quas per gradus aliquot descendebatur. Sunt tamen qui *intrare* vertant coll. δ 680 *κατ' οὐδοῦ βαίνειν*.

341 *ἕστασαν*] *ἔστασαν* H mss. alia.

345-347] poeta Telemachiae, cui hi versus debentur, auditoribus nondum notam censet Eurycleam: non fecit igitur libri α exitum. Kirchhoffii acuta haec est observatio.

ἔσχ', ἣ πάντ' ἐφύλασσε νόου πολυϝιδρίηφι,
Εὐρυκλέει' Ὦπος θυγάτηρ Πεισηνορίδαο. 347 = α 429
τὴν τότε Τηλέμαχος προσέφη θάλαμόνδε καλέσσας·
„μαῖ', ἄγε δή μοι ϝοῖνον ἐν ἀμφιφορεῦσιν ἄφυσσον 349 cf. 379
ϝηδὺν, ὅτις μετὰ τὸν λαερώτατος, ὃν σὺ φυλάσσεις
κεῖνον ὀιομένη τὸν κάμμορον, εἴ ποθεν ἔλθοι 351 cf. υ 224
διογενὴς 'Οδυσεὺς θάνατον καὶ κῆρας ἀλύξας· 352 = ε 387
δώδεκα δ' ἔμπλησον καὶ πώμασιν ἄρσον ἅπαντας.
ἐν δέ μοι ἄλφιτα χεῦον ἐυρραφέεσσι δοροῖσι· 354 cf. 380
ϝείκοσι δ' ἔστω μέτρα μυληφάτου ἀλφίτου ἀκτῆς.
αὐτὴ δ' οἴη ϝίσθι· τὰ δ' ἁθρόα πάντα τετύχθω·
ϝεσπέριος γὰρ ἐγὼν αἱρήσομαι, ὁππότε κεν δὴ
μήτηρ εἰς ὑπερῷ' ἀναβῇ κοίτου τε μέδηται.
εἶμι γὰρ εἰς Σπάρτην τε καὶ εἰς Πύλον ἠμαθόεντα 359 sq. cf. α 93 sq. 359 sq.ᵃ = 214 sq.
νόστον πευσόμενος πατρὸς φίλου, αἴ κεν ἀκούσω." 360ᵇ = γ 83
ὣς 'φάτ'· ἐκώκυσεν δὲ φίλη τροφὸς Εὐρυκλέεια 361ᵃ = Ω 200
καί ϝ' ὀλοφυρομένη ϝέπεα πτερόεντα προσηύδα·
„τίπτε δέ τοι, φίλε τέκνον, ἐνὶ φρεσὶ τοῦτο νόημα 363 sq.ᵃ cf. ο 326 sq.
ἔπλετο; πῇ δ' ἐθέλεις ἴμεναι πολλὴν ἐπὶ γαῖαν
μοῦνος ἐὼν, ἀγαπητός; ὃ δ' ὤλετο τηλόθι πάτρης
διογενὴς 'Οδυσεὺς ἀλλογνώτῳ ἐνὶ δήμῳ.

---

346 *ἔσχ'*] *ἔσκε(ν)* G F P mss. alia. Verbum suspectum; Nitzsch dubitanter *ἶσχ'* (*ἶσχ'*), *servabat, reclusa tenebat* (vid. ad α 53), quoniam requiritur imperfectum, anus autem in cella reclusa et obscura (cf. vs. 337) *perpetuo degere* dici non potuit; cf. etiam vs. 348. GHermann vs. 345 *ἐπὶ* proposuit, pro *ἐπί* id dici potuisse ratus, *ἔπεσκε* autem interpretatus *ἐπῆν*. Sed languet *ἣ πάντ' ἐφύλασσε* post *ἶσχε* vel *ἐπῆν*. Quapropter pro *ἔσχ' ἥ* expectatur potius accusativus aliquis plur. neutr., e. g. *κτήματα* vel *ἄρμενα*. || *πάντ' ἐφύλασσε*] *πάντα φ.* H mss. alia. || **πολυϝιδριίηφι*] *-δρ(ε)ίῃσιν* mss.; vox nonnisi ψ 77 redit, ubi vid.

347 *Εὐρυκλέει'* § 73] *-κλει'* mss.

350 *ὅτις*] *ὅστις* mss. pleraque miro consensu. || **λαερώτατος*] *λαρώτατος* (*-τερος*) mss., vid. § 20 et ad Ρ 572; Sittl *λιαρώτατος*. || *ὅν*] l. a. *ὤν*.

351 *ὀιομένη*] cum obiecto personae (= *προσδοκᾶν*), item υ 224, vid. etiam Ν 283.

354 *χεῦον*] *χεῦσον* mss. complura.

355 *μυληφάτου*] †, a stirpe *φα* (*φεν-φον*) § 281? cf. *ὀδυνήφατος* Ε 401 Λ 847, *μύλη* η 104 etc.

358 *ἀναβῇ*] novicium pro *-βήῃ*, cf. § 122. || *κοίτου*] *κοίτης* Y (vid. ad τ 341).

359 *ἠμαθόεντα*] *-εσσαν* Y. De sono *ἠ-* vid. § 21.

360 **αἴ κεν*] *ἤν που* mss.; vid. § 326 et ad α 94.

361 *'φάτ'· ἐκώκυσεν*] *φάτο· κ.* mss. || *φίλη τροφὸς*] acute observavit Kirchhoff diasceuastam hoc rescripsisse pro adiectivo *περίφρων*, vid. τ 357 et ad β 345-347. || *Εὐρυκλέεια* § 73] *-κλεια* mss.

362 *ϝ']] *ἑ'* mss.

363 *φίλε τέκνον*] cf. Χ 84.

364 *πῇ δ'*] **ἦ ϱ'?* || *ἴμεναι* § 125] *ἰέναι* mss.

366 *ἀλλογνώτῳ*] *-των* G T Apoll. lex. — Adi. †; cf. *γνωτός* Γ 174 etc.

οἵ δέ τοι αὐτίκ' ἰόντι κακὰ φράσσονται ὀπίσσω,
ὥς κε δόλῳ φθίεαι, τάδε δ' αὐτοὶ πάντα δάσονται.
ἀλλὰ μέν' αὖθ' ἐπὶ σοῖσι καθήμενος· οὐδέ τί σε χρὴ
πόντον ἔπ' ἀτρύγετον κακὰ πασχέμεν' οὐδ' ἀλαλῆσθαι.“
τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
„θάρσεε, μαῖ', ἐπεὶ οὔ τοι ἄνευ θεοῦ ἥδε γε βουλή.
ἀλλ' ὄμοσον μὴ μητρὶ φίλῃ τάδε μυθήσεσθαι,
πρίν γ' ὅτε χ' ἑνδεκάτη τε δυωδεκάτη τε γένηται — 374 cf. δ 588
ἢ αὐτὴν ποθέσαι καὶ ἀφορμηθέντος ἀκοῦσαι, — 375 sq. cf. δ 748 sq.
ὥς κεν μὴ κλαίουσα κατὰ χρόα καλὸν ἰάπτῃ.“
ὣς ἄρ' ἔφη· γρῆυς δὲ θεῶν μέγαν ὅρκον ἐπώμνυ.
αὐτὰρ ἐπεί ῥ' ὄμοσέν τε 'τελεύτησέν τε τὸν ὅρκον, — 378 = Ξ 280
αὐτίκα δή Ϝοι Ϝοῖνον ἐν ἀμφιφορεῦσιν ἄφυσσε, — 379 cf. 349
ἐν δέ Ϝοι ἄλφιτ' ἔχευεν ἐυρραφέεσσι δοροῖσι. — 380 cf. 354
Τηλέμαχος δ' εἰς δώματ' ἰὼν μνηστῆρσιν ὁμίλει. — [242, 344 [ζ 112 σ 187 cf. ψ
ἔνθ' αὖτ' ἄλλ' ἐνόησε θεὰ γλαυκῶπις Ἀθήνη· — 382 = 393 δ 795; 382[a] = Ψ 140
Τηλεμάχῳ ϜεϜικυῖα κατὰ πτόλιν ᾤχετο πάντῃ — 383[b] = ω 413
καί ῥα Ϝεκάστῳ φωτὶ παρισταμένη 'φάτο μῦθον, — 384 = ϑ 10
Ϝεσπερίους δ' ἐπὶ νῆα θοὴν ἀγρέσθαι ἄνωγε·
ἣ δ' αὖτε Φρονίοιο Νοήμονα φαίδιμον υἱὸν
ᾔτεε νῆα θοήν, ὃ δέ Ϝοι πρόφρων ὑπέδεκτο. — 387[b] cf. Ι 480
'δύσετό τ' ἠέλιος, 'σκιάοντό τε πᾶσαι ἀγυιαί· — 388 = γ 487, 497 λ 12 ο 185, 296, 471
καὶ τότε νῆα θοὴν ἅλαδ' εἴρυσε, πάντα δ' ἐν αὐτῇ — 388[a] = ζ 321 η 289 ϑ 417 cf. Η 465
ὅπλ' ἐτίθει, τά τε νῆες ἐύσσελμοι φορέουσι,
'στῆσε δ' ἐπ' ἐσχατιῇ λιμένος, περὶ δ' ἐσθλοὶ ἑταῖροι

368 *φθίεαι] φθείης sive φθίῃς mss.; vid. ad Σ 446 et § 166. Aoristi medii est forma; de termino -εαι vid. § 122, alibi φθίεται et φθιόμεσθα (Ξ 87) extant. || δάσονται] δάσωνται F H[1] mss. alia (δάσσωνται G).

370 πασχέμεν' § 125] πάσχειν mss.

372 θάρσεε § 191] θάρσει mss.

373 μυθήσεσθαι Ar. N K[2]] -σασθαι mss. cett.

374 ὅτε χ' § 326] ὅτ' ἂν mss.

375 ἢ] ἢ Ϝ' LaRoche coll. δ 748.

376 κεν § 326] ἂν mss. || ἰάπτῃ] ἰάψῃ Apoll. lex.

377 ἐπώμνυ K] ἀπώμνυ mss. pleraque, item κ 345, 381 μ 303; Aristarchum praepositionem ἐπ- probasse ex Κ 332 ο 437 σ 58 apparet; neque de eo qui iurat se aliquid *non* facturum ἀπ- praestat.

379 αὐτίκα δή Nauck] αὐτίκ' ἔπειτα mss.; PKnight αὐτίκ' ἔπειτ' ἄρα. Fortasse sufficit verborum traiectio *Ϝοῖνόν Ϝ'(οι) αὐτίκ' ἔπειτα (in F deest οἱ).

380 ἄλφιτ' ἔχευεν] -τα χεῦεν mss. pleraque.

382-392] del. Hennings.

383] de asyndeto vid. Ψ 141, 194 δ 796 σ 188 et ad β 394.

385 *ἀγρέσθαι] ἀγέρεσθαι mss.; cf. § 255. || ἄνωγε(ν) U[1]] ἀνώγει mss. cett.; vid. § 225.

388] cf. Verg. Aen. III 508: *sol ruit interea et montes umbrantur opaci.* || 'σκιάοντο § 191] -ιόωντο mss.

389 εἴρυσε] ἔϜρυσε? cf. § 293.

ἀθρόοι ἠγερέθοντο· θεὰ δ' ὤτρυνε Ϝέκαστον.
ἔνθ' αὖτ' ἄλλ' ἐνόησε θεὰ γλαυκῶπις Ἀθήνη· — 393 = 382
'βῆ ῥ' ἴμεναι πρὸς δώματ' Ὀδυσσῆος θείοιο·
ἔνθα μνηστήρεσσιν ἐπὶ γλυκὺν ὕπνον ἔχευε, — 395[b] cf. Ω 445[a]
'πλάζε δὲ πίνοντας, χειρῶν δ' ἔκβαλλε κύπελλα.
οἳ δ' εὕδειν ὤρνυντο κατὰ πτόλιν οὐδ' ἄρ' ἔτι δϜὴν
ἦατ', ἐπεί σφισιν ὕπνος ἐπὶ βλεφάροισιν ἔπιπτε.
αὐτὰρ Τηλέμαχον προσέφη γλαυκῶπις Ἀθήνη, — 399 cf. α 156
ἐκ προκαλεσσαμένη μεγάρων εὖ ναιεταόντων, — 400[a] = h. Ap. 111
Μέντορι Ϝειδομένη ἠμὲν δέμας ἠδὲ καὶ αὐδήν· — 401 = 268
„Τηλέμαχ', ἤδη μήν τοι ἐυκνήμιδες ἑταῖροι
ἦατ' ἐπήρετμοι τὴν σὴν ποτιδέγμενοι ὁρμήν·
ἀλλ' ἴομεν, μὴ δϜηθὰ διατρίβωμεν ὁδοῖο.“ — [η 37 sq.
ὣς ἄρα φωνήσασ' ἡγήσατο Παλλὰς Ἀθήνη — 405 sq. = γ 29 sq.; 405 cf. ε 192
καρπαλίμως· ὃ δ' ἔπειτα μετ' ἴχνεα 'βαῖνε θεοῖο. — 406 = ε 193
αὐτὰρ ἐπεί ῥ' ἐπὶ νῆα κατήλυθον ἠδὲ θάλασσαν, — 407 = δ 428 ϑ 50 etc. cf. δ 573 λ 1
ηὗρον ἔπειτ' ἐπὶ θινὶ κάρη κομάοντας ἑταίρους.
τοῖσι δὲ καὶ μετέϜειφ' ἱερὴ Ϝὶς Τηλεμάχοιο· — 409 = σ 405 φ 101 cf. σ 60 φ 130
„δεῦτε, φίλοι, ἤια φερώμεθα· πάντα γὰρ ἤδη
ἀθρό' ἐνὶ μεγάρῳ. μήτηρ δ' ἐμὴ οὔ τι πέπυσται,
οὐδ' ἄλλαι δμῳαί, μία δ' οἴη μῦθον ἄκουσε.“
ὣς ἄρα φωνήσας ἡγήσατο, τοὶ δ' ἅμ' ἕποντο. — 413 = Μ 251
οἳ δ' ἄρα πάντα φέροντες ἐυσσέλμῳ ἐπὶ νηὶ
κάτθεσαν, ὡς ἐκέλευσεν Ὀδυσσῆος φίλος υἱός.
ἂν δ' ἄρα Τηλέμαχος νηὸς 'βαῖν', ἦρχε δ' Ἀθήνη· — 416 sq. cf. ο 284 sq.
νηὶ δ' ἐνὶ πρυμνῇ κατ' ἄρ' ἕζετο, ἄγχι δ' ἄρ' αὐτῆς — 416 cf. γ 12

404 Zen. —

392 ἀθρόοι] l. a. αὐτήν (an αὐτοῦ, i. e. αὐτόθι, fuit l. a.?).

394 ῥ' F] δ' mss. cetera. Vid. δ 220 ζ 252 ψ 345 et ad β 383. || ἴμεναι] ἰέναι P mss. alia.

398 ἦατ' § 220] εἵατ' mss.

402 μήν § 18] μέν mss. || ἑταῖροι] Ἀχαιοὶ G P; cf. vs. 408.

403 ἦατ' § 220] εἵατ' mss. || ἐπήρετμοι] hic *sodalium* est epitheton (Att. ἐπίκωπος, cf. μ 171), ceteris locis (δ 559 ε 16, 141 ξ 224 ρ 145) *navium.* || τὴν σήν] articulus novicius, vid. ad Α 185.

404 ὁδοῖο] vid. ad Β 785.

406 *ἴχνεα] ἴχνη H[2], ἴχνια mss. cetera; vid. ad Ν 71.

407] in marg. habent G F P, post vs. 408 posuit D, post vs. 416 O.

408 κάρη κομάοντας] vid. ad α 90. || κομάοντας § 191] κομόωντας mss. || ἑταίρους] Ἀχαιούς G P mss. alia; cf. vs. 402.

409 μετέϜειφ'] μετέφη LaRoche; vid. vs. parall.

410 ἤια] ὄφρ' ἦα Callistratus; de forma contracta vid. ad ε 266.

411 δ' ἐμή] δ' ἐμοὶ H[1] non male (δέ μοι).

414 ἐπὶ] ἐνὶ mss. complura.

ἕζετο Τηλέμαχος. τοὶ δὲ πρυμνήσἰ ἔλυσαν, — 418^{b} = ο 286, 552
ἂν δὲ καὶ αὐτοὶ βάντες ἐπὶ κληῖσι καθῖζον. — 419 = δ 579
τοῖσιν δ' ἴκμενον οὖρον ἵει γλαυκῶπις Ἀθήνη, — 420 = ο 292; 420^{a} = Α 479
ἀκραέα ζέφυρον, κελάδοντ' ἐπὶ Ϝοίνοπα πόντον.
Τηλέμαχος δ' ἑτάροισιν ἐποτρύνων ἐκέλευσε — 422 = ο 217, 287; 422^{b} cf. ι 488 κ 128
ὅπλων ἅπτεσθαι, τοὶ δ' ὀτρύνοντος ἄκουσαν· — 423 cf. ο 288; 423^{b} = τ 419
ἱστὸν δ' ἐλάτινον κοίλης ἔντοσθε μεσόδμης — 424-426 = ο 289 sqq.
'στῆσαν ἀείραντες, κατὰ δὲ προτόνοισιν ἔδησαν,
εἷλκον δ' ἱστία λευκὰ ἐϋ στρεπτοῖσι βοεῦσι.
ἔπρησεν δ' ἄνεμος μέσον ἱστίον, ἀμφὶ δὲ κῦμα — 427 cf. Α 481
στείρῃ πορφύρεον μέγ' ἐϜίϜαχε νηὸς ἰούσης· — 428 sq. = Α 482 sq.
ἡ δ' ἔθεεν κατὰ κῦμα διαπρήσσουσα κέλευθον.
δησάμενοι δ' ἄρα ὅπλα θοὴν ἀνὰ νῆα μέλαιναν — 430^{b} cf. κ 244
'στήσαντο κρητῆρας ἐπιστεφέας Ϝοίνοιο· — 431 cf. Θ 232
'λεῖβον δ' ἀθανάτοισι θεοῖσ' αἰειγενέτῃσι,
ἐκ πάντων δὲ μάλιστα Διὸς γλαυκώπιδι κούρῃ.
παννυχίη μέν ῥ' ἥ γε καὶ ἠόα 'πεῖρε κέλευθον.

434 Ar. (?) — vid. schol. Ω 8

419 *ἐπὶ κληῖσι*] *iuxta paxillos* (i. e. *in transtris*). Praeter Π 170 nonnisi in Odyssea occurrit vox *κληΐς* sensu *paxilli* (*roeipen*), cui remus alligatur loro (vid. δ 782).

420 sqq.] vHerwerden sic disponit: vs. 419, 422-426, 430-433, 420 sq., 427-429, 434; Nitzsch vero damnavit vs. 427-429. At aptum sensum praebet vulgata: in transtris considunt remiges, *at* ventus oritur secundus, *ergo* erigunt malum panduntque vela, *deinde* otiosi atque pocula ducentes iter perficiunt. Cf. Menandri fr. 241 Kock: *ὁ δεύτερος πλοῦς ἐστι δήπου λεγόμενος, | ἂν ἀποτύχῃ τις οὐρίου, κώπαισι πλεῖν.*

420 *ἴκμενον*] vid. ad Α 479.

421 *ἀκραέα* § 73] *ἀκραῆ* mss. De vocali -α- correpta vid. Hes. Oper. 594 et § 17. Adi. ex *ἄκρος* et *ἀῆναι* compositum recurrit ξ 253 et 299 (vid. etiam ad Ε 525), cf. *ἁλιαής* δ 361, *δυσαής* Ε 865 etc., *ζαής* Μ 157 ε 368 μ 313, *ὑπεραής* Λ 297. Miro errore a verbo *κίρνημι* repetens Apollonius Rhodius ad falsam hanc analogiam novum adiectivum *εὐκραής* finxit IV 889. Hinc nostro loco scholia male interpretantur *ἀκεράστως πνέοντα*, et Eust. commemorat l. a. *εὐκραῆ* (item P^2).

422 *ἐποτρύνων* G P] *-νας* mss. pleraque. Cf. loci paralleli et Μ 468.

423 *ὀτρύνοντος*] *-ναντος* P mss. alia.

424 *ἐλάτινον* G^2] *εἰλάτινον* mss. cett.; cf. § 21. ‖ *μεσόδμης*] vid. ad τ 37.

426 *εἷλκον*] *ἕλκον* mss.

427 *ἔπρησεν*] PKnight *ἔμπρησεν*, cf. *ἐμπνεύσεν* h. VII 33 et l. a. ι 296. Si quid mutandum, malumus *ἐν δ' ἄνεμος 'πρῆσεν* (ut Α 481).

428 *πορφύρεον*] vid. ad Α 482. ‖ *μέγ' ἐϜίϜαχε* PKnight] *μεγάλ' ἴαχε* mss.

429] in marg. habent G P T. ‖ *διαπρήσσουσα*] vid. ad Α 483.

430 *δησάμενοι*] *δήσαντες* P^2. ‖ *ἄρα ὅπλα*] hiatus vitiosus; nam radicis *σεπ* litteram initialem hic esse auditam (cf. § 44) vix credibile.

431 *ἐπιστεφέας*] vid. ad Θ 232.

434 *παννυχίη*] per *reliquam* noctis partem, ut Κ 2; cf. *πανημέριοι* Α 472, notetur autem adiectivi et accusativi temporis iunctura insolita. ‖ *ἠόα* § 77] *ἠῶ* mss.

ΟΔΥΣΣΕΙΑΣ γ.

Τὰ ἐν Πύλῳ.

ἠέλιος δ' ἀνόρουσε λιπὼν περικαλλέα λίμνην
οὐρανὸν εἰς πολύχαλκον, ἵν' ἀθανάτοισι φαείνοι — 2^{a} = Ε 504
καὶ θνητοῖσι βροτοῖσιν ἐπὶ ζείδωρον ἄρουραν· — 3 = μ 386 cf. τ [593; 3^{b} = Θ 486
οἳ δὲ Πύλον, Νηλῆος ἐϋ κτίμενον πτολίεθρον,
ἶξον. τοὶ δ' ἐπὶ θινὶ θαλάσσης ἱέρ' ἔρεζον,
ταύρους παμμέλανας, ἐνοσίχθονι κυανοχαίτῃ.

7 *ἐννέα δ' ἕδραι ἔσαν, πεντηκόσιοι δ' ἐν ἑκάστῃ*
ἥατο καὶ προέχοντο Ϝεκάστοθι ἐννέα ταύρους.

1 *λίμνην*] *Oceanus*ne significatur (cf. Η 422 etc.)? Alias tamen *λίμνη* de *fluviis* adhibitum non reperitur. Itaque de *maris freto* h. l. accipiendum videtur (ut Ν 32 Ω 79); numquid igitur cum Ψ 227 Ω 13 componendus est versus?

2 *πολύχαλκον*] cf. Ε 504 Ρ 425 ο 329. ‖ *φαείνοι* P^2 k] *-νῃ* mss. cett.

3 *θνητοῖσι βροτοῖσιν*] iunguntur *θνητός* et *βροτός* etiam locis parall. et η 210 π 212.

5 *ἱέρ' ἔρεζον*] *ἱερὰ ῥέζον* mss.

7 sq.] interpolatori Peloponnesio tribuit Bergk.

7] de *novem* his *ἕδραις quingenorum* virorum in scholiis annotatur, *novem* urbibus Nestorem imperitasse (Β 591), *nonaginta* autem naves *quinquagenorum* militum (cf. Β 719 Π 170) Troiam duxisse (Β 602). Acute haec sunt observata, neque casu congruere hos numeros credibile, vid. ad ι 60 κ 208; non ipsi autem poetae hos versus deberi hinc liquido apparet. ‖ *ἕδραι*] *concilia.* ‖ *πεντηκόσιοι*] sonus η pro ᾰ admodum suspectus; *πεντακόσιοι* Ar. Herodian., *πεντήκοντα* H et sic Buttmann, Nitzsch *πεντηκοστύς*. ‖ *ἐν*] l. a. *ἀν'*. ‖ *ἑκάστῃ*] neglecto Ϝ; Nauck *δὲ Ϝεκάστῃ*.

8 *ἥατο* § 220] *εἵατο* mss. ‖ *προέχοντο*] *προύχοντο* mss., l. a. *προύθεντο*. Quo sensu verbum accipi voluerit interpolator minus certum est; Ar. intellegebat *praebere.* ‖ *Ϝεκάστοθι*] l. a. *ἑκάστοθεν*. Coll. Ψ 329 APlatt statuit non unum et octoginta sed *novem* tauros mactatos esse, *singulos* in usum singularum *ἑδρῶν virorum quinquaginta* (nam *πεντήκοντα* verum ducit). Videantur tamen quae ad vs. 7 adnotavimus.

9 εὖθ' οἳ σπλάγχν' ἐπάσαντο, θεῷ δ' ἐπὶ μηρί' ἔκαιον,
οἳ δ' ἰθὺς κατάγοντο ἰδ' ἱστία νηὸς ἐϜίσης
'στεῖλαν ἀείραντες, τὴν δ' ὥρμισαν, ἐκ δ' ἔβαν αὐτοί· 11ᵇ cf. δ 785
ἐκ δ' ἄρα Τηλέμαχος νηὸς 'βαῖν', ἦρχε δ' Ἀθήνη. 12 cf. β 416
τὸν προτέρη προσέϜειπε θεὰ γλαυκῶπις Ἀθήνη·
„Τηλέμαχ', οὐ μέν σε χρὴ ἔτ' αἰδόος, οὐδ' ἦ βαιόν·
τούνεκα γὰρ καὶ πόντον ἐπέπλως, ὄφρα πύθηαι 15ᵇsq. cf. δ 713 sq.
πατρὸς, ὅπου 'κύθε γαῖα καὶ ὅν τινα πότμον ἐπέσπε.
ἀλλ' ἄγε νῦν ἰθὺς κίε Νέστορος ἱπποδάμοιο·
18 Ϝείδομεν ἥν τινα μῆτιν ἐνὶ στήθεσσι κέκευθε."
21 τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
„Μέντορ, πῶς τ' ἄρ' ἴω, πῶς τ' ἂρ προσπτύξομαι αὐτόν;
οὐδέ τί πω μύθοισι πεπείρημαι πυκινοῖσι·
αἰδὼς δ' αὖ νέον ἄνδρα γεραίτερον ἐξερέεσθαι."
τὸν δ' αὖτε προσέϜειπε θεὰ γλαυκῶπις Ἀθήνη·
„Τηλέμαχ', ἄλλα μὲν αὐτὸς ἐνὶ φρεσὶ σῇσι νοήσεις,
ἄλλα δὲ καὶ δαίμων ὑποθήσεται· ἦ γὰρ ὀίω
οὔ σε θεῶν ἀϜέκητι γενέσθαι τε τραφέμεν τε." 28ᵇ = H 199
ὣς ἄρα φωνήσασ' ἡγήσατο Παλλὰς Ἀθήνη 29 sq. = β 405 sq.
καρπαλίμως· ὃ δ' ἔπειτα μετ' ἴχνεα 'βαῖνε θεοῖο.
ἷξον δ' εἰς Πυλίων ἀνδρῶν ἄγυρίν τε καὶ ἕδρας·

19 λίσσεσθαι δέ μιν αὐτὸς, ὅπως νημερτέα Ϝείπῃ· 19 cf. 327
ψεῦδος δ' οὐ Ϝερέει, μάλα γὰρ πεπνυμένος ἐστί. 20 = 328

9 εὖθ'] ἔνθ' F P mss. alia, cf. ν 78 χ 182 ω 147. ‖ σπλάγχν' ἐπάσαντο] -να πάσ. G T (Ar. Α 464). ‖ ἐπάσαντο] l. a. ἐδάσαντο (?). ‖ μηρί' ἔκαιον M] μηρία καῖον G F P, μηρί' ἔκηον H; ἔκηαν Ludwich, fortasse recte. Cf. Α 773.

10 κατάγοντο ἰδ' Herodian. mss.] κάταγον, τοὶ δ' Ar.; cf. α 112. *Medium* recte habere ex κ 140 (γ 178 π 322) apparet, *pronomine* vero τοὶ male divellerentur quae iungenda. ‖ ἐϜίσης] ἰούσης Y (cf. Α 482 β 428).

11 'στεῖλαν] σεῖσαν Zen.

14 χρὴ] l. a. χρεῖ' metro invito; ecquid *οὔ σε χρηὼ ἔτ' fuit olim? ‖ αἰδόος § 77] αἰδοῦς mss. ‖ ἦ βαιόν] ἠβαιόν mss.; cf. § 2.

15 ἐπέπλως] cf. § 185; ἐπέπλεες metri causa mavult Nauck. ‖ πύθηαι] de subiunctivo vid. ad Α 158.

16 'κύθε] cf. § 214; κεῦθε vel κεύθει mss. complura metro invito. ‖ ἐπέσπε] l. a. ἐπέσπα.

17 ἱπποδάμοιο] l. a. ὄφρα τάχιστα.

18] cf. X 130.

19 sq.] del. Bekker; versum 19 in margine habent G F P N.

19 αὐτὸς Ar. γ 327] αὐτὸν mss.

22 τ' ἄρ'] γὰρ H² mss. alia. Cf. Σ 182.

24 νέον ἄνδρα] νέῳ ἀνδρὶ Rhianus.

27 ἦ Bentley] οὐ mss., quod ferri nequit, quoniam alias in Homericis non iteratur negatio; diversa enim sunt οὐ ... οὐδέ (Δ 512 etc.) et οὐδέ ... οὐδέ (B 703 etc.). Cf. Α 78 E 278.

28 οὔ σε θεῶν] οὐδέ σε θεῶν T, οὐδὲ θεῶν σ' k.

30 ὃ δ' ἔπειτα] ὃ om. F¹ H, δήπειτα (id est δὴ ἔπειτα) H². ‖ *ἴχνεα] ἴχνια mss.; vid. ad N 71.

31 ἄγυρίν] ἀγορήν P mss. alia minus recte, nam ἀγορή est *concio*, vox ἄγυρις vero *coetum* significat; vid. Π 661 Υ 142 Ω 141 et ad π 376.

ἔνθ' ἄρα Νέστωρ ἧστο σὺν υἱάσιν, ἀμφὶ δ' ἑταῖροι
δαῖτ' ἐντυνόμενοι κρέα τ' ὤπταον ἄλλα τ' ἔπειρον. 33ᵃ = ρ 182
οἳ δ' ὡς οὖν ξείνους 'Ϝίδον, ἀθρόοι ἦλθον ἅπαντες
χερσίν τ' ἠσπάζοντο καὶ ἑδριάεσθαι ἄνωγον. 35ᵃ = ι 415; 35ᵇ cf. Α 646
πρῶτος Νεστορίδης Πεισίστρατος ἐγγύθεν ἐλθὼν
ἀμφοτέρων ἕλε χεῖρα καὶ ἵδρυσεν παρὰ δαιτὶ
κώεσιν ἓν μαλακοῖσιν ἐπὶ ψαμάθοισ' ἁλίῃσι
πάρ τε κασιγνήτῳ Θρασυμήδεϊ καὶ πατέρι Ϝῷ.
'δῶκε δ' ἄρα σπλάγχνων μοίρας, ἐνέχευε δὲ Ϝοῖνον 40ᵇsq.ᵃ = υ 260 sq.; 40ᵇ = ζ 77
χρυσείῳ δέπαϊ· δεδϜισκόμενος δὲ προσηύδα 41ᵃ = υ 261 cf. Ω 285
Παλλάδ' Ἀθηναίην, κούρην Διὸς αἰγιόχοιο· 42 cf. ν 252, 371
„εὔχεο νῦν, ὦ ξεῖνε, Ποσειδάωνι Ϝάνακτι· 42ᵃ = ν 300 [ω 547
τοῦ γὰρ καὶ δαίτης ἠντήσατε δεῦρο μολόντες.
αὐτὰρ ἐπεὶ σπείσῃς τε καὶ εὔξεαι, ἣ θέμις ἐστὶ,
δὸς καὶ τούτῳ ἔπειτα δέπας μελιϜηδέος οἴνου 46ᵇ = Σ 545
σπεῖσαι, ἐπεὶ καὶ τοῦτον ὀίομαι ἀθανάτοισι
εὔχεσθαι· πάντες δὲ θεῶν χατέουσ' ἄνθρωποι.
ἀλλὰ νεώτερός ἐστιν, ὁμηλικίῃ δ' ἐμοὶ αὐτῷ·
τούνεκα σοὶ προτέρῳ δώσω χρύσειον ἄλεισον." 50 cf. 53; 50ᵇ cf. Α 774
ὣς Ϝειπών Ϝ' ἐν χείρ' ἐτίθει δέπας ἡδέος οἴνου· 51 cf. ο 120; 51ᵃ cf. Α 446
52 'χαῖρε δ' Ἀθηναίη πεπνυμένῳ ἀνδρὶ δικαίῳ, 52 cf. P 567 sq.

53 οὕνεκα Ϝοὶ προτέρῃ 'δῶκε χρύσειον ἄλεισον. 53ᵇ cf. 50

32 ἔνθ' ἄρα] ἔνθα F, ἔνθα δὲ T W.

33 ὤπταον § 191] ὤπτων.

34] insolitam esse interpunctionem post pedem 3um observat Nicanor; vid. tamen I 134 (K 356) λ 260, 266. Christ Metrik² p. 184 sq.

35 ἑδριάεσθαι § 191] -άασθαι mss.

36] *Pisistratus* Nestoris filius natu minimus hic primum commemoratur. Atheniensium autem tyrannum ab eo nomen suum repetivisse refert Herodotus V 65; quapropter multi suspicati sunt quae de Pisistrato Homerico narrantur ipsumque hoc nomen ab Atheniensibus in honorem sui principis esse inserta. Vs. 36-64 del. Adam.

40 ἐνέχευε δὲ Ϝοῖνον Fick] ἐν δ' οἶνον ἔχευε mss. Facilius sic explicatur vitium quam si poetam Ϝοῖνον δ' ἐνέχευε scripsisse statuas; καὶ Ϝοῖνον ἔχευε PKnight.

41 χρυσείῳ Ar. Didym.] χρυσείῳ ἐν F, χρυσέῳ ἐν G P H M (vid. ζ 78 Ω 285).

45 ἐπεὶ § 326] ἐπὴν mss.

46 οἴνου] neglecto Ϝ. Ecquid *δέπας, μελιϜηδέα Ϝοῖνον | σπεῖσαι (cf. Α 775 ξ 447)? Vid. tamen Σ 545 h. Cer. 206.

50 σοὶ] τοι Zen. F H¹ M¹ mss. alia. ‖ προτέρῳ δώσω] δώσω προτέρῳ Y.

51 *Ϝ'(οι)] addidimus. ‖ *χεῖρ' ἐτίθει] χερσὶ τίθει mss.; χειρὶ τίθει Aristoph. Ar. scripserunt, si sibi constiterunt; vid. Α 585 et γ 443; praeterea cf. Ψ 568 β 37 ν 57, 225 ο 120, 130 Hes. Theog. 174, LaRoche H. T. p. 378. ‖ δέπας ἡδέος οἴνου] μελιηδέος οἴνου H² U, ὃ δ' ἐδέξατο χαίρων P (cf. Α 446 Ψ 797). In vulgata bis neglectum est Ϝ; δέπας ἀμφικύπελλον probabiliter Bentley, cf. Α 584 γ 63.

53] versum ieiunum del. PKnight.

54 αὐτίκα δ' ηὔχετο πολλὰ Ποσειδάωνι Ϝάνακτι·
55 „κλῦθι, Ποσείδαον γαιήοχε, μηδὲ μεγήρῃς 55ª = ι 528
ἧμιν ἐπευχομένοισι τελευτῆσαι τάδε Ϝέργα.
Νέστορι μὲν πρώτιστα καὶ υἱάσι κῦδος ὄπαζε,
αὐτὰρ ἔπειτ' ἄλλοισι δίδου χαρίεσσαν ἀμοιβὴν
σύμπασιν Πυλίοισιν ἀγακλειτῆς ἑκατόμβης.
60 δὸς δ' ἔτι Τηλέμαχον καὶ ἐμὲ πρήξαντε νέεσθαι
οὕνεκα δεῦρ' ἱκόμεσθα θοῇ σὺν νηὶ μελαίνῃ." 61ᵇ = Τ 331
ὣς ἄρ' ἔπειτ' ἠρᾶτο, καὶ αὐτὴ πάντ' ἐτελεύτα·
'δῶκε δὲ Τηλεμάχῳ καλὸν δέπας ἀμφικύπελλον.
ὣς δ' αὐτῶς ἠρᾶτο 'Οδυσσῆος φίλος υἱός.
65 οἳ δ' ἐπεὶ ὤπτησαν κρέ' ὑπέρτερα καὶ 'Ϝερύσαντο, 65 sq. = υ 279 sq. 65 = 470
μοίρας δασσάμενοι 'δαίνυντ' ἐρικυδέα δαῖτα. 66ᵇ = Ω 802
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον εἶντο, 67 = Α 469 γ 473
τοῖσ' ἄρα μύθων ἦρχε γερήνιος ἱππότα Νέστωρ· 68 cf. 474
„νῦν δὴ κάλλιόν ἐστι μεταλλῆσαι καὶ ἐρέσθαι 69 cf. ξ 378 ο 362
70 ξείνους, οἵ τινές εἰσιν, ἐπεὶ 'τάρπησαν ἐδωδῆς.
ὦ ξεῖνοι, τίνες ἐστέ; πόθεν πλέεθ' ὑγρὰ κέλευθα; 71-74 = ι 252 sqq. h. Ap. 452 sqq.
ἦ τι κατὰ πρῆξιν; ἦ μαψιδίως ἀλάλησθε

72-74 Ar. —— (Aristoph. vero ι 253-255 ——)

55 *Ποσείδαον*] *-δάων* mss. pleraque.

56 *ἧμιν* § 92] *ἡμῖν* mss. ‖ *ἐπευχομένοισι* D q] *εὐχομένοισι* (*ἐρχ.* K) mss. cetera. Cf. Γ 350 Ζ 475 κ 533 ξ 436 etc. et § 92. Lenior haec videtur correctio quam *ἥμισιν* (*ἄμμεσιν* Fick) *εὐχομένοισι* (vid. § 93).

60 *δ' ἔτι*] *δέ τε* LaRoche. ‖ *πρήξαντε* Bentley] *πρήξαντα* mss.

62 *πάντ' ἐτελεύτα* F] *πάντα τελεύτα* mss. pleraque.

65 *κρέ' ὑπέρτερα*] locutio nonnisi locis parall. redit. Comparativo utrum a visceribus an a femoribus distinguerentur carnes dubitabant veteres.

67 *εἶντο*] *ἕντο* mss.

68 *γερήνιος*] cf. Β 336.

71 *πλέεθ'* § 191] *πλεῖθ'* mss.

72-74] iniuria Thucydides I 5 hinc efficit, latrocinia aetate heroica nullam habuisse infamiam, reprehensus ideo ab Aristarcho, cui frustra obloquitur Eustathius (cf. Cobet Mnemos. 1862 p. 347). Aristophanes versus hoc loco genuinos esse censebat, in Cyclopea autem insiticios; Aristarchus contra ex Cyclopea huc invectos esse statuit. Huic assentitur Kirchhoff, qui (fortasse a Nauckio Aristoph. Byz. p. 29 in errorem abductus) non recte addit: „sicher hat Aristarchus „darin Recht, dass die Verse auch an un„serer Stelle zu dulden sind." Aristarchi enim verba in scholio allata „*δοτέον δὲ τῷ ποιητῇ τὰ τοιαῦτα*" id non significant, sed refellitur iis Aristophanes, qui negaverat Cyclopem de praedonibus potuisse loqui, quales homines nunquam vidisset. „At enim" — inquit Aristarchus — „ne Graece quidem „scivisse censendus est Polyphemus, confa„bulatur tamen cum Ulixe; talia poetis sunt „concedenda." — PKnight del. vs. 71-74, Fick (cum Ar.) vs. 72-74, genuinum versum unum, qui versui δ 314 similis fuerit, intercidisse ratus.

72 *πρῆξιν*] *negotium*; idem vocabuli est sensus γ 82 ι 253 h. Ap. 397, 453 (Ω 524 κ 202, 568 *effectum* significat); cf. *πρηκτῆρες* *negotiatores* θ 162.

οἷά τε ληιστῆρες ὑπεὶρ ἅλα, τοί τ' ἀλάονται
ψυχὰς παρθέμενοι, κακὸν ἀλλοδαποῖσι φέροντες;"
75 τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα
θαρσήσας· αὐτὴ γὰρ ἐνὶ φρεσὶ θάρσος Ἀθήνη
77 'θῆχ', ἵνα μιν περὶ πατρὸς ἀποιχομένοι' ἐρέοιτο· 77 cf. α 135
79 „ὦ Νέστορ Νηληιάδη, μέγα κῦδος Ἀχαιῶν, 79 = Κ 87
80 εἴρεαι ὁππόθεν εἰμέν· ἐγὼ δέ κέ τοι καταλέξω.
ἥμεῖς ἐξ 'Ιθάκης 'Υπονηίου εἰλήλυθμεν·
πρῆξις δ' ἥδ' ἰδίη, οὐ δήμιος, ἣν ἀγορεύω.
πατρὸς ἐμοῦ κλέος εὐρὺ μετέρχομαι, αἴ κεν ἀκούσω, 83ᵇ = β 360
δίου 'Οδυσσῆος ταλασίφρονος, ὅν ποτε φασὶ
85 σὺν σοὶ μαρνάμενον Τρώων πόλιν ἐξαλαπάξαι. 85ᵇ cf. Ξ 251
ἄλλους μὲν γὰρ πάντας, ὅσοι Τρωσὶν 'πολέμιζον,
πευθόμεθ', ἧχι Ϝέκαστος ἀπώλετο λυγρῷ ὀλέθρῳ·
κείνου δ' αὖ καὶ ὄλεθρον ἀπευθέα 'θῆκε Κρονίων.
οὐ γάρ τις δύναται σάφα Ϝειπέμεν' ὁππόθ' ὄλωλε,
90 ἤ θ' ὅ γ' ἐπ' ἠπείρου 'δάμη ἀνδράσι δυσμενέεσσι,
ἤ τε καὶ ἐν πόντῳ μετὰ κύμασιν Ἀμφιτρίτης.
τούνεκα νῦν τεὰ γούναθ' ἱκάνομαι, αἴ κ' ἐθέλησθα 92-101 = δ 322 [sqq. 92 = Σ 457
κείνου λυγρὸν ὄλεθρον ἐνισπέμεν', εἴ ποθ' ὄπωπας 93ª = ξ 90
94 ὀφθαλμοῖσι τεοῖσ' ἢ' ἄλλου μῦθον ἄκουσας.

78 ἠδ' ἵνα μιν κλέος ἐσθλὸν ἐν ἀνθρώποισιν ἔχῃσι. 78 = α 95
95 πλαζομένου· περὶ γάρ μιν ὀιζυρὸν 'τέκε μήτηρ.

73 *οἷά τε*] redit locutio η 106 ι 254 λ 364 h. Ap. 454, *οἷα* θ 365, *οἷά τε πολλὰ* θ 160 ι 128 λ 536. ‖ *ὑπεὶρ*] *ὑπὲρ* F; vid. § 315. ‖ *ἀλάονται* § 191] *ἀλόωνται* mss.

74 *παρθέμενοι*] cf. β 237.

77 *-νοι'* (*-νου*) *ἐρέοιτο* Bentley] *-νοιο ἔροιτο* mss.; vid. ad α 135 et § 59.

78] versum e libro α desumtum om. mss. meliora; fraudem arguit particula *ἵνα* iterata et subiunctivus *ἔχῃσι* pro optativo adhibitus.

81 *ἡμεῖς*] novicia est forma spondiaca; cf. § 92. Fick *νῶι μὲν*. ‖ *'Υπονηίου*] recte schol. conferunt *'Υποπλακίῃ* Ζ 397; de *Neio* monte vid. α 186. ‖ *εἰλήλυθμεν* Naber] *-λουθμεν* mss., cf. § 160.

82 *πρῆξις*] cf. vs. 72. ‖ *ἰδίη*] adi. nonnisi δ 314 redit. ‖ *οὐ δήμιος*] *ἐκδήμιος* Aristoph.; in vulgata displicet masculina adiectivi forma, vid. § 53. ‖ *ἀγορεύω*] sic Ar.; *-σω* F mss. alia.

83 *κλέος*] cf. α 283. ‖ *εὐρὺ*] om. H, *ἐσθλὸν* G (cf. α 95). ‖ **αἴ κεν*] *ἤν που* mss.; vid. § 326 et ad α 94.

87 *ἧχι*] sic Ar. ‖ *λυγρῷ ὀλέθρῳ*] *λυγρὸν ὄλεθρον* q, quod recepit LaRoche coll. ο 268 (item ι 303); dativus tamen etiam δ 489 (et ψ 79) reperitur.

88 *ἀπευθέα*] vid. ad vs. 184.

90 sq. *ἤ… ἤ* § 327] *εἴ… εἴ* mss.

90 *ἠπείρου 'δάμη*] *-*ροιο παρ'* (vel *ἐν* vel *μετ'*)?

91 *πόντῳ*] sic aut *ἂμ πέλαγος* Fick, *πελάγει* mss., Menrad *πελάγεσσ'* coll. ε 335; cf. § 71.

92 *τεὰ* PKnight] *τὰ σὰ* mss., vid. ad Α 185. ‖ *γούναθ'*] *γοῦνα* Nauck.

93 *ἐνισπέμεν'* § 125] *ἐνισπεῖν* mss. ‖ *ποθ'* § 322] *που* mss.

94 *τεοῖσ'*] *τεοῖσιν* mss.; vid. § 16.

95] del. Bekker (item vs. parall.); Fick vs. 94, Duentzer utrumque.

μηδέ τί μ' αἰδόμενος μειλίσσεο μηδ' ἐλεαίρων,
ἀλλ' εὖ μοι κατάλεξον, ὅπως ἤντησας ὀπωπῆς. 97 cf. ρ 44
λίσσομαι, εἴ ποτέ τοί τι πατὴρ ἐμὸς, ἐσθλὸς Ὀδυσσεὺς,
ἢ ϝέπος ἠέ τι ϝέργον ὑποστὰς ἐξετέλεσσε 99^b cf. Φ 457
δήμῳ ἔνι Τρώων, ὅθ' ἐπάσχετε πήματ' Ἀχαιοί· 100 = δ 243
τῶν νῦν μοι μνῆσαι καί μοι νημερτὲς ἐνίσπε.“ 101^b = Ξ 470
τὸν δ' ἠμείβετ' ἔπειτα γερήνιος ἱππότα Νέστωρ·
„ὦ φίλ', ἐπεί μ' ἔμνησας ὀιζύος, ἣν ἐνὶ κείνῳ
δήμῳ ἀνέτλημεν μένος ἄσχετοι υἷες Ἀχαιῶν,
ἠμὲν ὅσα ξὺν νηυσὶν ἐπ' ἠεροϝειδέα πόντον
πλαζόμενοι κατὰ ληίδ', ὅπῃ ἄρξειεν Ἀχιλλεὺς,
ἠδ' ὅσα καὶ περὶ ϝάστυ μέγα Πριάμοιο ϝάνακτος 107^b = Η 296
'μαρνάμεθ'· — ἔνθα δ' ἔπειτα κατέκταθεν ὅσσοι ἄριστοι·
ἔνθα μὲν Αἴας κεῖται ἀρήιος, ἔνθα δ' Ἀχιλλεὺς,
ἔνθα δὲ Πάτροκλος θεόφιν μήστωρ ἀτάλαντος, 110^b = Η 366
ἔνθα δ' ἐμὸς φίλος υἱὸς, ἅμα κρατερὸς καὶ ἀμύμων,
Ἀντίλοχος, περὶ μὲν θείειν ταχὺς ἠδὲ μαχητής. 112 cf. Π 186 δ 202
ἄλλα τε πόλλ' ἐπὶ τοῖς 'πάθομεν κακά· τίς κεν ἐκεῖνα
πάντα γε μυθήσαιτο καταθνητῶν ἀνθρώπων;
οὐδ' εἰ πεντάϝετες καὶ ϝεξάϝετες παραμίμνων
ἐξερέοις, ὅσα κεῖθι 'πάθον κακὰ δῖοι Ἀχαιοί· —
πρίν κεν ἀνιηθεὶς σὴν πατρίδα γαῖαν ἵκοιο.
„εἰνάϝετες γάρ σφιν κάκ' ἐράπτομεν ἀμφιέποντες
παντοίοισι δόλοισι, μόγις δ' ἐτέλεσσε Κρονίων.
ἔνθ' οὔ τίς ποτε μῆτιν ὁμοιωθήμεναι ἄντην 120^b = Α 187

96 sq.] cf. Aesch. Prom. 684 sq.
97 ὀπωπῆς] l. a. ἀκοῆς (? — ἀκουῆς LaRoche).
100 ὅθ' ἐπάσχετε] ὅθι π. mss. || πήματ'] l. a. ἄλγε'; vid. ad Ν 346.
101 ἐνίσπε § 246] ἐνίσπες G P^1 mss. alia.
102 γερήνιος] cf. Β 336.
103 ἔμνησας] ὑπέμνησας G, unde fortasse coniecerit aliquis ὦ φίλ', ὑπέμνησάς με (cf. α 321 ο 3). Cum vulgata cf. Γ 59 Ζ 333 Ν 68 θ 236 etc. || *ἐνὶ κείνῳ] ἐν ἐκείνῳ mss., cf. § 97; ἐκείνων (κείνων) mavult Naber.
106 Ἀχιλλεὺς] Ὀδυσσεὺς G^1.
109 ἀρήιος] πελώριος G (cf. Γ 229 etc.).
111 sq.] Antilochi a Memnone interemti etiam δ 187 sq. fit mentio; fusius narrabatur eius mors in *Aethiopide* carmine, vid. ad Ω 804, Pind. Pyth. VI 28 sqq.
111 ἀμύμων] ἀταρβὴς G P mss. alia (ut Ν 299), fortasse recte.
112] del. Fick.
113 τε] om. F, l. a. γε, Nitzsch δὲ. || τοῖς ... ἐκεῖνα] formae noviciae pro τοῖσι (sic G F) et κεῖνα, cf. § 60 et 97. Utrumque vitium recurrit ω 312; posterius vitari potest scribendo *τίς δέ κε κεῖνα, aut *τίς κεν ἅπαντα | κεῖνα, aut τίς κεν ἔπειτα, quod suasit Hartman coll. Α 547 Ο 49 Χ 49 etc.
115 καὶ Fick] γε καὶ mss.
118 κάκ' ἐράπτομεν] κακὰ ῥ. mss.; vid. § 132 et de locutione ad Σ 367.
119 μόγις] μόλις W Y^1; cf. Χ 412.
120 τίς ποτε] πώ τις G H.

ἤθελ', ἐπεὶ μάλα πολλὸν ἐνίκαε δῖος Ὀδυσσεὺς
παντοίοισι δόλοισι, πατὴρ τεὸς, εἰ ἐτεόν γε
κείνοι' ἔκγονός ἐσσι· σέβας μ' ἔχει εἰσοράοντα.
ἦ τοι γὰρ μῦθοί γε ϝεϝοικότες, οὐδέ κε φαίης
ἄνδρα νεώτερον ὧδε ϝεϝοικότα μυθήσασθαι.
ἔνθ' ἦ τοι τῆος μὲν ἐγὼ καὶ δῖος Ὀδυσσεὺς
οὔτε ποτ' ἐν ἀγορῇ δίχ' ἐβάζομεν οὔτ' ἐνὶ βουλῇ,
ἀλλ' ἕνα θυμὸν ἔχοντε νόῳ καὶ ἐπίφρονι βουλῇ 128^a cf. Ο 710^b
'φραζόμεθ' Ἀργείοισιν, ὅπως ὄχ' ἄριστα γένοιτο· 129^b = ι 420 cf. ν 365 ψ 117
αὐτὰρ ἐπεὶ Πριάμοιο πόλιν διεπέρσαμεν αἰπὴν, 130 = ν 316 cf. λ 533
καὶ τότε δὴ Ζεὺς λυγρὸν ἐνὶ φρεσὶ 'μήδετο νόστον
Ἀργείοισ', ἐπεὶ οὔ τι νοήμονες οὐδὲ δίκαιοι 133 cf. β 282
πάντες ἔσαν· τῷ σφων πολέες κακὸν οἶτον ἐπέσπον
μήνιος ἒξ ὀλοῆς γλαυκώπιδος ὀβριμοπάτρης,
ἥ τ' ἔριν Ἀτρεΐδῃσι μέτ' ἀμφοτέροισιν ἔθηκε.
τὼ δὲ καλεσσαμένω ἀγορὴν εἰς πάντας Ἀχαιοὺς
μὰψ, ἀτὰρ οὐ κατὰ κόσμον, ἐς ἠέλιον καταδύντα, — 138^a = Β 214
οἳ δ' ἦλθον ϝοίνῳ βεβαρηότες υἷες Ἀχαιῶν, —
μῦθον ἐμυθείσθην, τοῖ' εἵνεκα λαὸν ἄγειραν.
ἔνθ' ἦ τοι Μενέλαος ἄνωγεν πάντας Ἀχαιοὺς
νόστου μιμνήσκεσθαι ἐπ' εὐρέα νῶτα θαλάσσης· 142^b = Β 159
οὐδ' Ἀγαμέμνονι πάμπαν ἐϝάνδανε, 'βούλετο γάρ ῥα
λαὸν ἐρυκακέμεν ῥέξαι θ' ἱερὰς ἑκατόμβας,
ὡς τὸν Ἀθηναίης δϝεινὸν χόλον ἐξακέσαιτο,

131 'ἤμεν δ' ἐν νήεσσι, θεὸς δ' ἐκέδασσεν Ἀχαιούς, 131 = ν 317 cf. ξ 242

121 ἐνίκαε § 191] ἐνίκα mss.
123 κείνοι' § 59] κείνου mss. || εἰσοράοντα § 191] -ρόωντα mss.
125 μυθήσασθαι] -σεσθαι Platt coll. η 293.
126 τῆος Nauck] εἵως mss.; cf. § 323.
127 ἐν H^2] εἰν mss. cett.; cf. § 315.
128 ἐπίφρονι βουλῇ] -να βουλὴν F^1 mss. alia.
129 γένοιτο] γένηται G F P mss. alia.
130 αὐτὰρ ἐπεὶ] ἦ γὰρ καὶ Strab. XIII p. 601. || αἰπὴν] cf. § 75.
131] del. Nitzsch; versus, quo absurde perturbatur Nestoris narratio, suo loco legitur ν 317, ubi duobus versibus breviter referuntur quae γ 130-168 fuse sunt enarrata.
134 σφων (σφῶν) F^1 Y Z] σφεων mss. cett.
135 μήνιος] nempe *unius ob noxam et furias Aiacis Oilei* (Verg. Aen. I 41); cf. δ 502 Eur. Troad. 69.
136 ἔριν] ἔριδ'? cf. § 66.
138] „*sol occasus suprema tempestas*"; populus ἅμ' ἠόι φαινομένηφι convocandus erat, cf. Β 48 sqq. β 6 Aristoph. Ach. 20 Eccles. 741 etc.
139 βεβαρηότες] -κότες q et schol. Q; cf. § 160. Redit locutio τ 122, cf. Α 225 ι 374.
140 ἐμυθείσθην] μυθ. mss. || τοῖ' § 59] τοί (οὗ G P mss. alia).
141 ἄνωγεν § 225] ἀνώγει mss. || Ἀχαιοὺς] ἑταίρους D mss. alia.
143 ἐϝάνδανε] ἑήνδανε vel ἐήνδανε mss.
144 ἐρυκακέμεν § 126] -κέειν mss. || ῥέξαι F^2 H^2 M] ῥέξειν G F^1 P H^1. || ἱερὰς ἑκατόμβας] ἱερὴν ἑκατόμβην G.

νήπιος, οὐδὲ τὸ 'Fείδε' ὃ F' οὐ πείσεσθαι ἔμελλε·
οὐ γάρ τ' αἶψα θεῶν τρέπεται νόος αἰὲν ἐόντων. 146 = Υ 466
ὣς τὼ μὲν χαλεποῖσιν ἀμειβομένω Fεπέεσσι
ἔστασαν· οἳ δ' ἀνόρουσαν ἐυκνήμιδες Ἀχαιοὶ
Fηχῇ θεσπεσίῃ, δίχα δέ σφισι 'Fάνδανε βουλή. 150b = Σ 510
νύκτα μὲν ἀέσαμεν χαλεπὰ φρεσὶν ὁρμαίνοντες
ἀλλήλοισ', — ἐπὶ γὰρ Ζεὺς ἤρτυε πῆμα κακοῖο, —
ἠῶθεν δ' οἳ μὲν νέας εἵλκομεν εἰς ἅλα δῖαν
κτήματά τ' ἐντιθέμεσθα βαθυζώνους τε γυναῖκας, 154b = Ι 594
ἡμίσεες δ' ἄρα λαοὶ ἐρητύοντο μένοντες
αὖθι παρ' Ἀτρεΐδῃ Ἀγαμέμνονι ποιμένι λαῶν.
„ἡμίσεες δ' ἀναβάντες ἐλαύνομεν· αἳ δὲ μάλ' ὦκα
ἔπλεον, ἐστόρεσεν δὲ θεὸς μεγακήτεα πόντον.
εἰς Τένεδον δ' ἐλθόντες ἐρέξαμεν ἱρὰ θεοῖσι
Fοίκαδε Fιέμενοι· Ζεὺς δ' οὔ πω 'μήδετο νόστον 160a = ι 261 cf. Β 154
σχέτλιος, ὅς ῥ' ἔριν ὦρσε κακὴν ἐπὶ δεύτερον αὖτις.
οἳ μὲν ἀποστρέψαντες ἔβαν νέας ἀμφιFελίσσας
ἀμφ' Ὀδυσῆα Fάνακτα δαΐφρονα ποικιλόμητιν
αὖτις ἐπ' Ἀτρεΐδῃ Ἀγαμέμνονι Fῆρα φέροντες,
αὐτὰρ ἐγὼ σὺν νηυσὶν ἀFολλέσιν, αἵ μοι ἕποντο,
'φεῦγον, ἐπεὶ 'γίγνωσκον ὃ δὴ κακὰ 'μήδετο δαίμων· 166 cf. μ 295
'φεῦγε δὲ Τυδέος υἱὸς ἀρήιος, ὦρσε δ' ἑταίρους.
ὀψὲ δὲ δὴ μετὰ νῶι 'κίε ξανθὸς Μενέλαος,
ἐν Λέσβῳ δ' ἐκίχη δολιχὸν πλόον ὁρμαίνοντας,
ἢ καθύπερθε Χίοιο νεοίμεθα παιπαλοέσσης
νήσου ἔπι Ψυρίης, αὐτὴν ἐπ' ἀριστέρ' ἔχοντες,

146 'Fείδε'] ἤδει vel ἤδη mss.; vid. ad Υ 466. ‖ *ὃ F'(οι) οὐ] ὃ οὐ mss. hiatu vitioso (οἷα F^1).
147] del. PKnight.
149 ἔστασαν] ἀνστήτην G.
150 'Fάνδανε] ἥνδανε vel ἧνδανε mss.
151 ἀέσαμεν] ἐάσαμεν Y, εἰάσαμεν F P et mss. „meliora" apud Didym. (sic Ar. in altera editione?), cf. Κ 299.
152 πῆμα κακοῖο] cf. ξ 338 δύης … πῆμα (?).
153 εἰς ἅλα δῖαν] ἀμφιελίσσας W.
154 βαθυζώνους] mulierum epitheton redit Ι 594 h. Cer. 95, 161, 201, 305; cf. βαθύκολπος de feminis Troianis usurpatum Σ 122, 339 Ω 215, de nymphis h. Ven. 258 Cer. 5 (vid. etiam ad Β 484).
158 μεγακήτεα] vid. Θ 222.
161 ῥ'] τ' Bekker sine causa. ‖ ἔριν] ἔριδ'? cf. § 66.
163] nihil eiusmodi narratur ab ipso Ulixe ι 39. ‖ ποικιλόμητιν (-μῆτιν) G H^2] -μήτην mss. multa.
164] del. PKnight. ‖ ἐπ' … Fῆρα φέροντες] vid. ad Α 572.
166 ὃ] ἃ i k n Eust.
169 ἐκίχη § 208] ἔκιχε(ν) mss. ‖ πλόον] vox † (cf. § 185).
171 αὐτὴν] αὐτὴν δ' H.

ἢ ὑπένερθε Χίοιο παρ' ἠνεμόεντα Μίμαντα.
ἠτέομεν δὲ θεὸν φῆναι τέρας· αὐτὰρ ὅ γ' ἧμιν
'δεῖξε καὶ ἤνωγεν πέλαγος μέσον εἰς Εὔβοιαν
ταμνέμεν', ὄφρα τάχιστα ὑπ' ἐκ κακότητα φύγοιμεν.
ὦρτο δ' ἐπὶ λιγὺς οὖρος ἀήμεναι· αἳ δὲ μάλ' ὦκα
ἰχθυόεντα κέλευθα διέδραμον, εἰς δὲ Γεραιστὸν
ἐννύχιαι κατάγοντο· Ποσειδάωνι δὲ ταύρων
πόλλ' ἐπὶ μῆρ' ἔθεμεν, πέλαγος μέγα μετρήσαντες.
τέτρατον ἦμαρ ἔην, ὅτ' ἐν Ἄργεϊ νῆας ἐFίσας
Τυδεΐδα' ἕταροι Διομήδεος ἱπποδάμοιο
ἵστασαν· αὐτὰρ ἐγώ γε Πύλονδ' ἔχον, οὐδέ ποτ' ἔσβη
οὖρος, ἐπεὶ δὴ πρῶτα θεὸς προέηκεν ἀῆναι.
„ὣς ἦλθον, φίλε τέκνον, ἀπευθής, οὐδέ τι Fοῖδα
κείνων, οἵ τ' ἐσάωθεν Ἀχαιῶν οἵ τ' ἀπόλοντο.
ὅσσα δ' ἐνὶ μεγάροισι καθήμενος ἡμετέροισι
πεύθομαι, ἣ θέμις ἐστί, δαήσεαι, οὐδέ σε κεύσω.
εὖ μὲν Μυρμιδόνας φάσ' ἐλθέμεν' ἐγχεσιμώρους,
οὓς ἄγ' Ἀχιλλῆος μεγαθύμου φαίδιμος υἱός,
εὖ δὲ Φιλοκτήτην, Ποιάντιον ἀγλαὸν υἱόν·
πάντας δ' Ἰδομενεὺς Κρήτην εἰς ἤγαγ' ἑταίρους,
οἳ 'φύγον ἐκ πολέμου, πόντος δέ Fοι οὔ τιν' ἀπέFρα.
Ἀτρεΐδην δὲ καὶ αὐτοὶ ἀκούετε νόσφιν ἐόντες,
ὥς τ' ἦλθ', ὥς τ' Αἴγισθος ἐμήσατο λυγρὸν ὄλεθρον. 194b = κ 115 ω 96
ἀλλ' ἦ τοι κεῖνος μὲν ἐπισμυγερῶς ἀπέτισε·
ὡς ἀγαθὸν καὶ παῖδα καταφθιμένοιο λιπέσθαι
ἀνδρός, ἐπεὶ καὶ κεῖνος ἐτίσατο πατροφονῆα

172 ἠνεμόεντα] cf. § 21.
174 ἤνωγεν § 225] ἠνώγει mss. ‖ μέσον] μέγα G (cf. vs. 179).
175 ταμνέμεν' § 125] τάμνειν Bekker, τέμνειν mss.; cf. § 278.
176 ὦρτο — ἀήμεναι] de re cf. Ψ 214.
178 ἐννύχιαι] -οι Rhianus P U^2 n^2. Ad dirimendam quaestiunculam nihil prosunt ceteri loci quibus adi. reperitur, Δ 683, (716) Φ 37.
179 μετρήσαντες] simplex †, de compositis vid. ad Γ 315.
180 ἔην] ἔεν? cf. § 302. ‖ ὅτ'] καὶ Nauck.
181 Τυδεΐδα' § 55] -δεω mss.
182 ἵστασαν T] ἕστασαν H^2 U, ἔστασαν mss. cett.; cf. Μ 55 sq.
184 φίλε τέκνον] cf. Χ 84. ‖ ἀπευθής] *ignarus*, supra vs. 88 = *ignotus*; alias non legitur adi.
185 Ἀχαιῶν] Δαναῶν metro invito H.
188 ἐγχεσιμώρους] cf. Β 692.
189 μεγαθύμου] -μοο? cf. § 59.
192 ἀπέFρα § 150] ἀπηύρα mss.
195 ἐπισμυγερῶς] dubiae originis adv. redit δ 672, adi. legitur Hes. Scut. 264.
196 καταφθιμένοιο] ἀποφθ. P.
197-200] del. PKnight.
197 καὶ κεῖνος § 9] κἀκεῖνος mss. pleraque. ‖ πατροφονῆα] vid. ad Ω 506.

198 Αἴγισθον δολόμητιν, ὅ ϝοι πατέρα κλυτὸν ἔκτα.“ 198 = α 300
201 τὸν δ’ αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
„ὦ Νέστορ Νηληιάδη, μέγα κῦδος Ἀχαιῶν, 202 = Κ 87
καὶ λίην κεῖνος μὲν ἐτίσατο, καί ϝοι Ἀχαιοὶ 203ᵃ cf. α 46
οἴσουσι κλέος εὐρὺ καὶ ἐσσομένοισιν ἀοιδήν.
205 αἲ γὰρ ἐμοὶ τοσσήνδε θεοὶ δύναμιν περιθεῖεν,
τίσασθαι μνηστῆρας ὑπερβασίης ἀλεγεινῆς,
οἵ τέ μοι ὑβρίζοντες ἀτάσθαλα μηχανάονται. 207 cf. Λ 695
ἀλλ’ οὔ μοι τοιοῦτον ἐπέκλωσαν θεοὶ ὄλβον, 207ᵇ = ρ 588 cf. π 93
πατρί τ’ ἐμῷ καὶ ἐμοί· νῦν δὲ χρὴ τετλάμεν’ ἔμπης.“ 209ᵇ cf. ζ 190
210 τὸν δ’ ἠμείβετ’ ἔπειτα γερήνιος ἱππότα Νέστωρ·
„ὦ φίλ’, ἐπεὶ δὴ ταῦτά μ’ ἀνέμνησας καὶ ἔϝειπες·
φασὶ μνηστῆρας σῆς μητέρος εἵνεκα πολλοὺς 212 sq. cf. π 93 sq.
213 ἐν μεγάροισ’ ἀϝέκητι σέθεν κακὰ μηχανάεσθαι.
216 τίς ϝοῖδ’ εἴ κέ ποτέ σφι βίας ἀποτίσεται ἐλθὼν 216ᵇ cf. λ 118 π 255 ρ 540
ἢ ὅ γε μοῦνος ἐὼν ἢ καὶ σύμπαντες Ἀχαιοί;
εἰ γάρ σ’ ὣς ἐθέλοι φιλέειν γλαυκῶπις Ἀθήνη,
ὡς τότ’ Ὀδυσσῆος περὶ ’κήδετο κυδαλίμοιο
220 δήμῳ ἔνι Τρώων, ὅθ’ ἐπάσχομεν ἄλγε’ Ἀχαιοί, — 220 = ω 27
οὐ γάρ πω ’ϝίδον ὧδε θεοὺς ἀναφανδὰ φιλεῦντας,

199 καὶ σύ, φίλος, — μάλα γάρ σ’ ὁράω καλόν τε μέγαν τε, — 199 sq. = α 301 sq.
ἄλκιμος ἔσσ’, ἵνα τίς σε καὶ ὀψιγόνων ἐὺ ϝείπῃ.
214 ϝειπέ μοι, ἠὲ ϝεκὼν ὑποδάμνασαι ἦ σέ γε λαοὶ 214 sq. = π 95 sq.
ἐχθαίρουσ’ ἀνὰ δῆμον ἐφεσπόμενοι θεοῦ ὀμφῇ.

199 sq. Aristoph. Ar. — || 209 Ar. —

198 ὅ (Ar.)] ὅς mss.; cf. α 300.
199 ὁράω § 191] ὁρόω mss.
200 ἔσσ’(ο)] cf. § 302.
203 μὲν] μιν U T², γε P, quod verum videtur; cf. α 46.
204 ἐσσομένοισιν ἀοιδήν] ἐσσομένοισι πυθέσθαι Eust. (ut Β 119 etc.). Cf. Ζ 358 θ 580 ω 197, 200.
205 αἲ] εἰ (εἴ) mss. pleraque. || περιθεῖεν F] παραθεῖεν mss. pleraque. De sensu vid. ad Λ 149.
207 μηχανάονται § 191] -νόωνται mss.
208 μοι] τοι Bentley. || ἐπέκλωσαν] cf. Ω 525.
210 γερήνιος] cf. Β 336.
211 μ’ ἀνέμνησας] παρέμνησας P, l. a. ἐπανέμνησας (omisso μ’? an l. a. fuit ἐπέμνησας? cf. α 31 etc.). Comp. †.
213 μηχανάεσθαι § 191] μηχανάασθαι vel μητιάασθαι (vid. ad σ 143) mss.
214 sq.] del. Bekker, post vs. 206 ferri vix possunt.
215 ἐφεσπόμενοι § 247] ἐπισπόμενοι mss.
216 τίς Bentley] τίς δ’ mss.; cf. β 332. || ἀποτίσεται] -σεαι Zen. (hinc -σῃ D), quod deleto vs. 217 recipit Naber, quoniam 3ª persona cum vs. 223 conciliari nequit, praeterea coniciens εἴ ποτε ϝῖφι βίας ἀποτίσεαι ἀνδρῶν, quia ἐλθών de *Telemacho* parum apte est dictum.
217 ὅ γε] σύ γε Zen.
218-224] del. Duentzer.
219 τότ’] ὅτ’ mss. nonnulla.
220 ὅθ’ ἐπάσχομεν] ὅθι π. mss. || ἄλγε’] πήματ’ (ἔπασχον πήματ’?) G.
221 φιλεῦντας] cf. § 7 et 191.

ὡς κείνῳ ἀναφανδὰ παρίστατο Παλλὰς Ἀθήνη, —
εἴ σ’ οὕτως ἐθέλοι φιλέειν κήδοιτό τε θυμῷ,
τῷ κέν τις κείνων γε καὶ ἐκλελάθοιτο γάμοιο.“
225 τὸν δ’ αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
„ὦ γέρον, οὔ πως τοῦτο ϝέπος τελέεσθαι ὀίω·
λίην γὰρ μέγ’ ἔϝειπες· ἄγη μ’ ἔχει. οὔ κεν ἐμοί γε 227 cf. π 243
ϝελπομένῳ τὰ γένοιτ’, οὐδ’ εἰ θεοὶ ὣς ἐθέλοιεν.“
τὸν δ’ αὖτε προσέϝειπε θεὰ γλαυκῶπις Ἀθήνη·
230 „Τηλέμαχος, ποῖόν σε ϝέπος ’φύγεν ἕρκος ὀδόντων; 230ᵇ = Δ 350
ῥεῖα θεός κ’ ἐθέλων καὶ τηλόθεν ἄνδρα σαώσαι. 231ᵃ = Κ 556
βουλοίμην δέ κ’ ἐγώ γε καὶ ἄλγεα πολλὰ μογήσας
ϝοίκαδέ τ’ ἐλθέμεναι καὶ νόστιμον ἦμαρ ἰδέσθαι, 233 = ε 220 θ 466
ἢ ἐλθὼν ἀπολέσθαι ἐφέστιος, ὡς Ἀγαμέμνων
235 ὤλεθ’ ὑπ’ Αἰγίσθοιο δόλῳ καὶ ϝῆς ἀλόχοιο.
ἀλλ’ ἤ τοι θάνατον μὲν ὁμοίιον οὐδὲ θεοί περ
καὶ φίλῳ ἀνδρὶ δύνανται ἀλαλκέμεν’, ὁππότε κεν δὴ
μοῖρ’ ὀλοὴ καθέλῃσι τανηλεγέος θανάτοιο.“ 238 = β 100
τὴν δ’ αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
240 „Μέντορ, μηκέτι ταῦτα λεγώμεθα κηδόμενοί περ·
κείνῳ δ’ οὐκέτι νόστος ἐτήτυμος, ἀλλά ϝοι ἤδη
’φράσσαντ’ ἀθάνατοι θάνατον καὶ κῆρα μέλαιναν.

231 Zen. om. || 232-238 Ar. — || 241 sq. Ar. —

225-312] del. Niese.
226 πως Phot. et Suid. s. v. οὔ πως] πω mss.
227 μέγ’ ἔϝειπες] μέγα (μέγ’ T, μέγ’ ὅ W) εἶπες mss. || ἄγη] vid. Φ 221. || οὔ κεν § 326] οὐκ (οὐδ’ G P) ἂν mss.
228 ϝελπομένῳ] ἐλδομένῳ vix recte Nauck. || οὐδ’ εἰ] εἰ μὴ Zen.
229-240] del. Hentze, item vs. 244-247; Bekker vs. 236-238.
230-242] *cur despondes animum? Etiam e remotissimis regionibus virum reducere valet deus. Et nonne praestat post longos annos incolumem redire quam cito reversum necopinata morte perire? Mortuos sane ab inferis excitare ne Olympii quidem possunt* (mente suppl.: *sed unde efficis non amplius inter vivos esse Ulixem?*). Respondet Telemachus: *noli spem inanem mihi ostentare: mortuum esse patrem habeo persuasissimum.* Partim minus aptis verbis haec expressa esse concedit Kirchhoff.
230 Τηλέμαχος Y² q] Τηλέμαχε mss. cett.; Τηλέμαχ’ ὑψαγόρη, μέγα νήπιε, ποῖον ἔειπες Zen. omisso versu sequenti.
231 κ’ M² D K] γ’ mss. cett., cf. Κ 246; Nauck γ’ … σαώσει (sic U²). Cf. δ 753.
232 δέ κ’ § 326] δ’ ἂν (ἂν om. F) mss.
233 ἰδέσθαι] neglecto ϝ; ὀλέσθαι G¹ (voluitne ἑλέσθαι, ut W ε 220?); ἱκέσθαι („erleben") Fick, item ε 209 (ibi etiam Bentley), 220 ζ 311 θ 466 φ 228. Sic adhibitum extat ἱκέσθαι Ω 728 θ 227 ο 246 ρ 497 τ 319, 367 etc., in mss. autem confunduntur verba α 21 ε 408 ρ 448.
234 ἀπολέσθαι ἐφέστιος] ἀπολέσθ’ ἐπιϝέστιος Fick; restitui potest ἐπιϝέστιος etiam ceteris locis (Β 125 h. Cer. 489, et levi mutatione η 248 ψ 55), item pro ἑστίη scribi potest ϝεστίη. Nusquam tamen necessarium est ϝ (vid. § 41⁹ et cf. ἐπίστιον ζ 265).
236 ὁμοίιον] vid. ad Δ 315.

νῦν δ' ἐθέλω Ϝέπος ἄλλο μεταλλῆσαι καὶ ἐρέσθαι
Νέστορ', ἐπεὶ περὶ Ϝοῖδε δίκας ἠδὲ φρόνιν ἄλλων·
ὥς τέ μοι ἀθάνατος Ϝινδάλλεται εἰσοράεσθαι.
ὦ Νέστορ Νηληιάδη, σὺ δ' ἀληθὲς ἐνίσπε·
πῶς ἔθαν' Ἀτρεΐδης εὐρὺ κρείων Ἀγαμέμνων;
ποῦ Μενέλαος ἔην; τίνα δ' αὐτῷ 'μήσατ' ὄλεθρον
Αἴγισθος δολόμητις; ἐπεὶ 'κτάνε πολλὸν ἀρείω.
ἦ οὐκ Ἄργεος ἦεν Ἀχαιικοῦ, ἀλλά πη ἄλλῃ
'πλάζετ' ἐπ' ἀνθρώπους, ὃ δὲ θαρσήσας κατέπεφνε;"
τὸν δ' ἠμείβετ' ἔπειτα γερήνιος ἱππότα Νέστωρ·
„τοιγὰρ ἐγώ τοι, τέκνον, ἀληθέα πάντ' ἀγορεύσω. 254 = π 61
ἦ τοι μὲν τὸ καὶ αὐτὸς ὀίεαι, ὥς κεν ἐτύχθη,
εἰ ζώοντ' Αἴγισθον ἐνὶ μεγάροισιν ἔτετμε
Ἀτρεΐδης Τροίηθεν ἰών, ξανθὸς Μενέλαος·
τῷ κέ Ϝοι οὐδὲ θανόντι χυτὴν ἐπὶ γαῖαν ἔχευαν,
ἀλλ' ἄρα τόν γε κύνες τε καὶ οἰωνοὶ κατέδαψαν
κείμενον ἐν πεδίῳ Ϝεκὰς Ἄργεος, οὐδέ κέ τίς μιν

245 τρὶς γὰρ δή μιν φασὶ Ϝανάξασθαι γένε' ἀνδρῶν.
244-246 Ar. —

244 φρόνιν] vox redit δ 258 (ubi vid.). || ἄλλων] ἀνδρῶν G P F² mss. alia; cf. vs. 245.

245] versum spurium aut graviter corruptum esse et e sententia contorta apparet, nihil enim est *ter generi hominum praefuit*, et e forma verbi mediali Ϝανάξασθαι pro Ϝανάξαι, pro qua Ellendt coniecit ἀνασσέμεναι (γένει), vHerwerden ἀμείψασθαι (nempe γένεα). Ex *Α* 252 confictum esse versum vidit Ar., damnabat autem vs. 244-246; nobis servandus videtur versus 244, de vs. 246 dubitamus. De γένε'(ι) cf. § 71.

246 ἀθάνατος Aristoph. Eust.] -τοις mss.; cf. *Ρ* 213 sq. et vid. LaRoche Hom. Unt. II p. 146. || εἰσοράεσθαι § 191] -ράασθαι mss.

247 σὺ — ἐνίσπε] μέγα κῦδος Ἀχαιῶν P (cf. γ 79). || ἐνίσπε] ἐνίσπες G¹ H¹ M¹ mss. alia; cf. § 246.

248 πῶς] ὡς Buttmann male (vid. Nitzsch).

249 ἔην] ἔεν? vid. § 302. || αὐτῷ] *ipsi Agamemnoni*.

250 ἀρείω] forma novicia, vid. § 85.

251 sq.] del. PKnight.

251 Ἄργεος ἦεν Ἀχαιικοῦ] l. a. Ἄργει ἔην ἐν Ἀχαιικῷ. || ἦεν] sc. *Menelaus*.

253 γερήνιος] cf. *Β* 336.

255 *τὸ καὶ αὐτὸς] τόδε (aut τάδε) καὐτὸς (γ' αὐτὸς G) mss.; Fick τὰ καὶ αὐτός. Cf. § 9. || κεν] om. P¹, περ G P² mss. alia.

256 ζώοντ'] ζωόν (ζῳόν) γ' Bekker; sed vid. *Ρ* 681.

258 ἔχευαν] quidam ἔχευεν, male supplentes τις.

259 γε] -δε G; LaRoche κε mavult.

260 sq. Ϝεκὰς — Ἀχαιιάδων] del. vHerwerden. Nisi sumimus *Argis* degisse Aegisthum priusquam in bellum abiit Agamemnon, urbis nomen hic incommodum. Neque totum Agamemnonis regnum vel Peloponnesus (ut γ 251, 263 *Ζ* 152 *Ν* 379 etc.) potest intellegi; nam non *extra Agamemnonis dicionem*, neque in *remoto angulo* regni (gen. partit.), sed *ante ipsam urbem Mycenas* in planitie proiciendum erat corpus Aegisthi (ut Polynicis ante Thebas). Contortior denique videtur interpretatio *seorsum* (i. e. *solum, neglectum*) *in planitie Argiva iacentem*. Nihil prodest codicum nonnullorum lectio ἄστεος (neglecto praeterea Ϝ) pro Ἄργεος.

'κλαῦσεν Ἀχαιιάδων· μάλα γὰρ μέγα 'μήσατο Ϝέργον.
ἦμες μὲν γὰρ κεῖθι πολῦς τελέοντες ἀέθλους
ἥμεθ', ὃ δ' εὔκηλος μυχῷ Ἄργεος ἱπποβότοιο 263ᵇ = Ζ 152
πόλλ' Ἀγαμεμνονέην ἄλοχον 'θέλγεσκε Ϝέπεσσι.
ἣ δ' ἦ τοι τὸ πρὶν μὲν ἀναίνετο Ϝέργον ἀϜεικὲς,
δῖα Κλυταιμνήστρη· φρεσὶ γὰρ 'κέχρητ' ἀγαθῇσι. 266ᵇ = ξ 421 π 398
πὰρ δ' ἄρ' ἔην καὶ ἀοιδὸς ἀνὴρ, ᾧ πόλλ' ἐπέτελλε
Ἀτρεΐδης Τροίηνδε κιὼν εἰρῦσθαι ἄκοιτιν.
ἀλλ' ὅτε δή μιν μοῖρα θεῶν ἐπέδησε δαμῆναι,
δὴ τότε τὸν μὲν ἀοιδὸν ἄγων εἰς νῆσον ἐρήμην
κάλλιπεν οἰωνοῖσι Ϝέλωρ καὶ κύρμα γενέσθαι· 271 cf. Ρ 151
τὴν δ' ἐθέλων ἐθέλουσαν ἀνήγαγε Ϝόνδε δόμονδε.
πολλὰ δὲ μηρί' ἔκηε θεῶν ἱερῶν ἐπὶ βωμῶν,
πολλὰ δ' ἀγάλματ' ἀνῆψεν, ὑφάσματά τε χρυσόν τε,
ἐκτελέσας μέγα Ϝέργον, ὃ οὔ ποτε 'Ϝέλπετο θυμῷ.
„ἦμες μὲν γὰρ ἅμα 'πλέομεν Τροίηθεν ἰόντες,
Ἀτρεΐδης καὶ ἐγὼ, φίλα Ϝειδότες ἀλλήλοισι·
ἀλλ' ὅτε Σούνιον ἱρὸν ἀφικόμεθ', ἄκρον Ἀθήνης,

262 ἦμες § 92] ἡμεῖς mss. || πολῦς § 83] πολεῖς U, πολέας mss. cett.

264 'θέλγεσκε Ϝέπεσσι] -σκ' ἐπέεσσιν mss. (θέλγεσκ' ἄλοχον ἐπέεσσι G¹ non male).

265 ἀναίνετο] vid. ad *Ι* 585.

266 del. PKnight. || 'κέχρητ'] l. a. κέκρητ'.

267 δ' ἄρ' G F² P] γὰρ F¹ mss. alia. || ἔην] ἔεν? vid. § 302. || ἀοιδὸς] absurde quidam grammatici ἀοιδόν propter hunc locum *eunuchum* (ἄνευ αἰδοίων) interpretabantur.

268 εἰρῦσθαι § 164] εἴρυσθαι codd., PKnight ῥύσασθαι, Nauck ῥύεσθαι; cf. ψ 151.

269] hic versus quomodo sit vertendus non constat. *Ubi fatum cogebat Aegisthum ut mortem oppeteret* (Clytaemnestram uxorem ducendo)? An *ubi fatum Clytaemnestram cogebat ut amatori* (quem hactenus reppulisset) *cederet*? sic tamen pronomen μιν vs. 269 et subiectum versus 270 non ad eandem personam referuntur, neque satis aptum est verbum δαμῆναι, licet conferri possit *Γ* 301. Nitzsch de *cantore* versum accipit; ita quoque mutatur persona, cantoris autem primae fere partes in narratione fiunt, et molestum est τὸν ἀοιδὸν vs. 270. Denique de *Agamemnone* sermonem fieri fuere qui putarent (cf. schol. et Eust.); sed haec quidem omnino reicienda videtur explicatio.

273 θεῶν] θεοῖσ' Nauck. || ἱερῶν ἐπὶ βωμῶν Nauck] ἱεροῖς ἐπὶ βωμοῖς mss., item Hes. Op. 136. Vid. Hes. Theog. 557 et η 100. Etiam ἱεροὺς κατὰ βωμοὺς recte haberet, vid. *Β* 305.

274 ἀνῆψεν] delubris *affixit* (cf. ι 137 etc.).

275 ὃ οὐ] hiatus non ferendus; ὅ γ' οὐ proponitur apud Nauckium. Vid. ad *Θ* 271.

276 ἦμες § 92] ἡμεῖς mss. || ἅμα 'πλέομεν] ἀναπλέομεν Zen.; at ἀναπλεῖν apud Homerum de *Troiam versus navigantibus* dici (*Α* 22 μ 231) acute observavit Ar.

277 ἀλλήλοισι] -λοιιν W.

278 Ἀθήνης] Ἀθηνῶν vel -νέων (-ναίων) mss., vid. § 56. Singularem numerum ex η 80 restituit Fick, cf. infra vs. 307. Non obstat correctioni forma Ἀθῆναι alibi obvia (γ 307? λ 323 *Β* 546, 549), cf. Θήβη - Θῆβαι, Μυκήνη - Μυκῆναι, Πλάταια - Πλαταιαί, Κρήτη - Κρῆται (? ξ 199), Μάλεια - Μάλειαι (γ 287), Φειά - Φειαί (*Η* 135 ο 297), Φηρή - Φηραί, et vid. Gilbert Gr. Alt. I¹ p. 106. Vulgatam sequitur Aristoph. Nub. 401.

ἔνθα κυβερνήτην Μενελάου Φοῖβος Ἀπόλλων
Ϝοῖσ' ἀγανοῖσι βέλεσσιν ἐποιχόμενος κατέπεφνε 280 cf. Ω 759
πηδάλιον μετὰ χερσὶ θεούσης νηὸς ἔχοντα,
Φρόντιν Ὀνητορίδην, ὃς ἐκαίνυτο φῦλ' ἀνθρώπων
νῆα κυβερνῆσαι, ὁπότε σπέρχοιεν ἄελλαι.
ὣς ὃ μὲν ἔνθα κατέσχετ' ἐπειγόμενός περ ὁδοῖο, 284^b = α 309
ὄφρ' ἕταρον θάπτοι καὶ ἐπὶ κτέρεα κτερίσειε. 285^b cf. Ω 38
ἀλλ' ὅτε δὴ καὶ κεῖνος, ἰὼν ἐπὶ Ϝοίνοπα πόντον
ἐν νηυσὶ γλαφυρῇσι, Μαλειάων ὄρος αἰπὺ 287^b = δ 514
ἷξε θέων, τότε δὴ στυγερὴν ὁδὸν εὐρύϜοπα Ζεὺς 288 cf. ξ 235
ἐφράσατο, λιγέων δ' ἀνέμων ἐπ' ἀυτμέν' ἔχευε
κύματά τε τροφόεντα πελώρια, Ϝῖσ' ὀρέεσσι. 290^a cf. Ο 621
ἔνθα διατμήξας τὰς μὲν Κρήτῃ ἐπέλασσε, 291^a = Φ 3
ἧχι Κύδωνες ἔναιον Ἰαρδάνου ἀμφὶ ῥέεθρα· — 292^b = Η 135
ἔστι δέ τις λισσὴ αἰπειά τε εἰς ἅλα πέτρη
ἐσχατιῇ Γόρτυνος ἐν ἠεροϜειδέι πόντῳ,
ἔνθα νότος μέγα κῦμα ποτὶ σκαιὸν ῥίον ὠθεῖ
εἰς Φαιστὸν, μικρὸς δὲ λίθος μέγα κῦμ' ἀποϜέργει· —
αἳ μὲν ἄρ' ἔνθ' ἦλθον, σπουδῇ δ' ἤλυξαν ὄλεθρον
ἄνδρες, ἀτὰρ νῆάς γε ποτὶ σπιλάδεσσιν ἔϜαξαν
κύματ'· ἀτὰρ τὰς, πέντε νέας κυανοπρῳρείους,

279 *Μενελάου*] *-λάοο*? cf. § 59.

280 *ἀγανοῖσι βέλε(σ)σιν* H] *-νοῖς βελέεσσιν* mss. pleraque.

283 *σπέρχοιεν*] *-χοίατ'* G P H^2, *-χωσιν* Eust. Activum de procellis etiam *Ν* 334 ε 304 usurpatur, *σπέρχεσθαι* alibi dicuntur *homines* (*navis* ν 115).

284 *ὣς*] Nitzsch *ἕως*; vid. ad vs. 301.

286 *καὶ κεῖνος*] *κἀκεῖνος* mss. pleraque; cf. § 9.

289 *δ'*] *τ'* G F P mss. alia, utrumque Ar. || *ἀυτμέν' ἔχευε*] *-να χεῦε* (*χεύας*) mss.

290 *τροφόεντα* F^1 P H^2 M^1] *τροφέοντα* G^1 F^2, *τροφέοντο* (= *ηὐξάνοντο*) Ar. pap. 271 G^2 H^1 M^2, sed *τροφέω* apud Hom. alibi non legitur, *τροφόεντα* autem adi. certum est *Ο* 621. Vid. *Α* 157 δ 227 ζ 87 et ad *Α* 307 ε 388. || *Ϝῖσ' ὀρέεσσι* Bentley] *ἶσα ὄρεσσι* mss. hiatu vitioso.

291 *τὰς μὲν*] vid. ad vs. 299.

292 *ἧχι*] vid. *Α* 607 *Γ* 326 *Δ* 76 γ 87.

293 *λισσὴ*] quidam habebant pro nomine proprio promunturii quod postea *Blisse* dictum; vid. ad *Α* 99. Crates *Λισσὴν* (*Βλισσὴν* apud Eust.) scripsisse fertur. || *αἰπειά τε*] *τε καὶ αἰπεῖ'* PKnight.

295 sq.] del. PKnight.

295] argutatur de hoc loco Gellius II 30. || *ποτὶ*] *περὶ* F^1 H mss. alia.

296 *μικρὸς*] *Μαλέου* Zen. — Pro *μικρὸς* expectaveris *σμικρὸς* vel potius *τυτθὸς* aut *ὀλίγος*; cf. *Ε* 801 et § 45.

299 *τὰς*] opp. *τὰς μὲν* vs. 291. In P est *τὰς μὲν*, quae fortasse ex notula *τὰς Μεν(ελάου)* nata est lectio. || *κυανοπρῳρείους*] forma inaudita; alias legitur *κυανοπρῴροιο* (*Ο* 693 etc.). Herodianus *κυανοπρωείρους*, vid. Etym. M. 692,31 sqq., ubi additur Simonidem *κυανοπρώ(ε)ιραν* dixisse; sed *-ρείους* aut *-είρους* satis commode explicari nequit. *Feminini* forma heteroplasta **κυανοπρῳρείας* fortasse defendi potest collato *εὐρυοδείης* (*Π* 635

300 Αἰγύπτῳ ἐπέλασσε φέρων ἄνεμός τε καὶ ὕδωρ. 300 cf. η 277 ι 39 ο 482
ὣς ὃ μὲν ἔνθα πολὺν βίοτον καὶ χρυσὸν ἀγείρων
ἠλάετο ξὺν νηυσὶ κατ' ἀλλοθρόους ἀνθρώπους.
303 τόφρα δὲ ταῦτ' Αἴγισθος ἐμήσατο Ϝοίκοθι λυγρά·
305 ἑπτάϜετες δ' ἐϜάνασσε πολυχρύσοιο Μυκήνης
304 κτείνας Ἀτρεΐδην, 'δέδμητο δὲ λαὸς ὑπ' αὐτῷ.
306 τῷ δέ Ϝοι ὀγδοάτῳ κακὸν ἤλυθε δῖος Ὀρέστης 306 cf. Φ 39
307 ἂψ ἀπ' Ἀθηνάων, κατὰ δ' ἔκτανε πατροφονῆα. 307^b = α 299
309 ἦ τοι ὃ τὸν κτείνας 'δαίνυ τάφον Ἀργείοισι·
311 αὐτῆμαρ δέ Ϝοι ἦλθε βοὴν ἀγαθὸς Μενέλαος
πολλὰ κτήματ' ἄγων, ὅσα Ϝοι νέες ἄχθος ἄειραν.
„καὶ σὺ, φίλος, μὴ δϜηθὰ δόμων ἄπο τῆλ' ἀλάλησο 313^b cf. ο 10
κτήματά τε προλιπὼν ἄνδρας τ' ἐν σοῖσι δόμοισι 314-316 = ο 11 sqq.
315 οὕτω ὑπερφιάλους, μή τοι κατὰ πάντα φάγωσι
κτήματα δασσάμενοι, σὺ δὲ τηΰσίην ὁδὸν ἔλθῃς.
ἀλλ' εἰς μὲν Μενέλαον ἐγὼ κέλομαι καὶ ἄνωγα 317 cf. ο 14
ἐλθεῖν· κεῖνος γὰρ νέον ἄλλοθεν εἰλήλουθε 318^b cf. π 26 υ 360

308 *Αἴγισθον δολόμητιν, ὃ Ϝοι πατέρα κλυτὸν ἔκτα.* 308 = α 300
310 *μητρός τε στυγερῆς καὶ ἀνάλκιδος Αἰγίσθοιο·*

γ 453 etc.), sed malumus **φοινικοπαρῄους* (ut λ 124 ψ 271), nisi gravius subest mendum, nam aegre desideratur *Menelai* nomen.

301 *ὣς*] *ἕως* poscit Nitzsch coll. δ 90 sq. ε 424 sq.; scribi posset *ἦος ὃ γ'* (vid. § 323), sed nihil mutasse praestat.

302 *ἠλάετο* § 191] *ἠλᾶτο* mss.

305 et **304**] inverso ordine habent mss.; correxit Bergk ex schol. Soph. El. 267.

305 *ἐϜάνασσε*] *ἤνασσε* mss.

304 *'δέδμητο*] *δέδμηντο* Ar. coll. *Ο* 305, non recte, vid. § 119.

306 *δέ Ϝοι ὀγδοάτῳ*] *δ' ἄρ' ἀνώιστον* Apoll. lex. non male, cf. *Φ* 39 δ 92. In vulgata displicet *τῷ*.

307 *ἂψ*] *αἶψ'(α)* F H mss. alia; vid. ad θ 92. || *ἀπ' Ἀθηνάων* F H] *ἀπ' Ἀθηναίων* G P M, *ἀπ' Ἀθηναίης* Ar. coll. η 80, vid. ad γ 278; *ἀπὸ Φωκήων* Zen. (vid. Aesch. Ag. 881 Choeph. 674, Soph. El. 45, Eur. El. 18). || *πατροφονῆα*] vid. ad *Ω* 506.

308] om. U, in margine habent G Y, del. PKnight. || *ὃ*] *ὃς* mss.; cf. α 300.

309 *τάφον*] *Agamemnonis* parentalia intellegenda videntur. Cf. *Ψ* 29.

310] del. PKnight; Didymus refert vs. 309 sq. a nonnullis veterum editionibus afuisse, Aristarchum vero non reiecisse, sed annotasse de *morte* Clytaemnestrae hinc constare, cuius tamen manu interemta sit ex Homero effici non posse, neque usquam a poeta innui a *filio* esse necatam.

311 *αὐτῆμαρ*] *eodem anno* Menelaum rediisse ex δ 82 patet, *eodem die* etiam ex δ 546 sq. efficitur. Itaque *αὐτῆμαρ* non est sollicitandum, licet mirationem moveat; Euripidem autem sic legisse ex Orest. 39 (coll. 53) Electr. 1278 sqq. apparet.

313-316] del. Kammer.

313] hoc versu Zenodotum motum esse ut Telemachum etiam extra Peloponnesum iter extendisse statueret eamque ob causam *Cretam* pro *Sparta* pluribus locis (α 93, 285) inculcaret, observavit Ar. || *δόμων*] *φίλων* P (cf. α 49).

315 *τοι*]. *δὴ* M mss. alia.

316 *κτήματα*] *χρήματα* M mss. alia. || *τηΰσίην*] adi. obsoletum redit ο 13 h. Ap. 540; *irritum* significare docet contextus.

318 *ἐλθεῖν· κεῖνος γὰρ*] **ἐλθέμεναι· ὃς γὰρ*,

ἐκ τῶν ἀνθρώπων, ὅθεν οὐ Ϝέλποιτό κε θυμῷ
ἐλθέμεν', ὅν τινα πρῶτον ἀποσφήλωσιν ἄελλαι
εἰς πέλαγος μέγα τοῖον, ὅθεν τέ περ οὐδ' οἰωνοὶ
αὐτόϜετες οἰχνεῦσιν, ἐπεὶ μέγα τε δϜεινόν τε.
ἀλλ' ἴθι νῦν σὺν νηί τε σῇ καὶ σοῖσ' ἑτάροισι· 323 cf. Α 179
εἰ δ' ἐθέλεις πεζὸς, πάρα τοι δίφρος τε καὶ ἵπποι,
πὰρ δέ τοι υἷες ἐμοὶ, οἵ τοι πομπῆες ἔσονται
εἰς Λακεδαίμονα δῖαν, ὅθι ξανθὸς Μενέλαος.
λίσσεσθαι δέ μιν αὐτὸς, ἵνα νημερτὲς ἐνίσπῃ· 327 cf. 19
ψεῦδος δ' οὐ Ϝερέει· μάλα γὰρ πεπνυμένος ἐστί." 328 = 20
ὣς ἔφατ'· ἠέλιος δὲ ἔδυ καὶ ἐπὶ κνέφας ἦλθε. 329 = ε 225
τοῖσι δὲ καὶ μετέϜειπε θεὰ γλαυκῶπις Ἀθήνη·
„ὦ γέρον, ἦ τοι ταῦτα κατὰ μοῖραν κατέλεξας· 331 cf. ϑ 496
ἀλλ' ἄγε τάμνετε μὲν γλώσσας, κεράεσθε δὲ Ϝοῖνον,
ὄφρα Ποσειδάωνι καὶ ἄλλοισ' ἀθανάτοισι
σπείσαντες κοίτοιο μεδώμεθα· τοῖο γὰρ ὥρη.
ἤδη γὰρ φάος οἴχεθ' ὑπὸ ζόφον, οὐδὲ ϜέϜοικε
δϜηθὰ θεῶν ἐν δαιτὶ θαασσέμεν', ἀλλὰ νέεσθαι."
ἦ ῥα Διὸς θυγάτηρ, οἳ δ' ἔκλυον αὐδησάσης. [sqq.
τοῖσι δὲ κήρυκες μὲν ὕδωρ ἐπὶ χεῖρας ἔχευαν, 338-340 = φ 270 / 338^b-340 = Ι 174
κοῦροι δὲ κρητῆρας ἐπεστέψαντο ποτοῖο, 338 = α 146 [sqq. / 339 = α 148
'νώμησαν δ' ἄρα πᾶσιν ἐπαρξάμενοι δεπάεσσι·
γλώσσας δ' ἐν πύρ' ἔβαλλον, ἀνιστάμενοι δ' ἐπέλειβον.
αὐτὰρ ἐπεὶ 'σπεῖσάν τε 'πίον θ' ὅσον ἤθελε θυμὸς, 342 = Ι 177
δὴ τότ' Ἀθηναίη καὶ Τηλέμαχος θεοϜειδὴς

ut α 286 ϱ 182 (cf. vs. 320)? Nauck ἐλθέμεν, ὡς κεῖνος.
319 κε Nauck] γε mss.; cf. Κ 246.
321 sq.] *spurii? Hyperbolen cum ξ 257 contulit Ar.; suspicionem tamen praeterea movet structura contorta.
321 τοῖον] vid. ad α 209.
322 αὐτόϜετες] †. Cf. αὐτῆμαρ Α 81 etc., αὐτόδιον ϑ 449, αὐτονυχί Θ 197. || οἰχνεῦσιν] forma suspecta, cf. § 7 et 191, *veniendi* autem aut *redeundi* verbum (ἵκουσιν aut νίσσονται) expectatur potius quam *veniendi*. Simplex Ε 790 Ο 640 recurrit, comp. ἐξ- Ι 384, εἰσ- ζ 157 ι 120, δι- h. XVIII 10.
325 ἔσονται] ἕπονται G P M mss. alia.
327 αὐτὸς Ar. F^1 D] αὐτὸν mss. pleraque; cf. vs. 19. Verte: *ipse autem eum adeas necesse est* (alioquin libenter mitterem de meis aliquem qui de tuo patre eum percontaretur).
329 δὲ Nauck] δ' ἄρ' mss.
332 τάμνετε μὲν γλώσσας] de more qui hoc versu et vs. 341 commemoratur vid. Aristoph. Pac. 1060 Av. 1705 Plut. 1110, Apoll. Rhod. I 517, Athen. I 16*c* V 191*e* et cf. η 138. || κεράεσθε § 191] κεράασθε mss., κεράσασθε Athen. V 191*e*; an *κίρνασθε? vid. § 297.
335 οἴχεθ'] ᾤχεθ' Zen. D non recte.
339 sq.] vid. ad Α 470 sq.
341 πύρ' ἔβαλλον] πυρὶ βάλλον mss. || ἐπέλειβον] comp. † (simplex Α 463 etc.).

ἄμφω ἐϜιέσθην κοίλην ἐπὶ νῆα νέεσθαι.
Νέστωρ δ' αὖ κατέρυκε καθαπτόμενος Ϝεπέεσσι·
„Ζεὺς τό γ' ἀλεξήσειε καὶ ἀθάνατοι θεοὶ ἄλλοι,
ὡς ὔμες παρ' ἐμεῖο θοὴν ἐπὶ νῆα κίοιτε
ὥς τέ τινος παρὰ πάμπαν ἀϜείμονος ἠδὲ πενιχροῦ,
ᾧ οὔ τι χλαῖναι καὶ ῥήγεα πόλλ' ἐνὶ Ϝοίκῳ,
οὔτ' αὐτῷ μαλακῶς οὔτε ξείνοισιν ἐνεύδειν.
αὐτὰρ ἐμοὶ πάρα μὴν χλαῖναι καὶ ῥήγεα καλά.
οὔ θην δὴ τοῦδ' ἀνδρὸς Ὀδυσσῆος φίλος υἱὸς
νηὸς ἐπ' ἰκριόφιν καταλέξεται, ὄφρα κ' ἐγώ γε 353^a = ν 74
ζώω, ἔπειτα δὲ παῖδες ἐνὶ μεγάροισι λίπωνται,
ξείνους ξεινίζειν, ὅς τίς κ' ἐμὰ δώμαθ' ἵκηται." 355^b cf. ϑ 32
τὸν δ' αὖτε προσέϜειπε θεὰ γλαυκῶπις Ἀθήνη·
„εὖ δὴ ταῦτά γ' ἔφησθα, γέρον φίλε· σοὶ δὲ ϜέϜοικε
Τηλέμαχον πείθεσθαι, ἐπεὶ πολὺ κάλλιον οὕτως. 358^b = ϑ 543
ἀλλ' οὗτος μὲν νῦν σοὶ ἅμ' ἕψεται, ὄφρα κεν εὕδῃ
σοῖσιν ἐνὶ μεγάροισιν· ἐγὼ δ' ἐπὶ νῆα μέλαιναν
εἶμ', ἵνα θαρσύνω θ' ἑτάρους Ϝείπω τε Ϝέκαστα.
οἶος γὰρ μετὰ τοῖσι γεραίτερος εὔχομαι εἶναι·
οἳ δ' ἄλλοι φιλότητι νεώτεροι ἄνδρες ἕπονται,
πάντες ὁμηλικίη μεγαθύμου Τηλεμάχοιο.
ἔνθα κε λεξαίμην κοίλῃ παρὰ νηὶ μελαίνῃ 365^a = τ 598
νῦν· ἀτὰρ ἠῶθεν μετὰ Καύκωνας μεγαθύμους 365^b = κ 272
εἶμ', ἔνθα χρῆός μοι ὀφείλεται, οὔ τι νέον γε
οὐδ' ὀλίγον. σὺ δὲ τοῦτον, ἐπεὶ τεὸν ἵκετο δῶμα, 368^b = π 78

344 ἐϜιέσθην] ἱέσθην mss.; cf. § 201.
345 δ'] om. P H^1 mss. alia.
347 ὔμες § 92] ὑμεῖς mss.
348 *τινος] τευ ἦ mss. sine sensu; τευ ἢ Bekker; vid. τ 109 et de forma τευ § 99; Naber utrobique τευὴ scribi posse putat. || ἀϜείμονος] ἀνείμονος mss. (ἀμύμονος P^1). Adi. †, cf. κακοϜείμων σ 41; Nauck ἀπάμονος (cf. Δ 433 ω 305). || ἠδὲ Bekker] ἠὲ mss.; cf. δ 371. || πενιχροῦ] adi. †, cf. πενίη ξ 157, πένομαι Α 318 etc.
349 οὔ τι Ar.] οὔτε mss.; οὔ περ Zen. || ῥήγεα] κτήματα Zen. male.
351] del. Fick. || μὴν § 18] μὲν mss.
353 ὄφρα κ' § 326] ὄφρ' ἂν mss.
358 οὕτως] οὕτω mss. multa.
361 Ϝείπω τε] καὶ εἴπω G.
362 γεραίτερος] -τατος Zen.
367 χρῆος § 190] χρεῖος mss., χρείως Ar. Vid. Λ 686. || ὀφείλεται W] ὀφέλλεται mss. pleraque (cf. § 273). Hinc grammaticus apud Plutarchum de defectu or. 3 (Mor. 410*d*) absurde statuit Mentorem dicere *fenora sibi crescere*; quem errorem peperit vocis ὀβολός - ὀβελός etymologia Aristotelica, quasi sit ὀφελός, vid. Polluc. IX 77, Etym. M. s. v. ὀβελίσκος.
367 sq. οὔ τι νέον γε | οὐδ'] l. a. Ἤλιδι δίῃ | οὐκ apud Strab. VIII p. 342 (vid. Λ 686 et 698), οὐκ etiam pap. Genev. exhibet.
368 τεὸν ἵκετο δῶμα] τὰ σὰ γούναθ' ἱκάνει Zen.; vid. ad Λ 185.

πέμψον σὺν δίφρῳ τε καὶ υἱέι, δὸς δέ Ϝοι ἵππους
οἵ τοι ἐλαφρότατοι θείειν καὶ κάρτος ἄριστοι.“
ὣς ἄρα φωνήσασ' ἀπέβη γλαυκῶπις Ἀθήνη 371 = η 78
φήνῃ Ϝειδομένη· θάμβος δ' ἕλε πάντας ἰδόντας. 372ᵇ cf. φ 122 ω 441
'θαύμαζεν δ' ὁ γεραιὸς, ἐπεὶ 'Ϝίδεν ὀφθαλμοῖσι· 373 cf. β 155
Τηλεμάχου δ' ἕλε χεῖρα Ϝέπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε·
„ὦ φίλος, οὔ σε ϜέϜολπα κακὸν καὶ ἀνάλκιδ' ἔσεσθαι,
εἰ δή τοι νέῳ ὧδε θεοὶ πομπῆες ἕπονται.
οὐ μὲν γάρ τις ὅδ' ἄλλος Ὀλύμπια δώματ' ἐχόντων,
ἀλλὰ Διὸς θυγάτηρ κυδίστη Τριτογένεια, 378 cf. Δ 515
ἥ τοι καὶ πατέρ' ἐσθλὸν ἐν Ἀργείοισιν ἔτιε.
ἀλλά, Ϝάνασσ', ἵληθι, δίδωθι δέ μοι κλέος ἐσθλὸν,
αὐτῷ καὶ παίδεσσι καὶ αἰδοίῃ παρακοίτι.
σοὶ δ' αὖ ἐγὼ ῥέξω βοῦν ἤνιδα, εὐρυμέτωπον, 382-384 = K 292 sqq.
ἀδμήτην, ἣν οὔ πω ὑπὸ ζυγὸν ἤγαγεν ἀνήρ·
τήν τοι ἐγὼ ῥέξω χρυσὸν κέρασιν περιχεύας.“
ὣς ἔφατ' εὐχόμενος, τοῦ δ' ἔκλυε Παλλὰς Ἀθήνη. 385 = E 121
τοῖσιν δ' ἡγεμόνευε γερήνιος ἱππότα Νέστωρ,
υἱάσι καὶ γαμβροῖσιν, ἑϜὰ πρὸς δώματα καλά.
ἀλλ' ὅτε δώμαθ' ἵκοντο ἀγακλυτὰ τοῖο Ϝάνακτος,
ἑξείης ἕζοντο κατὰ κλισμούς τε θρόνους τε· 389 = α 145
τοῖς δ' ὁ γέρων ἐλθοῦσιν ἀνὰ κρητῆρ' ἐκέρασσε
Ϝοίνου Ϝηδυπότοιο, τὸν ἐνδεκάτῳ ἐνιαυτῷ
ὤιξεν ταμίη καὶ ἀπὸ κρήδεμνον ἔλυσε.

372 φήνῃ] aquilae nomen π 217 redit. ‖ θάμβος — ἰδόντας] θάμβησε δὲ λαὸς Ἀχαιῶν pap. Genev. ‖ ἰδόντας F H] Ἀχαιούς G P M. In ἰδόντας neglectum est Ϝ (item φ 122); Bentley πάντα Ϝιδόντα. An *ἄνδρα Ϝέκαστον ut ω 441?

373 'θαύμαζεν] θαύμα<σ>σεν pap. Genev., fortasse recte. ‖ δ' ὁ] δὲ? ‖ ἐπεὶ Eust.] ὅπως mss.; vid. ad Δ 459.

375 σε] τί σ' G P[1] W, σέ γ' Apoll. Synt. 46, 11. ‖ ἀνάλκιδ' § 66] ἄναλκιν mss.; alibi constanter ἀνάλκιδα.

376 εἰ δή] vid. ad Δ 61.

378 ἀλλὰ] i. e. ἤ, vid. φ 72. ‖ κυδίστη Zen. D] ἀγελείη mss. pleraque; cf. Δ 515. ‖ Τριτογένεια] cf. Δ 515.

379 ἔτιε § 165] ἐτίμα mss.

380 ἵληθι] item π 184; cf. § 295. Zen. ἐλέαιρε. ‖ δίδωθι] forma inaudita et post ἵληθι ingrata; *δίδου δ' ἡμιν (cf. vs. 58)? Nisi ΔΙΔωΘΙ per dittographiam sit ortum ex ἀνασσΑΙΔηΘΙ, aliud autem verbum interciderit, e. g. *ὄπαζε. Cf. ν 358.

381 παρακοίτι] cf. § 74.

382-384] imitatur Verg. Aen. IX 626-629.

382 ἤνιδα] ἦνιν vel ἤνιν mss.; vid. ad Z 94 K 292.

386 γερήνιος] cf. B 336.

390 τοῖς] requiritur τοῖσι (sic H[1] U), cf. § 60. ‖ δ' ὁ] δὲ? ‖ κρητῆρ' ἐκέρασσε] -ρα κ. mss.

391 ἐνδεκάτῳ] ἐν δεκάτῳ F[1] mss. alia (cf. Θ 404); utrum voluisset poeta dubitabant veteres.

392 κρήδεμνον] *operculum* (πῶμα).

τοῖο γέρων κρητῆρα 'κεράσσατο, πολλὰ δ' Ἀθήνη
ηὔχετ' ἀποσπένδων, κούρῃ Διὸς αἰγιόχοιο.
αὐτὰρ ἐπεὶ 'σπεῖσάν τε 'πίον θ' ὅσον ἤθελε θυμὸς, 395 sq. = η 228 sq. 395 = I 177
οἳ μὲν κακκείοντες ἔβαν Ϝοἶκόνδε Ϝέκαστος· 396 = A 606
τὸν δ' αὐτοῦ 'κοίμησε γερήνιος ἱππότα Νέστωρ,
Τηλέμαχον, φίλον υἱὸν Ὀδυσσῆος θείοιο, 398 cf ο 63, 554 [etc.
τρητοῖσ' ἐν λεχέεσσιν ὑπ' αἰθούσῃ ἐριδούπῳ, 399 = η 345 399ᵃ cf. Ω 720
πὰρ δ' ἄρ' ἐυμμελίην Πεισίστρατον ὄρχαμον ἀνδρῶν,
ὅς Ϝοι ἔτ' ἠίθεος παίδων ἦν ἐν μεγάροισι.
αὐτὸς δ' αὖτε καθηῦδε μυχῷ δόμου ὑψηλοῖο· 402ᵇ = η 346
τῷ δ' ἄλοχος δέσποινα λέχος 'πόρσυνε καὶ εὐνήν. 403 cf. η 347
ἦμος δ' ἠριγένεια 'φάνη ῥοδοδάκτυλος Ἠώς, 404 sq.ᵃ = β 1 sq.
ὤρνυτ' ἄρ' ἐξ εὐνῆφι γερήνιος ἱππότα Νέστωρ.
ἐκ δ' ἐλθὼν κατ' ἄρ' ἕζετ' ἐπὶ ξεστοῖσι λίθοισι,
οἵ Ϝοι ἔσαν προπάροιθε θυράων ὑψηλάων
λευκοί, ἀποστίλβοντες ἀλείφατος· οἷσ' ἔπι μὲν πρὶν
Νηλεὺς ἵζεσκεν, θεόφιν μήστωρ ἀτάλαντος· 409ᵇ = H 366
ἀλλ' ὃ μὲν ἤδη κηρὶ δαμεὶς ἌϜιδόσδ' ἐβεβήκει, 410 = ζ 11
Νέστωρ αὖ τότ' ἐφῖζε γερήνιος, οὖρος Ἀχαιῶν, 411 cf. Θ 80
σκῆπτρον ἔχων. περὶ δ' υἷες ἀϜολλέες ἠγερέθοντο 412ᵇ = Ψ 233
ἐκ θαλάμων ἐλθόντες, Ἐχέφρων τε Στρατίος τε
Περσεύς τ' Ἄρητός τε καὶ ἀντίθεος Θρασυμήδης·

400 sq. Zen. —

393 *τοῖο] τοῦ ὁ (τοῦδ' ὁ P) mss.; cf. § 59.

394 ἀποσπένδων] ἐπισπένδων H[2]; cf. ξ 331. ‖ κούρῃ Διὸς αἰγιόχοιο] μελιηδέα οἶνον ἐρυθρόν pap. Genev. (cf. ι 208).

397 γερήνιος] cf. B 336.

399 τρητοῖσ'] cf. Γ 448.

400 sq.] „ceteri Nestoris filii habebant „uxores; iniuria igitur Zenodotus hos versus „delevit, non perspiciens τὸ φιλότεχνον τοῦ „ποιητοῦ.“ Sic Ar. apud Didymum in scholio. Non quod *in patris domo* pernoctat Pisistratus, sed quod *non in suo cubiculo*, videtur vituperasse Zenodotus; non tamen est quod magnopere miremur hospiti etiam per noctem dari comitem. *In uno lecto* (hic et alibi, δ 303 ο 4 sqq.) ambos collocari sine causa contendit Seeck Quellen p. 342 (ubi mirifice ingenio abutitur).

400 πὰρ δ' ἄρ'] ἄρ' om. P, πὰρ δέ οἱ pap. Genev. 1, quod πὰρ δέ Ϝ' scribendum esset (cf. § 13).

401 ἦν] ἔεν? cf. § 302.

402 αὖτε καθηῦδε] l. a. αὖτ' ἐκάθευδε (Zen.?); cf. A 68, 611.

403 'πόρσυνε] vid. ad Γ 411.

405 γερήνιος] cf. B 336.

408 ἀποστίλβοντες] comp. † (simplex Γ 392 etc., καταστ. h. VII 10). ‖ ἀλείφατος] *adipe*, quo lapis inunctus fuerat cum poliebatur. Sic recte interpretatur Ameis; cf. Helbig Hom. Epos[1] p. 69, qui Hehnio (Kulturpfl.[4] p. 84) obloquitur. — Halbertsma ἀλείφατι coll. Σ 596.

410] del. Fick.

411 αὖ] δ' αὖ mss. pleraque. ‖ γερήνιος] cf. B 336.

τοῖσι δ' ἐπὶ Ϝέκτος Πεισίστρατος ἤλυθεν ἥρως.
πὰρ δ' ἄρα Τηλέμαχον θεοϜείκελον εἷσαν ἄγοντες.
τοῖσι δὲ μύθων ἦρχε γερήνιος ἱππότα Νέστωρ·
„καρπαλίμως μοι, τέκνα φίλα, κρηήνατ' ἐϜέλδωρ,
ὄφρ' ἦ τοι πρώτιστα θεῶν ἱλάσσομ' Ἀθήνην,
ἥ μοι ἐναργὴς ἦλθε θεοῖ' εἰς δαῖτα θάλειαν.
ἀλλ' ἄγ' ὃ μὲν πεδίονδ' ἐπὶ βοῦν ἴτω, ὄφρα τάχιστα
ἔλθῃσιν, ἐλάσῃ δὲ βοῶν ἐπιβουκόλος ἀνήρ·
εἷς δ' ἐπὶ Τηλεμάχου μεγαθύμου νῆα μέλαιναν
πάντας ἰὼν ἑτάρους ἀγέτω, λιπέτω δὲ δύ' οἴους·
εἷς δ' αὖ χρυσοχόον Λαέρκεα δεῦρο κελέσθω
ἐλθέμεν', ὄφρα βοὸς χρυσὸν κέρασιν περιχεύῃ. 426^b cf. *K* 294
οἳ δ' ἄλλοι μένετ' αὖθι ἀϜολλέες, εἴπετε δ' εἴσω
δμῳῇσιν κατὰ δώματ' ἀγακλυτὰ δαῖτα πένεσθαι,
ἕδρας τε ξύλα θ' ἧμι καὶ ἀγλαὸν οἰσέμεν' ὕδωρ."
ὣς ἔφαθ'· οἳ δ' ἄρα πάντες ἐποίπνυον. ἦλθε μὲν ἂρ βοῦς
ἐκ πεδίοι', ἦλθον δὲ θοῆς παρὰ νηὸς ἐϜίσης
Τηλεμάχοι' ἕταροι μεγαλήτορος, ἦλθε δὲ χαλκεὺς
ὅπλ' ἐν χερσὶν ἔχων χαλκήια, πείρατα τέχνης,
ἄκμονά τε σφῦράν τ' ἐὺ ποιητήν τε πυράγρην,
οἷσίν τε χρυσὸν 'Ϝεργάζετο· ἦλθε δ' Ἀθήνη

415 ἐπὶ Fick] ἔπειθ' mss.; cf. *H* 163 sqq. alibi.
416] in quibusdam mss. additur αὐτὰρ ἐπεί ῥ' ἤγερθεν ὁμηγερέες τ' ἐγένοντο (= β 9).
417 γερήνιος] cf. *B* 336.
418 τέκνα φίλα] φίλα τέκνα metro invito G P H M mss. alia; hinc φίλα τέκνα ἐμοὶ suadet APlatt coll. *Ω* 253.
419 ἱλάσσομ'] ἱλα(σ)σώμεθ' G P M, ἱλασσόμεθ' F H.
420 θεοῖ' § 59] θεοῦ mss.
421 ἐπὶ] cf. *B* 808 *M* 342 ω 466; alias hoc sensu apud Hom. est μετά, vid. α 184 etc.
422 ἐπιβουκόλος] idem valet quod simplex βουκόλος (cf. Lehrs Ar.[2] p. 109); redit vox υ 235 φ 199 χ 268, 285, 292; cf. ἐπαμύντωρ π 263 (?), ἐπιβώτωρ ν 222, ἐπιϜίστωρ φ 26, (ἐπιμάρτυρος? α 273 etc.), ἐπίουρος *N* 450 ν 405 ο 39, ἐπιποιμένες Ar. μ 131, ἐπιτιμήτωρ ι 270, et vid. de praepositione ὑπο- in compositis ad δ 386.
423 μεγαθύμου] -μοο? cf. § 59.
425 χρυσοχόον] †.
426 ἐλθέμεν' § 125] ἐλθεῖν mss. ‖ περιχεύῃ] *circumdet*; item vs. 437. Non *liquefactum* aurum *affundi* tauri cornibus sed folio auri malleo exacti *induci cornua* (cf. Ov. Met. VII 161 X 271) quivis intellegit; vid. ceteroquin ζ 232 (= ψ 159) et Helbig Hom. Epos[1] p. 181.
427-429] del. Duentzer.
427 οἳ δ'] ἀλλ' P. ‖ *αὖθι § 322] αὐτοῦ mss. ‖ εἴπετε schol. pap. 271] mss. εἴπατε, cf. § 153. Neglectum est Ϝ, Fick ἔσπετε probabiliter, cf. § 246.
429 θ' ἧμι (τ' ἄμμι) vHerwerden] τ' ἀμφὶ mss. sine sensu. Nauck τ' αὖα (cf. σ 309).
431 πεδίοι' § 59] πεδίου mss.
432 Τηλεμάχοι' § 59] -χου mss. ‖ μεγαλήτορος G F H] -ρες M D mss. alia, μεγαθύμου P.
434 σφῦραν] †, cf. ῥαιστήρ *Σ* 477. ‖ *ἐὺ ποιητήν] εὐποίητον mss.; cf. *E* 466 *Π* 636.
435 'Ϝεργάζετο] εἰργάζετο mss.

ἱρῶν ἀντιάουσα. γέρων δ' ἱππηλάτα Νέστωρ
χρυσὸν ἔδωχ'· ὃ δ' ἔπειτα βοὸς κέρασιν περίχευε
ἀσκήσας, ἵν' ἄγαλμα θεὰ κεχάροιτο Ϝιδοῦσα.
βοῦν δ' ἀγέτην κεράων Στρατίος καὶ δῖος Ἐχέφρων·
χέρνιβα δέ σφ' Ἄρητος ἐν ἀνθεμόεντι λέβητι 440 cf. *Ψ* 885
ἤλυθεν ἐκ θαλάμοιο φέρων, ἑτέρῃ δ' ἔχεν οὐλὰς
ἐν κανέῳ· πέλεκυν δὲ μενεπτόλεμος Θρασυμήδης
ὀξὺν ἔχων ἐν χειρὶ παρίστατο, βοῦν ἐπικόψων·
Περσεὺς δ' ἀμνίον εἶχε. γέρων δ' ἱππηλάτα Νέστωρ
χέρνιβά τ' οὐλοχύτας τε κατήρχετο, πολλὰ δ' Ἀθήνῃ
ηὔχετ' ἀπαρχόμενος, κεφαλῆς τρίχας ἐν πυρὶ βάλλων. 446 cf. ξ 422
αὐτὰρ ἐπεί ῥ' ηὔξαντο καὶ οὐλοχύτας προβάλοντο, 447 = *Α* 458
αὐτίκα Νέστορος υἱὸς ὑπέρθυμος Θρασυμήδης
ἤλασεν ἄγχι στάς· πέλεκυς δ' ἀπέκοψε τένοντε
αὐχενίω, 'λῦσεν δὲ βοὸς μένος· αἳ δ' ὀλόλυξαν
θυγατέρες τε νυοί τε καὶ αἰδοίη παράκοιτις
Νέστορος, Εὐρυδίκη, πρέσβα Κλυμένοιο θυγατρῶν.
οἳ μὲν ἔπειτ' ἀνελόντες ἀπὸ χθονὸς εὐρυοδείης 453^b = *Π* 635
ἔσχον· ἀτὰρ 'σφάξεν Πεισίστρατος ὄρχαμος ἀνδρῶν.
τῆς δ' ἐπεὶ ἐκ μέλαν αἷμα 'ρύη, 'λίπε δ' ὀστέα θυμός, 455^b = *M* 386
αἶψ' ἄρα μιν διέχευαν, ἄφαρ δ' ἐκ μηρί' ἔταμνον 456^a cf. ξ 427
πάντα κατὰ μοῖραν, κατά τε κνίσῃ ἐκάλυψαν 457^b-462 = *Α* 460 sqq.

436 ἀντιάουσα § 191] ἀντιόωσα mss., ἀντήσουσα Ath. VIII 363*e*.
438 ἀσκήσας] cf. *Δ* 110 α 439. ‖ κεχάροιτο G F[2] H[1]] -ροίατ' mss. fere omnia.
440 ἀνθεμόεντι] vid. ad *Ψ* 885.
441 οὐλὰς] vid. ad *Α* 449; mox (vs. 445 et 447) dicuntur οὐλοχύται.
443 χειρὶ] sic Ar., χερσὶ schol. pap. 271 D Eust.; vid. ad γ 51. ‖ ἐπικόψων] comp. †; simplex *P* 521 ξ 425 etc.
444 δ' ἀμνίον] δαμνίον Zenodotum aliosque grammaticos legisse, alios δ' αἱμνίον, adnotat Herodianus. Incertae originis et potestatis vox †; designari videtur vas ad sanguinem recipiendum.
445 οὐλοχύτας] vid. ad *Α* 449.
446] cf. *Γ* 273. Locum imitatur Verg. Aen. VI 215 sq.
447 προβάλοντο] ἀνέλοντο H.
449 sq. πέλεκυς — αὐχενίω] vid. ad *Α* 459. ‖ πέλεκυς] *πελέκυι? vid. *Α* 240 *Π* 332 etc. et § 75. ‖ τένοντε | αὐχενίω Ahrens] -ντας -ους mss.; vid. ad *Π* 587. ‖ αὐχενίω] adi. † (αὐχήν passim).
450 ὀλόλυξαν] *sublata voce deos invocabant*. Verbum rei sacrae proprium redit δ 767 χ 408, 411 h. Ap. 119, 445; verbale ὀλολυγή extat *Z* 301 h. Ven. 19. De feminis (in sacrificiis) precantibus perpetuo usurpatur, doloris autem metusve notio non inest neque laetitiae. Cf. Herod. IV 189, Arist. Eq. 616, 1327 Pac. 97, Aesch. Sept. 825 Agam. 594 sqq., Eur. Med. 1173, Theocr. XVII 64 etc.
451 νυοί] vid. ad *Γ* 49.
452] del. PKnight.
453 μὲν] *δέ Ϝ'? ‖ ἀνελόντες] ἀνίσχοντες (immo ἀνέχοντες) Ar. in altera ed.
456 μηρί' ἔταμνον] μηρία τάμνον mss.

δίπτυχα ποιήσαντες, ἐπ' αὐτῶν δ' ὠμοθέτησαν.
'καῖε δ' ἐπὶ σχίζησ' ὁ γέρων, ἐπὶ δ' αἴθοπα ϝοῖνον
'λεῖβε· νέοι δὲ παρ' αὐτὸν ἔχον πεμπώβολα χερσί.
αὐτὰρ ἐπεὶ κατὰ μῆρ' ἐκάη καὶ σπλάγχν' ἐπάσαντο,
'μίστυλλόν τ' ἄρα τ' ἄλλα καὶ ἀμφ' ὀβελοῖσιν ἔπειραν,
ὤπτων δ' ἀκροπόρους ὀβελοὺς ἐν χερσὶν ἔχοντες.
τόφρα δὲ Τηλέμαχον 'λοῦσεν καλὴ Πολυκάστη, 465 cf. Hes.fr.36,2
Νέστορος ὁπλοτάτη θυγάτηρ Νηληιάδαο.
αὐτὰρ ἐπεὶ 'λοῦσέν τε καὶ ἔχρισεν λίπ' ἐλαίῳ, 466 sq. cf. Ω 587 [sq. 466 = κ 364
ἀμφὶ δέ μιν φᾶρος καλὸν 'βάλεν ἠδὲ χιτῶνα, 467 = ψ 155
ἔκ ῥ' ἀσαμίνθου ἔβη δέμας ἀθανάτοισιν ὁμοῖος· 468 cf. ψ 163; 468ᵃ cf. ω 163
πὰρ δ' ὅ γε Νέστορ' ἰὼν κατ' ἄρ' ἕζετο, ποιμένα λαῶν. 468ᵇ = ϑ 14
οἳ δ' ἐπεὶ ὤπτησαν κρέ' ὑπέρτερα καὶ 'ϝερύσαντο, 470 = 65
'δαίνυνθ' ἑζόμενοι· ἐπὶ δ' ἀνέρες ἐσθλοὶ ὄροντο 471ᵇ cf. Ψ 112 ξ 104
ϝοῖνον ϝοινοχοεῦντες ἐνὶ χρυσέοισι δέπασσι.
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον εἷντο, 473 = Α 469 γ 67
τοῖσι δὲ μύθων ἦρχε γερήνιος ἱππότα Νέστωρ· 474 cf. γ 68
„παῖδες ἐμοί, ἄγε Τηλεμάχῳ καλλίτριχας ἵππους
ζεύξαθ' ὑφ' ἅρματ' ἄγοντες, ἵνα πρήσσησιν ὁδοῖο.“ 476 cf. ο 47 [sq. 476ᵇ sq.ᵃ cf. Ω 264
ὣς ἔφαθ'· οἳ δ' ἄρα τοῦ μάλα μὲν 'κλύον ἠδ' ἐπίθοντο, 477 = Η 379
καρπαλίμως δ' ἔζευξαν ὑφ' ἅρμασιν ὠκέας ἵππους. 478 cf. Ω 14
ἐν δὲ γυνὴ ταμίη σῖτον καὶ ϝοῖνον ἔθηκε

459 σχίζησ' ὁ] σχίζησι?
460 πεμπώβολα] cf. Α 463.
462 τ' ἄλλα] cf. § 9. ‖ ἔπειραν] -ρον (Ar.) G H² T.
463 ὤπτων δ'] ὤπταον Fick, sed apodosis a vs. 462 incipit. ‖ ἀκροπόρους] adi. †, vert. *praeacutus*.
464 sq.] morum hanc simplicitatem (cf. Athen. I 10*e*) non capientes posteri finxerunt Telemachum cum Polycaste rem habuisse, natum autem inde esse filium *Persepolin*; vid. Hesiodi fragm. (36 Rzach) apud Eust. ad π 118. Infeliciter de hoc loco disputat Seeck Quellen p. 339 sq.
464 'λοῦσεν] 'λόεσεν? cf. § 295.
466 'λοῦσεν] 'λόεσεν? cf. § 295. ‖ ἔχρισεν] ἤλειψεν P (cf. κ 364). ‖ λίπ'] cf. § 13.
468 ἔβη] βῆ mss.
469 ὅ γε] ἄρα F P mss. alia. ‖ ποιμένα pap. 271¹ F¹ P H¹] ποιμένι mss. pleraque. Cf. δ 51 ϑ 469 ω 411.
470 κρέ' ὑπέρτερα] vid. ad vs. 65.
471 ὄροντο] cf. Ψ 112 ξ 104 et § 284.
472 ϝοινοχοεῦντες] ἐνοινοχοεῦντες pap. 271 F mss. alia. Vid. Δ 3, et de termino -εῦντες § 7 et 191. ‖ χρυσέοισι] cf. § 18 et 61. ‖ -οισι δέπασσι] -οις δεπάεσσι mss.; cf. § 60.
473 εἷντο] ἕντο mss.
474 γερήνιος] cf. Β 336.
476 πρήσσησιν] -ωσιν P mss. alia male, nam „πρήσσειν ὁδοῖο nusquam nisi de hominibus dicitur, πρήσσειν κέλευθον etiam de „equis et navibus" (LaRoche). De verbi constructione vid. ad Α 483. ‖ ὁδοῖο] vid. ad Β 785.
479 ἐν] ἂν G T. ‖ σῖτ. κ. ϝοῖν.] οινον [β'] και σιτον [α'] εϑηκε αμ(μώνιος) schol. pap. 271. ‖ ἔθηκε] ἔχευεν G¹ P mss. alia.

ὄψα τε, οἷ' ἔσθουσι διοτρεφέες βασιλῆες.
ἂν δ' ἄρα Τηλέμαχος περικαλλέα 'βήσετο δίφρον·
πὰρ δ' ἄρα Νεστορίδης Πεισίστρατος ὄρχαμος ἀνδρῶν
εἰς δίφρον τ' ἀνέβαινε καὶ ἡνία 'λάζετο χερσί. 483ᵇ sq. = Ε 365 sq.
'μάστιξεν δ' ἐλάειν· τὼ δ' οὐκ ἀϝέκοντ' ἐπετέσθην
εἰς πεδίον, 'λιπέτην δὲ Πύλοι' αἰπὺ πτολίεθρον.
οἳ δὲ πανημέριοι 'σεῖον ζυγὸν ἀμφὶς ἔχοντες. [sqq. 486-494 = ο 184
'δύσετό τ' ἠέλιος, 'σκιάοντό τε πᾶσαι ἀγυιαί· 487 = β 388
εἰς Φηρὰς δ' ἵκοντο Διοκλέεος ποτὶ δῶμα,
υἱέος Ὀρσιλόχοιο, τὸν Ἀλφειὸς 'τέκε παῖδα.
ἔνθα δὲ νύκτ' ἄεσαν, ὃ δ' ἄρα ξεινήϊ' ἔδωκε.
ἦμος δ' ἠριγένεια 'φάνη ῥοδοδάκτυλος Ἠώς, 491 = Α 477
ἵππους τ' ἐξεύγνυντ' ἀνά θ' ἅρματα ποικίλ' ἔβαινον· 492 sq. = ο 145 sq.
ἐκ δ' ἔλασαν προθύροιο καὶ αἰθούσης ἐριδούπου. 493 cf. Ω 323
ἷξον δ' εἰς πεδίον πυρηφόρον, ἔνθα δ' ἔπειτα
ἦνον ὁδόν· τοῖον γὰρ ὑπέκφερον ὠκέες ἵπποι.
'δύσετό τ' ἠέλιος, 'σκιάοντό τε πᾶσαι ἀγυιαί. 497 = β 388

494 'μάστιξεν δ' ἐλάειν, τὼ δ' οὐκ ἀϝέκοντ' ἐπετέσθην. 494 = Ε 366

480] del. PKnight, edulia ab heroicae vitae simplicitate aliena esse non sine causa censens. ‖ οἷ' ἔσθουσι Nauck] οἷα (οἷ' H²) ἔδουσι mss. hiatu non ferendo.
481 'βήσετο] -σατο F P mss. alia, cf. § 152.
483 τ'] δ' pap. 271¹ (cum semicolo in fine vs. 482), quae in schol. pap. ερω(τιάνῳ?) tribuitur lectio. ‖ χερσί] sic Ammonius in schol. pap. 271.
484 ἐλάειν § 191] ἐλάαν mss. pleraque, ἵππους P (cf. Ε 768). ‖ ἀέκοντ'(ε) H²] ἄκοντε mss. cett.
485 Πύλοι' § 59] Πύλου mss.
486 σεῖον] sic Callistratus; θεῖον (i. e. ἔθεον) Aristophanes, non improbante Nauckio. ‖ ἀμφὶς ἔχοντες] *quo seiungebantur*? At *iunguntur* potius iugo iumenta; itaque *ἀμφιέχοντες scribendum videtur; vid. α 54, ad Ι 464 Ω 488 ϑ 340, § 316.
487] om. pap. 271. ‖ 'σκιάοντο § 191] σκιόωντο (-οντο F) mss.
488 Διοκλέεος § 73] -κλῆος mss.
489 Ὀρσιλόχοιο H²] Ὀρτιλόχοιο Ar. Zen. et mss. cett.; vid. Ε 546 sq.
490 δ' ἄρα ξεινήϊ' ἔδωκε] δ' ἄρα ξεινήϊα δῶκε(ν) G F H, δὲ τοῖς πὰρ (παρὰ) ξείνια θῆκεν vel δῶκεν Ammonius in pap. 271¹ P M (cf. ο 188), δὲ τοῖς ξεινήϊα θῆκεν W. Ferri nequit τοῖς (cf. § 60), sed fortasse verum est *δὲ πὰρ ξεινήϊ' ἔθηκε. De voce ξεινήϊα - ξείνια vid. ι 356 υ 296.
493-497] del. PKnight; versum 493 om. mss. pleraque (habet F), versum 494 autem ex vs. 484 male repetitum del. Bekker; errorem indicat singulare 'μάστιξεν inter duo pluralia interpositum. Genuinus versus unus aut plures casu intercidisse videntur.
494] cf. vs. 484.
495 πυρηφόρον] adi. redit h. Ap. 228, forma πυροφόρος Ζ 195 Μ 314 Ξ 123 Φ 602.
496 ὑπέκφερον] hoc sensu †, sed vid. l. a. Χ 202; praeterea vid. Θ 268 (Ο 628).
497 'σκιάοντο § 191] σκιόωντο mss.

ΟΔΥΣΣΕΙΑΣ δ.

Τὰ ἐν Λακεδαίμονι.

οἳ δ' ἷξον κοίλην Λακεδαίμονα καιετάεσσαν, 1 cf. *B* 581
πρὸς δ' ἄρα δώματ' ἔλων Μενελάου κυδαλίμοιο.
τὸν δ' ηὗρον δαινύντα γάμον πολλοῖσι ϝέτῃσι
υἱέος ἠδὲ θυγατρὸς ἀμύμονος ᾧ ἐνὶ ϝοίκῳ.

1] obstabat mons *Taygetus* nonnisi peditibus mulisve pervius; hunc igitur montem (qui ζ 103 commemoratur) non norat poeta qui Telemachum et Pisistratum finxit curru iter perficientes. Incredibilia hinc efficit Seeck (Quellen p. 344). ‖ *καιετάεσσαν* Zen.] *κητώεσσαν* mss.; vid. ad *B* 581. Scholia lectionem Zenodoteam non recte explicant *καλαμινθώδη*; cohaeret enim adiectivum cum verbo *κείω* (ξ 425) - *κεάζω* *findo*.

2 *δώματ' ἔλων*] *δώματ' ἔχον* q et olim alii; **δῶμ' ἔλαον*?

3-19] delebat Diodorus Aristophanis discipulus, teste Athenaeo V 180 sq., ubi additur Aristarchum inseruisse versus 15-19 ex libro Σ desumtos, cum parum perspiceret in vs. 3 de toto nuptiarum tempore, non de epulis sermonem esse (idem perhibet Eust. 1480,18). At manifesta haec est calumnia, nam versus certe 17^b sq.^{a} Aristarchus aut ignoravit aut obelo notavit (vid. ad Σ 604); minime autem culpandum esse quod versus 15-19 non deleverit, observat Kirchhoff, versus enim 3 sqq. aut omni sensu carere in hoc contextu aut id significare quod putabat Aristarchus, ipsis *epulis nuptialibus* Menelaum assedisse cum Telemachus et Pisistratus intrarunt regiam; neque abici posse versus 3-19, quod volebat Diodorus, sic enim inter vs. 2 et 20 hiare narrationem et Eteonei verba vs. 29 apte explicari non posse. Sed culpa poetae, qui Telemachi iter descripsit, aut diasceuastae (vid. ad α 88 sqq.) totum hunc locum liberius refingentis epularum illarum convivarumque in sequentibus (vid. vs. 43 sqq.) nec volam nec vestigium apparere. Nos ipsum poetam sibi sine ulla causa oblocutum esse credibile non ducimus, ceteroquin Kirchhoffio assentientes. Fick loco versuum 3-38 tres inseruit e fragmentis versuum 20, 22, 23, 37, 38 ab ipso confictos: *τὼ δὲ Βοηθοΐδης 'ϝίδετο προμολὼν 'Ετεωνεύς, | ὀτρηρὸς θεράπων Μενελάου, 'κέκλετο δ' ἄλλους | δμῶας καὶ θεράποντας ἅμ' ἑσπέσθαι ἑϝοῖ αὐτῷ.*

4 *ᾧ*] neglecto ϝ; Bekker *ἀμύμονα ϝῷ*. In vulgata displicet epitheton soli filiae tributum, non simul filio; Bekkeri tamen coniecturae parum favet ordo verborum, neque in loco spurio quidquam mutandum.

τὴν μὲν Ἀχιλλῆος ῥηξήνορος υἱέ' ἔπεμπε·
ἐν Τροίῃ γὰρ πρῶτον ὑπέσχετο καὶ κατένευσε 6^b sq.^{a} cf. *N* 368 sq.
δωσέμεναι, τοῖσιν δὲ θεοὶ γάμον ἐξετέλειον· 6^b = *B* 112
τὴν ἄρ' ὅ γ' ἔνθ' ἵπποισι καὶ ἅρμασι 'πέμπε νέεσθαι 7^b cf. *I* 493
Μυρμιδόνων προτὶ ϝάστυ περικλυτόν, οἷσ' ἐϝάνασσε.
υἱέι δὲ Σπάρτηθεν Ἀλέκτορος ἤγετο κούρην,
ὅς ϝοι τηλύγετος 'γένετο κρατερὸς Μεγαπένθης
ἐκ δούλης· Ἑλένῃ δὲ θεοὶ γόνον οὐκέτ' ἔφαινον,
ἐπεὶ δὴ τὸ πρῶτον ἐγείνατο παῖδ' ἐρατεινήν,
Ἑρμιόνην, ἣ ϝεῖδος ἔχε χρυσέης Ἀφροδίτης.
ὧς οἳ μὲν 'δαίνυντο καθ' ὑψερεφὲς μέγα δῶμα
γείτονες ἠδὲ ϝέται Μενελάου κυδαλίμοιο,
17^a 18^b τερπόμενοι· δοιὼ δὲ κυβιστητῆρε κατ' αὐτοὺς 17-19 = Σ 604 sqq.
μολπῆς ἐξάρχοντες ἐδίνευον κατὰ μέσσους.
τὼ δ' αὖτ' ἐν προθύροισι δόμων αὐτώ τε καὶ ἵππω,
Τηλέμαχός θ' ἥρως καὶ Νέστορος ἀγλαὸς υἱός, 21 = 303 cf. ο 4, 144
'στῆσαν· ὃ δὲ προμολὼν 'ϝίδετο κρείων 'Ετεωνεύς,
ὀτρηρὸς θεράπων Μενελάου κυδαλίμοιο. 23 = 217
'βῆ δ' ἴμεν' ἀγγελέων διὰ δώματα ποιμένι λαῶν, 24 cf. 528, 679
ἄγχι δέ ϝ' ἱστάμενος ϝέπεα πτερόεντα προσηύδα· 25 = *Δ* 203
„ξείνω δή τινε τώδε, διοτρεφὲς ὦ Μενέλαε,
ἄνδρε δύω· γενεῇ δὲ Διὸς μεγάλοιο ϝέϝικτον.

17^b *μετὰ δέ σφιν ἐμέλπετο θεῖος ἀοιδὸς*
φορμίζων·

---

5 *υἱέ' ἔπεμπε*] *υἱέι πέμπε* mss.; fortasse praestat *υἷι ἔπεμπε*, cf. § 15.

8 *νέεσθαι*] vid. ad *Φ* 48.

9 *οἷσ' ἐϝάνασσε*] *οἷσιν ἄνασσε* mss.

11 *τηλύγετος*] vid. ad *Γ* 175.

12 *δούλης*] vox recentioris aevi, cf. *Γ* 409. Fuere (in his Ar.?) qui pro nomine proprio haberent; vid. ad *Δ* 99. ‖ *Ἑλένῃ*] *Ἑλένης* Rhianus Aristoph. (sic P^2 H^2). ‖ *οὐκέτ'*] aliter Hesiod. fr. 122, qui *Hermionen* et *Nicostratum* ei ex Menelao liberos tribuit.

13 *ἐπεί*] cf. § 22.

14 *χρυσέης* § 18 et 61] *χρυσῆς* mss.

15-19] non Homeri sed Aristarchi esse absurde dicuntur in scholio, quod fluxit ex Athenaei loco ad vs. 3-19 allato.

17 sq. *μετὰ — φορμίζων*] haec certe verba Aristarchus aut non invenit in suis libris aut damnavit propter *μέλπεσθαι* verbum *canendi* sensu adhibitum; vid. *Α* 474 et ad Σ 604.

17 *θεῖος*] *δῖος* P.

18 *κατ' αὐτούς*] *καθ' αὐτούς* male Diodorus apud Athen. V 180 sq. (vid. ad vs. 3-19).

19 *ἐξάρχοντες*] *-ντος* scribendum esse contendit Athen. V 180*d*; fortasse verum est *ἐξάρχοντε*, vid. ad Σ 606. ‖ *μέσσους*] *μέσσον* F mss. alia.

20 *αὖτ'*] **αὖθ'(ι)*?

21] del. Nauck (coll. δ 303).

25 **ἄγχι δέ ϝ'(οι)*] *ἀγχοῦ δ'* mss.; cf. § 318.

27 *γενεῇ* P^1] *γενεήν* mss. pleraque. ‖ *ἔικτον* P^2 H^1 T] *ἔικτην* mss. cetera.

ἀλλ' εἴπ', ἤ σφωιν καταλύσομεν ὠκέας ἵππους,
ἦ ἄλλον πέμπωμεν ἱκανέμεν', ὅς κε φιλήσῃ."
τὸν δὲ μέγ' ὀχθήσας προσέφη ξανθὸς Μενέλαος· 30 = P 18
„οὐ μὲν νήπιος ἦσθα, Βοηθοΐδη 'Ετεωνεῦ,
τὸ πρίν· ἀτὰρ μὲν νῦν γε πάις ὣς νήπια βάζεις. 32^a = Z 125
ἦ μὲν δὴ νῶι ξεινήια πολλὰ φαγόντε
ἄλλων ἀνθρώπων δεῦρ' ἱκόμεθ', — αἴ κέ ποθι Ζεὺς 34^b = $Λ$ 128
ἐξοπίσω περ παύσῃ ὀιζύος. ἀλλὰ λύ' ἵππους 35^b cf. K 480
ξείνων, εἰς δ' αὐτοὺς προτέρω ἄγε θοινηθῆναι."
ὣς 'φάθ', ὃ δὲ μεγάροιο διέσσυτο, 'κέκλετο δ' ἄλλους
ὀτρηροὺς θεράποντας ἅμ' ἑσπέσθαι ἑϜοὶ αὐτῷ.
οἳ δ' ἵππους μὲν ἔλυσαν ὑπὸ ζυγοῦ ἱδρώοντας· 39 = $Θ$ 543
καὶ τοὺς μὲν κατέδησαν ἐφ' ἱππείῃσι κάπῃσι, 40 cf. $Θ$ 434
πὰρ δ' ἔβαλον ζειάς, ἀνὰ δὲ κρῖ λευκὸν ἔμιξαν,
ἅρματα δ' ἔκλιναν πρὸς ἐνώπια παμφανάοντα· 42 = $Θ$ 435
αὐτοὺς δ' εἰσῆγον θεῖον δόμον. οἳ δὲ Ϝιδόντες
'θαύμαζον κατὰ δῶμα διοτρεφέος βασιλῆος·
ὥς τε γὰρ ἠελίοι' αἴγλη 'πέλετ' ἠὲ σελήνης 45 sq.^{a} = $η$ 84 sq.
δῶμα κάθ' ὑψερεφὲς Μενελάου κυδαλίμοιο.
αὐτὰρ ἐπεὶ 'τάρπησαν ὁρώμενοι ὀφθαλμοῖσι, 47 = $κ$ 181; 47^a = $Ω$ 633
εἴς ῥ' ἀσαμίνθους βάντες ἐΰ ξεστὰς 'λούσαντο. 48-50 = $ρ$ 87 sqq.; 48 = K 576
τοὺς δ' ἐπεὶ οὖν δμῳαὶ 'λοῦσαν καὶ 'χρῖσαν ἐλαίῳ, 49 sq. cf. $Ω$ 587 sq.
ἀμφὶ δ' ἄρα χλαίνας Ϝούλας 'βάλον ἠδὲ χιτῶνας, 50 cf. $κ$ 451
εἷς ῥα θρόνους ἕζοντο παρ' Ἀτρεΐδην Μενέλαον.
χέρνιβα δ' ἀμφίπολος προχόῳ ἐπέχευε φέρουσα 52-56 = $α$ 136 sqq.

28 εἴπ'] neglecto Ϝ; *ἴσπ' (§ 246)? an *ἀλλ' ἄγε Ϝείπ' ἤ σφιν? Sed vid. ad vs. 8-19.

33-35] *ipsi saepe aliorum experti sumus hospitalitatem,* (qua utinam posthac uti opus non sit), *si quidem Iuppiter aerumnis nostris finem imposuerit.* Liberior est structura.

33 φαγόντε G^1 M T] -ντες mss. cett.

36 θοινηθῆναι] -νήσασθαι W; cf. $η$ 221. Verbum †.

37 δὲ Ar.] δ' ἐκ mss. (vid. $ζ$ 304).

38 ἅμ' ἑσπέσθαι] ἅμα σπέσθαι mss. pleraque. Cf. § 247. ‖ ἑϜοὶ] vid. § 93.

39 ἔλυσαν F^2 P T K] λῦσαν Ar. et mss. cett. ‖ ἱδρώοντας] sine Ϝ.

40 κάπῃσι] vid. ad $Θ$ 434.

41 ζειάς] vox vs. 604 redit, cf. ζείδωρος (ἄρουρα) passim.

42 ἐνώπια] cf. $Θ$ 435. ‖ παμφανάοντα § 191] -νόωντα mss.

43 αὐτοὺς δ' εἰσῆγον] αὐτοὶ δ' εἰσῆλθον Athen. V 179a.

45 sq.] del. Kirchhoff.

45 ἠελίοι' § 59] ἠελίου mss. ‖ *'πέλετ' § 275] πέλεν mss. ‖ ἠὲ] ἠδὲ P M mss. alia; cf. $δ$ 371.

48 'λούσαντο] 'λοέσαντο? cf. § 295.

49 'λοῦσαν] 'λόεσαν? cf. § 295.

51 ἕζοντο] ἵζοντο G. ‖ παρ' Ἀτρεΐδην] l. a. παρὰ ξανθόν.

52 sqq.] locus utilis ad morem τοῦ νίψασθαι illustrandum; iuvenes e balneo modo

καλῇ χρυσείῃ ὑπὲρ ἀργυρέοιο λέβητος,
νίψασθαι· παρὰ δὲ ξεστὴν ἐτάνυσσε τράπεζαν.
55 σῖτον δ' αἰδοίη ταμίη παρέθηκε φέρουσα,
56 εἴδατα πόλλ' ἐπιθεῖσα, χαριζομένη παρεόντων.
59 τὼ καὶ δεικνύμενος προσέφη ξανθὸς Μενέλαος· 59^a = I 196
60 „σίτου θ' ἅπτεσθον καὶ χαίρετον· αὐτὰρ ἔπειτα 60 sq. cf. $α$ 123 sq.
61 δείπνου πασσαμένω εἰρησόμεθ' οἵ τινές ἐστον."
65 ὣς 'φάτο, καί σφιν νῶτα βοὸς παρὰ πίον' ἔθηκε
ὄπτ' ἐν χερσὶν ἑλών, τά ῥά Ϝοι γέρα πάρθεσαν αὐτῷ.
οἳ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον. 67 sq. = I 91 sq.
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον εἷντο,
δὴ τότε Τηλέμαχος προσεφώνεε Νέστορος υἱόν,
70 ἄγχι σχὼν κεφαλήν, ἵνα μὴ πευθοίαθ' οἳ ἄλλοι· 70 = $α$ 157
„φράζεο, Νεστορίδη, τῷ ἐμῷ κεχαρισμένε θυμῷ, 71^b = $Λ$ 608
χαλκοῦ τ' ἀστεροπὴν κατὰ δώματα Ϝηχήεντα 72^a = $Λ$ 83
χρυσοῦ τ' ἠλέκτρου τε καὶ ἀργύρου ἠδ' ἐλέφαντος. 72^b = h. Cer. 104

57 δαιτρὸς δὲ κρεάων πίνακας παρέθηκεν ἀείρας
παντοίων, παρὰ δέ σφι 'τίθει χρύσεια κύπελλα. 57 sq. = $α$ 141 sq.
62 ἀνδρῶν. οὐ γὰρ σφῷν γε γένος ἀπόλωλε τοκήων,
ἀλλ' ἀνδρῶν γένος ἐστὲ διοτρεφέων βασιλήων
σκηπτοόχων, ἐπεὶ οὔ κε κακοὶ τοιούσδε τέκοιεν. 64 cf. h. Ven. 132
62-64 Zen. Aristoph. Ar. —

prodeuntes non sordidas habuisse manus certum est.

56 παρεόντων] vid. ad $α$ 140.

57 sq.] in margine habent F P, om. H Y, fortasse ex Ar. sententia; vid. ad $α$ 141 sq.

57 κρεάων § 72] κρειῶν mss.

61 δείπνου] Bentley δόρπου coll. $γ$ 497 $δ$ 194, 213; vid. Lehrs Ar.^{2} p. 129. ‖ πασσαμένω] παυσαμένω F H. ‖ εἰρησόμεθ'] μυθήσετον P (cf. $α$ 124), unde μυθήσεσθ' coniecerit aliquis.

62 σφῷν] novicium pro σφῶιν. Fortasse servari potest locus si deleto ἀνδρῶν rescribitur *οὐ γάρ τοι σφῶίν γε. Sed tota sententia minus est perspicua et hinc aliena. ‖ ἀπόλωλε] *in deterius abiit* (i. e. *non deteriores estis parentibus*)? An *periit* (= *ignoratur*)?

64 σκηπτοόχων] σκηπτούχων mss.

65 sq.] de re cf. H 321 sq.

65 παρὰ — ἔθηκε] παρέθηκεν ἀείρας Suidas s. v. Ὅμηρος (cf. vs. 57). ‖ πίον' ἔθηκε] πίονα θῆκε mss.

66] del. Nitzsch.

68 εἷντο] ἕντο mss.

70] minus convenit cum vs. 76. ‖ πευθοίαθ' οἱ Zen. mss.] -ατο Ar. omisso articulo, hiatum igitur admittens vitiosum; sed suspicamur per errorem sic referri in scholio, Aristarchum autem ἐκ πλήρους (cf. § 13) scripsisse πευθοίατο οἱ ἄλλοι. Ceterum vid. ad $α$ 157.

71 τῷ] articulus molestus; PKnight μάλ', nos *Νέστορος υἱέ, ἐμῷ. Vid. $Λ$ 608 et ad $Λ$ 185.

72 τ' ἀστεροπὴν] τε στεροπὴν (τε om. U^1) mss.; vid. ad T 363. ‖ κατὰ schol. $Ω$ 323] καδ Barnes, καὶ mss.; redit vitium $σ$ 355, cf. l. a. $Π$ 106 $δ$ 391.

73 ἠλέκτρου] contextus docet non *succinum* (ut $ο$ 460 $σ$ 296) significari sed *aurum pallidum* (cui argenti tertia fere pars est admixta); dubitat tamen Helbig Hom. Epos^1 p. 84 sq. — De more, in Aegypto et imprimis in Asia olim vulgato, parietes laminis aereis

Ζηνός που τοιήδε Ὀλυμπίου ἔνδοθεν αὐλή,
ὅσσα τάδ' ἄσπετα πολλά· σέβας μ' ἔχει εἰσοράοντα."
τοῦ δ' ἀγορεύοντος ξύνετο ξανθὸς Μενέλαος
καί σφας φωνήσας Ϝέπεα πτερόεντα προσηύδα·
„τέκνα φίλ', ἦ τοι Ζηνὶ βροτῶν οὔ κέν τις ἐρίζοι·
ἀθάνατοι γὰρ τοῦ γε δόμοι καὶ κτήματ' ἔασι.
ἀνδρῶν δ' ἤ κέν τίς μοι ἐρίσσεται ἠὲ καὶ οὐκὶ
κτήμασιν. ἦ γὰρ πολλὰ παθὼν καὶ πόλλ' ἐπαληθεὶς   81^{b} = ο 176 cf. ο 401
ἠγαγόμην ἐν νηυσί, καὶ ὀγδοάτῳ Ϝέτε' ἦλθον,
Κύπρον Φοινίκην τε καὶ Αἰγυπτίους ἐπαληθείς·
Αἰθίοπάς θ' ἱκόμην καὶ Σιδονίους καὶ Ἐρεμβοὺς
85 καὶ Λιβύην, ἵνα Ϝάρνες ἄφαρ κεραοὶ τελέθουσι.
87 ἔνθα μὲν οὔτε Ϝάναξ ἐπιδευὴς οὔτε τι ποιμὴν
88 τυροῦ καὶ κρεάων οὐδὲ γλυκεροῖο γάλακτος,
89 ἀλλ' αἰεὶ παρέχουσιν ἐπηετανὸν γάλα θῆσθαι·
86 τρὶς γὰρ τίκτει μῆλα τελεσφόρον εἰς ἐνιαυτόν.   86^{b} = Τ 32

---

argenteis aureis eburnis lapidibusque pretiosis exornandi vid. η 86 sqq. κ 4 Helbig Hom. Epos[1] p. 325 sqq.

74 *τοιήδε* Nauck] *τοιήδε γ'* mss. ‖ *αὐλή*] sic Ar.; Seleucus apud Athen. V 188*f* *Ζηνός που τοιαῦτα δόμοις ἐν κτήματα κεῖται*, quae improbanda est sive lectio (cf. vs. 127) sive coniectura, non enim opes reconditas sed ipsam quam ante oculos habent domum, fulgentes praesertim parietes, mirantur iuvenes. At *αὐλή* de totis aedibus †; coniecimus **αὐγή* (vid. δ 45 Ν 837), Ahrens *αὐλῆς* (*talis opinor fulgor est intra Iovis aulam*) coll. Ζ 247 Ω 161. Vulgatam imitari videntur Aesch. Prom. 122 Eur. Hippol. 68.

75 *εἰσοράοντα* § 191] *-ρόωντα* mss.

77 *σφας* § 92] *σφεας* mss.

78 *οὔ κέν* § 326] *οὐκ ἄν* mss.

81 *πόλλ' ἐπαληθεὶς*] propter vs. 83 malumus **πολλὰ μογήσας*, cf. Ι 492 Ψ 607.

82 *ἠγαγόμην*] obiectum (*κτήματα*) ex voce *κτήμασιν* vs. 81 supplendum. ‖ *Ϝέτε'* § 71] *ἔτει* mss.

83 *Αἰγυπτίους*] cf. § 28. ‖ *ἐπαληθείς*] ridicule quidam apud schol. *ἐπ' ἀληθεῖς = μαντικῆς ἐμπείρους*.

84-89] versus molestos iure eiecisse videtur Fick; vHerwerden unum vs. 84 damnat.

84 *καὶ Ἐρεμβοὺς*] sic Ar.; *καὶ Ἐρεμνοὺς* Crates, *Ἄραβάς τε* Zeno, *καὶ Ἀραμβοὺς* Posidonius (*καὶ Ἀραβοὺς* habet P). Cf. Strab. I p. 37, 41 VII p. 299 XVI p. 784, Lehrs Arist.[2] p. 249. *Erembi* gens aliunde ignota; *Arabas* designari multi opinati sunt, in his Hellanicus; ex *Hebraeorum Aramaeorum Arabum* nominibus conflatum esse gentile haud improbabiliter statuit Ameis.

85 *ἵνα* Heyne] *ἵνα τ'* mss. — De re cf. Herod. IV 29 Aristot. Hist. Animal. VIII 28; vertendum: *agni cornuti nascuntur*.

88 *κρεάων* § 72] *κρειῶν* mss.

89 *θῆσθαι*] cf. § 195.

86] post vs. 89 collocavit Bekker. ‖ *τρὶς*] l. a. *δίς*, quae in schol. merito reicitur, hoc enim satis frequenter fieri solet. *Ter* intra unius anni spatium parere paene incredibilis fecunditatis est; nam oves per quinque fere menses uterum gerunt. De re igitur, quae nonnisi raro (neque unquam per duos annos deinceps) accidere potest, ita loquitur poeta quasi in longinquis illis regionibus sit pervulgata et sollemnis. Conferantur fabulae de *perpetua* Laestrygonum luce, *perpetua* Cimmeriorum nocte.

ἧος ἐγὼ περὶ κεῖνα πολὺν βίοτον ξυναγείρων
ἠλαόμην, τῆός μοι ἀδελφεὸν ἄλλος ἔπεφνε
λάθρῃ, ἀνωιστί, δόλῳ οὐλομένης ἀλόχοιο·
ὣς οὔ τοι χαίρων τοῖσι κτεάτεσσι Ϝανάσσω.
καὶ πατέρων τάδε μέλλετ' ἀκουέμεν', οἵ τινες ὔμιν   94 cf. Ξ 125
εἰσίν, ἐπεὶ μάλα πόλλ' ἔπαθον, καὶ ἀπώλεσα Ϝοῖκον
εὖ μάλα ναιετάοντα, κεχονδότα πολλὰ καὶ ἐσθλά.
ὧν ὄφελον τριτάτην περ ἔχων ἐν δώμασι μοῖραν
ναιέμεν', οἳ δ' ἄνδρες σάοι ἔμμεναι, οἳ τότ' ὄλοντο   98^{b}sq.^{a} = ε 306 sq.
Τροίῃ ἒν εὐρείῃ, Ϝεκὰς Ἄργεος ἱπποβότοιο.   99^{b} = Ι 246
ἀλλ' ἔμπης, πάντας μὲν ὀδυρόμενος καὶ ἀχεύων   100^{b} = Ι 612
πολλάκις ἐν μεγάροισι καθήμενος ἡμετέροισι, —
ἄλλοτε μέν τε γόῳ φρένα τέρπομαι, ἄλλοτε δ' αὖτε   102 cf. Σ 472
παύομαι· αἰψηρὸς δὲ κόρος κρυεροῖο γόοιο, —
τῶν πάντων οὐ τόσσον ὀδύρομαι, ἀχνύμενός περ,   104 sq.^{a} = Χ 424 sq.
ὡς ἑνός, ὅς τέ μοι ὕπνον ἀπεχθαίρει καὶ ἐδωδὴν
μναομένῳ· ἐπεὶ οὔ τις Ἀχαιῶν τόσσ' ἐμόγησε,
ὅσσ' Ὀδυσεὺς ἐμόγησε καὶ ἤρετο. τῷ δ' ἄρ' ἔμελλε
αὐτῷ κήδε' ἔσεσθαι, ἐμοὶ δ' ἄχος αἰὲν ἄλαστον

---

99 nonnulli (non Ar. teste Didymo) —

---

90 *ἧος* § 323] *εἵως* vel *ἕως* mss. ‖ *ἐγὼ*] *γὰρ* F[1].

91 *ἠλαόμην* § 191] *ἠλώμην* mss. ‖ *τῆός* § 323] *τείως* mss.

92 *ἀνωιστί*] adv. †, adi. Φ 39. ‖ *ὀλομένης* § 21] *οὐλομένης* mss.

93] post vs. 96 collocat Kammer. ‖ *τοῖσι* Nauck] *τοῖσδε* mss.; cf. § 60. ‖ Olim quidam subiungebant versum insulsum *οὐδέ τι βουλόμενος, ἀλλὰ κρατερῆς ὑπ' ἀνάγκης*.

94-96] del. Bekker.

94 *τάδε*] **δὲ τὰ*? Cf. Ξ 125. ‖ *ἀκουέμεν'*] *fando audivisse*; cf. Ξ 125 δ 200. ‖ *ὔμιν* § 92] *ὔ(μ)μιν ὔμμιν ὑμῖν* mss.

95 *εἰσίν, ἐπεί*] eleganter vHerwerden *οἷσιν ἔπι*. ‖ *πόλλ' ἔπαθον*] *πολλὰ πάθον* G W. ‖ *ἀπώλεσα*] aptum sensum non praebet, neque satis apparet de quanam domo (sua? an Priami? an vero Agamemnonis?) loquatur Menelaus. Friedlaender locum lacunosum iudicans sic fere supplet: *ἐπεὶ μάλα πόλλ' ἔπαθον καὶ* <*πόλλ' ἐπαλήθην*, | *in his autem erroribus multas divitias congessi, ita ut nunc possideam*> *Ϝοῖκον* | *εὖ μάλα ναιετάοντα* etc.

96 *κεχονδότα*] *κεχανδότα* mss.; vid. § 221 et ad Ω 192.

97 *ὧν*] *ὡς* G[2].

98 *ναιέμεν'* § 125] *ναίειν* mss. ‖ *σάοι* § 62] *σόοι* mss. ‖ *τότ' ὄλοντο*] *τ' ὄλοντο* G P[1] H[1], cf. ε 306.

100-103] del. Bekker.

100 *πάντας μὲν*] *μὲν πάντας* G P; *ξύμπαντας* Nauck, versum post vs. 103 collocans et vs. 101 *πολλάκι δ'* scribens; praeterea in vs. 104 *ξυμπάντων* proponit.

103 *αἰψηρὸς*] vid. ad β 257.

105 *ὡς*] vid. ad Χ 425. ‖ *ἀπεχθαίρει*] *invisum reddit*, sed Γ 415 *odi* (ut simplex Ι 452 etc.); alias non legitur apud poetam. Vid. ad π 114.

106 *μναομένῳ* § 190 et 191] *μνωμένῳ* (sic G P) vel *μνωομένῳ* mss.

107 *ἤρετο* § 284] *ἤρατο* mss. — Hoc uno loco verbum *ἄρνυμαι* sensu *suscipiendi* usurpatur; vid. tamen Υ 247.

108 *ἔσεσθαι*] *ἔπεσθαι* P.

κείνοι', ὡς δὴ δϜηρὸν ἀποίχεται, οὐδέ τι Ϝίδμεν,
ζώει ὅ γ' ἢ τέθνηκεν. ὀδύρονταί νύ ποθ' αὐτὸν 110a cf. β 132
Λαέρτης θ' ὁ γέρων καὶ ἐχέφρων Πηνελόπεια
Τηλέμαχός θ', ὃν ἔλειπε νέον γεγαῶτ' ἐνὶ Ϝοίκῳ." 112 cf. 144
ὣς 'φάτο, τῷ δ' ἄρα πατρὸς ὑφ' ἵμερον ὦρσε γόοιο· 113 = Ω 507
δάκρυ δ' ἀπὸ βλεφάρων χαμάδις 'βάλε πατρὸς ἀκούσας,
χλαῖναν πορφυρέην ἄντ' ὀφθαλμοῖιν ἀνασχὼν 115 = 154, 115a = τ 225
χείρεσσ' ἀμφοτέρῃσι. 'νόησε δέ μιν Μενέλαος, 116a cf. Μ 38 2
'μερμήριξε δ' ἔπειτα κατὰ φρένα καὶ κατὰ θυμόν, 117 = Ε 671
ἠέ μιν αὐτὸν πατρὸς ἐάσειε μνησθῆναι,
ἦ πρῶτ' ἐξερέοιτο Ϝέκαστά τε πειρήσαιτο. 119 = ω 238
ἦος ὃ ταῦθ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν, 120 = Α 193
ἐκ δ' Ἑλένη θαλάμοιο θυώδεος ὑψορόφοιο
ἤλυθεν, Ἀρτέμιδι χρυσηλακάτῳ ϜεϜικυῖα.
τῇ δ' ἄρ' ἅμ' Ἀδρήστη κλισίην εὔτυκτον ἔθηκε,
Ἀλκίππη δὲ τάπητ' ἔφερεν μαλακοῖ' ἐρίοιο,
Φυλὼ δ' ἀργύρεον τάλαρον 'φέρε, τόν Ϝοι ἔδωκε
Ἀλκάνδρη, Πολύβοιο δάμαρ, ὃς ἔναι' ἐνὶ Θήβῃ
Αἰγυπτίῃ, ὅθι πλεῖστα δόμοισ' ἒν κτήματα κεῖται· — 127 cf. Ι 382

109-112] cum vs. 498 et 555 sqq. pugnare contendit Hennings; sed defendi possunt: Ulixem vivum in longinquam insulam pervenisse ex Proteo olim rescivit Menelaus, etiamnunc superstitem esse scire nequit.

109 *κείνοι', ὡς] κείνου, ὅπως mss.; vitiosum est ὅπως pro ἐπεί vel ὡς; vid. ad Δ 459. Fortasse praestat *κείνοο, ὡς (ΚΕΝΟΟΗΟΣ), cf. § 59.

110 ποθ' § 322] που mss. || αὐτὸν] pro μιν vel Ϝε suspectum, cf. § 98.

111 θ' ὁ] τε?

114 δάκρυ δ' ἀπὸ] l. a. δάκρυα (sic P H mss. alia) δ' ἐκ.

115 ὀφθαλμοῖιν] -οῖσιν P H mss. alia. || ἀνασχὼν] ἐπισχὼν Ammon. 147.

116 *χείρεσσ' ἀμφοτέρῃσι] ἀμφοτέρῃσιν χερσί (-ρῃσι χέρεσσι K) mss.; cf. Μ 382 Σ 123.

118 ἐάσειε μνησθῆναι] ἐάσει μνησθῆναι F[1] H[1], ἐάσει ἐπιμνησθῆναι D U[2] i n q. Verum ducimus *ἐπιμνησθήμεν' ἐάσαι (cf. § 113); simplex μνησθῆναι †, ἐπιμνησθείς legitur α 31 δ 189. In vulgata displicet metrum (cf. § 2).

119 πειρήσαιτο] μυθήσαιτο P F H mss. alia (cf. ν 191). Aristarchum τ' ἐπειρήσαιτο (= ἐπέροιτο) legisse, vitio manifesto perhibet scholion, damnatur enim ea lectio metro (vid. § 3) et grammatica.

120 ἦος § 323] εἵως vel ἕως mss.

122 χρυσηλακάτῳ] vid. ad Π 183.

123-135] del. Duentzer. — De ministrarum nominibus vid. ad σ 182.

123 ἅμ' Ἀδρήστη] sic Ar., alii olim ἅμα δρήστη; vid. ad Α 99. || κλισίην] *sella* nonnisi h. l. et τ 55 (ubi fusius describitur) dicitur κλισίη, alibi κλισμός (cf. δ 136) vel κλιντήρ σ 190. || εὔτυκτον] εὔκτυκτον H, Bekker εὔπτυκτον, *sellam plicatilem* (quae facile manu portari possit) significari ratus. || ἔθηκε] cf. θ 65 τ 55; propter ἅμα tamen et versus sequentes malumus *ἔνεικε.

124 τάπητ' ἔφερεν] -τα φ. mss. || μαλακοῖ' § 59] -κοῦ mss.

126 δάμαρ] vid. ad Ξ 503. || Θήβῃ | Αἰγυπτίῃ] Θήβης | Αἰγυπτίης mss.; cf. § 57. Singularem dedimus Fickium secuti, vid. ad γ 278.

127] del. Duentzer. || Αἰγυπτίῃ] cf. § 28.

ὃς Μενελάῳ ἔδωκε δύ' ἀργυρέας ἀσαμίνθους,
δοιοὺς δὲ τρίποδας, δέκα δὲ χρυσοῖο τάλαντα, 129b cf. Ι 122
χωρὶς δ' αὖθ' Ἑλένῃ ἄλοχος 'πόρε κάλλιμα δῶρα·
ἠλακάτην χρυσέην τάλαρόν θ' ὑπόκυκλον ὄπασσε
ἀργύρεον, χρυσῷ δ' ἐπὶ χείλεα 'κεκράαντο· — 132b cf. 616 ο 116
τόν ῥά Ϝοι ἀμφίπολος Φυλὼ παρέθηκε φέρουσα
νήματος ἀσκητοῖο βεβυσμένον· αὐτὰρ ἐπ' αὐτῷ
ἠλακάτη 'τετάνυστο Ϝιοδνεφὲς εἶρος ἔχουσα. 135b cf. ι 426
ἕζετο δ' ἐν κλισμῷ, ὑπὸ δὲ θρῆνυς ποσὶν ἦεν. 136b = Σ 390
αὐτίκα δ' ἥ γε Ϝέπεσσι πόσιν ἐρέεινε Ϝέκαστα·
„Ϝίδμεν δή, Μενέλαε διοτρεφές, οἵ τινες οἵδε
ἀνδρῶν εὐχετάονται ἱκανέμεν' ἡμέτερον δῶ;
ψεύσομαι ἦ ἔτυμον Ϝερέω; κέλεται δέ με θυμός. 140 = Κ 534 cf. [φ 194
οὐ γάρ πώ τινα φημὶ ϜεϜοικότα ὧδε Ϝιδέσθαι 141sq. cf. ζ 160sq.
οὔτ' ἄνδρ' οὔτε γυναῖκα, — σέβας μ' ἔχει εἰσοράουσαν, — 141 cf. τ 380, 141a = χ 313
ὡς ὅδ' Ὀδυσσῆος μεγαλήτορος υἷι ϜέϜοικε, 143 cf. τ 381
Τηλεμάχῳ, τὸν ἔλειπε νέον γεγαῶτ' ἐνὶ Ϝοίκῳ 144 cf. 112
κεῖνος ἀνήρ, ὅτ' ἐμεῖο κυνώπιδος εἵνεκ' Ἀχαιοὶ
ἤλθεθ' ὑπὸ Τροίην πόλεμον θρασὺν ὁρμαίνοντες." 146 cf. Κ 28
τὴν δ' ἀπαμειβόμενος προσέφη ξανθὸς Μενέλαος·
„οὕτω νῦν καὶ ἐγὼ νοέω, γύναι, ὡς σὺ ϜεϜίσκεις·
κείνου γὰρ τοιοίδε πόδες τοιαίδε τε χεῖρες 149 cf. τ 359
ὀφθαλμῶν τε βολαὶ κεφαλή τ' ἐφύπερθέ τε χαῖται.
καὶ νῦν ἦ τοι ἐγὼ μεμνημένος ἀμφ' Ὀδυσῆι
'μυθεόμην, ὅσα κεῖνος ὀιζύσας ἐμόγησε 152 cf. ψ 307
ἀμφ' ἐμοί· αὐτὰρ ὃ πυκνὸν ὑπ' ὀφρύσι δάκρυον εἶβε, 153b = θ 531 cf. π 219

---

128 ἔδωκε] δῶκε mss.

131 *ἠλακάτην χρυσέην] χρυσῆν (vel χρυσέην) τ' ἠλακάτην mss.; cf. § 18 et 61. || ὑπόκυκλον] †, *rotulis instructum*? vid. ad Σ 375.

132 'κεκράαντο] cf. § 267 et δ 616 ο 116.

134 βεβυσμένον] †.

135 Ϝιοδνεφὲς] adi. nonnisi loco simili ι 426 redit; cf. δνοφερός Ι 15 etc.

137 αὐτίκα δ'] αὐτίκ' ἄρ G F mss. alia. || γε Ϝέπεσσι] γ' ἐπέεσσι mss.

139 εὐχετάονται § 191] -τόωνται mss.

141 Ϝιδέσθαι] l. a. γενέσθαι.

142 εἰσοράουσαν § 191] -ρόωσαν mss.

143 Ὀδυσσῆος μεγαλήτορος (l. a. ταλασίφρονος) υἷι] probabiliter vHerwerden Ὀδυσσῆι μεγαλήτορι πάντα coll. Δ 613, delens vs. 144-146 (vs. 145 sq. damnaverat PKnight); absurde enim adulescentem simillimum dici puerulo infanti, quem Helenae ne in conspectum quidem olim venisse credibile est; vid. etiam vs. 149 et 157. In versu autem 145 displicet vox κυνῶπις a placido colloquio aliena.

146 ἤλθεθ'] ἦλθον mss. alia.

149] vertit Verg. Aen. III 490: *sic oculos, sic ille manus, sic ora ferebat.* || γὰρ F P H] μὲν M, τοι G.

153 πυκνὸν] πυκινὸν mss. complura metro invito; πικρὸν M k. Cf. Ω 794 π 16 etc.

χλαῖναν πορφυρέην ἄντ' ὀφθαλμοῖιν ἀνασχών." 154 = 115
155 τὸν δ' αὖ Νεστορίδης Πεισίστρατος ἀντίον ηὔδα· 155 = ο 48
„Ἀτρεΐδη Μενέλαε διοτρεφὲς, ὄρχαμε λαῶν, 156 = P 12
157 κείνου μέν τοι ὅδ' υἱὸς ἐτήτυμον, ὡς ἀγορεύεις. 157ᵇ cf. ψ 62
161 αὐτὰρ ἐμὲ προέηκε γερήνιος ἱππότα Νέστωρ
τῷ ἅμα πομπὸν ἕπεσθαι· ἐϝέλδετο γάρ σε ϝιδέσθαι,
ὄφρα ϝοι ἤ τι ϝέπος ὑποθήεαι ἠέ τι ϝέργον.
πολλὰ γὰρ ἄλγε' ἔχει πατρὸς πάις οἰχομένοιο
165 ἐν μεγάροισ', ᾧ μὴ ἄλλοι ἀοσσητῆρες ἔωσι· 165 cf. ψ 119
ὡς νῦν Τηλεμάχῳ ὃ μὲν οἴχεται, οὐδέ ϝοι ἄλλοι
εἴσ', οἵ κεν κατὰ δῆμον ἀλάλκοιεν κακότητα."
τὸν δ' ἀπαμειβόμενος προσέφη ξανθὸς Μενέλαος·
„ὢ πόποι, ἦ μάλα δὴ φίλου ἀνέρος υἱὸς ἐμὸν δῶ
170 ἵκεθ', ὃς εἵνεκ' ἐμεῖο πολῦς ἐμόγησεν ἀέθλους·
καί μιν ἔφην ἐλθόντα φιλησέμεν' ἔξοχον ἄλλων
Ἀργεΐων, εἰ νῶιν ὑπεὶρ ἅλα νόστον ἔδωκε
173 νηυσὶ θοῇσι γενέσθαι Ὀλύμπιος εὐρύϝοπα Ζεύς.

158 ἀλλὰ σαόφρων ἐστὶ, νεμεσσάεται δ' ἐνὶ θυμῷ
ὧδ' ἐλθὼν τὰ πρῶτα ϝεπεσβολίας ἀναφαίνειν
ἄντα σέθεν, τοῦ νῶι θεοῖ' ὣς τερπόμεθ' αὐδῇ.
174 καί κέ ϝοι Ἄργε' ἔνασσα πόλιν καὶ δώματ' ἔτευξα
ἐξ Ἰθάκης ἀγαγὼν σὺν κτήμασι καὶ τέκεϊ ϝῷ
καὶ πᾶσιν λαοῖσι, μίαν πόλιν ἐξαλαπάξας,
158-160 Rhianus om., Ar. — ‖ 163-167 nonnulli (non Ar.) —

154 ὀφθαλμοῖιν] -οῖσιν H mss. alia; cf. vs. 115.
158 νεμεσσάεται § 191] -σσᾶται mss.; Ar. observabat pro αἰδεῖται male h. l. dictum esse.
159 τὰ πρῶτα Bentley] τὸ πρῶτον mss.; vid. ad vs. 577. ‖ ϝεπεσβολίας] †, cf. ϝεπεσβόλος B 275. Aristonicus vocem hinc alienam ducebat ex. Ar. sententia; Zenodotus ἐπιστομίας corrigebat.
160 θεοῖ' § 59] θεοῦ mss.
161 γερήνιος] cf. B 336.
162 ἐέλδετο] sic Ar., δίετο Zen.
163 *ὑποθήεαι § 122] ὑποθήσεαι mss.; cf. Σ 409 et vid. ad Z 260 Y 335 β 368. Futurum post ὄφρα praeterea nonnisi Θ 111 = Π 243 legitur (ὄψεται ϱ 7 aoristi est forma); vid. etiam ad σ 419.
165 μὴ ἄλλοι] synizesis novicia, vid. § 8. Pro ἄλλοι, quod e versu sequenti irrepsisse videtur, in D S legitur πολλοί, q autem habet ᾧ μὴ ἀοσσητῆρες πολλοὶ ἔωσιν (cf. ψ 119). Hinc effeceris *ἐν δόμῳ, ᾧ μὴ πολλοὶ ἀοσσητῆρες ἔωσι, sed tentavimus etiam *ᾧ μὴ ἐνὶ μεγάροισιν ἀοσσητῆρες ἔωσι (vel ᾧ μὴ ἀ. ἐνὶ μ. ἔωσι); Platt ἐν μεγάροισ', ᾧ μὴ πάρ' ἀοσσητῆρες ἔωσι coll. ε 489.
168 δ' ἀπαμειβόμενος] δὲ μέγ' ὀχθήσας G (cf. δ 30).
170 πολῦς § 83] πολεῖς vel πολέας mss.
171 ἔξοχον ἄλλων P] ἔξοχα πάντων mss. pleraque; cf. ε 118.
172 ὑπεὶρ] cf. § 315.
174-180] del. Manso, vs. 172-180 PKnight, vs. 174-177 Hennings.
174 Ἄργε' ἔνασσα] Ἄργεϊ νάσσα mss. ‖ ἔνασσα] de verbi sensu vid. ad Ξ 119.
176 ἐξαλαπάξας] *vacuefaciendi* sensu nonnisi h. l. usurpatur.

181 ἀλλὰ τὰ μέν ποθ' ἔμελλεν ἀγάσσεσθαι θεὸς αὐτὸς,
ὃς κεῖνον δύστηνον ἀνόστιμον οἶον ἔθηκε."
ὣς 'φάτο, τοῖσι δὲ πᾶσιν ὑφ' ἵμερον ὦρσε γόοιο. 183 = Ψ 108
'κλαῖε μὲν Ἀργεΐη Ἑλένη, Διὸς ἐκγεγαυῖα, 184 cf. ψ 218
185 'κλαῖε δὲ Τηλέμαχός τε καὶ Ἀτρεΐδης Μενέλαος.
οὐδ' ἄρα Νέστορος υἱὸς ἀδακρύτω ἔχεν ὄσσε·
'μνήσατο γὰρ κατὰ θυμὸν ἀμύμονος Ἀντιλόχοιο, 187-189 cf. α 29 sqq.
τόν ῥ' Ἠοῦς ἔκτεινε φαεινῆς ἀγλαὸς υἱός.
τοῖ' ὅ γ' ἐπιμνησθεὶς ϝέπεα πτερόεντ' ἀγόρευε·
190 „Ἀτρεΐδη, περὶ μέν σε βροτῶν πεπνυμένον εἶναι
191 Νέστωρ 'φάσχ' ὁ γέρων, ὅτ' ἐπιμνησαίμεθα σεῖο.
193 καὶ νῦν, εἴ τί ποθ' ἔστι, πίθοιό μοι· οὐ γὰρ ἐγώ γε
τέρπομ' ὀδυρόμενος μεταδόρπιος, ἀλλὰ καὶ ἠὼς
195 ἔσσεται ἠριγένεια. νεμεσσάομαί γε μὲν οὔ τι 195ᵇ = τ 264
κλαιέμεν', ὅς κε θάνησι βροτῶν καὶ πότμον ἐπίσπῃ.
τοῦτό νυ καὶ γέρας οἶον ὀιζυροῖσι βροτοῖσι,
κείρασθαί τε κόμην βαλέμεν τ' ἀπὸ δάκρυ παρῄων. 198ᵃ = Ψ 46

αἵ περιναιετάουσι, ϝανάσσονται δ' ἐμοὶ αὐτῷ.
καί κε θάμ' ἐνθάδ' ἐόντε ἐμισγόμεθ'· οὐδέ κεν ἄλλο
ἧμε διέκρινεν φιλέοντέ τε τερπομένω τε,
180 πρίν γ' ὅτε δὴ θανάτοιο μέλαν νέφος ἀμφεκάλυψε. 180ᵇ = Π 350
192 ϝοῖσιν ἐνὶ μεγάροισι καὶ ἀλλήλους ἐρέοιμεν.
192 Ar. —

178 ἐόντε Ahrens] ἐόντες mss.
178 sq. ἄλλο | ἧμε] ἄλλο | ἄμμε Plut. Mor. 54*f* 95*a*, ἄμμε | ἄλλο (P[1]) Y U[2], ἡμέας (ὑμ. H) | ἄλλο mss. cetera; cf. § 92.
181 ποθ' § 322] που mss. ‖ ἔμελλεν P] μέλλεν mss. pleraque. ‖ ἀγάσσεσθαι] ἀγά(σ)σασθαι G[1] P mss. alia.
182 ἀνόστιμον] †, cf. ἄνοστος ω 528, νόστιμος α 9 etc.
187] de Antilochi morte cf. γ 111.
188] *spurius? ‖ Ἠοῦς] novicium pro Ἠόος, vid. § 77; Ahrens Ἠόος ὅν ῥ'. ‖ φαεινῆς] in ceteris versibus, quos claudunt verba ἀγλαὸς υἱός vel ἀγλαὸν υἱόν, quarto loco esse dactylum annotat Ameis-Hentze.
189-218] del. Hennings.
189 τοῖ' § 59] τοῦ mss. ‖ πτερόεντ' ἀγόρευε] -εντα προσηύδα F D (cf. α 122).
191 'φάσχ' ὁ] 'φάσκε?
192 ἀλλήλους] sensu caret, unde apparet versum spurium esse; fuere qui ἀλλήλοισ' ἐρέοιμεν legerent, διαλεγοίμεθα id interpretati invita lingua (sic Y?).
193 ποθ' § 322] που mss.; Cobet mavult εἴ πως ἔστι.
194 μεταδόρπιος] -ον F. Adi. †, sed cf. ποτιδόρπιος ι 234, 249. Coll. vs. 68 apparet vertendum esse *post cenam vespertinam*; δόρπον instaurari Menelaus iubet vs. 213 „ne malis ominibus diem finiant" (Lehrs Arist.[2] p. 129). Fuere qui *inter cenam* interpretarentur (vid. ad E 19), quibus obloquitur Lehrs l. l.
195 ἔσσεται] εἴσεται (*veniet*) mavult Cobet, sed vid. ad α 88. ‖ νεμεσσάομαι § 191] -σσῶμαι mss. ‖ *οὔ τι § 100] οὐδὲν mss.
196 κλαιέμεν' § 125] κλαίειν mss.
197] *hoc unum habent miseri mortales quo amorem suum erga necessarios vita perfunctos testentur.* Mire in hoc versu interpretando errat Plut. Mor. 22*c*.
198 κείρασθαι] vid. Ψ 46, 136, 141 ω 46. ‖

καὶ γὰρ ἐμὸς τέθνηκεν ἀδελφεὸς, οὔ τι κάκιστος
Ἀργεΐων· μέλλεις δὲ σὺ Ϝίδμεναι, — οὐ γὰρ ἐγώ γε 200^b sq. = Δ 374 sq.
ἤντησ' οὐδ' ἔϜιδον, — περὶ δ' ἄλλων φασὶ γενέσθαι
Ἀντίλοχον, περὶ μὲν θείειν ταχὺν ἠδὲ μαχητήν.“ 202 cf. γ 112
τὸν δ' ἀπαμειβόμενος προσέφη ξανθὸς Μενέλαος·
„ὦ φίλ', ἐπεὶ τόσ' ἔϜειπες, ὅσ' ἂν πεπνυμένος ἀνὴρ
Ϝείποι καὶ ῥέξειε, καὶ ὃς προγενέστερος εἴη· —
τοίου γὰρ καὶ πατρὸς, ὃ καὶ πεπνυμένα βάζεις. 206^a = σ 126 206^b cf. Ι 58
ῥεῖα δ' ἀρίγνωτος γόνος ἀνέρος, ᾧ τε Κρονίων 207^a = Ο 490
ὄλβον ἐπικλώσῃ γαμέοντί τε γιγνομένῳ τε·
ὡς νῦν Νέστορ' ἔδωκε διαμπερὲς ἤματα πάντα
αὐτὸν μὲν λιπαρῶς γηρασκέμεν' ἐν μεγάροισι,
υἱέας αὖ πινυτούς τε καὶ ἔγχεσιν ἔμμεν' ἀρίστους· —
ἧμες δὲ κλαυθμὸν μὲν ἐάσομεν, ὃς πρὶν ἐτύχθη·
δόρπου δ' ἐξαῦτις μνησώμεθα, χερσὶ δ' ἐφ' ὕδωρ
χευάντων. μῦθοι δὲ καὶ ἠῶθέν περ ἔσονται
Τηλεμάχῳ καὶ ἐμοὶ διαϜειπέμεν' ἀλλήλοισι.“
ὣς ἔφατ'· Ἀσφαλίων δ' ἄρ' ὕδωρ ἐπὶ χεῖρας ἔχευε,
ὀτρηρὸς θεράπων Μενελάου κυδαλίμοιο. 217 = 23
οἳ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον. 218 = Ι 91
ἔνθ' αὖτ' ἄλλ' ἐνόησ' Ἑλένη Διὸς ἐκγεγαυῖα· 219^a cf. Ψ 140
αὐτίκ' ἄρ' εἰς Ϝοῖνον 'βάλε φάρμακον, ἔνθεν ἔπινον,
νηπενθές τ' ἄχολόν τε, κακῶν ἐπιλῆθον ἁπάντων.

βαλέμεν § 126] βαλέειν mss. || παρῄων] παρειῶν mss.; vid. § 56 et ad Ω 794.

204 τόσ' ἔειπες l] τόσσα ἔειπες P, τό(σ)σα εἶπες (εἶπας U^1, cf. § 153) mss. cetera. || ἂν] novicium pro κεν, vid. § 326.

205] del. vHerwerden.

206-211] del. PKnight, vs. 207-211 Duentzer.

206 τοίου] vid. ad Ψ 16. || πατρὸς] aegre desideratur ἐσσί.

208 ἐπικλώσῃ] vid. quae annotavimus ad Ω 525. || γαμέοντι] θαλέθοντι (*ab ineunte aetate*) Naber.

209 Νέστορ' ἔδωκε] -ρι δῶκε mss.

210 αὐτὸν] αὐτῷ H Y.

211 υἱέας] υἱέας δ' Stob. 103,1; fortasse υἷας δ' verum est. || ἔμμεν' § 125] εἶναι mss.

212 ἧμες § 92] ἡμεῖς mss. || δὲ] δ' αὖ G. || ὅς] ὡς F^1, ὃ P; ὧν vHerwerden, τῶν γεγενημένων interpretatus. || πρὶν] περ G.

215 διαϜειπέμεν'] vid. ad Κ 425.

216 δ' ἄρ'] δὲ proponit criticus apud Nauckium.

218] in T i n subiungitur versus αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο (= Ι 92 etc.).

221] cf. κ 305. || νηπενθές … ἄχολον] utrumque adi. †. || ἐπιλῆθον Ptolemaeus Ascal.] ἐπίληθον Ar. Herodian. (cf. Lehrs Arist.^{2} p. 299), ἐπίληθες mss. aliquot. Adi. ἐπίληθος aliunde ignotum est, verbum vero ἐπιλήθω extat υ 85 (med. Η 452 etc.). Nauck coniecit ἐπίλησιν; apud novicios quosdam (vid. Nauck in Praef. Odysseae I p. VII) λαθικηδής dicitur Helenae medicamen (cf. Χ 83).

ὃς τὸ καταβρόξειεν, ἐπεὶ κρητῆρι μιγείη,
οὔ κεν ἐφημέριός γε βάλοι κατὰ δάκρυ παρῄων,
οὐδ' εἴ Ϝοι κατατεθναίη μήτηρ τε πατήρ τε,
οὐδ' εἴ Ϝοι προπάροιθεν ἀδελφεὸν ἢ φίλον υἱὸν
χαλκῷ δηιόοιεν, ὃ δ' ὀφθαλμοῖσ' ὁράοιτο.
τοῖα Διὸς θυγάτηρ ἔχε φάρμακα μητιόεντα
ἐσθλὰ, τά Ϝοι Πολύδαμν' ἔπορεν Θῶνος παράκοιτις
Αἰγυπτίη, τῇ πλεῖστα φέρει ζείδωρος ἄρουρα 229^b = ι 357
φάρμακα, πολλὰ μὲν ἐσθλὰ μεμιγμένα, πολλὰ δὲ λυγρά·
ἰητρὸς δὲ Ϝέκαστος ἐπιστάμενος περὶ πάντων
ἀνθρώπων· ἐκ γὰρ Παιήονός εἰσι γενέθλης.
αὐτὰρ ἐπεί ῥ' ἐνέηκε 'κέλευσέ τε Ϝοινοχοῆσαι,
ἐξαῦτις μύθοισιν ἀμειβομένη προσέϜειπε· 234 cf. π 193 τ 214 ω 350
„Ἀτρεΐδη Μενέλαε διοτρεφὲς ἠδὲ καὶ οἵδε
ἀνδρῶν ἐσθλῶν παῖδες· ἀτὰρ θεὸς ἄλλοτε ἄλλῳ
Ζεὺς ἀγαθόν τε κακόν τε διδοῖ· δύναται γὰρ ἅπαντα.
ἦ τοι νῦν δαίνυσθε καθήμενοι ἐν μεγάροισι
καὶ μύθοις τέρπεσθε· ϜεϜοικότα γὰρ καταλέξω.
πάντα μὲν οὔ κεν ἐγὼ μυθήσομαι οὐδ' ὀνομήνω, 240^b = Β 488
ὅσσοι Ὀδυσσῆος ταλασίφρονός εἰσιν ἄεθλοι·

---

222 καταβρόξειεν] -βρώξειεν F mss. alia (cf. schol.), non recte. Vid. § 154 et ad Ρ 54. || ἐπεὶ G] ἐπὴν mss. cett.; cf. Ω 227 et § 326.

223 οὔ κεν] οὐκ ἂν P mss. alia; cf. § 326. || παρῄων] παρειῶν mss.; vid. § 56 et ad Ω 794.

226 δηιόοιεν U^2] -όῳεν mss. cett.; cf. § 191. || ὀφθαλμοῖσ' ὁράοιτο] -λμοῖσιν ὁρῷτο mss.; cf. § 191.

227 μητιόεντα] l. a. -ιόωντα; sic Ar.? cf. Δ 157 γ 290 ζ 87. Adi. nonnisi h. Ap. 344 XXIII 5 redit, quibus locis collatis apud Nauckium proponitur μητιόεντος.

649 *ἐγώ* Bentley (cf. Apoll. Synt. 141, 27)] *ἑκών* mss. neglecto Ϝ, quod diasceuastae imputandum non esse ex vs. 647 apparet. Vid. β 133. || *ἔδωκα*] *δῶκα* mss. || *τί*] *τό* F^1 mss. alia.

650 *τοιοῦτος*] *τοιαῦτα* Platt.

651 *αἰτίζοι* GHermann] *-ζῃ* (*-ζει*) mss.; cf. α 228 sq. β 31 etc.

652 *ἧμας* § 92] *ἡμέας* vel *ὑμέας* (*ὑμᾶς*) mss.

654 *ἠὲ θεόν*] *ἠίθεον* H^2 mss. alia. || *πάντ' ἐϜεϜοίκει*] *πάντα ἐῴκει* mss.

658 *τοῖσιν...ἀμφοτέροισιν*] *τοῖιν...-ροιιν*?

659 *μνηστῆρας* G^1 P^1 (H^1?) T] *-ρες* mss. pleraque (male). PKnight *μνηστῆρες...παύσαντό τ'*. || *κάθισαν*] *κάθεσαν*? vid. § 220. || *ἔπαυσαν*] *παῦσαν* mss.

660 *μετέφη* G F M] *προσέφη* mss. pleraque.

661 sq.] e libro Α desumtos esse vidit Ar.; at diasceuastam, cui haec omnia debentur, inde desumsisse probabiliter statuit Kirchhoff.

661 *φρένες ... μέλαιναι*] vid. ad Α 103.

'πίμπλαντ', ὄσσε δέ Ϝοι πυρὶ λαμπετάοντ' ἐϜεϜίκτην·
„ὢ πόποι, ἦ μέγα Ϝέργον ὑπερφιάλως ἐτελέσθη 663 cf. π 346
Τηλεμάχῳ ὁδὸς ἥδε· 'φάμεν δέ Ϝοι οὐ τελέεσθαι. 664 = π 347
εἰ τόσσωνδ' ἀϜέκητι νέος πάις οἴχεται αὔτως,
νῆα Ϝερυσσάμενος κρίνας τ' ἀνὰ δῆμον ἀρίστους,
ἄρξει καὶ προτέρω κακὸν ἔμμεναι· ἀλλά Ϝοι αὐτῷ
Ζεὺς ὀλέσειε βίην πρίν γ' ἥβης μέτρον ἱκέσθαι. 668 cf. ϱ 597
ἀλλ' ἄγε μοι δότε νῆα θοὴν καὶ Ϝείκοσ' ἑταίρους, 669 = β 212
ὄφρα μιν αὖτις ἰόντα λοχήσομαι ἠδὲ φυλάξω
ἐν πορθμῷ Ἰθάκης τε Σάμοιό τε παιπαλοέσσης, 671 = ο 29 cf. δ 845
ὥς κεν ἐπισμυγερῶς ναυτίλεται εἵνεκα πατρός."
ὣς ἔφαθ', οἳ δ' ἄρα πάντες ἐπῄνεον ἠδ' ἐκέλευον· 673 = η 226 ϑ 398 ν 47 cf. σ 66
αὐτίκ' ἔπειτ' ἀνστάντες ἔβαν δόμον εἰς 'Οδυσῆος. 674 = π 407
οὐδ' ἄρα Πηνελόπεια πολὺν χρόνον ἦεν ἄπυστος 675 cf. ε 127^b
μύθων οὓς μνηστῆρες ἐνὶ φρεσὶ 'βυσσοδόμευον·
κῆρυξ γάρ Ϝοι ἔϜειπε Μέδων, ὃς ἐπεύθετο βουλὰς 677 = π 412
αὐλῆς ἐκτὸς ἐών· οἳ δ' ἔνδοθι μῆτιν ὕφαινον.
'βῆ δ' ἴμεν' ἀγγελέων διὰ δώματα Πηνελοπείῃ· 679 cf. 24
τὸν δὲ κατ' οὐδοῦ βάντα προσηύδα Πηνελόπεια· 680 cf. ϱ 575
„κῆρυξ, τίπτε δέ σε πρόεσαν μνηστῆρες ἀγαυοί;
Ϝειπέμεναι δμῳῇσιν 'Οδυσσῆος θείοιο
Ϝέργων παύσασθαι, αὐτοῖσι δὲ δαῖτα πένεσθαι;

684 *μὴ μνηστεύσαντες μηδ' ἄλλοθ' ὁμιλήσαντες*

662 *λαμπετάοντ' ἐϜεϜίκτην*] *-τόωντι εἴκτην* mss., cf. § 191 et 160. De forma *λαμπετάω* vid. ad Α 104.

664 *οἱ*] sic Ar., alii olim *μιν*.

665 *εἰ* Hartman] *ἐκ* mss. (in fine versus 666 clausa sententia); Platt *εἰς*.

666 *ἀρίστους*] *ἑταίρους* F^1 (cf. vs. 278).

667 *αὐτῷ*] *αὐτὸς* criticus apud Nauckium, sed sana videtur vulgata; vert. *ipsum potius pessumdet Iuppiter nobis perniciem parantem*.

668 *πρίν γ'* § 18] *πρὶν* mss. || *ἥβης μέτρον ἱκέσθαι* Ar. G H] *ἡμῖν πῆμα γενέσθαι* F P M Apoll. Pron. 53 Synt. 137, *ἡμῖν πῆμα φυτεῦσαι* Eust.; cf. ϱ 597.

670 *αὖτις* Bentley coll. Α 27] *αὐτὸν* mss.; *αὖ ἀνιόντα* PKnight.

671 *πορθμῷ*] vox nonnisi ο 29 redit, sed cf. *πορθμεύς* υ 187. || *Σάμοιο*] vid. ad α 246.

672 *κεν* § 326] *ἂν* mss. || *ἐπισμυγερῶς*] cf. γ 195. || *ναυτίλεται* F] *ναυτίλλεται* mss. cetera; vid. § 122. Verbum redit ξ 246, cf. *ναυτιλίῃ* ϑ 253.

679 *διὰ* G P T] *πρὸς* mss. pleraque.

680 *προσηύδα*] *-δαε*? cf. § 191.

682 *εἰπέμεναι* Longin. de Subl. 27] *ἦ εἰπέμεναι* mss., quod propter Ϝ neglectum et synizesin (§ 8) iure reiecit Bentley, *ἦ Ϝειπεῖν* PKnight, *εἰ Ϝειπεῖν* Hartman sublato interrogationis signo in fine vs. 683, cum Herwerdeno delens versum 684.

683 **αὐτοῖσι δὲ*] *σφίσι δ' αὐτοῖς* mss., cf. § 60; Nauck eleganter *ἔργων μὲν παύσασθαι, ἀτάρ σφίσι*.

684] del. vHerwerden; vitium sonat caesura post 4^{um} troch. (vid. § 3). Cf. λ 613. || *ἄλλοθ'*] i. e. *ἄλλοτε*.

ὕστατα καὶ πύματα νῦν ἐνθάδε δειπνήσειαν· 685[a] = υ 13
οἳ θάμ' ἀγειρόμενοι βίοτον κατακείρετε πολλόν,
κτῆσιν Τηλεμάχοιο δαΐφρονος. οὐδέ τι πατρῶν
ὑμετέρων τὸ πρόσθεν ἀκούετε παῖδες ἐόντες,
οἷος Ὀδυσσεὺς ἦσκε μεθ' ὑμετέροισι τοκεῦσι,
οὔτε τινὰ ῥέξας ἐξαίσιον οὔτε τι Ϝειπὼν
ἐν δήμῳ; ἥ τ' ἐστὶ δίκη θείων βασιλήων.
κεῖνος δ' οὔ ποτε πάμπαν ἀτάσθαλον ἄνδρ' ἐϜεϜόργει, 693[a] cf. λ 528
ἀλλ' ὃ μὲν ὑμέτερος θυμὸς καὶ ἀϜεικέα Ϝέργα
φαίνεται, οὐδέ τις ἔστι χάρις μετόπισθ' ἐὺ Ϝερκτῶν.“ 695[b] = χ 319
τὴν δ' αὖτε προσέϜειπε Μέδων πεπνυμένα Ϝειδώς·
„αἲ γὰρ δή, βασίλεια, τόδε πλεῖστον κακὸν εἴη.
ἀλλὰ πολὺ μεῖζόν τε καὶ ἀργαλεώτερον ἄλλο
μνηστῆρες φράζονται, ὃ μὴ τελέσειε Κρονίων.
Τηλέμαχον μεμάασι κατακτάμεν' ὀξέι χαλκῷ
Ϝοίκαδε νισσόμενον· ὃ δ' ἔβη μετὰ πατρὸς ἀκουὴν 701 sq. = ε 19 sq. 701[b] sq.[a] = ξ 179 sq. cf. β 308
εἰς Πύλον ἠγαθέην ἠδ' εἰς Λακεδαίμονα δῖαν.“
ὣς 'φάτο· τῆς δ' αὖθι 'λύτο γούνατα καὶ φίλον ἦτορ, 703 cf. Φ 114
δϜὴν δέ μιν ἀφασίη Ϝεπέων 'λάβε· τὼ δέ Ϝοι ὄσσε 704 sq. = P 695 sq. 704[b] sq.[a] cf. κ 247 sq.
δακρυόφι 'πλῆσθεν, θαλερὴ δέ Ϝοι ἔσχετο φωνή.
ὀψὲ δὲ δή Ϝε Ϝέπεσσιν ἀμειβομένη προσέϜειπε·
„κῆρυξ, τίπτε δέ μοι πάις οἴχεται; οὐδέ τί μιν χρὴ

692 ἄλλον κ' ἐχθαίρῃσι βροτῶν, ἄλλον κε φιλοίη. 692 cf. ο 70[b] sq.[a]

685] vert.: *utinam hodie ultimum hic coenarent!* ‖ δειπνήσειαν] -σαιτε H.

686 οἳ … κατακείρετε] procorum igitur amicus a Penelope habetur Medon; conferatur ρ 172 sq. ‖ οἳ θάμ'] οἵ θ' ἅμ' mss. pleraque. ‖ βίοτον] l. a. βρωτὸν (? — Ludwich βρωτύν).

689 ἦσκε] ἔσκε mss.

690 ἐξαίσιον] vid. ad *O* 598.

692] del. vHerwerden; vs. 690-695 damnaverat PKnight. Temporum ut constaret consecutio, φιλείῃ tentabat Christ (cf. § 190), vHerwerden vero μέν κ' ἔχθοιτο. De optativo φιλοίη vid. § 114.

693 ἄνδρ' ἐϜεϜόργει] ἄνδρα ἐώργει mss.

695 *ἐὺ Ϝερκτῶν] εὐεργέων mss.; vid. *Π* 743 et § 73.

697 αἲ] εἰ mss. pleraque.

701 ἀκουὴν] vid. ad β 308.

702 ἠγαθέην] ἠμαθίην Rhianus, cf. β 308. De sono ἠ- vid. § 21.

703 αὖθι § 322] αὐτοῦ mss.

704 ἀφασίη F[1]] ἀμφασίη mss. pleraque. Vid. *P* 695.

705 ἔσχετο] ἔσκετο Ar. teste Didymo (sic P[2] U[1]), qui ridiculam vocat vulgatam. At Aristarchea illa lectio ridicula est; quapropter Lehrs statuit, corrupta esse Didymi verba, Aristarchum autem ἔσχετο scripsisse et lectionem ἔσκετο utpote legibus linguae repugnantem damnasse; cf. Ludwich Arist. I p. 548. Vid. tamen *O* 10 *Ω* 84 υ 106, ubi Ar. formam εἴατο ad εἰμί referebat. Vulgatam secutus est Apoll. Rh. Arg. III 811: ἔσχετο δ' ἀμφασίῃ δηρὸν χρόνον, bene reddidit Verg. Aen. IV 280: *vox faucibus haesit.*

706 Ϝε Bentley] μιν mss.

707 χρὴ PKnight] χρε(ι)ὼ mss.; cf. § 8.

νηῶν ὠκυπόρων ἐπιβαινέμεν', αἵ θ' ἁλὸς ἵπποι
ἀνδράσι γίγνονται, περάουσι δὲ πουλὺν ἐφ' ὑγρήν. 709[b] cf. K 27
ἦ ἵνα μηδ' ὄνομ' αὐτοῦ ἐν ἀνθρώποισι λίπηται;“
τὴν δ' ἠμείβετ' ἔπειτα Μέδων πεπνυμένα Ϝειδώς·
„οὐ Ϝοῖδ', ἤ τίς μιν θεὸς ὤρορεν, ἦε καὶ αὐτοῦ
θυμὸς ἐφωρμήθη ἴμεν' εἰς Πύλον, ὄφρα πύθηται 713[b] sq. cf. γ 15 sq.
πατρὸς ἑϜοῖ' ἢ νόστον ἢ ὅν τινα πότμον ἐπέσπε.“
ὣς ἄρα φωνήσας ἀπέβη κατὰ δῶμ' Ὀδυσῆος.
τὴν δ' ἄχος ἀμφεχύθη θυμοφθόρον, οὐδ' ἄρ' ἔτ' ἔτλη
δίφρῳ ἐφεζέσθαι πολλῶν κατὰ Ϝοῖκον ἐόντων, 717[b] = τ 195 ω 272
ἀλλ' ἄρ' ἐπ' οὐδοῖ' ἷζε πολυκμήτου θαλάμοιο
οἴκτρ' ὀλοφυρομένη· περὶ δὲ δμῳαὶ 'μινύριζον 719[a] cf. κ 409 ε 543 ω 59
πᾶσαι, ὅσαι κατὰ δώματ' ἔσαν νέαι ἠδὲ παλαιαί. 720 cf. ϑ 58
τῆσ' ἀδινὸν γοάουσα μετηύδα Πηνελόπεια·
„κλῦτε, φίλαι· περὶ γάρ μοι Ὀλύμπιος ἄλγε' ἔδωκε
πασάων, ὅσσαι μοι ὁμοῦ 'τράφον ἠδ' ἐγένοντο·
ἣ πρὶν μὲν πόσιν ἐσθλὸν ἀπώλεσα θυμολέοντα, 724-726 = 814 sqq.
παντοίῃσ' ἀρετῇσι κεκασμένον ἐν Δαναοῖσι
ἐσθλόν, τοῦ κλέος εὐρὺ καθ' Ἑλλάδα καὶ μέσον Ἄργος· 726 cf. α 344
νῦν αὖ παῖδ' ἀγαπητὸν ἀνηρέψαντο θύελλαι 727[a] = ε 18 cf. δ 817
ἀκλεέ' ἐκ μεγάρων, οὐδ' ὁρμηθέντος ἄκουσα.
σχέτλιαι, οὐδ' ὔμές περ ἐνὶ φρεσὶ 'θέσθε Ϝεκάστη
ἐκ λεχέων μ' ἀνεγεῖραι, ἐπιστάμεναι σάφα θυμῷ,

726 Ar. —

708 ἵπποι] non *equis* sed *curribus* assimulantur naves. Similis est comparatio ν 81 sqq.

709 περάουσι § 191] περόωσι mss. ‖ πουλὺν] πολλὴν vel πουλὴν mss. complura, πολλὸν q; de forma vitiosa vid. ad *K* 27.

710 αὐτοῦ] αὐτὸ Hartman.

712 ἤ Ar. H[1]] εἴ mss. cett. Cf. § 327.

714 ἑϜοῖ' § 59] ἑοῦ mss. ‖ ἢ] insolite corripitur, cf. § 16.

717 δίφρῳ F P H[2] M] δίφρου G H[1].

718 οὐδοῖ' § 59] οὐδοῦ mss.

720] del. PKnight.

721 τῆσ' G] τῆς F H D, τῆς δ' mss. pleraque; cf. § 57. ‖ ἀδινὸν] vid. ad *Σ* 124. ‖ γοάουσα T] γοόωσα mss. cett.; cf. § 191. ‖ μετηύδα] -δαε? cf. § 191.

722 Ὀλύμπιος … ἔδωκε G H[1]] -οι … ἔδωκαν mss. pleraque; cf. *B* 375.

723 *πασάων] ἐκ πασέων mss.; cf. § 56 et 316. ‖ τράφον W] -φεν mss. cett.; cf. § 252.

726] vid. ad *I* 447 α 344.

727 νῦν] νῦν δ' P[2] H[2] mss. alia. ‖ ἀνηρε(ί)ψαντο θύελλαι G F[1] P] ἀποκτεῖναι μεμάασιν F[2] H M (cf. ε 18). Illud in „meliore Aristarchi editione“ aliisque multis a se inventum testatur Didymus. ‖ ἀνηρέψαντο Doederlein] -ρείψαντο mss.; vid. ad *Υ* 234.

728 ἀκλεέ'] ἀκλέα mss.; cf. *B* 115 et § 73.

729 ὔμες § 92] ὑμεῖς mss.

730 ἐπιστάμεναι] alias apud Hom. *callere*, hoc uno loco *scire* significat verbum. ‖ σάφα] μάλα H q.

ὁππότε κεῖνος ἔβη κοίλην ἐπὶ νῆα μέλαιναν.
εἰ γὰρ ἐγὼ ’πυθόμην ταύτην ὁδὸν ὁρμαίνοντα,
τῷ κε μάλ’ ἤ κεν ἔμιμνε καὶ ἐσσυμένος περ ὁδοῖο,
ἤ κέ με τεθνηυῖαν ἐνὶ μεγάροισιν ἔλειπε.
ἀλλά τις ὀτρηρῶς Δολίον καλέσειε γέροντα,
δμῶ’ ἐμόν, ὅν μοι ἔδωκε πατὴρ ἔτι δεῦρο κιούσῃ, 736ᵇ = ψ 228
καί μοι κῆπον ἔχει πολυδένδρεον, ὄφρα τάχιστα
Λαέρτῃ τάδε πάντα παρεζόμενος καταλέξῃ,
εἰ δή πού τινα κεῖνος ἐνὶ φρεσὶ μῆτιν ὑφήνας
ἐξελθὼν λαοῖσιν ὀδύρεται, οἳ μεμάασι
Ϝὸν καὶ Ὀδυσσῆος φθῖσαι γόνον ἀντιθέοιο.“
τὴν δ’ αὖτε προσέϜειπε φίλη τροφὸς Εὐρυκλέεια· 742 = ψ 25, 39 cf. ε 21
„νύμφα φίλη, σὺ μὲν ἄρ με κατάκτανε νηλέι χαλκῷ,
ἢ ἔα’ ἐν μεγάρῳ· μῦθον δέ τοι οὐκ ἐπικεύσω.
’Ϝείδε’ ἐγὼ τάδε πάντα, ’πόρον δέ Ϝοι ὅσσ’ ἐκέλευσε, [ρ 533
σῖτον καὶ μέθυ Ϝηδύ· ἐμοὶ δ’ ἕλετο μέγαν ὅρκον, 746ᵃ = η 265 cf.
μὴ πρὶν σοὶ Ϝερέειν πρὶν δωδεκάτην γε γενέσθαι 747 cf. Ω 781
ἢ σ’ αὐτὴν ποθέσαι καὶ ἀφορμηθέντος ἀκοῦσαι, 748 sq. cf. β 375 sq.
ὡς κεν μὴ κλαίουσα κατὰ χρόα καλὸν ἰάπτῃς.
ἀλλ’ ὑδρηναμένη, καθαρὰ χροῒ Ϝείμαθ’ ἑλοῦσα, 750 sq. = ρ 48 sq. cf. δ 759 sq.
εἰς ὑπερῷ’ ἀναβᾶσα σὺν ἀμφιπόλοισι γυναιξὶ 751 = ψ 364
εὔχε’ Ἀθηναίῃ κούρῃ Διὸς αἰγιόχοιο·
ἢ γάρ κέν μιν ἔπειτα καὶ ἐκ θανάτοιο σαώσῃ.
μηδὲ γέροντα κάκου κεκακωμένον· οὐ γὰρ ὀίω

732 εἰ γὰρ] Hentze interpretatur *utinam*, item Θ 366 ω 284. || ταύτην] *ταύτην Ϝ’? || ὁρμαίνοντα] sic Ar.; l. a. ὁρμηθέντα. Apud Nauckium proponitur ὁρμαίνοντος.
733 κε ... κεν] nonnisi h. l. in Hom. iteratur; vid. Ω 437. || ἔμιμνε Cobet] ἔμεινε mss.; requiritur impf. propter versum sq.
734 τεθνηυῖαν F T] -κυῖαν mss. pleraque. || ἔλειπε] ἔθηκεν i.
735-741 et **754-757**] del. Hennings.
735 ὀτρηρῶς] -ρὸς F¹ P¹ mss. alia. || Δολίον] cum patris fidelitate minime congruunt mores prolis (vid. ρ 212 σ 322). Vid. ad ω 387.
736 ἔδωκε F P¹] δῶκε mss. multa.
739-741] del. Hartman.
739 εἰ δή] vid. ad Α 61.
740 οἳ] perperam de toto populo dicitur; Duentzer ὡς, Nauck δ.
741 φθῖσαι γόνον] l. a. φθίσθαι (sic U²) δόμον.
742 φίλη τροφὸς G F P H] περίφρων M. || Εὐρυκλέεια § 73] -κλεια mss.
743 νύμφα] cf. Γ 130.
744 ἢ] absurde quidam apud Herodianum ἣ ἔα (*quae eram*), sic H². || ἔα’ § 191] ἔα mss.
745 ’Ϝείδε’ § 160] ᾔδε’ mss. (οἶδ’ F).
746 ἐμοὶ Menrad coll. X 119] ἐμεῦ mss.; cf. § 92. An *μέγαν δ’ ἕλεθ’ ὅρκον ἐμεῖο?
747 γε P] τε mss. pleraque.
749 κεν § 326] ἂν mss.
752 εὔχε’] integra h. l. extat forma; cf. § 117.
753 σαώσῃ] -σαι mss. pleraque; cf. γ 231.
754 κάκου κεκακωμένον] ingratum est κ quinquies repetitum; cf. tamen Ε 698.

πάγχυ θεοῖς μακάρεσσι γονὴν Ἀρκεσσιάδαο
ἐχθέσθ’, ἀλλ’ ἔτι πού τις ἐπέσσεται, ὅς κεν ἔχῃσι
δώματά θ’ ὑψόροφα καὶ ἀπόπροθι πίονας ἀγρούς.“ 757ᵇ cf. Ψ 832
ὣς ’φάτο· τῆς δ’ ηὔνησε χόλον, ’σχέθε δ’ ὄσσε γόοιο.
ἡ δ’ ὑδρηναμένη, καθαρὰ χροῒ Ϝείμαθ’ ἑλοῦσα, 759 sq. cf. 750 sq.
εἰς ὑπερῷ’ ἀνέβαινε σὺν ἀμφιπόλοισι γυναιξί, 759 = ρ 58
ἐν δ’ ἔθετ’ οὐλοχύτας κανέῳ, ἠρᾶτο δ’ Ἀθήνῃ·
„κλῦθί μοι, αἰγιόχοιο Διὸς τέκος, ἀτρυτώνη· 762 = Ε 115
εἴ ποτέ τοι πολύμητις ἐνὶ μεγάροισιν Ὀδυσσεὺς
ἢ βοὸς ἢ ὄιος κατὰ πίονα μηρί’ ἔκηε, 764 cf. Ο 373
τῶν νῦν μοι μνῆσαι καί μοι φίλον υἷα σάωσον,
μνηστῆρας δ’ ἀπάλαλκε κακῶς ὑπερηνορέοντας.“ 766 cf. β 266
ὣς Ϝειποῦσ’ ὀλόλυξε, θεὰ δέ Ϝοι ἔκλυεν ἀρῆς.
μνηστῆρες δ’ ὁμάδησαν ἀνὰ μέγαρα σκιόεντα· 768 = α 365
ὧδε δέ τις ’Ϝείπεσκε νέων ὑπερηνορεόντων· 769 = β 324
„ἦ μάλα δὴ γάμον ἧμι πολυμνήστη βασίλεια
ἀρτύει, οὐδέ τι Ϝοῖδεν ὃ Ϝῷ φόνος υἷι τέτυκται.“
ὣς ἄρα τις ’Ϝείπεσκε· τὰ δ’ οὐ ’Ϝίσαν ὡς ἐτέτυκτο. 772 = ν 170 ψ 152
τοῖσιν δ’ Ἀντίνοος ἀγορήσατο καὶ μετέϜειπε· 773 cf. ν 171
„δαιμόνιοι, μύθους μὲν ὑπερφιάλους ἀλέασθε
πάντες ὁμῶς, μή πού τις ἀπαγγείλῃσι καὶ εἴσω.
ἀλλ’ ἄγε σιγῇ τοῖον ἀναστάντες τελέωμεν
μῦθον, ὃ δὴ καὶ πᾶσιν ἐνὶ φρεσὶν ἤραρεν ἧμιν.“
ὣς Ϝειπὼν ἐκρίνατ’ ἐϜείκοσι φῶτας ἀρίστους· 778 cf. 530
’βὰν δ’ ἴμεναι ἐπὶ νῆα θοὴν καὶ θῖνα θαλάσσης. 779ᵇ = κ 154, 402, 407 etc.

755 θεοῖς] pro -οῖσι novicium, cf. § 60. Nauck τῶς μακάρεσσι θεοῖσι; an *πάγχυ θεοῖσι μάκαρσι? quae tamen dativi forma non extat. || Ἀρκεσσιάδαο G] Ἀρκεισιάδαο mss. pleraque. Redit patronymicum ω 270, 517, a nomine proprio Ἀρκέσσιος (Ἀρκείσιος) ξ 182 π 118. Iure Fick restituit sonum -εσσ- pro -εισ-; vid. Ἀκεσσαμενός Φ 142 et ad Ζ 18.
757 *ὑψόροφα] ὑψερεφέα (ὑψηρεφέα) mss.; qualis synizesis sive contractio (-φῆ mavult Cauer) minime requirebatur (cf. § 73), quoniam et longior linguaeque legibus melius accommodata (§ 21) forma adiectivi ὑψηρεφής in usu erat (Ι 582 h. Merc. 23), et forma ὑψόροφος (vid. Γ 423 δ 121 κ 474 etc.).
758 χόλον Bentley] γόον mss., quod ante γόοιο ferri nequit; vHerwerden πόθον.
761 οὐλοχύτας] vid. ad Α 449.
762 μοι] μευ (i. e. με’, § 92) P K. Vid. δ 767 et ad Ε 115.
767 ὀλόλυξε] vid. ad γ 450.
770 ἧμι § 92] ἄμμι mss.
771 Ϝῷ vHerwerden] οἱ mss.; cf. Σ 458 β 50.
774 ἀλέασθε] ἀλέεσθε F¹ M.
775 πάντες Bentley] πάντας mss. || ἀπαγγείλῃσι ... εἴσω] cf. Ω 145.
776 τοῖον] vid. ad α 209.
777 ἤραρεν] l. a. εὔαδεν. Cf. Π 214.
779 ἴμεναι § 125] ἰέναι mss.

νῆα μὲν οὖν πάμπρωτον ἁλὸς βένθοσδ' ἐϜέρυσσαν, 780 cf. ϑ 51 / 780^{a} cf. κ 403
ἐν δ' ἱστόν τ' ἐτίθεντο καὶ ἱστία νηὶ μελαίνῃ, 781-783 = ϑ 52 / 781 cf. 578 [sqq.
782 ἠρτύναντο δ' ἐρετμὰ τροποῖσ' ἓν δερματίνοισι,
784 τεύχεα δέ σφ' ἤνεικαν ὑπέρθυμοι θεράποντες. 784 cf. π 326, 360
ὑψόθι δ' ἐν νοτίῳ τήν γ' ὥρμισαν, ἐκ δ' ἔβαν αὐτοί· 785^{a} = ϑ 55 cf. / 785^{b} cf. γ 11 [Ξ 77
ἔνθα δὲ δόρπον ἕλοντο, 'μένον δ' ἐπὶ Ϝέσπερον ἐλθεῖν.
ἡ δ' ὑπερωίῳ αὖθι περίφρων Πηνελόπεια
'κεῖτ' ἄρ' ἄσιτος ἄπαστος ἐδητύος ἠδὲ ποτῆτος,
ὁρμαίνουσ', ἤ Ϝοι θάνατον φύγοι υἱὸς ἀμύμων 789^{a} cf. ο 300
ἦ ὅ γ' ὑπὸ μνηστῆρσιν ὑπερφιάλοισι δαμείη.
ὅσσα δ' ἐμερμήριξε λέων ἀνδρῶν ἐν ὁμίλῳ
δϜείσας, ὁππότε μιν δόλιον περὶ κύκλον ἄγωσι,
τόσσα μιν ὁρμαίνουσαν ἐπήλυθε Ϝήδυμος ὕπνος· 793^{b} = μ 311
ηὗδε δ' ἀνακλινθεῖσα, 'λύθεν δέ Ϝοι ἅψεα πάντα. 794 = σ 189
ἔνθ' αὖτ' ἄλλ' ἐνόησε θεὰ γλαυκῶπις Ἀθήνη· 795 = β 382
Ϝείδωλον 'ποίησε, δέμας δ' ἐϜέϜικτο γυναικί, 796^{b} = ν 288 π 157 υ 31
'Ιφθίμῃ κούρῃ μεγαλήτορος 'Ικαρίοιο,

783 πάντα κατὰ μοῖραν, ἀνά θ' ἱστία λεύκ' ἐπέτασσαν. 783^{b} = Α 480 cf. κ 506

780 οὖν] ἄρ G^{1} mss. alia. ‖ πάμπρωτον] -τα? vid. ad vs. 577.

782 τροποῖσ' ... δερματίνοισι] vocabula nonnisi loco parallelo redeunt. Attice dicitur τροπωτήρ (Ar. Ach. 549), cf. τροποῦσθαι Ar. Ach. 553 Aesch. Pers. 376, et vid. ad β 419.

783] versum ineptum om. G P H mss. alia, non legit Eust.; Aristarcheis ignotum fuisse censet Ludwich. Vela non ante inceptum iter panduntur, nec nisi vento secundo; cf. Α 480 ε 269 ι 77 κ 506 μ 402. Redit tamen versus loco parallelo. ‖ λεύκ' ἐπέτασσαν] λευκὰ π. mss. pleraque.

784] damnat G. ‖ τεύχεα] navis instrumenta, item ο 218. Arma intellegunt alii (vid. ad Θ 55). ‖ σφ' ἤνεικαν] σφιν ἔνεικαν F Z. ‖ ὑπέρθυμοι] ὑπερφίαλοι G^{1}.

785 ὑψόθι § 322] ὑψοῦ mss.; an *ὕψι δ' ἐνὶ? De adverbii sensu vid. ad Ξ 77. ‖ ἐν νοτίῳ] εἰνοδίῳ aut ἐννοδίῳ Aristoph., item ϑ 55 sensu ἐν ὁδῷ, si fides scholio; εἰνόδιον Aristophani tribuit Lehrs Aristarch.[2] p. 129, ἐννοδίῳ sensu ἀγκυροβολίῳ Buttmann Nauck (Arist. Byz. p. 45) coll. Hesych. s. v. ‖ νοτίῳ] vid. ad Θ 307. ‖ ἐκ] ἐν D mss. alia.

786 δ'] LaRoche τ'.

787 ὑπερωίῳ αὖθι] ὑπερῷ' ἀναβᾶσα M mss. alia.

788 ἄσιτος] †, ἄναυδος (ut ε 456 κ 378) Rhianus, quod praefert Didymus. Naber coniecit ἄυπνος.

789 ἤ] εἴ mss.; vid. vs. 712 et § 327.

791 sqq.] paucas a diasceuasta excogitatas esse comparationes, hic autem parum feliciter ei rem cessisse, observat Kirchhoff; mulier imbellis, quam inter aerumnas lacrimantem somnus opprimit, cum leone inepte comparatur. Locum, quocum conferri potest υ 14-16, egregia doctrina defendere frustra conatus est Nitzsch.

792 ἄγωσι] ἄγουσι H.

793 μιν] vid. ad Θ 487. ‖ ἐπήλυθε] ἐπέλλαβε ed. Flor., cf. κ 31 ν 282. ‖ -θε Ϝήδυμος § 41] -θεν ἥδυμος P^{2}, -θε νήδυμος mss. cetera.

794 ἅψεα] *artus*; vox nonnisi versu par. redit; cf. adi. λυσιμελής υ 57 ψ 343.

796 ἐϜέϜικτο § 160] ἤικτο mss. ‖ In P D subiungitur καλῇ τε μεγάλῃ τε καὶ ἀγλαὰ ἔργ' εἰδυίῃ (= ν 289).

797 'Ιφθίμῃ] num proprium esset nomen iure dubitabat Ar., vid. ο 364 et ad Α 99.

τὴν Εὔμηλος ὄπυιε Φερῇσ' ἔνι Ϝοικία ναίων.
'πέμπε δέ μιν πρὸς δώματ' Ὀδυσσῆος θείοιο,
ἧος Πηνελόπειαν ὀδυρομένην γοάουσαν
παύσειε κλαυθμοῖο γόοιό τε δακρυόεντος. 801 cf. ϱ 8 ω 323
εἰς θάλαμον δ' εἰσῆλθε παρὰ κληῖδος ἱμάντα,
'στῆ δ' ἄρ' ὑπὲρ κεφαλῆς καί μιν πρὸς μῦθον ἔϜειπε· 803 = Ψ 68
„εὕδεις, Πηνελόπεια, φίλον τετιημένη ἦτορ;
οὐ μέν σ' οὐδ' ἐάουσι θεοὶ ῥεῖα ζώοντες 805^{a} cf. Τ 295 / 805^{b} = Ζ 138
κλαιέμεν' οὐδ' ἀκαχῆσθαι, ἐπεί ῥ' ἔτι νόστιμός ἐστι 806^{b} cf. τ 85 υ 333
σὸς πάις· οὐ μὲν γάρ τι θεοῖσ' ἀλιτήμενός ἐστι.“
τὴν δ' ἠμείβετ' ἔπειτα περίφρων Πηνελόπεια
Ϝηδὺ μάλα κνώσσουσ' ἐν ὀνειρείῃσι πύλῃσι·
„τίπτε, κασιγνήτη, δεῦρ' ἤλυθες; οὔ τι πάρος γε
πωλέε', ὡς μάλα πολλὸν ἀπόπροθι δώματα ναίεις.
καὶ κέλεαι παύσασθαι ὀιζύος ἠδ' ὀδυνάων
πολλέων, αἵ μ' ἐρέθουσι κατὰ φρένα καὶ κατὰ θυμόν·
ἣ πρὶν μὲν πόσιν ἐσθλὸν ἀπώλεσα θυμολέοντα, 814-816 = 724 sqq.
παντοίῃσ' ἀρετῇσι κεκασμένον ἐν Δαναοῖσι
ἐσθλόν, τοῦ κλέος εὐρὺ καθ' Ἑλλάδα καὶ μέσον Ἄργος·
νῦν αὖ παῖς ἀγαπητὸς ἔβη κοίλης ἐπὶ νηός, 817^{a} cf. 727
νήπιος, οὔτε πόνων εὖ Ϝειδὼς οὔτ' ἀγοράων· 818 cf. Ι 440 sq.^{a}
τοῦ δὴ ἐγὼ καὶ μᾶλλον ὀδύρομαι ἤ περ ἐκείνου.

816 Ar. —

Hemsterhuis temptabat Μέδῃ δ' ..., | ἰφθίμῃ, coll. Asii versu quem afferunt scholia: κοῦραί τ' 'Ικαρίοιο Μέδη καὶ Πηνελόπεια. At sic ferri non posset γυναικί. ‖ 'Ικαρίοιο] neglecto Ϝ; *μεγαθύμου Ϝικ.?

800 ἧος § 323] εἵως mss. pleraque, εἴ πως F Y^{2} n, ὅπως (D) S q. Vim finalem (= ἵνα) particula ἧος etiam ε 386 ζ 80 ι 376 τ 367 habet. ‖ γοάουσαν § 191] γοόωσαν mss.

802 παρὰ κληῖδος ἱμάντα] per tenuissimum igitur foramen insinuasse se dicitur imago; cf. α 442. Eadem via discedit δ 838; vid. etiam ad ζ 20.

805 οὐδ' ἐάουσι § 191] οὐδὲ ἐῶσι mss. hiatu vitioso.

806 κλαιέμεν' § 125] -ειν mss.

807 θεοῖσ'] πάις G. ‖ ἀλιτήμενος] cf. § 195.

809 κνώσσουσ'] †. ‖ ἐν ὀνειρείῃσι πύλῃσι] i. e. ἐν ὀνείρῳ; τ 562 huc non facit. ‖ ὀνειρείῃσι] †.

811 πωλέε' § 117] πωλέαι vel πώλεαι (πώλε' D, πώλαι F^{1}) mss. vitio manifesto; cf. β 202. ‖ ὡς Nauck] ἐπεὶ mss.; nos tentavimus *πωλέε'· ἦ vel *πωλέεαι, ἐπεὶ ἦ μάλ' ἀπόπροθι. ‖ πολλὸν ἀπόπροθι] cf. Ψ 832; deest πολλὸν locis unde diasceuasta nostrum versum duxisse videtur, ε 80 ι 18.

812 κέλεαι Ernesti] με κέλεαι mss.; vid. § 117 et ad Ω 434.

813 πολλέων] novicium pro πολλάων, vid. § 56; ecquid *αἳ πολλαί μ' ἐρέθουσι?

816] vid. ad Ι 447 α 344.

817 νῦν] νῦν δ' M mss. alia.

818 οὔτε πόνων] οὐ πολέμου Naber coll. Λ 490 sq. Ι 438 sqq. etc.

819] del. Hartman. ‖ ἐκείνου] novicium

τοῦ δ' ἀμφιτρομέω καὶ δέδϝια μή τι πάθησι,
ἢ ὅ γε τῶν ἐνὶ δήμῳ ἵν' οἴχεται, ἢ ἐνὶ πόντῳ·
δυσμενέες γὰρ πολλοὶ ἐπ' αὐτῷ μηχανάονται,
ϝιέμενοι κτεῖναι πρὶν πατρίδα γαῖαν ἱκέσθαι."
  τὴν δ' ἀπαμειβόμενον προσέφη ϝείδωλον ἀμαυρόν·
„θάρσεε, μηδέ τι πάγχυ μετὰ φρεσὶ δέδϝιθι λίην·
τοίη γάρ ϝοι πομπὸς ἅμ' ἕσπετο, ἥν τε καὶ ἄλλοι
ἀνέρες ἠρήσαντο παρεστάμεναι, — δύναται γάρ, —
Παλλὰς Ἀθηναίη· σὲ δ' ὀδυρομένην ἐλεαίρει·
ἣ νῦν με προέηκε τεῒν τάδε μυθήσασθαι."
  τὴν δ' αὖτε προσέϝειπε περίφρων Πηνελόπεια·
„εἰ μὲν δὴ θεός ἐσσι θεοῖό τε ἔκλυες αὐδὴν,
εἶ' ἄγε μοι καὶ κεῖνον ὀιζυρὸν κατάλεξον,
ἤ ποθ' ἔτι ζώει καὶ ὁρᾷ φάος ἠελίοιο
ἦ ἤδη τέθνηκε καὶ ἐν Ἀϝίδαο δόμοισι."
  τὴν δ' ἀπαμειβόμενον προσέφη ϝείδωλον ἀμαυρόν·
„οὐ μέν τοι κεῖνόν γε διηνεκέως ἀγορεύσω,
ζώει ὅ γ' ἢ τέθνηκε· κακὸν δ' ἀνεμώλια βάζειν."
  ὣς ϝειπὸν σταθμοῖο παρὰ κληῖδ' ἐλιάσθη
εἰς πνοιὰς ἀνέμων. ἡ δ' ἐξ ὕπνοι' ἀνόρουσε
κούρη Ϝικαρίοιο· φίλον δέ ϝοι ἦτορ ἰάνθη,
ὥς ϝοι ἐναργὲς ὄνειρον ἐπέσσυτο νυκτὸς ἀμολγῷ.

820^{b} = Λ 470^{a}
823 = ν 426 ο 30
824 = 835
825 cf. h. Ven. 194
826^{a} cf. Ω 153
827^{b} cf. ε 25
829^{b} = Λ 201
833 sq. = υ 207 sq.
833 = ξ 44
833^{a} cf. Τ 327
833^{b} = Σ 61
834 = ω 264 cf. Χ [52
835 = 824
836^{b} = μ 56 cf. η [241
837 = λ 464
837^{a} = β 132

pro κείνου, cf. § 97; *ἠέ περ ἀνδρός (vel αὐτοῦ)? vid. Α 260 Δ 319 Π 688 ρ 417 etc. Nisi diasceuastae hoc est vitium (vid. ad δ 613 sqq.).

820 ἀμφιτρομέω] comp. † (simplex Η 151 etc.).

822 sq.] del. Hartman.

822 *πολλοὶ] πολλὰ? verbum enim μηχανᾶσθαι nonnisi hoc loco absolute usurpatur. ‖ ἐπ' αὐτῷ] verbo μηχανᾶσθαι insolite additur. ‖ μηχανάονται § 191] μηχανόωνται (μηχανόωσι(ν) F^{1} H^{1}) mss.

823 κτεῖναι] κτάμεναι?

824 ἀμαυρόν] adiectivum nonnisi vs. 835 redit.

825 θάρσεε § 191] θάρσει mss. ‖ μετὰ] ἐνὶ Nauck.

826 ἕσπετο Nauck] ἕσπεται G P T W n mss. alia (ἔσσεται Y, ἕπεται D), ἔρχεται F H M mss. alia. Cf. Ω 182.

827 δύναται γάρ] καὶ ἀμύνειν P (ut legitur Ο 255 Ρ 563).

828 Παλλὰς Ἀθηναίη] Παλλάδ' Ἀθηναίην P^{1}.

831 εἰ ... δὴ] vid. ad Α 61. ‖ θεοῖό τε] θεοῦ (sic F^{1}) τέ τιν' Grashof coll. ξ 89. ‖ αὐδὴν G P] αὐδῆς mss. pleraque. Cf. Ν 757 Ο 270 β 297 ξ 89.

832 εἶ' § 328] εἰ δ' mss. ‖ καὶ κεῖνον] κἀκεῖνον mss. complura, cf. § 9 et 97.

833 ἤ § 327] εἴ mss.; vid. vs. 712. ‖ ποθ' § 322] που mss.

834 ἐν § 315] εἰν mss.

835 ἀμαυρόν] cf. vs. 824.

838 ϝειπὸν] εἰπὼν G^{2} F^{1} P mss. alia vitio aperto. ‖ κληῖδ' ἐλιάσθη q] -δα λιάσθη mss. cett. — De re vid. ad vs. 802.

839 ἀνέμων] -μου P^{1} W. ‖ ὕπνοι' § 59] ὕπνου mss.

840 δέ] τέ G mss. alia.

841] del. PKnight. ‖ ὄνειρον] neutrum

  μνηστῆρες δ' ἀναβάντες ἐπέπλεον ὑγρὰ κέλευθα,
Τηλεμάχῳ φόνον αἰπὺν ἐνὶ φρεσὶν ὁρμαίνοντες.
ἔστι δέ τις νῆσος μέσσῃ ἁλὶ πετρήεσσα
μεσσηγὺς Ἰθάκης τε Σάμοιό τε παιπαλοέσσης,
Ἀστερίς, οὐ μεγάλη· λιμένες δ' ἔνι ναύλοχοι αὐτῇ
ἀμφίδυμοι· τῇ τόν γ' ἔμενον λοχάοντες Ἀχαιοί.

842 cf. Δ 312
843 cf. h. Merc. 66
845 cf. Ν 33 Ω 78 δ 671

genus † (masc. Β 16 Ε 150 etc.); vid. tamen ad υ 87. ‖ νυκτὸς ἀμολγῷ] cf. Λ 173.

843 αἰπὺν] cf. α 11. ‖ ὁρμαίνοντες] l. a. ἔχοντες (? — „ἦσιν ἔχοντες?" Ludwich).

844-847] insula media inter Ithacam et Cephalleniam etiamnunc sita est; *Dascalion* vocatur. Portum duplicem non habet, sed forsitan olim habuerit, cf. Strab. II p. 356. — Etiam Phaeacum urbi duo tribuuntur portus ζ 263.

845 Σάμοιο] vid. ad α 246.

846 αὐτῇ] αὐτῆς H. Pronominis usus novicius.

847 ἀμφίδυμοι] †, cf. δίδυμοι Ψ 641 τ 227, διδυμάονε Ε 548 etc. ‖ λοχάοντες § 191] λοχόωντες mss.

ΟΔΥΣΣΕΙΑΣ ε.

Καλυψοῦς ἄντρον (vs. 1—227). — *Ὀδυσσέως σχεδία* (vs. 228 sqq.).

Ἠὼς δ᾽ ἐκ λεχέων παρ᾽ ἀγαυοῦ Τιθωνοῖο 1 sq. = Λ 1 sq.
ὤρνυθ᾽, ἵν᾽ ἀθανάτοισι φάος φέροι ἠδὲ βροτοῖσι.
οἱ δὲ θεοὶ θῶκόνδε καθίζανον, ἐν δ᾽ ἄρα τοῖσι
Ζεὺς ὑψιβρεμέτης, οὗ τε κράτος ἐστὶ μέγιστον. 4^{b} cf. Β 118 α 70
τοῖσι δ᾽ Ἀθηναίη ᾽λέγε κήδεα πόλλ᾽ Ὀδυσῆος
μνησαμένη, ᾽μέλε γάρ ϝοι ἐὼν ἐν δώμασι νύμφης· [377
„Ζεῦ πάτερ ἠδ᾽ ἄλλοι μάκαρες θεοὶ αἰὲν ἐόντες, 7 = ϑ 306 μ 371, 7^{b} = Ω 99
μή τις ἔτι πρόφρων ἀγανὸς καὶ ἤπιος ἔστω 8-12 = β 230 sqq.
σκηπτόοχος βασιλεὺς μηδὲ φρεσὶν αἴσιμα ϝειδὼς,
ἀλλ᾽ αἰεὶ χαλεπός τ᾽ εἴη καὶ αἴσυλα ῥέζοι·
ὡς οὔ τις μέμνηται Ὀδυσσῆος θείοιο
λαῶν, οἷσ᾽ ἐϝάνασσε, πατὴρ δ᾽ ὣς ἤπιος ἦεν.
ἀλλ᾽ ὃ μὲν ἐν νήσῳ κεῖται κρατέρ᾽ ἄλγεα πάσχων, 13 cf. Β 721
νύμφης ἐν μεγάροισι Καλυψόος, ἥ μιν ἀνάγκη 14-17 = δ 557 sqq.

13 Ar. —

1-27] hos quoque versus, qui centonis fere instar sunt, adiecit diasceuasta, qui Odysseae inseruit iter Telemachi (vid. ad α 88 sqq. et δ 613 sqq.). Bentley del. vs. 1-43, deinde *Ἑρμείας δ᾽* legens vs. 44; Bergk vs. 1-50, KLKayser vs. 1-38.

2 *φάος* Y^1 l] *φόος* G P^1 H^1, *φόως* mss. pleraque. ‖ *φέροι*] *φέρῃ* mss. complura.

5 *᾽λέγε*] *enumerabat*, cf. § 306.

6] del. Lehrs.

7] veteribus suspectus? cf. Didym.

8-12] vid. ad β 230-234.

13 *κρατέρ᾽ ἄλγεα πάσχων*] de Philocteta Β 721 multo aptius haec dici (vid. etiam ε 395), hoc vero loco *τετιημένον ἦτορ* potius dicendum fuisse, verissime observat Aristonicus ex Ar. sententia.

14 *Καλυψόος* § 77] *-ψοῦς* mss.

ἴσχει· ὃ δ᾽ οὐ δύναται ϝὴν πατρίδα γαῖαν ἱκέσθαι.
οὐ γάρ ϝοι πάρα νῆες ἐπήρετμοι καὶ ἑταῖροι,
οἵ κέν μιν πέμποιεν ἐπ᾽ εὐρέα νῶτα θαλάσσης.
νῦν αὖ παῖδ᾽ ἀγαπητὸν ἀποκτεῖναι μεμάασι 18^{a} = δ 727
ϝοίκαδε νισσόμενον· ὃ δ᾽ ἔβη μετὰ πατρὸς ἀκουὴν 19 sq. = δ 701 sq.
εἰς Πύλον ἠγαθέην ἠδ᾽ εἰς Λακεδαίμονα δῖαν."
τὴν δ᾽ ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς· 21 sq. = α 63 sq.
„τέκνον ἐμὸν, ποῖόν σε ϝέπος ᾽φύγεν ἕρκος ὀδόντων;
οὐ γὰρ δὴ τοῦτον μὲν ἐβούλευσας νόον αὐτὴ, 23 sq. = ω 479 sq.
ὡς ἦ τοι κείνους Ὀδυσεὺς ἀποτίσεται ἐλθών;
Τηλέμαχον δὲ σὺ πέμψον ἐπισταμένως, — δύνασαι γάρ, — 25^{b} cf. δ 827
ὥς κε μάλ᾽ ἀσκηθὴς ϝὴν πατρίδα γαῖαν ἵκηται, 26 = 144 cf. 168 ι 79
μνηστῆρες δ᾽ ἐν νηὶ παλιμπετὲς ἀπονέωνται."
ἦ ῥα, καὶ Ἑρμείαν, υἱὸν φίλον, ἀντίον ηὔδα· 28^{b} = Ω 333
„Ἑρμεία, — σὺ γὰρ αὖτε τά τ᾽ ἄλλα περ ἄγγελός ἐσσι, —
νύμφῃ ἐυπλοκάμῳ ϝειπεῖν νημερτέα βουλὴν, 30 cf. α 86
νόστον Ὀδυσσῆος ταλασίφρονος, ὥς κε νέηται 31 = α 87
οὔτε θεῶν πομπῇ οὔτε θνητῶν ἀνθρώπων·
ἀλλ᾽ ὅ γ᾽ ἐπὶ σχεδίης πολυδέσμου πήματα πάσχων
ἤματι ϝεικοστῷ Σχερίην ἐρίβωλον ἵκοιτο, 34 cf. Ι 363
Φαιήκων εἰς γαῖαν, οἳ ἀγχίθεοι γεγάασι· 35 = τ 279

18 *νῦν*] *νῦν δ᾽* D mss. alia. ‖ *ἀποκτεῖναι*] *ἀποκτάμεναι*?

19 *ἀκουὴν*] vid. ad β 308.

20 *ἠγαθέην*] *ἠμαθίην* Rhianus, cf. β 308. De sono *ἠ-* vid. § 21.

23 *μὲν*] Nauck *γε*.

27 *παλιμπετὲς*] cf. Π 395. ‖ *ἀπονέωνται*] *-οντναι* F P^2 mss. alia. De producta syllaba *ἀ-* vid. § 21.

28 *ἦ ῥα, καὶ*] *αἶψα δ᾽ ἄρ᾽* legitur versu parallelo, quod hic quoque genuinum ratus Kirchhoff suspicatur ipsum poetam, ut versui α 87 hunc locum subiungeret (vid. ad α 88 sqq.), haec fere dedisse: *ὣς ἔφατ᾽, οὐδ᾽ ἀπίθησε πατὴρ ἀνδρῶν τε θεῶν τε* (cf. Δ 68 Π 458), | *αἶψα δ᾽ ἄρ᾽ Ἑρμείαν* etc. ‖ *υἱὸν φίλον*] *φίλον υἱὸν* F^2 H M mss. alia; vid. Ω 333 et de accusativo ad Μ 60.

29 *τά τ᾽*] **καὶ*? ‖ *ἄγγελος*] in Odyssea deorum mandata perfert *Mercurius*, in Iliade (excepto loco Ω 333 sqq.) *Iris*.

32-42] del. Duentzer; Kirchhoff versus 32-40 aut diasceuastae aut interpolatori tribuit, versum 41 e duobus versibus (= ε 113 sq.) decurtatum esse ratus.

33 *πολυδέσμου*] *-σμοο*? cf. § 59. Adi. redit η 264.

34 *εἰκοστῷ* Eust. et lectio vulgata apud Didymum] *γ᾽ εἰκοστῷ* M K, *κ᾽ εἰκοστῷ* mss. cetera (cf. Ι 363); fortasse verum est **ἤματ᾽ ἐϝεικοστῷ*. ‖ *Σχερίην*] fabulosae regionis nomen redit ζ 8 η 79 ν 160, non liquet autem sitne insula intellegenda (cf. ζ 204) an ora terrae firmae; *Corcyram* designari credebant posteri, cf. schol. Apoll. Rhod. IV 983; cuius opinionis, manifesto falsae et ab Aristarcho reiectae, testis antiquissimus est Thucydides (I 25 III 70). Vid. ad ζ 263 sqq. ν 163. ‖ *ἵκοιτο*] optativus purus imperativi loco adhibitus; cf. Υ 120 sqq. δ 735 ο 24 ω 491 etc.

35 *Φαιήκων*] gentile h. l. primum obvium

οἵ κέν μιν περὶ κῆρι θεὸν ὣς τιμήσωσι,
πέμψωσιν δ' ἐν νηὶ φίλην εἰς πατρίδα γαῖαν,
χαλκόν τε χρυσόν τε ϝάλις ϝεσθῆτά τε δόντες
πόλλ', ὅσα κ' οὐδέ ποτε Τροίης ἒξ ἤρετ' Ὀδυσσεὺς,
40 εἴ περ ἀπήμων ἦλθε λαχὼν ἀπὸ ληίδος αἶσαν.
ὣς γάρ ϝοι μοῖρ' ἐστὶ φίλους ϝιδέμεν καὶ ἱκέσθαι
ϝοῖκον ἒς ὑψόροφον καὶ ἑϝὴν εἰς πατρίδα γαῖαν."
ὣς ἔφατ', οὐδ' ἀπίθησε διάκτορος Ἀργεϊφόντης.
αὐτίκ' ἔπειθ' ὑπὸ ποσσὶν ἐδήσατο καλὰ πέδιλα
45 ἀμβρόσια χρύσεια, τά μιν φέρει ἠμὲν ἐφ' ὑγρὴν
46 ἠδ' ἐπ' ἀπείρονα γαῖαν ἅμα πνοιῇσ' ἀνέμοιο·
50 Πιερίην δ' ἐπιβὰς ἐξ αἰθέρος ἔμπεσε πόντῳ·
'σεύατ' ἔπειτ' ἐπὶ κῦμα λάρῳ ὄρνιθι ϝεϝοικὼς,
ὅς τε κατὰ δϝεινοὺς κόλπους ἁλὸς ἀτρυγέτοιο
53 ἰχθῦς ἀγρώσσων πυκινὰ πτερὰ δεύεται ἅλμῃ.

36 sq. cf. ψ 339 sq.
36 cf. *I* 155 ɛ 2ʷ0
37 cf. ξ 333
38 = ψ 341 cf. ν 136
39 sq. = ν 137 sq.
40ᵇ cf. Σ 327
41 sq. cf. ι 532 sq.
41 cf. 114
41ᵇ = δ 475
42 = 115 cf. δ 476
43-46 = Ω 339 sqq.
50ᵃ cf. Ξ 226
47-49 = Ω 343 sqq.

47 εἵλετο δὲ ῥάβδον, τῇ τ' ἀνδρῶν ὄμματα θέλγει
ὧν ἐθέλῃ, τοὺς δ' αὖτε καὶ ὑπνώοντας ἐγείρει·
τὴν μετὰ χερσὶν ἔχων 'πέτετο κρατὺς Ἀργεϊφόντης.
54 τῷ ϝίκελο; πολέεσσιν ὀχήσατο κύμασιν Ἑρμῆς.
54 Ar. — (vid. Ludwich Ar. I p. 550 sq.)

ab adiectivo φαιός *furvus* repetens Welcker interpretatus est *mortis portitores*, qui defunctos avehant; cui assensus Seeck ex antiquo mytho solari, qui Ulixis erroribus substructus est (vid. ad λ 565 sqq. μ 3, 127 ο 404), nomen remansisse arbitratur. Alii ad radicem φαϝ referunt. || ἀγχίθεοι] adi. redit τ 279 h. Ven. 201. De re cf. η 205 ɛ 378.

36 sq. τιμήσωσι, πέμψωσιν] τιμήσουσι, πέμψουσιν mss., cf. § 122.

39 sq.] del. Nitzsch.

39 ὅσα κ' § 326] ὅσ' ἂν mss. || ποτε] ποτ' ἐκ M mss. alia. || ἒξ ἤρετ' § 284] ἐξήρατο (vel ἐξήρατο) mss.

41 ϝιδέμεν § 126] τ' ἰδέειν mss.

42 ἑϝὴν] ἣν F¹ U.

45 φέρει Naber] φέρον Ar. (schol. Ω 341) et mss. pleraque, φέρεν (P¹?) Y et olim alii; cf. vs. parall. et *E* 729, 746.

47-49] e libro Ω huc invectos esse intellexerunt veteres nonnulli, quibus frustra obloquitur schol.; versum 48 om. F¹. Iliadis l. l. utilissimus Mercurio est caduceus ad somnum moderandum, nunc vero non requiritur. Cf. α 99-101. — Vergilius Aen. IV 245, ubi presse sequitur Homerum, Mercurium virga ceu remo ad tranganda nubila uti parum eleganter finxit.

48 ἐθέλῃ M (?)] -λει Ar. mss. cett.; cf. versus parall. || ὑπνώοντας] cf. § 190.

50-54] cf. Verg. Aen. IV 253-255.

50] nonnulli olim damnasse videntur, Aristarchus defendisse; vid. Ludwich Arist. I p. 551. De re cf. Δ 75-79 Ω 180. || ἔμπεσε πόντῳ] ἵκετο πόντον G.

51 λάρῳ...ϝεϝοικὼς] *ceu larus esset*; vid. ad *H* 59 χ 240. Vox λάρος †.

53 ἀγρώσσων] †, cf. ἀγρέω *E* 765 etc.; cum verbi exitu insolito cf. τιθαιβώσσειν ν 106.

54 πολέεσσιν] πολιοῖσιν Naber. || ὀχήσατο] *vehendi* verbum iure vituperavit Aristarchus, tardius enim adventurum fuisse deum si non talarium velocitate usus sed fluctibus innatans iter faceret. Melius Vergilius Aen. IV 255: *humilis volat aequora iuxta*. Homerus tamen non volantem (vid. ad Θ 398) sed longis gressibus super fluctuum cacumina incedentem (cf. *N* 20) deum finxit. ||

55 ἀλλ' ὅτε δὴ τὴν νῆσον ἀφίκετο τηλόθ' ἐοῦσαν,
ἔνθ' ἐκ πόντου βὰς ϝιοϝειδέος ἤπειρόνδε
ἤιεν, ὄφρα μέγα σπέος ἵκετο, τῷ ἔνι νύμφη
'ναῖεν ἐυπλόκαμος· τὴν δ' ἔνδοθι 'τέτμεν ἐοῦσαν.
πῦρ μὲν ἐπ' ἐσχαρόφιν μέγ' ἐκαίετο, τηλόσε δ' ὀδμὴ
60 κέδρου τ' εὐ κεατοῖο θύου τ' ἀνὰ νῆσον ὀδώδει
δαιομένων· ἣ δ' ἔνδον ἀοιδιάουσ' ὀπὶ καλῇ
ἱστὸν ἐποιχομένη χρυσείῃ κερκίδ' ὕφαινε.
ὕλη δὲ σπέος ἀμφὶ 'πεφύκεε τηλεθάουσα,
κλήθρη τ' αἴγειρός τε καὶ εὐώδης κυπάρισσος.
65 ἔνθα δέ τ' ὄρνιθες τανυσίπτεροι ηὐνάζοντο,
σκῶπές θ' ἴρηκές τε τανύγλωσσοί τε κορῶναι
εἰνάλιαι, τῇσίν τε θαλάσσια ϝέργα μέμηλε.
ἣ δ' αὐτοῦ 'τετάνυστο περὶ σπέεος γλαφυροῖο
ἡμερὶς ἡβάουσα, 'τεθήλεε δὲ σταφυλῇσι.
70 κρῆναι δ' ἑξείης πίσυρες 'ρέον ὕδατι λευκῷ
πλησίαι ἀλλήλων τετραμμέναι ἄλλυδις ἄλλη·

61 sq.ᵃ cf κ 221 sq.
63ᵇ cf. η 114
64ᵃ cf. 239

Ἑρμῆς] pro Ἑρμείας forma recens; cf. § 58.

58 τὴν — ἐοῦσαν] δεινὴ θεὸς αὐδήεσσα Macrob. V 12 § 8 (ex κ 136).

59 ἐσχαρόφιν] forma metaplasta redit η 169 τ 389; cf. § 46. || μέγ' ἐκαίετο] μέγα καίετο (F H) vel δαίετο (G P M) mss. || τηλόσε] τηλόθι mss. complura.

60 κέδρου] †, cf. adi. κέδρινος Ω 192. || κεατοῖο] †, *fissi*, a verbo κεάζειν (Π 347 etc.). || θύου] †, cf. τεθυωμένος (Ξ 172 etc.), θυόεις (*O* 153 etc.), θυώδης (δ 121 ɛ 264 φ 52 et saepius in hymnis). Odorum aliquod lignum (non *thus*!) significari docet contextus, Theophrastus *thuiam* intellegit, Plinius *laricem*, Macrobius *citrum*, hodierni *iuniperum*. || ὀδώδει] δρώρει F¹ U.

61 ἣ — καλῇ] l. a. νύμφη δὲ ἐυπλοκαμοῦσα Καλυψώ, in qua inauditum est -μοῦσα. || ἀοιδιάουσ' ὀπὶ] redit iterativum κ 227; ἀείδουσα ϝοπὶ PKnight. Cf. § 41²⁶.

62-73] cf. descriptio antri Naiadum ν 103-108.

62 κερκίδ'(ι)] vid. § 13 et ad *X* 448.

63 'πεφύκεε] πεφύκει mss. || τηλεθάουσα H² T] -θόωσα mss. pleraque, cf. § 191.

64 κλήθρη] *alnus* vulgaris (*glutinosa*), cf. Theophr. Hist. Plant. III 14 § 3; vox ɛ 239 redit. || κυπάρισσος] †, sed cf. *B* 519, 593 et adi. κυπαρίσσινος ρ 340.

66] del. Koechly. || σκῶπες] †. Quodnam avium genus significetur incertum; *ululas* intellexere posteriores, cf. Theocrit. I 136 Vergil. Ecl. VIII 55. Aristoteles coniecit κῶπες, vid. Athen. IX 391, Aelian. Hist. Anim. XV 28, schol. Theocrit. I 136, Lehrs Arist.² p. 42. || θ' ἴρηκες] τ' ἴρ. mss. pleraque. || τανύγλωσσοι] †, *linguam exserentes, agitantes* (cum clamant); vid. Helbig Hom. Epos¹ p. 133. || κορῶναι] nomen redit μ 418 ξ 308; aves maritimas (fortasse *phalacrocoraces*) designari ex adi. εἰνάλιαι apparet.

67] del. PKnight. || εἰνάλιαι] cf. § 44. || μέμηλε] l. a. μεμήλει.

68 ἣ δ'] ἡδ' F P² H, ἐν δ' Ernesti. || περὶ] ὑπὲρ Nauck. || σπέεος § 71] σπεῖος G¹, σπείους mss. cett.

69 ἡμερὶς] †, *vitis sativa*; cf. Aristoph. Acharn. 997. || ἡβάουσα § 190 et 191] ἡβώωσα mss. || 'τεθήλεε § 110] τεθήλει mss.

70 πίσυρες] vid. ad *O* 680. || ὕδατι λευκῷ] item Ψ 282; alibi μελάνυδροι dicuntur fontes (cf. *I* 14 sq. δ 359 etc.).

71 ἀλλήλων] novicium pro ἀλληλάων, cf. § 56; Fick ἀλλήλῃσι coll. Ψ 732 β 149, sed nihilo

ἀμφὶ δὲ λειμῶνες μαλακοὶ Ϝίου ἠδὲ σελίνου
'θήλεον. ἔνθα κ' ἔπειτα καὶ ἀθάνατός περ ἐπελθὼν
θηήσαιτο Ϝιδὼν καὶ τερφθείη φρεσὶ Ϝῇσι.
ἔνθα στὰς 'θηεῖτο διάκτορος Ἀργεϊφόντης. 75ª = η 133
αὐτὰρ ἐπεὶ δὴ πάντα ἑϜῷ 'θηήσατο θυμῷ, 76 = η 134
αὐτίκ' ἄρ' εἰς εὐρὺ σπέος ἤλυθεν· οὐδέ μιν ἄντην 77ᵇ sq.ª cf. Α 536 sq.
ἠγνοίησε Ϝιδοῦσα Καλυψὼ, δῖα θεάων·
οὐ γάρ τ' ἀγνῶτες θεοὶ ἀλλήλοισι πέλονται
ἀθάνατοι, οὐδ' εἴ τις ἀπόπροθι δώματα ναίει.
οὐδ' ἄρ' Ὀδυσσῆα μεγαλήτορα ἔνδον ἔτετμε·
ἀλλ' ὅ γ' ἐπ' ἀκτῆς 'κλαῖε καθήμενος, ἔνθα πάρος περ,
83 δάκρυσι καὶ στοναχῇσι καὶ ἄλγεσι θυμὸν ἐρέχθων. 83 = 157
85 Ἑρμείαν δ' ἐρέεινε Καλυψὼ, δῖα θεάων,
ἐν θρόνῳ ἱδρύσασα φαεινῷ σιγαλόεντι·
„τίπτε μοι, Ἑρμεία χρυσόρραπι, εἰλήλουθας, 87 cf. Ψ 94
αἰδοῖός τε φίλος τε; πάρος γε μὲν οὔ τι θαμίζεις. 88 cf. Σ 386
αὔδα ὅ τι φρονέεις· τελέσαι δέ με θυμὸς ἀνώγει, 89 sq. = Ξ 195 sq.
εἰ δύναμαι τελέσαι γε καὶ εἰ τετελεσμένον ἐστί."
92 ὣς ἄρα φωνήσασα θεὰ παρέθηκε τράπεζαν
ἀμβροσίης πλήσασα, 'κέρασσε δὲ νέκταρ ἐρυθρόν· 93ᵇ cf. Τ 38

84 πόντον ἔπ' ἀτρύγετον 'δερκέσκετο δάκρυα λείβων. 84 = 158
91 ἀλλ' ἕπεο προτέρω, ἵνα τοι πὰρ ξείνια θήω. 91 = Σ 387
84 Ar. —

minus displicet correpta syllaba τετρ- (cf. § 25), vid. praeterea Γ 115 Ζ 245, 249 μ 102; vHerwerden ἄγχ' ἀλληλάων.

72 μαλακοὶ] -κοῦ T^2 Y; fuisse qui μαλακοῖ' scriberent (cf. § 59) testatur Herodianus, sed nominativus recte habet; vid. Ξ 349. ‖ Ϝίου] σίου Ptolemaeus Euergetes teste Athenaeo II 61*c*, quod violae non gignantur in pratis (cf. *B* 776); at talia poetis negligere licet, in fabulosi praesertim loci descriptione.

73 'θήλεον] simplex † (ἀναθηλ. Α 236). Cf. § 142. ‖ καὶ . . . περ] vid. ad Ω 749.

74 θηήσαιτο] γηθήσειεν schol. μ 88, cf. Ν 344. De optativo vid. ad Δ 223.

75 διάκτορος] κρατὺς M mss. alia metro invito (ἰδὼν κρατὺς?).

77 ἄντην] αὐτὸν F^1.

79 sq.] del. PKnight.

79 ἀγνῶτες] †, sed vid. β 175.

80 εἴ] ἥ Ar. ‖ ναίει] sic Ar., alii olim ναίῃ aut ναίοι (sic G).

82 περ] γε mss. complura.

83 στοναχῇσι] sic Ar., στεναχῇσι Aristoph., ut Zen. Ω 512. ‖ ἐρέχθων] sic Ar.; redit verbum vs. 157, passivum extat Ψ 317 h. Ap. 358. Apio ἐρίχθων scribebat, ὀρεχθῶν (cf. Ψ 30) schol. Apoll. Rhod. I 275.

87-115] del. Bergk.

87 χρυσόρραπι] vox redit κ 277, 331 et in hymnis; cf. ῥάβδος.

89 αὔδα] αὔδα'? cf. § 195. ‖ ἀνώγει H^1] ἄνωγεν mss. pleraque; cf. § 225.

90 ἐστί] ἔσται k. Vid. ad Ξ 196.

91] om. mss. pleraque; propter versum 86 ferri nequit. Etiam versum praecedentem del. PKnight. ‖ θήω § 122] θείω mss.

93ᵇ] nectar, ut vinum, *affusa aqua* a diis bibitur; e *cratera* hauritur Α 598 h. Ven. 207. Nihil nisi *infundere* verbum κεράσαι hoc loco valere perperam contendit Aristoteles.

αὐτὰρ ὃ 'πῖνε καὶ ἦσθε διάκτορος Ἀργεϊφόντης. 94ª = η 177
αὐτὰρ ἐπεὶ 'δείπνησε καὶ ἤραρε θυμὸν ἐδωδῇ, 95 = ξ 111
καὶ τότε δή Ϝε Ϝέπεσσιν ἀμειβόμενος προσέϜειπε· 96 = κ 500
„εἰρωτᾷς μ' ἐλθόντα θεὰ θεόν· αὐτὰρ ἐγώ τοι
νημερτὲς τὸν μῦθον ἐνισπήσω· κέλεαι γάρ.
Ζεὺς ἐμέ γ' ἤνωγεν δεῦρ' ἐλθέμεν' οὐκ ἐθέλοντα·
τίς κε Ϝεκὼν τοσσόνδε διαδράμοι ἁλμυρὸν ὕδωρ
ἄσπετον; οὐδέ τις ἄγχι βροτῶν πόλις, οἵ τε θεοῖσι
ἱερά τε ῥέζουσι καὶ ἐξαίτους ἑκατόμβας. 102ᵇ cf. τ 366
ἀλλὰ μάλ' οὔ πως ἔστι Διὸς νόον αἰγιόχοιο 103 sq. cf. Hes. Theog. 613 Oper. [105
οὔτε παρεξελθεῖν ἄλλον θεὸν οὔθ' ἁλιῶσαι. 103 cf. 137
φησί τοι ἄνδρα παρέμμεν' ὀιζυρότατον ἄλλων, 104 = 138
106 τῶν ἀνδρῶν οἳ Ϝάστυ πέρι Πριάμοι' ἐμάχοντο.
112 τὸν νῦν σ' ἤνωγεν ἀποπεμπέμεν' ὅττι τάχιστα·
οὐ γάρ Ϝοι τῇδ' αἶσα φίλων ἄπο νόσφιν ὀλέσθαι,
ἀλλ' ἔτι Ϝοι μοῖρ' ἐστὶ φίλους Ϝιδέμεν καὶ ἱκέσθαι 114 cf. 41; 114ᵇ = δ 475

107 εἰνάϜετες, δεκάτῳ δὲ πόλιν πέρσαντες ἔβησαν 107 cf. ξ 241
Ϝοίκαδ'· ἀτὰρ ἐν νόστῳ Ἀθηναίην ἀλίτοντο,
ἥ σφιν ἐπῶρσ' ἄνεμόν τε κακὸν καὶ κύματα μακρά.
ἔνθ' ἄλλοι μὲν πάντες ἀπέφθιθεν ἐσθλοὶ ἑταῖροι, 110 sq. = 133 sq.
τὸν δ' ἄρα δεῦρ' ἄνεμός τε φέρων καὶ κῦμ' ἐπέλασσε. 110 = η 251
97 sq. Ar. — ‖ 110 sq. (et complures praecedentes) Ar. —

96 Ϝε Bentley] μιν.

97 sq.] damnabat Ar. (vid. Aristonicus et Eust., Ludwich Arist. I p. 552), insulsos iudicans, et fortasse offensus futuri forma insolita ἐνισπήσω (de qua vid. § 246).

98 νημερτὲς l] -ρτέα W, -ρτέως mss. cett.; vid. τ 269 h. Cer. 71 et § 8.

99 ἤνωγεν § 225] ἠνώγει mss.

100 κε Ϝεκὼν Bentley] δ' ἂν ἑκὼν mss.; cf. χ 12 et § 326.

101-104] del. Duentzer cum vs. 107-111 et vs. 113-115.

102 τε] om. M X mss. alia. ‖ ῥέζουσι] ῥέξουσι H^2 mss. alia.

103 sq.] del. Nauck coll. vs. 137 sq. Vid. Hes. Theog. 613 Oper. 105.

105 παρέμμεν' § 125] παρεῖναι mss. ‖ ὀιζυρότατον U] -ρώτατον mss. pleraque; vid. § 20. ‖ ἄλλων] vid. ad Α 505.

106 Πριάμοι' ἐμάχοντο] -μοιο μ. mss.; cf. § 59.

107-111] del. Duentzer, fortasse ex sententia Aristarchi, qui versus 110 sq. damnabat ut historiae repugnantes (versus 108-111 eum expunxisse censet Kirchhoff, vs. 106-111 PKnight, vs. 105-111 Mai).

107] vid. ad *B* 134. ‖ πόλιν] πάλιν P^2.

108 Ϝοίκαδ'· ἀτὰρ ἐν] οἴκαδε· αὐτὰρ F U, et addito ἐν H X D.

110 ἀπέφθιθεν] sic Ar., -θον G P^2 mss. alia. Aoristi haec forma nonnisi ε 133 η 251 ψ 331 redit; fuitne olim *ἀπεφθίατ'(ο) (ut Α 251)? cf. § 119 et 166.

111 κῦμ' ἐπέλασσε schol. ε 182] κῦμα πέλασσε mss.

112 ἤνωγεν § 225] ἠνώγειν Ar., ἠνώγει mss.

114 φίλους] φίλους τ' mss. pleraque. ‖ Ϝιδέμεν § 126] ἰδέειν mss.

Ϝοῖκον ἐς ὑψόροφον καὶ ἑϜὴν εἰς πατρίδα γαῖαν.“ 115 = 42
ὣς ʼφάτο, ʼρίγησεν δὲ Καλυψὼ, δῖα θεάων, 116ª = Γ 259
καί μιν φωνήσασʼ ἔπεα πτερόεντα προσηύδα·
„σχέτλιοί ἐστε, θεοὶ, ζηλήμονες ἔξοχον ἄλλων, 118 cf. Ω 33
οἵ τε θεῇσιν ἄγασθε παρʼ ἀνδράσιν εὐνάζεσθαι
ἀμφαδίην, εἴ τίς τε φίλον ποιήσετʼ ἀκοίτην.
ὣς μὲν, ὅτʼ Ὠαρίωνʼ ἕλετο ῥοδοδάκτυλος Ἠὼς,
τόφρα Ϝοι ἠγαίεσθε θεοὶ ῥεῖα ζώοντες, 122ᵇ = Ζ 138
ὄφρα Ϝʼ ἐν Ὀρτυγίῃ χρυσόθρονος Ἄρτεμις ἁγνὴ
Ϝοῖσʼ ἀγανοῖσι βέλεσσιν ἐποιχομένη κατέπεφνε. 124 = λ 173, 199 cf. Ω 759
ὣς δʼ ὁπότʼ Ἰασίωνι ἐυπλόκαμος Δημήτηρ
Ϝῷ θυμῷ Ϝείξασα ʼμίγη φιλότητι καὶ εὐνῇ 126 sq. cf. Hes. Theog. 970 sq.
νειῷ ἔνι τριπόλῳ· οὐδὲ δϜὴν ἦεν ἄπυστος 126ª cf. Ι 598 · 127ᵇ cf. δ 675
Ζεὺς, ὅς μιν κατέπεφνε βαλὼν ἀργῆτι κεραυνῷ.
ὣς δʼ αὖ νῦν μοι ἄγασθε, θεοὶ, βροτὸν ἄνδρα παρεῖναι.
τὸν μὲν ἐγὼν ἐσάωσα περὶ τρόπιος βεβαῶτα 131 cf. η 249
οἶον, ἐπεί Ϝοι νῆα θοὴν ἀργῆτι κεραυνῷ 131ᵇ = μ 387 · 132 sq. = η 250 sq.
Ζεὺς ἐλάσας ἐκέασσε μέσῳ ἐνὶ Ϝοίνοπι πόντῳ. 132 cf. μ 388 · 132ᵇ = ι 172

---

133 ἔνθʼ ἄλλοι μὲν πάντες ἀπέφθιθεν ἐσθλοὶ ἑταῖροι, 133 sq. = 110 sq.
τὸν δʼ ἄρα δεῦρʼ ἄνεμός τε φέρων καὶ κῦμʼ ἐπέλασσε.

123 sq. nonnulli —

---

117 ἔπεα] neglecto Ϝ. Vid. ad Ο 35.

118 ζηλήμονες] l. a. δηλήμονες, quod legitur Ω 33; ζηλήμων †, stirps autem redit tantum in adi. δύσζηλοι η 307, verbo ζηλόω h. Cer. 168, 223, subst. ζηλοσύνη h. Ap. 100. ‖ ἔξοχον ἄλλων] ἔξοχα πάντων K.

119 *θεῇσιν ἄγασθε] θεαῖς ἀγάασθε mss.; vid. ε 129 et § 57 et 305.

120 εἴ § 326] ἤν vel ἤ mss.

121-124] del. Duentzer.

121 Ὠαρίωνʼ PKnight] Ὠρίωνʼ vel Ὠρίωνα mss.; vid. ad Σ 486. ‖ ἕλετο] ἕλε F¹ mss. alia.

122 *ἠγαίεσθε] ἠγάασθε mss.; cf. § 305.

123 sq.] in schol. observatur Dianam alibi solas *feminas* sagittis suis interimere, ideoque hos versus (vs. 121-129? sic putat PKnight) a quibusdam damnari.

123 *ὄφρα Ϝʼ] εἵως μιν vel ἕως μιν metro invito mss., cf. § 8 et 323. Nauck ἦος et versu sequenti μιν ἔπεφνεν. ‖ Ὀρτυγίῃ] vid. ad ο 404. ‖ ἀγνή] ἀγνῇ Apio.

124 ἀγανοῖσι βέλεσσιν] -νοῖς βελέεσσιν mss. pleraque; vid. versus parall.

125-128] rem refert etiam Hesiodus Theog. 969 sqq.

127 τριπόλῳ] alii olim τριπύλῳ (absurde). Cf. Σ 542.

129 ἄγασθε Herodian. F X mss. alia] ἀγάασθε vel ἀγᾶσθε mss. complura; cf. § 305.

132 ἐλάσας] sic Zen. et mss. pleraque, ἔλσας Ar., sic (ἔλσας) P U², cf. Lehrs Arist.² p. 65. Nitzsch observat verbum ἐλαύνειν alias nonnisi de ictibus quae manu fiunt adhiberi (= οὐτᾶν). Lectioni (Ϝ)έλσας favent versus 314 et μ 416; aptius tamen *percuti* navis dicitur fulmine quam *torqueri*, cum praesertim addatur, illo ictu esse *diffissam*. ‖ ἐκέασσε] vid. ad η 250.

133 sq.] ex vs. 110 sq. repetitos del. Ernesti.

133 ἀπέφθιθεν] -θον P mss. alia; vid. ad vs. 110.

134 κῦμʼ ἐπέλασσε H¹] κῦμα πέλ. mss. cett.

τὸν μὲν ἐγὼ ʼφίλεόν τε καὶ ἔτρεφον, ἠδέ Ϝʼ ἔφασκον 135ᵇ cf. η 256 ψ 335
θησέμενʼ ἀθάνατον καὶ ἀγήραον ἤματα πάντα. 136 = η 257 ψ 336 cf. Θ 539
ἀλλʼ ἐπεὶ οὔ πως ἔστι Διὸς νόον αἰγιόχοιο 137 cf. 103
οὔτε παρεξελθεῖν ἄλλον θεὸν οὔθʼ ἁλιῶσαι, 138 = 104
Ϝερρέτω, εἴ μιν κεῖνος ἐποτρύνει καὶ ἀνώγει,
πόντον ἔπʼ ἀτρύγετον. πέμψω δέ μιν οὔ πῃ ἐγώ γε·
οὐ γάρ μοι πάρα νῆες ἐπήρετμοι καὶ ἑταῖροι, 141 cf. δ 559
οἵ κέν μιν πέμποιεν ἐπʼ εὐρέα νῶτα θαλάσσης. 142 = δ 560
αὐτάρ Ϝοι πρόφρων ὑποθήσομαι οὐδʼ ἐπικεύσω,
ὥς κε μάλʼ ἀσκηθὴς Ϝὴν πατρίδα γαῖαν ἵκηται.“ 144 = 26
  τὴν δʼ αὖτε προσέϜειπε διάκτορος Ἀργεϊφόντης·
„οὕτω νῦν Ϝʼ ἀπόπεμπε, Διὸς δʼ ἐποπίζεο μῆνιν, 146ᵇ cf. ξ 283 h. Ven. 291
μή πώς τοι μετόπισθε κοτεσσάμενος χαλεπήνῃ.“ 147ᵇ = Π 386
  ὣς ἄρα φωνήσας ἀπέβη κρατὺς Ἀργεϊφόντης·
ἡ δʼ ἐπʼ Ὀδυσσῆα μεγαλήτορα πότνια νύμφη
ἤιʼ, ἐπεὶ δὴ Ζηνὸς ἐπέκλυεν ἀγγελιάων.
τὸν δʼ ἄρʼ ἐπʼ ἀκτῆς ηὗρε καθήμενον· οὐδέ ποτʼ ὄσσε
δακρυόφιν ʼτέρσοντο, κατείβετο δὲ γλυκὺς αἰὼν
νόστον ὀδυρομένῳ, ἐπεὶ οὐκέτι ʼϜάνδανε νύμφη.
ἀλλʼ ἦ τοι νύκτας μὲν ἰαύεσκεν καὶ ἀνάγκῃ
ἐν σπέεσι γλαφυροῖσι παρʼ οὐκ ἐθέλων ἐθελούσῃ·
ἤματα δʼ ἐν πέτρῃσι καὶ ἠιόνεσσι καθίζων
πόντον ἔπʼ ἀτρύγετον ʼδερκέσκετο δάκρυα λείβων. 158 = 84
ἄγχι δέ Ϝʼ ἱσταμένη προσεφώνεε δῖα θεάων·
  „κάμμορε, μή μοι ἔτʼ ἐνθάδʼ ὀδύρεο, μηδέ τοι αἰὼν 160 sq.ª cf. σ 203 sq.

---

157 δάκρυσι καὶ στοναχῇσι καὶ ἄλγεσι θυμὸν ἐρέχθων 157 = 83
157 ignorasse videtur Ar.

---

135 Ϝʼ ἔφασκον (Ϝε φάσκον) Bentley] ἔφασκον mss. hiatu vitioso, cf. η 256; ἠδʼ ἔτʼ ἔφασκον l², quod praefert Hartman. Naber πίφαυσκον, cf. Κ 202, 478 μ 165.

136 θησέμενʼ § 125] θήσειν mss. ‖ ἀγήραον] ἀγήρων Ar. non recte (-ρω W), cf. § 62.

140 πέμψω — γε] *non retinebo nec tamen ipsa deducam.*

141 sq.] del. Koechly; sed vid. ad vs. 146.

143 sq.] spurios ducimus.

146 οὕτω] *vel sic tamen*, licet praesto non sit navis (vs. 141 sq.). ‖ *Ϝʼ] adiecimus. ‖ ἐποπίζεο] comp. nonnisi h. Ven. 291 redit (simplex Σ 216 etc.).

153 ἐπεὶ — νύμφη] *cum non iam grata ei esset nympha*; cf. ρ 173. In Q est νύμφῃ, eamque lectionem sequitur scholion, pro subiecto habens vocem νόστος, propter οὐκέτι parum probabiliter. ‖ ʼϜάνδανε § 131] ἥνδανε vel ἥνδανε mss.

155 σπέεσι l] σπέεσσιν q, σπέ(σ)σι mss. cett.

156 ἐν] ἂμ Ar. (cf. Θ 441).

157] om. G H M, in margine habet P.

159 *ἄγχι δέ Ϝʼ(οι)] ἀγχοῦ δʼ mss.; cf. § 318.

φθινέτω· ἤδη γάρ σε μάλα πρόφρασσ' ἀποπέμψω.
ἀλλ' ἄγε δούρατα μακρὰ ταμὼν ἁρμόζεο χαλκῷ
εὐρεῖαν σχεδίην· ἀτὰρ ἴκρια πῆξαι ἐπ' αὐτῆς
ὑψόθι, ὥς σε φέρῃσιν ἐπ' ἠεροϝειδέα πόντον.
αὐτὰρ ἐγὼ σῖτον καὶ ὕδωρ καὶ ϝοῖνον ἐρυθρὸν
ἐνθήσω μενοϝεικέ', ἅ κέν τοι λιμὸν ἐρύκοι,
ϝείματά τ' ἀμφιϝέσω· πέμψω δέ τοι οὖρον ὄπισθε, 167b cf. ο 34
ὥς κε μάλ' ἀσκηθὴς σὴν πατρίδα γαῖαν ἵκηαι, 168 cf. 26
αἴ κε θεοί γ' ἐθέλωσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσι,
οἵ μεο φέρτεροί εἰσι νοῆσαί τε κρῆναί τε."
ὣς 'φάτο, 'ρίγησεν δὲ πολύτλας δῖος Ὀδυσσεὺς 171a = Γ 259
καί μιν φωνήσας ϝέπεα πτερόεντα προσηύδα·
„ἄλλο τι δὴ σύ, θεά, τόδε μήδεαι οὐδέ τι πομπήν,
ἥ κέλεαι σχεδίῃ περάειν μέγα λαῖτμα θαλάσσης, 174b = δ 504
δϝεινόν τ' ἀργαλέον τε· τὸ δ' οὐδ' ἐπὶ νῆες ἐϝῖσαι 175a = 367 μ 119 φ 169
ὠκύποροι περάουσιν ἀγαλλόμεναι Διὸς οὔρῳ.
οὐδέ κ' ἐγὼν ἀϝέκητι σέθεν σχεδίης ἐπιβαίην, 177 cf. κ 342
εἰ μή μοι τλαίης γε, θεά, μέγαν ὅρκον ὀμόσσαι 178 sq. = κ 343 sq. 178 cf. h. Ap. 79 Merc. 518
μή τί μοι αὐτῷ πῆμα κακὸν βουλευέμεν' ἄλλο." 178b sq. cf. κ 299
ὣς 'φάτ'· ἐμείδησεν δὲ Καλυψώ, δῖα θεάων, 179 cf. 187 [sq.
χειρί τέ μιν κατέρεξε, ϝέπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε· 181 = Α 361
„ἦ δὴ ἀλιτρός γ' ἐσσὶ καὶ οὐκ ἀποφώλια ϝειδώς,
οἷον δὴ τὸν μῦθον ἐπεφράσθης ἀγορεῦσαι.
ϝίστω νῦν τόδε γαῖα καὶ οὐρανὸς εὐρὺς ὕπερθε 184-186 = Ο 36 sqq. h. Ap. 84 sqq.

163 ἀτὰρ … ἐπ' αὐτῆς] ἐν δ' … ἐν αὐτῇ H. ‖ ἴκρια πῆξαι] *tabulati* mentio hinc aliena videtur; fortasse ἱστὸν στῆσαι vel eiusmodi aliquid fuit primitus. Vid. ad vs. 243-261 et ad vs. 252 sq. — De verbi πήγνυμι usu cf. Β 664. ‖ πῆξαι] πῆξον F.

164 ὑψόθι § 15 et 322] ὑψοῦ mss.

168 ἵκηαι] ἵκοιο Aristoph. Eust.

169 sq.] del. Duentzer.

170 μεο § 92] μευ mss. ‖ κρῆναι] vid. § 267.

171-191] del. vHerwerden.

174 κέλεαι Ernesti] με κέλεαι mss.; vid. § 117 et ad Ω 434. ‖ περάειν § 191] περάαν mss.

175 sq. τὸ … ἐπὶ … περάουσιν] cf. Β 613 δ 709; Nitzsch οὐδέ τι.

176 περάουσιν § 191] περόωσιν mss.

177 οὐδέ κ' § 326] οὐδ' ἂν mss. ‖ ἐγὼν] ἔγωγ(ε) G F X mss. alia.

178 sq.] del. GHermann, versum 179 (et vs. 187) KLKayser.

178 θεά] θεῶν Bothe, item loco par. (cf. κ 299).

179 βουλευέμεν vHerwerden] βουλευσέμεν mss., item ε 187 κ 300, 344. Cf. v. l. β 170 κ 516. ‖ ἄλλο] ἄλλοις Aristoph. male, cf. § 60.

180 'φάτ'· ἐμείδησεν] φάτο· μείδησεν mss.

182 ἀλιτρός] non serio dea utitur hac voce, de qua vid. ad π 317. ‖ γ' F P[2] M] τ' G P[1] H, om. X. ‖ ἀποφώλια] *irrita*; adi. ignotae originis redit θ 177 λ 249 ξ 212; vocem ὄφελος cognatam ducit Fick.

183 ἐπεφράσθης] terminus -σθης pro -σαο redit ε 485 ψ 260; cf. § 220.

καὶ τὸ κατειβόμενον Στυγὸς ὕδωρ, ὅς τε μέγιστος
δϝεινότατός θ' ὅρκος πέλεται μακάρεσσι θεοῖσι,
μή τί τοι αὐτῷ πῆμα κακὸν βουλευέμεν' ἄλλο· 187 = κ 300 cf. ε 179
ἀλλὰ τὰ μὲν νοέω καὶ φράσσομαι, ἅσσα κ' ἐμοί περ
αὐτῇ μηδοίμην, ὅτε με χρηὼ τόσον ἵκοι.
καὶ γὰρ ἐμοὶ νόος ἐστὶν ἐναίσιμος, οὐδέ μοι αὐτῇ
θυμὸς ἐνὶ στήθεσσι σιδήρεος, ἀλλ' ἐλεήμων."
ὣς ἄρα φωνήσασ' ἡγήσατο δῖα θεάων 192 cf. β 405
καρπαλίμως, ὃ δ' ἔπειτα μετ' ἴχνεα 'βαῖνε θεοῖο. 193 = β 406
ἷξον δὲ σπέος εἰς γλαφυρὸν θεὸς ἠδὲ καὶ ἀνήρ·
καί ῥ' ὃ μὲν ἔνθα καθέζετ' ἐπὶ θρόνου, ἔνθεν ἀνέστη 195 cf. σ 157 φ 139, 166 ψ 164
Ἑρμείας, νύμφη δὲ 'τίθει πάρα πᾶσαν ἐδωδήν,
ἔσθειν καὶ πίνειν, οἷα βροτοὶ ἄνδρες ἔδουσι· 197a cf. Ω 476
αὐτὴ δ' ἀντίον ἷζεν Ὀδυσσῆος θείοιο, 198 cf. Ι 218
τῇ δὲ παρ' ἀμβροσίην δμῳαὶ καὶ νέκταρ ἔθηκαν.
οἳ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον. 200 = Ι 91
αὐτὰρ ἐπεὶ 'τάρπησαν ἐδητύος ἠδὲ ποτῆτος, 201 cf. Λ 780
τοῖσ' ἄρα μύθων ἦρχε Καλυψώ, δῖα θεάων·
„διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ, 203 sq. = Β 173 sq.
οὕτω δὴ ϝοῖκόνδε φίλην εἰς πατρίδα γαῖαν
αὐτίκα νῦν ἐθέλεις ἴμεναι; σὺ δὲ χαῖρε καὶ ἔμπης.
εἰ μὲν ϝειδείης σῇσι φρεσίν, ὅσσα τοι αἶσα
κήδε' ἀναπλῆσαι πρὶν πατρίδα γαῖαν ἱκέσθαι,
ἐνθάδε κ' αὖθι μένων σὺν ἐμοὶ τόδε δῶμα φυλάσσοις

185 κατειβόμενον] cf. Θ 369. ‖ ὕδωρ] l. a. ὕδατος. Vid. ad Ο 37.

186 *δϝεινότατός θ' ὅρκος πέλεται] ὅρκος δεινότατός τε πέλει (om. τε H[1] K) mss.; cf. § 275.

187 βουλευέμεν vHerwerden] -σέμεν mss.; vid. ad vs. 179.

188-191] del. PKnight.

188 ἅσσα κ' § 326] ἅσσ' ἂν vel ὅσσ' ἂν mss.

189 χρηὼ § 190] χρειὼ mss.

191 ἐλεήμων] †, cf. ἐλεητύς ξ 82 et ρ 451 (ἐλεεινός et ἐλεαίρω et ἐλεῆσαι -σαι passim).

193 *ἴχνεα] ἴχνια mss.; vid. ad Ν 71.

194 δὲ σπέος εἰς (ἐς) Nauck] δ' ἐς σπεῖος vel δὲ σπεῖος (δ' ἐσπεῖος) mss.; cf. § 71.

195 καθέζετ' P H M] κάθιζεν G F X. ‖ ἔνθεν ἀνέστη] ἔνθα καθῆστο F[1].

197 et **199**] del. Duentzer; victus hoc discrimen postmodo excogitatum esse videtur (cf. Ε 341 sq.).

204 οὕτω δή] vid. ad Β 158. ‖ In W subiungitur δάκρυσι καὶ στοναχῇσι καὶ ἄλγεσι θυμὸν ἐρέχθων (= vs. 83, 157).

205-209] pro his versibus olim fuisse νῦν ἐθέλεις ἰέναι, ἱμειρόμενός γε ἰδέσθαι suspicatur Duentzer.

205 ἴμεναι § 125] ἰέναι (ἰέμεναι D) mss.

206 μὲν PKnight] γε μὲν mss.; εἰ δέ γε Bentley. ‖ ὅσσα] ἅσσα G P.

207 ἀναπλῆσαι] l. a. ἀνατλῆναι, non male, cf. ξ 47 (γ 104 κ 327 l. a. π 205); vid. etiam ad ε 302 ν 307.

208 σύν] sic Ar., παρ' Eust.

ἀθάνατός τ' εἴης, ἱμειρόμενός περ ἰδέσθαι
σὴν ἄλοχον, τῆς τ' αἰὲν ἐϝέλδεαι ἤματα πάντα. 210 cf. Ξ 269
οὐ μέν θην κείνης γε χερείων εὔχομαι εἶναι,
οὐ δέμας οὐδὲ φυήν, ἐπεὶ οὔ πως οὐδὲ ϝέϝοικε 212[a] = Α 115
θνητὰς ἀθανάτῃσι δέμας καὶ ϝεῖδος ἐρίζειν."
τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
„πότνα θεά, μή μοι τόδε χώεο· ϝοῖδα καὶ αὐτὸς 215 cf. ψ 213
πάντα μάλ', οὕνεκα σεῖο περίφρων Πηνελόπεια
ϝεῖδος ἀκιδνοτέρη μέγεθός τ' εἰς ἄντα ϝιδέσθαι·
ἡ μὲν γὰρ βροτός ἐστι, σὺ δ' ἀθάνατος καὶ ἀγήρως.
ἀλλὰ καὶ ὣς ἐθέλω καὶ ἐϝέλδομαι ἤματα πάντα 219[b] = Ξ 276
ϝοίκαδέ τ' ἐλθέμεναι καὶ νόστιμον ἦμαρ ἰδέσθαι. 220 = γ 233
εἰ δ' αὖ τις ῥαίῃσι θεῶν ἐνὶ ϝοίνοπι πόντῳ,
τλήσομαι, ἐν στήθεσσιν ἔχων ταλαπενθέα θυμόν·
ἤδη γὰρ μάλα πόλλ' ἔπαθον καὶ πόλλ' ἐμόγησα 223[b] = Ι 492
κύμασι καὶ πολέμῳ· μετὰ καὶ τόδε τοῖσι γενέσθω." 224 = ρ 285
ὣς ἔφατ'· ἠέλιος δὲ ἔδυ καὶ ἐπὶ κνέφας ἦλθε. 225 = γ 329
ἐλθόντες δ' ἄρα τώ γε μυχῷ σπέεος γλαφυροῖο
'τερπέσθην φιλότητι παρ' ἀλλήλοισι μένοντε.

ἦμος δ' ἠριγένεια 'φάνη ῥοδοδάκτυλος Ἠώς, 228 = Α 477
αὐτίχ' ὃ μὲν χλαῖνάν τε χιτῶνά τε 'ϝέννυτ' Ὀδυσσεύς, 229 cf. κ 542
αὐτὴ δ' ἀργύφεον φᾶρος μέγα 'ϝέννυτο νύμφη 230 sq. = κ 543 sq.
λεπτὸν καὶ χαρίεν, περὶ δὲ ζώνην 'βάλετ' ἰξυῖ 231[a] cf. Χ 511
καλὴν χρυσείην, κεφαλῇ δ' ἐφύπερθε καλύπτρην· 232 cf. κ 545
καὶ τότ' Ὀδυσσῆι μεγαλήτορι 'μήδετο πομπήν.

209 *ἰδέσθαι*] neglecto ϝ; Bentley *ἱκέσθαι*, vid. vs. 220 (= γ 233).
210 *τ'*] om. mss. complura. Cf. Ξ 276.
215 *πότνα*] pro *πότνια* (sic G^2 F H X mss. alia), item ν 391 υ 61 h. Cer. 118. || *τόδε*] cf. Α 64.
217 *ἀκιδνοτέρη*] dubiae originis comparativus redit θ 169 σ 130. || *ἄντα*] sic Ar.; l. a. *ὦπα*, sic Eust.
218] *spurius? || *ἀγήρως*] novicium pro *-ραος* (vid. § 62).
219 *ἐϝέλδομαι*] *ἔλδομαι* G F P mss. alia.
220 *ἰδέσθαι*] neglecto ϝ; vid. ad γ 233.
221-224] del. Duentzer.
221 *ῥαίῃσι θεῶν*] *ῥαίσειε θεῶν* X, *ῥαίῃσι θεῶν μ'* M; Hartman *ῥαίσει με θεῶν*. Cf. ζ 326.
222 *ταλαπενθέα*] †, *ταλασίφρονα* G.
225 *δὲ* Nauck] *δ' ἄρ'* mss.
226 *ἐλθόντες*] *ἐλθόντος* (scil. *κνέφαος*) Ahrens, sed vid. ad Α 458. || *σπέεος* § 71] *σπείους* mss.
227 *μένοντε* G F^2 P^3] *-ντες* mss. pleraque.
230 *ἀργύφεον*] *ἀργύρεον* F M mss. alia. Adi. redit Σ 50 etc.
ἤ ῥ' οἵ γ' ὑβρισταί τε καὶ ἄγριοι οὐδὲ δίκαιοι, 120 sq. = ι 175 sq. 120ᵇ = θ 575
ἠὲ φιλόξεινοι καί σφιν νόος ἐστὶ θεοδϜής; 121 cf. θ 576
ὥς τέ με κουράων ἀμφήλυθε θῆλυς ἀυτή·
ἦ νύ ποθ' ἀνθρώπων εἰμὶ σχεδὸν αὐδηέντων.
ἀλλ' ἄγ' ἐγὼν αὐτὸς πειρήσομαι ἠδὲ Ϝίδωμαι."
ὣς Ϝειπὼν θάμνων ὑπεδύσετο δῖος Ὀδυσσεύς·
ἐκ πυκινῆς δ' ὕλης πτόρθον 'κλάσε χειρὶ παχείῃ

123 νυμφάων, αἳ ἔχουσ' ὀρέων αἰπεινὰ κάρηνα 123 cf. Υ 8
καὶ πηγὰς ποταμῶν καὶ πίσεα ποιήεντα. 124 = Υ 9

106] del. Duentzer. Megaclides ἀγρόμεναι παίζουσιν ἀνὰ ὀρία παιπαλόεντα (cf. ξ 353). || ἀγρονόμοι] †. || δέ τε] δ' ἄρα Apoll. lex.
107 μέτωπα] -πον P[1] H[1].
108 τ' Ar.] δ' mss.
109 ἀδμής] ἁγνή W et Macrob. V 4 § 10.
110 πάλιν] πόλιν F[2] (cf. π 155).
112-114] del. Duentzer.
113 ἐυώπιδα] vox redit ζ 142 h. Cer. 334 VI 58.
115 βασίλεια] de *regis filia* †.
116 ἔμβαλε] ἔμπεσε F Apoll. lex. Et. Magn. 566,20 (cf. δ 508). || δίνῃ] λίμνῃ Apoll. lex. Et. Magn. l. l.
117 ἤγρετο] ἔγρετο mss. || δῖος] θεῖος F.
119 τέων] forma propter synizesin suspecta, cf. § 8; Menrad tentavit νῦν αὖτε τέων ἐς (εἰς) γαῖαν ἱκάνω.
120 sq.] del. Kirchhoff.
121 θεοδϜής] θεουδής mss.
122 θῆλυς] vid. § 53 et ad μ 369. || ἀυτή] ἀυτμή F H[2] Apoll. lex.
123 sq.] del. Nitzsch, Lenz vs. 123-125.
125 ποθ' § 322] που mss. || αὐδηέντων] vid. ad ε 334.
126 ἀλλ' ἄγ' ἐγὼν] ἀλλ' ἄγε τῶν P, ἀλλά γε τῶν H.
127 θάμνων] θάμνω G[2], θάμνον F. || ὑπεδύσετο] -σατο mss. nonnulla, cf. § 152. — Idem verbi sensus est υ 53 (et ε 337?). || δῖος] θεῖος M.
128 πτόρθον] †.

φύλλων, ὡς ῥύσαιτο περὶ χροῒ μήδεα φωτός.
'βῆ δ' ἴμεν' ὥς τε λέων ὀρεσίτροφος ἀλκὶ πεποιθώς, 130 cf. Κ 297 Ρ 61 130ᵃ = Μ 299
ὅς τ' εἶσ' ὑόμενος καὶ ἀήμενος, ἐν δέ Ϝοι ὄσσε
δαίεται· αὐτὰρ ὃ βουσὶ μετέρχεται ἢ ὀίεσσι
ἠὲ μετ' ἀγροτέρας ἐλάφους· κέλεται δέ Ϝε γαστὴρ 133ᵇ cf. Μ 300
μήλων πειρήσοντα καὶ εἰς πυκινὸν δόμον ἐλθεῖν· 134 = Μ 301
ὣς Ὀδυσεὺς κούρῃσιν ἐυπλοκάμοισιν ἔμελλε
μίξεσθαι γυμνός περ ἐών· χρηὼ γὰρ ἵκανε.
σμερδαλέος δ' αὐτῇσι 'φάνη κεκακωμένος ἅλμῃ·
'τρέσσαν δ' ἄλλυδις ἄλλη ἐπ' ἠιόνας προεχούσας.
οἴη δ' Ἀλκινόου θυγάτηρ 'μένε· τῇ γὰρ Ἀθήνη
θάρσος ἐνὶ φρέσ' ἔθηκε καὶ ἐκ δϜέος εἵλετο γυίων.
'στῆ δ' ἄντα σχομένη· ὃ δ' ἐμερμήριξεν Ὀδυσσεύς,
ἢ γούνων λίσσοιτο λαβὼν ἐυώπιδα κούρην,
ἦ αὔτως Ϝεπέεσσιν ἀποσταδὰ μειλιχίοισι. 143 cf. 146
ὣς ἄρα Ϝοι φρονέοντι 'δοάσσατο κέρδιον εἶναι, 145 = ε 474
λίσσεσθαι Ϝεπέεσσιν ἀποσταδὰ μειλιχίοισι, 146 cf. 143
μή Ϝοι γοῦνα λαβόντι χολώσαιτο φρένα κούρη.
αὐτίκα μειλίχιον καὶ κερδαλέον 'φάτο μῦθον·
„γουνάομαί σε, Ϝάνασσα· θεός νύ τις ἦ βροτός ἐσσι;

144 λίσσοιτ', εἰ δείξειε πόλιν καὶ Ϝείματα δοίη.
144 Athenocles Ar. — (de Athenocle cf. ξ 503-506).

129] hunc versum et vs. 136 et 221 sq. del. FMarx, vs. 135 μετῆλθε pro ἔμελλε scribens; alienos enim esse a carminis heroici nativa simplicitate, poetam autem Ulixi non ad virilia velanda dedisse ramum sed quo *supplicem* se venire indicaret puellis (cf. Α 14, Aesch. Suppl. 23, Soph. Oed. R. 3, Verg. Aen. VII 154 etc.). Talis pingitur Ulixes in vasculo quod Nolae repertum Monachiae nunc asservatur (vid. Engelmann Bilderatlas zu Homer, Odyssee n° 29). || μήδεα] *pudenda*; vox dubiae originis (cum verbo μήδομαι nihil commune habet) redit σ 67, 87 χ 476; μέζεα extat Hes. Oper. 512, quae fortasse sincera nominis est forma.
130-136] del. Seeck, vs. 131-136 Fick, vs. 133 sq. Bekker Kirchhoff, vs. 134 Nitzsch.
131 εἶσ'] εἶσι plene Ar. || ὑόμενος καὶ ἀήμενος] vertit Verg. Aen. IX 60: *ventos perpessus et imbris.*
132 δαίεται] de singulari vid. ad Μ 466; Bentley ἦτορ | δαίεται. || ὃ] om. Rhianus metro invito. || μετέρχεται] ἐπέρχεται mavult Eust.
136] vid. ad vs. 129. || χρηὼ § 190] χρειὼ mss.
137 σμερδαλέος] sic Ar., alii olim λευγαλέος, Zen. ἀργαλέος.
138 ἄλλη] sic Ar., ἄλλῃ olim alii; vid. ad ε 369. || προεχούσας] προυχ. mss.
140 φρέσ' ἔθηκε] φρεσὶ θῆκε mss.
142] vid. ad Α 500.
143 ἀποσταδὰ] redit vs. 146, vid. ad Ο 556.
145 sq.] cum praecedenti del. Fick.
146 Ϝεπέεσσιν] Nauck Ϝε Ϝέπεσσιν, at sic inutilis est vox κούρη vs. 147. || ἀποσταδὰ] vid. ad vs. 143.
147] vid. ad Α 500.
149 *γουνάομαι § 144 et 191] -νοῦμαι mss. — De vi verbi vid. ad Ι 583.

εἰ μέν τις θεός ἐσσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσι, 150 cf. π 183 τ 40
Ἀρτέμιδί σε ἐγώ γε, Διὸς κούρῃ μεγάλοιο,
Ϝεῖδός τε μέγεθός τε φυήν τ' ἄγχιστα ϜεϜίσκω· 152 cf. B 58
εἰ δέ τίς ἐσσι βροτῶν, τοὶ ἐπὶ χθονὶ ναιετάουσι,
τρὶς μάκαρες μὲν σοί γε πατὴρ καὶ πότνια μήτηρ,
τρὶς μάκαρες δὲ κασίγνητοι· μάλα πού σφισι θυμὸς
αἰὲν ἐυφροσύνῃσιν ἰαίνεται εἵνεκα σεῖο,
λευσσόντων τοιόνδε θάλος χορὸν εἰσοιχνεῦσαν.
κεῖνος δ' αὖ περὶ κῆρι μακάρτατος ἔξοχον ἄλλων,
ὅς κέ σ', ἐϜέδνοισι βρίσας, Ϝοῖκόνδ' ἀγάγηται.
οὐ γάρ πω τοιοῦτον ἐγὼ 'Ϝίδον ὀφθαλμοῖσι, 160 sq. cf. δ 141 sq.
οὔτ' ἄνδρ' οὔτε γυναῖκα· σέβας μ' ἔχει εἰσοράοντα.
Δήλῳ δή ποτε τοῖον Ἀπόλλωνος παρὰ βωμῷ
φοίνικος νέον ἔρνος ἀνερχόμενον ἐνόησα, —
ἦλθον γὰρ καὶ κεῖσε, πολὺς δέ μοι ἕσπετο λαὸς,
τὴν ὁδὸν ᾗ δὴ ἔμελλεν ἐμοὶ κακὰ κήδε' ἔσεσθαι, —
ὣς δ' αὔτως καὶ κεῖνο Ϝιδὼν ἐτεθήπεα θυμῷ

150 θεός... τοί] constructio ad sensum.
151 σε ἐγώ γε] hiatus non ferendus; PKnight ῥά σ' ἐγώ γε, Gerhard σέ γ' ἔπειτα.
152 ἄγχιστα] εἰς ἄντα W.
153 δέ — τοί] δ' αὖ γε βροτός ἐσσ' οἵ P^1 H (οἵ pro τοί etiam F^1 mss. alia). || ἐπὶ — ναιετάουσι] ἀρούρης καρπὸν ἔδουσι F^2 P^1 H, cf. Z 142.
156 ἐυφροσύνῃσιν] l. a. ἐν εὐφρ. in scholio merito reiecta; vid. ad ι 6 υ 8.
157] del. Fick. || λευσσόντων] genitivus absolutus post dativum pronominis, ut Ξ 26 ι 257, 459 (κ 199?) ξ 527 ρ 232 (υ 205? χ 18?); vid. etiam ad Γ 301 Δ 175 I 635 sq. Ξ 141. || θάλος] cf. X 87. || εἰσοιχνεῦσαν] forma suspecta, cf. § 7 et 191; *εἰσοιχνῆσαν (neutr.)? at aor. (aut fut.) huius verbi alias non reperitur; comp. autem nonnisi ι 120 redit (loco spurio), vid. ad γ 322.
159] imitari videtur Aesch. Prom. 559 sq. ἕδνοις ἄγαγες... πιθών. || βρίσας] quid significet dubitatur; *qui ceteris procis victis te uxorem ducet?* ceteris enim locis (*M* 346, 359 *P* 233, 512) *premendi* sensum habet aoristus βρῖσαι. An *qui opibus onustus patrem tuum adierit uxorem te abducturus*, id est: qui multis te opibus emtam (= ἀλφεσίβοιαν Σ 593) uxorem ducet?
160 ἐγώ(ν) ἴδον F] ἴδον (εἶδον) βροτὸν P mss. alia, ἴδον ἐγὼ βροτὸν metro invito G, τοῖον εἶδον βροτὸν schol. α 1; Bentley τοιόνδε ἴδον βροτὸν coll. vs. 157; sed aptissimum h. l. est pronomen τοιοῦτος.
161-167] diasceuastae tribuit Fick, Cynaethum intellegens, caecum poetam hymni Apollinis Delii. Duentzer del. vs. 166-174.
161 εἰσοράοντα § 191] -ρόωντα mss.
162] de *Delo* cum Apollinis fano sacraque palma, quae in Iliade Odysseave alibi non commemoratur, videatur pars prior hymni Apollinis, praesertim vs. 17 sq., 117, 146 sqq.
163-168] suavissima hac imagine (quacum cf. Σ 59) virgo procera depingitur etiam in Cantico Canticorum VII 7; cf. puellarum nomen *Tamar* (i. e. *palma*) Genes. XXXVIII 6 alibi.
163 φοίνικος] *palmae* (i. e. *phoenicis dactyliferae*); nomen nonnisi h. Ap. 18, 117 redit. Vid. VHehn Culturpfl.^{4} p. 216 sqq.
164 καὶ κεῖσε] κἀκεῖσε mss. complura, cf. § 9 et 97.
165 ἔμελλεν Eust.] μέλλεν Ar. mss.
166 καὶ κεῖνο] κἀκεῖνο mss. complura, cf. § 9 et 97.

δϜὴν, ἐπεὶ οὔ πω τοῖον ἀνήλυθεν ἐκ δόρυ γαίης,
ὡς σὲ, γύναι, ἄγαμαί τε τέθηπά τε, δέδϜια δ' αἰνῶς
γούνων ἅψασθαι· χαλεπὸν δέ με πένθος ἱκάνει.
χθιζὸς ἐϜεικοστῷ 'φύγον ἤματι Ϝοίνοπα πόντον·
τόφρα δέ μ' αἰεὶ κῦμ' ἐφόρει κραιπναί τε θύελλαι
νήσου ἄπ' Ὠγυγίης. νῦν δ' ἐνθάδε κάββαλε δαίμων,
ὄφρα τί που καὶ τῇδε πάθω κακόν· οὐ γὰρ ὀίω
παύσεσθ', ἀλλ' ἔτι πολλὰ θεοὶ τελέουσι πάροιθε.
ἀλλὰ, Ϝάνασσ', ἐλέαιρε· σὲ γὰρ κακὰ πολλὰ μογήσας
εἰς πρώτην ἱκόμην, τῶν δ' ἄλλων οὔ τινα Ϝοῖδα 176^b sq. = η 25 sq.
ἀνθρώπων, οἳ τήνδε πόλιν καὶ γαῖαν ἔχουσι. 177 cf. 195
Ϝάστυ δέ μοι δεῖξον, δὸς δὲ ῥάκος ἀμφιβαλέσθαι,
εἴ τί ποθ' εἴλυμα σπείρων ἔχες ἐνθάδ' ἰοῦσα.
σοὶ δὲ θεοὶ τόσα δοῖεν ὅσα φρεσὶ σῇσι μενοινᾷς,
ἄνδρα τε καὶ Ϝοῖκον, καὶ ὁμοφροσύνην ὀπάσειαν
ἐσθλήν· οὐ μὲν γὰρ τοῦ γε κρεῖσσον καὶ ἄρειον,
ἢ ὅθ' ὁμοφρονέοντε νοήμασι Ϝοῖκον ἔχητον
ἀνὴρ ἠδὲ γυνή· πόλλ' ἄλγεα δυσμενέεσσι,
χάρματα δ' εὐμενέεσσι· μάλιστα δέ τ' ἔκλυον αὐτοί." 185^b cf. Δ 218
  τὸν δ' αὖ Ναυσικάα λευκώλενος ἀντίον ηὔδα·
„ξεῖν', ἐπεὶ οὔτε κακῷ οὔτ' ἄφρονι φωτὶ ϜέϜοικας· — 187 = υ 227
Ζεὺς δ' αὐτὸς νέμει ὄλβον Ὀλύμπιος ἀνθρώποισι,

167 δόρυ] de arbore dictum †; *hasta* (*schacht*) eleganter dicitur palma teres atque excelsa.
168 δ'] τ' mss. complura.
171 μ' αἰεί] με μέγα W. || κῦμ' ἐφόρει M] κῦμα φόρει mss. pleraque.
172 Ὠγυγίης] h. l. *adiectivum* esse (id quod ὠκεανίην valens), recentiores vero pro nomine proprio habuisse (α 85 η 244, 254 μ 448) censet vWilamowitz. Vid. ad Δ 99. || κάββαλε G F] κάμβαλε P mss. alia; cf. ρ 302 et § 10.
173 ὄφρα τί] ὄφρ' ἔτι F M mss. alia. || πάθω] vid. ad Δ 158.
174 παύσεσθ'] παύσασθ' P H^1 M. || τελέουσι] -σουσι M, -θουσι P.
178 δέ... δὲ] τέ... τε G mss. alia.
179] del. PKnight, vs. 178 sq. Duentzer. || ποθ' § 322] που mss. || εἴλυμα] †, cf. § 41.
181-185] del. Duentzer.
181 ὁμοφροσύνην] vid. ad X 263.
182 sq. τοῦ γε... ἤ] cf. O 509 sq.
182 κρεῖσσον] *praestantius?* Ceteris locis Homericis *potentiorem* indicat hic comp.; cf. Lehrs Arist.^{2} p. 117.
183 ὁμοφρονέοντε] vid. ad X 263.
185 εὐμενέεσσι vHerwerden] -νέτῃσι mss. forma inaudita; adi. redit h. XXI 7 (δυσμενής passim). || μάλιστα δέ τ' ἔκλυον αὐτοί] *ipsi autem dei eos praesertim exaudiunt.* Deorum tamen nomen, quod extat loco simillimo Δ 218, hic e contextu vix apte potest suppleri; ad homines autem verba referri nequeunt, nam perperam scholia κλυεῖν interpretantur αἰσθέσθαι coll. Δ 532 (item ad H 53). Schuetz τε κλέος αὐτοῖς coll. Γ 51 (at vid. § 60), Duentzer τε γήθεον αὐτοί, vHerwerden αὐτοὶ ἀνέγνον coll. N 734 (de termino -γνον vid. h. Cer. 111 Pind. Pyth. IX 136).
187] vid. ad Γ 59.

ἐσθλοῖσ' ἠδὲ κακοῖσιν, ὅπως ἐθέλῃσι, ϝεκάστῳ· 189ᵇ = α 349
καί ποθι σοὶ τάδ' ἔδωκε, σὲ δὲ χρὴ τετλάμεν' ἔμπης. 190ᵇ cf. γ 209
νῦν δ' ἐπεὶ ἡμετέρην τε πόλιν καὶ γαῖαν ἱκάνεις,
οὔτ' οὖν ϝεσθῆτος δευήσεαι οὔτε τε' ἄλλου, 192 cf. ξ 510
ὧν τε ϝέϝοιχ' ἱκέτην ταλαπείριον ἀντιάσαντα. 193 = ξ 511
ϝάστυ δέ τοι δείξω, ϝερέω δέ τοι οὔνομα λαῶν·
Φαίηκες μὲν τήνδε πόλιν καὶ γαῖαν ἔχουσι, 195 cf. 177
εἰμὶ δ' ἐγὼ θυγάτηρ μεγαλήτορος Ἀλκινόοιο,
τοῦ δ' ἐκ Φαιήκων ἔχεται κάρτος τε βίη τε."
ἦ ῥα, καὶ ἀμφιπόλοισιν ἐυπλοκάμοισ' ἐκέλευσε·
„στῆτέ μοι, ἀμφίπολοι· πόσε φεύγετε φῶτα ϝιδοῦσαι;
ἦ μή πού τινα δυσμενέων φάσθ' ἔμμεναι ἀνδρῶν;
οὐκ ἔσθ' οὗτος ἀνὴρ διερὸς βροτὸς, οὐδὲ γένηται, 201 cf. π 437
ὅς κεν Φαιήκων ἀνδρῶν εἰς γαῖαν ἵκηται
δηιοτῆτα φέρων· μάλα γὰρ φίλοι ἀθανάτοισι.
ϝοικέομεν δ' ἀπάνευθε πολυκλύστῳ ἐνὶ πόντῳ 204ᵇ = δ 354
ἔσχατοι, οὐδέ τις ἧμι βροτῶν ἐπιμίσγεται ἄλλος.
ἀλλ' ὅδε τις δύστηνος ἀλώμενος ἐνθάδ' ἱκάνει, 206ᵇ cf. λ 160 ο 492
τὸν νῦν χρὴ κομέειν· πρὸς γὰρ Διός εἰσιν ἅπαντες 207ᵇ sq. = ξ 57 sq.
ξεῖνοί τε πτωχοί τε, δόσις δ' ὀλίγη τε φίλη τε.
ἀλλὰ δότ', ἀμφίπολοι, ξείνῳ βρῶσίν τε πόσιν τε 209 = 246

---

190 *ποθι* § 322] *που* mss. ‖ *τάδ'*] *τά γ'* mss. complura.

192 *τε'* § 99] *τευ* mss.

193] del. PKnight. ‖ *τε ϝέϝοιχ'* Bentley] *ἐπέοιχ'* mss. ‖ *ἀντιάσαντα*] l. a. *-σασθαι*.

194 *δέ...δέ*] *τέ...τέ* G mss. alia.

195 *ἔχουσι*] *ἱκάνεις* F[1] (cf. vs. 191; *Φαιήκων . . . ἱκάνεις*?).

197 *τοῦ δ'*] **τοί'*? ‖ *τοῦ . . . ἐκ . . . ἔχεται*] cf. λ 346.

198 *ἐυπλοκάμοισ' ἐκέλευσε*] *-μοισι κ.* mss.

200 *ἦ μή*] non redit nisi ι 405 sq., ubi vid.; Bentley *ἦ μίν*, apud Nauckium proponitur *εἰ μή*.

201-205] del. Duentzer.

201] cf. Α 262. ‖ *οὗτος*] *talis*; cf. π 437 Herod. III 155. Bentley *οὔ τις*. ‖ *διερὸς*] sic Ar., *δυερὸς* Callistratus, *infelicem* id interpretatus (vid. ad ξ 215). Adi. redit ι 43; hic *vivum* interpretabatur Ar.; sed ab altero loco illum sensum alienum esse observat Lehrs Arist.[2] p. 47, iure Homericum *διερός* distinguens ab adiectivo *διερός* *liquidus* apud posteriores (Hes. Oper. 460 etc.) obvio verboque *διαίνειν* cognato; ad radicem autem *δι* (§ 199) referens h. l. *fugatorem* (vel *metuendum*) interpretatur, ι 43 *fugacem*. Nos de ι 43 assentimur, de hoc loco dubitamus.

204] de *insula* loqui videtur poeta; vid. δ 354 et ad ε 34. ‖ *ϝοικέομεν δ'*] *ναίομεν ὧδ'* Nauck, cum praecedentibus verbis iungens. Vid. ad Ξ 116.

205 *ἧμι* § 92] *ἄμμι* mss. ‖ *βροτῶν*] *βροτὸς* G F. ‖ *ἄλλος*] *ἄλλων* Nauck probabiliter.

207 sq.] del. Scotland. De re vid. ad Ω 570 ν 213.

207 *τὸν νῦν*] *τῷ νῦν* W, *τῷ μιν* Callistratus.

208 *ὀλίγη τε φίλη τε*] cf. Α 167.

209] in k subiungitur versus *ἀλλ' ἄγε οἱ δότε φᾶρος ἐυπλυνὲς ἠδὲ χιτῶνα* (cf. ϑ 392), quem genuinum ratus Kirchhoff delet versum 209 coll. vs. 214, 228, 246.

λούσατέ τ' ἐν ποταμῷ, ὅθ' ἐπὶ σκέπας ἔστ' ἀνέμοιο." 210ᵇ cf. μ 336
ὣς ἔφαθ'· αἳ δ' ἔσταν τε καὶ ἀλλήλῃσ' ἐκέλευσαν,
κὰδ δ' ἄρ' Ὀδυσσῆ' εἷσαν ἐπὶ σκέπας, ὡς ἐκέλευσε
Ναυσικάα, θυγάτηρ μεγαλήτορος Ἀλκινόοιο. 213 = 17
πὰρ δ' ἄρα ϝοι φᾶρός τε χιτῶνά τε ϝείματ' ἔθηκαν,
'δῶκαν δὲ χρυσέῃ ἐν ληκύθῳ ὑγρὸν ἔλαιον, 215 cf. 79
ἤνωγον δ' ἄρα μιν λοῦσθαι ποταμοῖο ῥοῇσι.
δή ῥα τότ' ἀμφιπόλοισι μετηύδα δῖος Ὀδυσσεύς·
„ἀμφίπολοι, στῆθ' οὕτω ἀπόπροθεν, ὄφρ' ἐγὼ αὐτὸς
ἅλμην ὤμοιιν ἀπολούσομαι, ἀμφὶ δ' ἐλαίῳ
χρίσομαι· ἦ γὰρ δϝηρὸν ἀπὸ χροός ἐστιν ἀλοιφή.
ἄντην δ' οὔ κεν ἐγώ γε λοέσσομαι· αἰδέομαι γὰρ
γυμνοῦσθαι κούρῃσιν ἐυπλοκάμοισι μετελθών."
ὣς ἔφαθ'· αἳ δ' ἀπάνευθεν ἴσαν, 'ϝεῖπον δ' ἄρα κούρῃ.
αὐτὰρ ὃ ἐκ ποταμοῦ χρό' ἐνίζετο δῖος Ὀδυσσεὺς
ἅλμην, ἥ ϝοι νῶτα καὶ εὐρέας ἄμπεχεν ὤμους·
ἐκ κεφαλῆς δ' ἔσμηχεν ἁλὸς χνόον ἀτρυγέτοιο.
αὐτὰρ ἐπεὶ δὴ πάντα 'λοέσσατο καὶ λίπ' ἄλειψε,
ἀμφὶ δὲ ϝείματ' ἐϝέσσαθ' ἅ ϝοι 'πόρε παρθένος ἀδμής, 228ᵃ cf. δ 253
τὸν μὲν Ἀθηναίη 'θῆκεν Διὸς ἐκγεγαυῖα 229 sq. cf. ϑ 20 σ 195
μείζονά τ' εἰσϝιδέμεν καὶ πάσσονα, κὰδ δὲ κάρητος 230-234 = ψ 157
ϝούλας ἧκε κόμας ὑακινθίνῳ ἄνθε' ὁμοίας. 230 cf. ω 369 sqq.
ὡς δ' ὅτε τις χρυσὸν περιχεύεται ἀργύρῳ ἀνὴρ

---

210 *λούσατε*] cf. § 295; *δείξατε* Nauck. ‖ *τ'*] *δ'* F mss. alia. ‖ *ὅθ'*] *ἵν'* M mss. alia.

211 *ἀλλήλῃσ' ἐκέλευσαν*] *-λῃσι* (*-λοισι*) *κ.* mss.

212 *'Οδυσσῆ'*] *-σσέα* P M X mss. alia; cf. Δ 491 ρ 301.

215 *χρυσέῃ*] cf. § 18 et 61.

216 *δ' ἄρα μιν λοῦσθαι*] *δ' ἄρα μιν λούσασθαι* F H, *δὲ λοέσσασθαι* Nauck; vid. § 295.

217-223] spurii? vid. ad vs. 129.

217 *μετηύδα*] *-δαε*? cf. § 191.

219 *ἀπολούσομαι*] cf. § 295; *ἀπονίψομαι* Nauck, cf. Κ 575 σ 172, 179.

220 *ἀλοιφή*] *oleum*? Corpori inunguendo etiam σ 179 inservit; alias vox *adipem suillam* significat (Ι 208 etc.).

221 sq.] vid. ad vs. 129.

221 *οὔ κεν* § 326] *οὐκ ἄν* mss.

224-316] om. P.

224 *ὃ*] **ὅς*? alii *ὅ γ'*, vid. § 15. ‖ *χρό' ἐνίζετο*] *χρόα ν.* mss.; de duplici obiecto vid. Π 667 Σ 345 Φ 122.

226 *ἔσμηχεν*] †, cf. *νεόσμηκτος* Ν 342. ‖ *χνόον*] †, *spumam*; cf. *ἄχνη* Δ 426 Λ 307 Ο 626 ε 403 μ 238.

227 *λίπ'*] cf. § 13.

228 *ϝείματ' ἐϝέσσαθ'*] *-τα ἕσσαθ'* mss.

229-232] imitatur Verg. Aen. I 589-593.

230 *εἰσϝιδέμεν* § 126] *εἰσιδέειν* mss.

231] *nigros* (vid. ad Λ 528) *crisposque* Ulixi capillos hic tribuit poeta, cf. π 176; *flava* vero dicitur eius caesaries ν 399. ‖ *ὑακινθίνῳ*] adi. nonnisi l. parall. redit, *ὑάκινθος* Ξ 348 h. Cer. 7, 427 h. XVIII 25. Quae floris species significetur incertum. ‖ *ἄνθε'* § 71] *ἄνθει* mss.

232 *περιχεύεται*] cf. γ 426; *circumdare* recte vertit Verg. Aen. I 593.

Ϝίδρις, ὃν Ἥφαιστος 'δέδαεν καὶ Παλλὰς Ἀθήνη
τέχνην παντοίην, — χαρίεντα δὲ Ϝέργα τελείει, —
ὣς ἄρα τῷ κατέχευε χάριν κεφαλῆς τε καὶ ὤμων. 235 cf. ϑ 19 ψ 162
ἕζετ' ἔπειτ' ἀπάνευθε κιὼν ἐπὶ θῖνα θαλάσσης, 236 cf. β 260
κάλλεϊ καὶ χάρισι στίλβων· 'θηεῖτο δὲ κούρη.
δή ῥα τότ' ἀμφιπόλοισιν ἐυπλοκάμοισι μετηύδα·
„κλῦτέ μοι, ἀμφίπολοι λευκώλενοι, ὄφρα τι Ϝείπω.
οὐ πάντων ἀϜέκητι θεῶν, οἳ Ὄλυμπον ἔχουσι,
Φαιήκεσσ' ὅδ' ἀνὴρ ἐπιμίσγεται ἀντιθέοισι·
πρόσθεν μὲν γὰρ δή μοι ἀϜεικέλιος 'δέατ' εἶναι,
νῦν δὲ θεοῖσι ϜέϜοικε τοὶ οὐρανὸν εὐρὺν ἔχουσι. 243 cf. π 200
αἲ γὰρ ἐμοὶ τοιόσδε πόσις κεκλημένος εἴη 244 cf. h. Ven. 242 sq.
ἐνθάδε ναιετάων, καί Ϝοι Ϝάδοι αὐτόθι μίμνειν.
ἀλλὰ δότ', ἀμφίπολοι, ξείνῳ βρῶσίν τε πόσιν τε.“ 246 = 209
ὣς ἔφαθ'· αἳ δ' ἄρα τῆς μάλα μὲν 'κλύον ἠδ' ἐπίθοντο, 247 = υ 157 cf. H 379
πὰρ δ' ἄρ' Ὀδυσσῆι ἔθεσαν βρῶσίν τε πόσιν τε.
ἦ τοι ὃ 'πῖνε καὶ ἦσθε πολύτλας δῖος Ὀδυσσεὺς 249 cf. η 177
ἁρπαλέως· δϜηρὸν γὰρ ἐδητύος ἦεν ἄπαστος.
αὐτὰρ Ναυσικάα λευκώλενος ἄλλ' ἐνόησε·
Ϝείματ' ἄρα πτύξασα 'τίθει καλῆς ἐπ' ἀπήνης,
'ζεῦξεν δ' ἡμιόνους κρατερώνυχας, ἂν δ' ἔβη αὐτή· 253 cf. Ω 277

244 sq. Ar. —, priorem tamen dubitanter; vid. annot.

234] del. Fick.

235 *κατέχευε*] item ϑ 19; *περίχευε* legitur versu parallelo ψ 162. ‖ **κεφαλῆς . . . ὤμων*] *κεφαλῇ . . . ὤμοις* mss., vid. § 60 et Ψ 282. Vitium redit ϑ 19 ψ 162.

236-247] del. Duentzer.

236 *θῖνα* (Ar.)] *θινὶ* G^2 M X mss. alia; cf. β 260.

237] cf. Γ 392. ‖ *χάρισι*] *χάριτι* H^2 K Apoll. lex. fortasse recte.

239 *μοι*] *μευ* Ar.; cf. β 262. ‖ *ὄφρα τι*] *ὅττι κεν* Y.

241 *ἐπιμίσγεται*] *-ξεται* Ar. U^2 Y i.

242 *'δέατ'(ο)*] cf. § 305.

244 sq.] fuere qui virgine indignum hoc votum haberent, morum hanc simplicitatem non ferentes (lascivam immodestiam vocat Plutarch. Mor. 27*b*). In his videtur fuisse Aristarchus, qui de priore tamen versu dubitabat, Alcmanem enim (fr. 23) hunc imitatum videri. Ephorus vero optimo iure locum poetae vindicavit, *εὐφυᾶ πρὸς ἀρετὴν* Nausicaae indolem hinc apparere contendens; vid. ad η 311 sqq. — In versu tamen 245 incommodum est *καί Ϝοι*, quod ita defendere studet HKratz (in Hentzii Appendice critica): „das Schöne dieses Verses „besteht eben darin, dass wir in *καί οἱ* „nicht mehr den 'ideal gedachten' Gatten „vor uns haben, sondern dass sich in dem „Herzen und in den Gedanken des Mädchens „unwillkürlich der wirkliche Odysseus selbst „jenem unterschiebt." Apud Nauckium proponitur *ἦ Ϝοι*, Hartman *ἧ ᾧ* (*ἧ' ᾧ*, vid. § 16) coll. ψ 136. — Si deletur versus, nimis abrupta fit puellae oratio.

245 *αὐτόθι*] *ἐνθάδε* X.

253 *ζεῦξεν δ'* F M] *ζεῦξέ θ' ὑφ'* G^1 H, *ζεῦξε δ' ὑφ'* X, *ζεῦξε δ' ἐφ'* Y, *ζεῦξάν θ'* G^2 (cf. vs. 73).

ὤτρυνεν δ' Ὀδυσῆα Ϝέπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε·
„ὄρσεο δὴ νῦν, ξεῖνε, πόλινδ' ἴμεν', ὄφρα σε πέμψω
πατρὸς ἐμοῦ πρὸς δῶμα δαΐφρονος, ἔνθα σε φημὶ
πάντων Φαιήκων Ϝειδησέμεν' ὅσσοι ἄριστοι.
ἀλλὰ μάλ' ὧς Ϝέρδειν· — δοκέεις δέ μοι οὐκ ἀπινύσσειν· — 258 cf. ε 342
ἧος μέν κ' ἀγροὺς ἴομεν καὶ Ϝέργ' ἀνθρώπων,
τόφρα σὺν ἀμφιπόλοισι μεθ' ἡμιόνους καὶ ἅμαξαν
καρπαλίμως ἔρχεσθαι· ἐγὼ δ' ὁδὸν ἡγεμονεύσω. 261^b = η 30
αὐτὰρ ἐπεὶ πόλιος ἐπιβήομεν, ἣν πέρι πύργος
ὑψηλός, καλὸς δὲ λιμὴν Ϝεκάτερθε πόληος,
λεπτὴ δ' εἰσίθμη· νῆες δ' ὁδὸν ἀμφιϜέλισσαι
ϜεϜρύαται· πᾶσιν γὰρ ἐπίστιόν ἐστι Ϝεκάστῳ.
ἔνθα δέ τέ σφ' ἀγορὴ καλὸν Ποσιδήιον ἀμφὶ,
ῥυτοῖσιν λάεσσι κατωρυχέεσσ' ἀραρυῖα. 267^a = ξ 10
ἔνθα δὲ νηῶν ὅπλα μελαινάων ἀλέγουσι,
πείσματα καὶ σπεῖρα, καὶ ἀποξύουσιν ἐρετμά.
οὐ γὰρ Φαιήκεσσι μέλει βιὸς οὐδὲ φαρέτρη,
ἀλλ' ἱστοὶ καὶ ἐρετμὰ νεῶν καὶ νῆες ἐϜῖσαι,
ᾗσιν ἀγαλλόμενοι πολιὴν περάουσι θάλασσαν.

255 *δὴ νῦν*] *νῦν δὴ* vel *νῦν ὦ* mss. pleraque.

256 *ἐμοῦ*] *ἐμεῦ* Zen.; vid. ad Ξ 118.

257 *Ϝειδησέμεν'*] *cogniturum*; cf. Α 546 η 327 h. Ap. 484 et § 212. Ingeniose vHerwerden *ἔτι δηέμεν*.

258 *ὧς* Hoffmann] *ὧδ'* mss. ‖ *ἀπινύσσειν*] sic Ar., *ἀπινύσκειν* Aristoph.; cf. ε 342.

259-290] postea additos censet Kirchhoff, vs. 263-290 et vs. 300-312 del. Fick, vs. 289-312 ex alio fonte desumtos putat Seeck.

259 *ἧος* Nauck] *ὄφρα* (sic G X mss. alia) vel *ὄφρ' ἂν* mss.; cf. Α 187.

260 *ἅμαξαν*] *ἄμ.* mss. pleraque.

262 *αὐτὰρ — ἐπιβήομεν*] omittitur sententia primaria. ‖ *ἐπεὶ* § 326] *ἐπὴν* mss. ‖ *ἐπιβήομεν* F^1 H^2] *-βήσομεν* M, *-βήσομαι* U, *-β(ε)ίομεν* G F^2 X.

262 sq. *πύργος | ὑψηλὸς*] *τεῖχος | ὑψηλὸν* Naber coll. Μ 333 η 44; an **πύργοι | ὑψηλοὶ*?

263 sqq.] urbis duplicisque portus haec descriptio *Corcyram* tam accurate refert ut natos esse hos vs. postquam Corcyra pro Alcinoi regno haberi coepta est suspicetur Seeck. Vid. ad ε 34 ν 163. — Duplicem portum habet etiam *Asteris* insula δ 846 sq.

264 *εἰσίθμη*] †, *aditus* (urbis); sic Ar., *εἰσισθμη* Aristoph. H^2 U non recte. Simili sensu κ 90 legitur *εἴσοδος*. Cum terminatione *-θμη* cf. *στάθμη* alia.

265 *ϜεϜρύαται* § 293] *εἰρύαται* mss. ‖ *ἐπίστιον*] † (cf. *ἱστίη* ξ 159 etc.? et vid. ad γ 234); *locus ubi subducta stat navis* (*νεώριον*)?

266 *ἀμφὶ* § 316] *ἀμφὶς* mss.

267] de viis rudi arte stratis cf. Helbig Hom. Epos^1 p. 73. *Sedilia* coll. ϑ 6, 16 (Σ 504 γ 406) intellegunt Ameis-Hentze, *ῥυτοῖσιν* enim de magnae molis saxis aptius dici quam de lapidibus plateae sternendae idoneis. ‖ *ῥυτοῖσιν*] adi. a stirpe *Ϝ(ε)ρυ(σ)* ductum (cf. § 293) nonnisi versu par. redit. ‖ *κατωρυχέεσσ'*] adi. nonnisi ι 185 redit, ubi vid.

269 *σπεῖρα*] *σπείρας* mss. nonnulla, vid. ad Β 135. ‖ *ἀποξύουσιν* Bentley] *ἀποξύνουσιν* (*-ξείνουσιν* H) mss.; verbum *ἀπο-ξύω* extat Ι 446 h. Ven. 225 (simplex Ξ 179 χ 456), vitium autem redit ι 326.

272 *ᾗσιν*] *τῇσιν* M mss. alia. ‖ *περάουσι* § 191] *περόωσι* mss.

τῶν ἀλεείνω φῆμιν ἀδευκέα, μή τις ὀπίσσω
μωμεύῃ, — μάλα δ' εἰσὶν ὑπερφίαλοι κατὰ δῆμον, —
καί νύ τις ὧς Ϝείπῃσι κακώτερος ἀντιβολήσας·
‚τίς δ' ὅδε Ναυσικάᾳ ἕπεται καλός τε μέγας τε
ξεῖνος; ποῦ δέ μιν ηὗρε; πόσις νύ Ϝοι ἔσσεται αὐτῇ.
ἦ τινά που πλαγχθέντα 'κομίσσατο Ϝῆς ἀπὸ νηὸς
ἀνδρῶν τηλεδαπῶν, ἐπεὶ οὔ τινες ἐγγύθεν εἰσί·
ἤ τίς Ϝ' εὐξαμένῃ πολυάρητος θεὸς ἦλθε
οὐρανόθεν καταβὰς, ἕξει δέ μιν ἤματα πάντα.
βέλτερον, εἰ καὐτή περ ἐποιχομένη πόσιν ηὗρε
ἄλλοθεν· ἦ γὰρ τούσδε γ' ἀτιμάζει κατὰ δῆμον
Φαίηκας, τοί μιν μνῶνται πολέες τε καὶ ἐσθλοί.'
ὧς Ϝερέουσιν, ἐμοὶ δέ κ' ὀνείδεα ταῦτα γένοιτο.
καὶ δ' ἄλλῃ νεμεσῶ, ἥ τις τοιαῦτά γε ῥέζῃ,
ἥ τ' ἀϜέκητι φίλων, πατρὸς καὶ μητρὸς ἐόντων,
ἀνδράσι μίσγηται πρίν γ' ἀμφάδιον γάμον ἐλθεῖν.
ξεῖνε, σὺ δ' ὦκ' ἐμέθεν ξυνίει Ϝέπος, ὄφρα τάχιστα
πομπῆς καὶ νόστοιο τύχῃς παρὰ πατρὸς ἐμοῖο.
δήεις ἀγλαὸν ἄλσος Ἀθήνης ἄγχι κελεύθου
αἰγείρων· ἐν δὲ κρήνη νάει, ἀμφὶ δὲ λειμών·
ἔνθα δὲ πατρὸς ἐμοῦ τέμενος τεθαλυῖά τ' ἀλωὴ,
τόσσον ἀπὸ πτόλιος, ὅσσον τ' ἐγέγωνε βοήσας·
ἔνθα καθεζόμενος μεῖναι χρόνον, εἰς ὅ κεν ἦμες

275 cf. Χ 106
281ᵃ = Λ 184
286 cf. Ψ 494
286ᵇ cf. α 47
289 cf. ϑ 241
294 cf. ε 400

275-288 Ar.

273 ἀδευκέα] cf. δ 489.
274 μωμεύῃ] †, cf. μωμάομαι Γ 412.
275-288] hinc alienos minusque decoros censebat Ar.; egregie defendit Nitzsch, vs. 280 sq. tamen damnans.
275 νύ] κέ H². Cf. § 108. ‖ ὦ; Bentley] ὧδ' mss.
276 sq.] μέγας τε; | ξεῖνος· ποῦ Lehrs.
277 Ϝοι] τοι F¹ Y.
279 ἐγγύθεν εἰσί] cf. Ρ 554 Χ 295 ζ 312. An *ἐγγὺς ἔασι? cf. Χ 153 Ω 365 ω 495.
280 *Ϝ'(οι)] οἱ mss.; cf. Ε 4 ι 360 ο 105. ‖ πολυάρητος] vid. ad Ρ 37.
281 ἕξει] ἄξει b et l. a. in schol.
282 καὐτή] crasis novicia, cf. § 9; Burney γ' αὐτή, Nitzsch ἤ κ' αὐτή, vHerwerden πάντῃ coll. Λ 384 Ε 495 etc.
285 δέ κ'] δ' ἂν Eust.; vid. § 326.
286 ῥέζῃ Schaefer] ῥέζοι mss.; cf. Ψ 494 α 414.
287 ἥ τ'] ἠδ' Ar.
288 μίσγηται] *se intermisceat*, ut α 209 ζ 136 alibi.
289 ὦκ' Ar.] ὧδ' mss. (om. G); cf. Β 26 Ω 133.
290 ἐμοῖο] ἐμεῖο Zen. (sic H Y?); vid. ad Ξ 118.
291 δήεις] sic mss. „meliora" apud Didymum; δήομεν hodierna. ‖ κελεύθου] θαλάσσης H.
292 ἐν] ἐκ F H¹ M.
293] del. Koechly, utpote cum η 112 sqq. pugnantem.
295 ἦμες § 92] ἡμεῖς mss.

Ϝάστυδ' ἀνέλθωμεν καὶ ἱκώμεθα δώματα πατρός.
αὐτὰρ ἐπεί κ' ἐμὲ Ϝέλπηαι ποτὶ δώματ' ἀφῖχθαι,
καὶ τότε Φαιήκων ἴμεν' εἰς πόλιν ἠδ' ἐρέεσθαι
δώματα πατρὸς ἐμοῦ μεγαλήτορος Ἀλκινόοιο.
ῥεῖα δ' ἀρίγνωτα· καί κεν πάις ἡγήσαιτο
νήπιος, οὐ μὲν γάρ τι ϜεϜοικότα τοῖσι τέτυκται
δώματα Φαιήκων, οἷος δόμος Ἀλκινόοιο
ἥρωος. ἀλλ' ὅτε κέν σε δόμοι κεκύθωσι καὶ αὐλὴ,
ὦκα μάλα μεγάροιο διελθέμεν', ὄφρα χ' ἵκηαι
μητέρ' ἐμήν. ἡ δ' ἧσται ἐπ' ἐσχάρῃ ἐν πυρὸς αὐγῇ,
ἠλάκατα στροφάουσ' ἁλιπόρφυρα, θαῦμα Ϝιδέσθαι,
κίονι κεκλιμένη· δμῳαὶ δέ Ϝοι ἥατ' ὄπισθε.
ἔνθα δὲ πατρὸς ἐμοῖο θρόνος ποτικέκλιται αὐτῇ,
τῷ ὅ γε Ϝοινοποτάζει ἐφήμενος ἀθάνατος ὥς.
τὸν παραμειψάμενος μητρὸς περὶ γούνασι χεῖρας
βαλλέμεν' ἡμετέρης, ἵνα νόστιμον ἦμαρ ἴδηαι
χαίρων καρπαλίμως, εἰ καὶ μάλα τηλόθεν ἐσσί."
ὧς ἄρα φωνήσασ' ἵμασεν μάστιγι φαεινῇ
ἡμιόνους· αἳ δ' ὦκα 'λίπον ποταμοῖο ῥέεθρα.
αἳ δ' εὖ μὲν 'τρόχαον, εὖ δ' ἐπλίσσοντο πόδεσσι·

300ᵃ cf. Ο 490
306 cf. ν 108
306ᵃ = 53
312 = η 194
316 cf. Λ 531

εἴ κέν τοι κείνη γε φίλα φρονέῃσ' ἐνὶ θυμῷ,
Ϝελπωρή τοι ἔπειτα φίλους Ϝιδέμεν καὶ ἱκέσθαι
Ϝοῖκον ἐϋ κτίμενον καὶ σὴν εἰς πατρίδα γαῖαν.

313 sq. = η 75 sq.
314ᵃ = β 280
314ᵇ sq. = δ 475 sq.
315 cf. η 77

296 ἄστυδ' ἀνέλθωμεν Naber] ἄστυδε ἔλθωμεν mss.; cf. ε 190. Bentley Ϝάστυ διέλθωμεν coll. ζ 304 η 40, PKnight Ϝάστυδέ τ' ἔλθωμεν; an *Ϝάστυδ' ἐσέλθωμεν (cf. Ζ 365 α 88 ρ 52)?
297 ἐπεί κ' § 326] ἐπὴν mss. ‖ *ἐμὲ Ϝέλπηαι] ἡμέας ἔλπῃ mss.; vid. § 117. An *ἦμας Ϝέλπηαι δώματ' (de metro cf. ε 62)? ‖ δώματ' ἀφῖχθαι] δώματα ἵχθαι Aristoph.
298 ἐρέεσθαι] l. a. ἔρχεσθαι.
300 *ἀρίγνωτα· καί κεν] ἀρίγνωτ' ἐστί· καὶ ἂν mss.; cf. § 326 et ϑ 208 ι 366.
302 οἷος] τοῖος Y.
303 ἥρωος] cf. § 17 et Η 453 ϑ 483. ‖ *ὅτε κέν] ὁπότ' ἂν mss.; cf. § 326. ‖ κεκύθωσι] κεκεύθωσι mss. complura, κεύθωσι Y Z; κε κύθωσι Fick metro invito. Cf. § 214.
304 μάλα] μάλ' ἐκ mss. complura. ‖ ὄφρα χ' § 326] ὄφρ' ἂν mss.
305] matris nomen desiderans Koechly supplet Ἀρήτη, θυγάτηρ 'Ρηξήνορος ἀντιθέοιο (cf. η 146). Vid. tamen η 54 sqq.
306 sq.] ordine inverso habet F¹.
306 στροφάουσ' § 191 et 248] στροφόωσ' G, στρωφῶσ' mss. cett. ‖ ἁλιπόρφυρα] vid vs. 53.
307 ἥατ' § 220] εἵατ' mss.
308 ἐμοῖο] ἐμεῖο Y, cf. vs. 290. ‖ αὐτῇ] αὐγῇ G² F² mss. alia.
310 περὶ] ποτὶ G F² mss. alia.
311 βαλλέμεν' § 125] βάλλειν mss. ‖ ἴδηαι] neglecto Ϝ; Bentley ἵκηαι, cf. γ 233.
313-315] om. G U, in marg. habent F H T.
313 κέν] γάρ H.
314] de aoristi infinitivis vid. ad β 280. ‖ Ϝιδέμεν § 126] τ' ἰδέειν mss.
318] del. Duentzer. ‖ 'τρόχαον § 191] τρώχων mss.; τρεχέτην non male Callistratus

ἣ δὲ μάλ' ἡνιόχευεν, ὅπως ἅμ' ἑποίατο πεζοὶ
ἀμφίπολοί τ' Ὀδυσεύς τε· νόῳ δ' ἐπέβαλλεν ἱμάσθλην.
'δύσετό τ' ἠέλιος καὶ τοὶ κλυτὸν ἄλσος ἵκοντο 321ª = β 388
ἱρὸν Ἀθηναίης, ἵν' ἄρ' ἕζετο δῖος Ὀδυσσεύς.
αὐτίκ' ἔπειτ' ἠρᾶτο Διὸς κούρῃ μεγάλοιο· 323 cf. Z 304
„κλῦθί μοι, αἰγιόχοιο Διὸς τέκος, ἀτρυτώνη· 324 = E 115
νῦν δή πέρ μὲ' ἄκουσον, ἐπεὶ πάρος οὔ ποτ' ἄκουσας
ῥαιομένοι', ὅτε μ' ἔρραιε κλυτὸς ἐνοσίγαιος.
δός μ' εἰς Φαίηκας φίλον ἐλθέμεν' ἠδ' ἐλεεινόν.“ 327 cf. Ω 309

ὣς ἔφατ' εὐχόμενος· τοῦ δ' ἔκλυε Παλλὰς Ἀθήνη. 328 = E 121
αὐτῷ δ' οὔ πω ἐφαίνετ' ἐναντίη, ἥδετο γάρ ῥα 329ᵇ sq.ª cf. Φ 468
πατροκασίγνητον· ὃ δ' ἐπιζαφέλως 'μενέαινε 330ᵇ cf. α 20
ἀντιθέῳ Ὀδυσῆι πάρος Ϝὴν γαῖαν ἱκέσθαι. 331 = α 21

(τρέχον P[2] H[2]). || ἐπλίσσοντο] ὁπλίσσοντο G W et l. a. in F (aperto errore). Verbum †, cf. διαπεπλιγμένον (sic Hemsterhuis pro -πεπληγμένον) Archil. fr. 60 *late divaricatis cruribus, magnis gressibus (wijdbeens) incedentem*, ἀμφιπλίξ Sophocl. fr. 538, ἀπεπλίξατο Aristoph. Acharn. 218.

320 ἐπέβαλλεν] cf. Z 68.

323-327] del. Bergk.

324 μοι] μευ (μὲ') H[2] Y[1] K; cf. β 262.

325 μὲ' § 92] μευ mss.

326 ῥαιομένοι' § 59] -νου mss. || ἐνοσίγαιος H] εἰνοσ. q, ἐννοσ. mss. cett.; cf. § 21.

327 ἐλθέμεν' § 125] ἐλθεῖν mss.

328-331] del. PKnight. Versus cum initio libri sequentis (η 19 sqq.) aperte pugnantes addidisse videtur rhapsodus aliquis ut hic subsistere posset.

329 ἐφαίνετ'] φαίνετ' mss. || ἐναντίη] ἐναντίον F[1] X mss. alia. || ἥδετο] αἴδετο (ἅζετο G T U) mss.

330 ἐπιζαφέλως] cf. I 516.

ΟΔΥΣΣΕΙΑΣ η.

Ὀδυσσέως εἴσοδος πρὸς Ἀλκίνοον.

ὣς ὃ μὲν ἔνθ' ἠρᾶτο πολύτλας δῖος Ὀδυσσεύς, 1 cf. ζ 1
κούρην δὲ προτὶ Ϝάστυ 'φέρεν μένος ἡμιόνοιιν.
ἣ δ' ὅτε δὴ Ϝοῦ πατρὸς ἀγακλυτὰ δώμαθ' ἵκανε,
'στῆσεν ἄρ' ἐν προθύροισι· κασίγνητοι δέ μιν ἀμφὶ
ἵσταντ' ἀθανάτοισιν ἀλίγκιοι, οἵ ῥ' ὑπ' ἀπήνης
ἡμιόνους ἔλυον Ϝεσθῆτά τε εἴσφερον εἴσω.
αὐτὴ δ' εἰς θάλαμον ἐϜὸν ἤιε· 'δαῖε δέ Ϝοι πῦρ
γρηῢς Ἀπειραίη θαλαμηπόλος Εὐρυμέδουσα,
τήν ποτ' Ἀπείρηθεν νέες ἤγαγον ἀμφιϜέλισσαι·
Ἀλκινόῳ δ' αὐτὴν γέρας ἔξελον, οὕνεκα πᾶσι
Φαιήκεσσ' ἐϜάνασσε, θεοῦ δ' ὣς δῆμος ἄκουε.
ἣ 'τρέφε Ναυσικάαν λευκώλενον ἐν μεγάροισι.
ἥ Ϝοι πῦρ ἀνέκαιε καὶ εἴσω δόρπον ἐκόσμει.
καὶ τότ' Ὀδυσσεὺς ὦρτο πόλινδ' ἴμεν'· ἀμφὶ δ' Ἀθήνη

13 Zen. —— (etiam Aristarchum obelo notasse versum iure statuit Ludwich; cf. θ 23 π 281).

1] del. Lehrs.

4 ἀμφὶ] ἀμφὶς mss.; cf. § 316 et ω 45.

5 ἀθανάτοισιν ἀλίγκιοι G[1]] -τοισ' ἐναλίγκιοι mss. cett.; cf. Z 401 θ 174 et v. l. ι 223.

6 τε εἴσφερον] de hiatu vid. § 15.

8 Ἀπειραίη] *Apira = Epirus?* an ignotae regionis nomen? Vox †, cf. vs. 9; notetur ᾰ. || θαλαμηπόλος] vox redit ψ 293; vid. ad ι 432 et ad A 63. || Εὐρυμέδουσα] -λουσα G F[2].

9 Ἀπείρηθεν] vid. ad vs. 8.

10 αὐτὴν] pronominis usus novicius, cf. § 98.

11 Φαιήκεσσ' ἐϜάνασσε] -σσιν ἄνασσε mss.

12 sq.] impf. 'τρέφε significat *solebat curare*, ἀνέκαιε vero et ἐκόσμει vert. *coepit incendere ignem et coenam vespertinam apponere*.

13 δόρπον ἐκόσμει] *'κόσμεε δόρπον?

14-17] cf. Verg. Aen. I 410-414.

14 ἀμφὶ δ' G F[2]] αὐτὰρ mss. pleraque. Cf. N 544 P 268.

πολλὴν ἠέρ' ἔχευε φίλα φρονέουσ' Ὀδυσῆι, 15 cf. 42
μή τις Φαιήκων μεγαθύμων ἀντιβολήσας
κερτομέοι Ϝε Ϝέπεσσι καὶ ἐξερέοιθ' ὅ τις εἴη.
ἀλλ' ὅτε δὴ ἄρ' ἔμελλε πόλιν δύσεσθαι ἐραννὴν,
ἔνθα Ϝοι ἀντεβόλησε θεὰ γλαυκῶπις Ἀθήνη
παρθενικῇ ϜεϜικυῖα νεήνιδι, κάλπιν ἐχούσῃ.
'στῆ δὲ πρόσθ' αὐτοῖ'· ὃ δ' ἀνείρετο δῖος Ὀδυσσεύς·
„ὦ τέκος, οὔ κέν μοι δόμον ἀνέρος ἡγήσαιο
Ἀλκινόοι', ὃς τοῖσι μετ' ἀνθρώποισι Ϝανάσσει;
καὶ γὰρ ἐγὼ ξεῖνος ταλαπείριος ἐνθάδ' ἱκάνω
τηλόθεν ἐξ ἀπίης γαίης· τῶν δ' οὔ τινα Ϝοῖδα 25 cf. Α 270
ἀνθρώπων, οἳ τήνδε πόλιν καὶ γαῖαν ἔχουσι.“ 25ᵇ sq. = ζ 176 sq.
τὸν δ' αὖτε προσέϜειπε θεὰ γλαυκῶπις Ἀθήνη·
„τοιγὰρ ἐγώ τοι, ξεῖνε πάτερ, δόμον ὅν με κελεύεις 28 cf. 48
δείξω, ἐπεί μοι πατρὸς ἀμύμονος ἐγγύθι ναίει.
ἀλλ' ἴθι σιγῇ τοῖον, — ἐγὼ δ' ὁδὸν ἡγεμονεύσω, — 30ᵇ = ζ 261
μηδέ τιν' ἀνθρώπων προτιόσσεο μηδ' ἐρέεινε. 31 cf. ψ 365
οὐ γὰρ ξείνους οἵδε μάλ' ἀνθρώπους ἀνέχονται
οὐδ' ἀγαπαζόμενοι φιλέουσ', ὅς κ' ἄλλοθεν ἔλθῃ·
νηυσὶ θοῇσιν τοί γε πεποιθότες ὠκείῃσι
λαῖτμα μέγ' ἐκπεράουσιν, ἐπεί σφισι 'δῶκ' ἐνοσίχθων·

15 ἠέρ' ἔχευε] -ρα χεῦε mss.
17 *Ϝε Ϝέπεσσι] τ' ἐπέεσσι mss. ‖ εἴη] de optativo vid. § 109.
18-42] del. Koechly cum vs. 46-81.
18 ἄρ'] *τάχ'? ‖ δύσεσϑαι] δύσασϑαι F non recte. ‖ ἐραννὴν] ἐρατεινὴν U² (δύσεσϑ' ἐρατεινὴν igitur) non male; brevior tamen adiectivi forma (= ἐρασ-νός, cf. σεμνός, ἐρεμνός, ἐρεβεννός, ἁγνός) extat etiam Ι 531 = 577.
20 κάλπιν] κάλπιδ'? cf. § 66. Vox redit h. Cer. 107. ‖ ἐχούσῃ] ἔχουσα LaRoche.
21 αὐτοῖ' § 59] αὐτοῖο P, αὐτοῦ mss. cett.; an *αὐτοῖο· ὃ δ' εἴρετο?
22 οὔ κέν § 326] οὐκ ἂν mss., ἦ ῥά Aristoph. (? — ἦ ῥά νύ LaRoche, ἦ ῥ' ἂν Nauck).
23 Ἀλκινόοι' § 59] -νόου mss. ‖ *τοῖσι] τοῖσδε mss.; τοισίδ' ἐν Nauck (cf. ι 286).
25 ἀπίης] vid. ad Α 270. ‖ *τῶν δ'] τῷ mss. syllaba -ῳ vitiose producta; vid. § 14 et ζ 176.
26 γαῖαν ἔχουσι F P X] ἔργα νέμονται G H M (cf. Β 751) non recte, agriculturae enim mentio hinc aliena et durior sic fit constructio.
28 ξεῖνε πάτερ] redit locutio η 48 ϑ 145 ρ 553.
30 τοῖον] vid. ad α 209.
31 ἐρέεινε] ἐρεείνου D.
32 οἵδε P H] οἵ γε mss. pleraque.
33 ὅς κ' ἄλλοϑεν ἔλϑῃ] ὅτε κέν τις ἵκηται schol. ν 119. ‖ ἔλϑῃ G F mss. alia] ἔλϑοι mss. pleraque.
34-36] del. Hartman; vs. 36, quocum conferantur comparationes cognatae Ο 80-82 et Χ 199-201, deleverat PKnight.
34 νηυσὶ ϑοῇσιν τοί γε] versus elumbis, neque ϑοῇσιν … ὠκείῃσι potest ferri; *νήεσσιν δ' ἄρα τοί γε? Fick νηυσὶ δὲ τοί γε ϑοῇσι. Vulgatam sequi videtur Soph. Ai. 710 (ϑοᾶν ὠκυάλων νεῶν).
35 ἐκπεράουσιν § 191] -ρόωσιν mss. ‖ 'δῶκ' ἐνοσίχϑων] l. a. δῶκε Κρονίων.

τῶν νέες ὠκεῖαι ὡς εἰ πτερὸν ἠὲ νόημα.“
ὣς ἄρα φωνήσασ' ἡγήσατο Παλλὰς Ἀθήνη 37 sq. = β 405 sq.
καρπαλίμως· ὃ δ' ἔπειτα μετ' ἴχνεα 'βαῖνε θεοῖο.
τὸν δ' ἄρα Φαίηκες ναυσικλυτοὶ οὐκ ἐνόησαν
ἐρχόμενον κατὰ Ϝάστυ διὰ σφέας· οὐ γὰρ Ἀθήνη
εἴα' ἐυπλόκαμος, δϜεινὴ θεός, ἠέρα δέ Ϝοι
θεσπεσίην κατέχευε φίλα φρονέουσ' ἐνὶ θυμῷ. 42 cf. 15
'θαύμαζεν δ' Ὀδυσεὺς λιμένας καὶ νῆας ἐϜίσας
αὐτῶν θ' ἡρώων ἀγορὰς καὶ τείχεα μακρὰ
ὑψηλὰ, σκολόπεσσιν ἀρηρότα, θαῦμα Ϝιδέσθαι.
ἀλλ' ὅτε δὴ βασιλῆος ἀγακλυτὰ δώμαθ' ἵκοντο,
τοῖσι δὲ μύθων ἦρχε θεὰ γλαυκῶπις Ἀθήνη·
„οὗτος δή τοι, ξεῖνε πάτερ, δόμος, ὅν με κελεύεις 48 cf. 28
πεφραδέμεν· δήεις δὲ διοτρεφέας βασιλῆας
δαίτην δαινυμένους· σὺ δ' ἔσω κίε μηδέ τι θυμῷ 50ᵇ sq.ᵃ cf. Φ 574 sq.
τάρβεε· θαρσαλέος γὰρ ἀνὴρ ἐν πᾶσιν ἀμείνων.
δέσποιναν μὲν πρῶτα κιχήσεαι ἐν μεγάροισι·
Ἀρήτη δ' ὄνομ' ἐστὶν ἐπώνυμον, ἐκ δὲ τοκήων
τῶν αὐτῶν οἵ περ 'τέκον Ἀλκίνοον βασιλῆα.
Ναυσίθοον μὲν πρῶτα Ποσειδάων ἐνοσίχθων
'γείνατο καὶ Περίβοια, γυναικῶν Ϝεῖδος ἀρίστη,
ὁπλοτάτη θυγάτηρ μεγαλήτορος Εὐρυμέδοντος,

52 Ϝέργοισιν τελέϑει, εἴ καί ποϑεν ἄλλοϑεν ἔλϑοι.

38 *ἴχνεα] ἴχνια mss.; vid. ad Ν 71.
39-45] del. Hentze, vs. 39-42 Kirchhoff.
41 εἴα' § 191] εἴα mss. ‖ *ἠέρα δέ Ϝοι] ἦ ῥά οἱ ἀχλὺν Ar. mss.; ἦ σφισιν ἀχλὺν Zen., quam lectionem vulgatae praeferendam esse docuit Naber; vid. de discrimine vocum ἀήρ et ἀχλύς ad Ο 668-673. At Zenodoti quoque lectio (an coniectura?) est reicienda, nam, ut observavit Ar., e versibus 15, 140, 143 apparet Minervam non caecos reddidisse cives sed Ulixem cava nube occuluisse.
45 σκολόπεσσιν] σκοπέλοισιν P¹ W Y, quae errori tribuenda videtur lectio; si antiqua esset, σκοπέλοισι ϜεϜοικότα posset conici. — Perexigua his temporibus fuisse urbium munimenta apparet, si huiusmodi convallationes admirationem ciebant; cf. Helbig Hom. Epos¹ p. 71.
48 ξεῖνε πάτερ] vid. vs. 28.
49 βασιλῆας] vid. ad α 386.
51 τάρβεε § 191] τάρβει mss.
52] del. PKnight. ‖ ποϑεν] μάλα τηλόϑεν P H² (omittendum igitur fuerat ἄλλοϑεν), ut Ε 478 ζ 312 η 194. Cf. η 33; Nitzsch νέον ἄλλοϑεν.
53 μὲν] δὲ G i.
54 δ'] *Ϝ'(οι)? an *δέ Ϝοι οὔνομ' ἐπ.? ‖ τοκήων] sensu προγόνων †; vid. tamen ad vs. 56-68.
55 τῶν αὐτῶν] novicium, cf. § 98.
56-68] del. Kirchhoff, ignotos enim fuisse Hesiodo, qui teste schol. Areten Alcinoi sororem uterinam fecerit (fr. 95 Rzach); vs. autem 69 pro ὣς olim τῷ fuisse scriptum putat Kirchhoff. Vid. tamen quae ad vs. 146 observavimus.

ὅς ποθ' ὑπερθύμοισι Γιγάντεσσιν 'βασίλευε.
ἀλλ' ὃ μὲν ὤλεσε λαὸν ἀτάσθαλον, ὤλετο δ' αὐτός· 60 cf. X 104 ψ 68
τῇ δὲ Ποσειδάων ἐμίγη καὶ ἐγείνατο παῖδα
Ναυσίθοον μεγάθυμον, ὃς ἐν Φαίηξ' ἐϜάνασσε.
Ναυσίθοος δ' ἔτεκε Ῥηξήνορά τ' Ἀλκίνοόν τε.
τὸν μὲν ἄκουρον ἐόντα 'βάλ' ἀργυρότοξος Ἀπόλλων
νυμφίον, ἐν μεγάρῳ μίαν οἴην παῖδα λιπόντα
Ἀρήτην· τὴν δ' Ἀλκίνοος 'ποιήσατ' ἄκοιτιν,
καί μιν ἔτισ' ὡς οὔ τις ἐπὶ χθονὶ τίεται ἄλλη,
ὅσσαι νῦν γε γυναῖκες ὑπ' ἀνδράσι Ϝοῖκον ἔχουσι.
ὣς κείνη περὶ κῆρι τετίμηταί τε καὶ ἔστι
ἔκ τε φίλων παίδων ἔκ τ' αὐτοῖ' Ἀλκινόοιο
καὶ λαῶν, οἵ μίν ῥα θεὸν ὣς εἰσοράοντες
δεδϜέχαται μύθοισιν, ὅτε στείχῃσ' ἀνὰ Ϝάστυ.
οὐ μὲν γάρ τι νόου γε καὶ αὐτὴ δεύεται ἐσθλοῦ,
Ϝῇσι δ' ἐπιφροσύνῃσι καὶ ἀνδράσι νείκεα λύει.
εἴ κέν τοι κείνη γε φίλα φρονέῃσ' ἐνὶ θυμῷ, 75 sq. = ζ 313 sq.
Ϝελπωρή τοι ἔπειτα φίλους Ϝιδέμεν καὶ ἱκέσθαι 76ᵇ = δ 475
Ϝοῖκον ἐς ὑψόροφον καὶ σὴν εἰς πατρίδα γαῖαν." 77 = κ 474 cf. δ 476 ζ 315
ὣς ἄρα φωνήσασ' ἀπέβη γλαυκῶπις Ἀθήνη 78 = γ 371
πόντον ἔπ' ἀτρύγετον, 'λίπε δὲ Σχερίην ἐρατεινήν·
ἵκετο δ' εἰς Μαραθῶνα καὶ εὐρυάγυιαν Ἀθήνην,
'δῦνε δ' Ἐρεχθῆος πυκινὸν δόμον.
αὐτὰρ Ὀδυσσεὺς
Ἀλκινόου πρὸς δώματ' ἴε κλυτά· πολλὰ δέ Ϝοι κῆρ
ὥρμαιν' ἱσταμένῳ πρὶν χάλκεον οὐδὸν ἱκέσθαι.
ὥς τε γὰρ ἠελίοι' αἴγλη 'πέλετ' ἠὲ σελήνης 84 sq.ᵃ = δ 45 sq.
δῶμα κάθ' ὑψερεφὲς μεγαλήτορος Ἀλκινόοιο.
χάλκειοι μὲν τοῖχοι ἐληλάατ' ἔνθα καὶ ἔνθα, 86ᵇ sq.ᵃ cf. 95 sq.
εἰς μυχὸν ἐξ οὐδοῦ, περὶ δὲ θριγκὸς κυάνοιο·
χρύσειαι δὲ θύραι πυκινὸν δόμον ἐντὸς ἔϜεργον·
σταθμοὶ δ' ἀργύρεοι ἐν χαλκέῳ ἕστασαν οὐδῷ,
ἀργύρεον δ' ἐφ' ὑπερθύριον, χρυσέη δὲ κορώνη.
χρύσειοι δ' ἑκάτερθε καὶ ἀργύρεοι κύνες ἦσαν,
οὓς Ἥφαιστος ἔτευξε Ϝιδυίῃσι πραπίδεσσι 92 cf. Α 608
δῶμα φυλασσέμεναι μεγαλήτορος Ἀλκινόοιο.

80 veteribus suspectus.

94 ἀθανάτους ὄντας καὶ ἀγήρως ἤματα πάντα. 94 cf. Θ 539

62 Φαίηξ' ἐϜάνασσε] -ξιν ἄνασσε mss.
64 ἄκουρον] †, *sine filiis* vertendum esse ex contextu apparet. Ex *Arcadum* aut *Thracum* glossa ἀγούρους (= ἐφήβους) in Etym. Gudiano 124,15 et apud Eust. 1788,58 commemorata (quos locos ex Aristophane Byz. fluxisse ostendit Nauck de Arist. p. 96) Bekker incerta admodum coniectura effecit Aristophanem nostro loco ἄγουρον legisse (hinc corrigatur Lex. Hom. Ebeling. s. v. ἄκουρος). Nauck ἄωρον, sed hoc adi. apud Hom. non extat (nam μ 89 huc non pertinet) et vitiose sic adderetur ἐόντα.
65 νυμφίον] *cum nuper uxorem duxisset*; vocis, quae Ψ 223 redit, non urgendum esse sensum e sequentibus verbis apparet. Cf. νύμφα Γ 130 δ 743.
69-74] del. PKnight.
69 τε καὶ ἔστι] nihili voculae; deleto vs. 70 (qui post vs. 67 abundat) tentavimus *τεκέεσσι | καὶ λαοῖσ'; lenius Hartman γεράεσσι (nihil delens), sic tamen displicet περὶ κῆρι.
70 αὐτοῖ' § 59] αὐτοῦ mss.
71 εἰσοράοντες § 191] -όωντες mss.
72 δεδϜέχαται § 134] δειδέχαται mss.
74 ᾗσι(ν)] sic mss. „meliora" apud Didymum, οἷσι(ν) mss. complura. || δ' Hartman] τ' mss. || ἐπιφροσύνῃσι IHVoss] εὐφρονέῃσι vel ἐυφρονέῃσι mss. (quod verbum apud Hom. non redit), εὐφροσύνῃσι l. a. apud Eust., quam coll. ζ 156 reiecit Nitzsch. De voce ἐπιφροσύνη vid. ad ε 437 et cf. Apoll. Rh. IV 1115. || ἀνδράσι] ἀνδρῶν X².
76] de aoristi infinitivis vid. ad β 280. || Ϝιδέμεν § 126] ἰδέειν F² X, τ' ἰδέειν mss. cetera.
79 Σχερίην] vid. ad ε 34. || ἐρατεινήν] l. a. ἐρίβωλον.
80] *Marathon* cur commemoretur non apparet (incredibilia hinc efficit Seeck Quellen p. 335). || Ἀθήνην] vid. ad γ 278.
81 Ἐρεχθῆος πυκινὸν δόμον] Minervae Poliadis templum significari apparet, cf. *B* 549.
84-131] del. Lehrs.
84 sq.] non de externa aedium facie haec sunt intellegenda, sed significatur splendor τοῦ μεγάρου per ianuam apertam conspicuus; cf. locus par.
84 ἠελίοι' § 59] -λίου mss. || 'πέλετ' § 275] πέλεν mss.
86] *laminis aereis* obducti sunt parietes, ut in Menelai aedibus δ 73 sqq., ubi vid. || *χάλκειοι μὲν] χάλκεοι μὲν G F, χάλκεοι γὰρ P, χάλκεοι μὲν γὰρ mss. pleraque; cf. § 61. Menrad χαλκόο μὲν γάρ. || *ἐληλάατ', cf. § 119] ἐληλέατ' P, ἐληλέδατ' mss. pleraque, ἐρηρέδατ' F X. Vitium ex versu 95 ortum; vid. ad vs. 113.
87 θριγκὸς] vox redit ρ 267, cf. θριγκόω ξ 10 (θριγκίον π 165?). Parietes conclavis prope a lacunari obit cingulum ornamentis e *vitro caeruleo* — hoc enim est κύανος — variegatum (vid. Helbig Hom. Epos[1] p. 82 sq.). Explicationem confirmant rudera quae anno 1885 Tirynthe sunt effossa; in his enim repertus est eiusmodi θριγκός e tabulis marmoreis compositus, quem gemmis vitreis (caeruleis) olim fuisse ornatum etiamnunc apparet; vid. IMueller Griech. Privatalterth. p. 348 et 355, Schuchhardt Schliemann's Ausgrabungen p. 140 sqq. — Aliter vocem adhibuit Euripides Hel. 70 et 430.
89 σταθμοὶ δ' ἀργύρεοι Barnes] ἀργύρεοι δὲ σταθμοὶ mss. metro invito. Bentley ἀργύρεοι σταθμοὶ δ'; Kayser ἀργύρεοι σταθμοί, sed abesse nequit coniunctio; Ludwich ἀργύρεοι δὲ σταθμοὶ ἐν οὐδῷ χαλκέῳ ἔσταν, sed *aoristo* (confert *B* 467 *Ω* 359) nullus hic est locus. || ἕστασαν] ἵστασαν (cf. *M* 55) mss. pleraque.
90 ὑπερθύριον] †, vox redit Hes. Scut. 271 (Herod. Mimiamb. II 65 τὰ ὑπέρθυρα); cf. πρόθυρον passim, ἀντίθυρον π 159. || χρυσέη] cf. § 18 et 61. || κορώνη] vid. ad Δ 111.
91 ἑκάτερθε] neglecto Ϝ.
93 φυλασσέμεναι] non urgenda videtur vis huius verbi, cf. vs. 101; de *viventibus* enim canibus cogitasse poetam vix est credibile (vid. tamen Σ 376, 417 sqq. et schol. τ 518 υ 66).
94] del. GHermann. Interpolatorem, quem versus 93 et 100-102 male intellecti in errorem pertraxisse videntur, produnt formae noviciae ὄντας pro ἐόντας (cf. § 302) et ἀγήρως pro -άους (cf. § 62). Sed fortasse etiam vs. 91-93 postea sunt adiecti; Duentzer del. vs. 92-94.

95 ἐν δὲ θρόνοι περὶ τοῖχον ἐρηρέδατ' ἔνθα καὶ ἔνθα, 95[b] sq.[a] cf. 86 sq.
εἰς μυχὸν ἐξ οὐδοῖο διαμπερὲς, ἔνθ' ἐνὶ πέπλοι
λεπτοὶ ἐΰ νητοὶ 'βεβλήατο, ϝέργα γυναικῶν·
98 ἔνθα δὲ Φαιήκων ἡγήτορες ἡδριάοντο.
100 χρύσειοι δ' ἄρα κοῦροι ἐΰ δμητῶν ἐπὶ βωμῶν
ἕστασαν αἰθομένας δαΐδας μετὰ χερσὶν ἔχοντες,
102 φαίνοντες νύκτας κατὰ δώματα δαιτυμόνεσσι.

---

99 *πίνοντες καὶ ἔδοντες· ἐπηετανὸν γὰρ ἔχεσκον.* 99 cf. κ 427
103 *πεντήκοντα δέ ϝοι δμωαὶ κατὰ δῶμα γυναῖκες*
αἱ μὲν ἀλετρεύουσι μύλη{σ}' ἔπι μήλοπα καρπὸν,
105 *αἱ δ' ἱστοὺς ὑφάουσι καὶ ἠλάκατα στροφάουσι*
ἥμεναι, οἷά τε φύλλα μακεδνῆς αἰγείροιο·
καιρουσσέων δ' ὀθονέων ἀπολείβεται ὑγρὸν ἔλαιον. 107[b] = h. XXIII 3

---

95 *ἐρηρέδατ'*] *ἐληλέδατ'* G P (vid. vs. 86).

96 *πέπλοι*] *vestes stragulae*, ut *E* 194 (cf. *Ω* 229, 796), quae alias dicuntur *ῥήγεα* (κ 352) vel *τάπητες* (*I* 200). Vulgo *πέπλος* est *vestis feminea* (*palla*).

98 *ἡδριάοντο*] *ἑδριόωντο* mss.; cf. § 191.

99] versum ex libro κ invectum, hoc autem loco ridiculum censet Kirchhoff.

100 *βωμῶν*] *πύργων* P[1] Y (ex *M* 154), l. a. *βουνῶν* ab Ar. reiecta; vid. ad *Θ* 441.

101 *ἕστασαν*] non *viventes iuvenes*, arte Vulcani fabricatos (ut puellas *Σ* 417), intellegi voluit poeta (vid. ad vs. 93), sed *aurea sunt iuvenum simulacra per aedes | lampadas igniferas manibus retinentia dextris* (Lucret. II 24). In Ulixis aedibus servae faces tenent, σ 310 sqq.

102 *φαίνοντες*] vid. ad τ 25; **νύκτα φαείνοντες*?

103-131] del. Friedlaender. Poeta enarravit quae Ulixes dum ad regiam accedit adspicit, interpolator praesenti tempore usus subiunxit familiae hortorumque descriptionem, quam et res et ipsae formae verborum sero confictam esse evincunt; pugnant autem vs. 112 sqq. cum ζ 293 sq. Non tamen ab ipso interpolatore excogitatam sed ex alio fonte desumtam esse probabiliter statuit Bergk. Cf. quae ad λ 565-627 observavimus.

103 *πεντήκοντα*] totidem ancillae in *Ulixis* domo operantur χ 421. Cf. praeterea Verg. Aen. I 703 sqq. ‖ *δέ ϝοι*] *δ' ἔσαν* G[2] M mss. alia. Pronomen in contextu hodierno non habet quo referatur, item vs. 122; nec tamen praestat *imperfectum ἔσαν*, vid. vs. sqq.

104 *ἀλετρεύουσι*] †, cf. *ἀλετρίς* υ 105, *ἀλέω* υ 109. ‖ *μύλης* G W] *μύλης* mss. pleraque; vox redit υ 106, 111, cf. *μύλαξ* *M* 161, *μυλοϝειδής* *H* 270, *μυλήφατος* β 355. ‖ *μήλοπα*] adi. †, a voce *μῆλον* (*malum*) deductum; vid. ad vs. 115-121. Apte Aristarchus contulit *E* 500, absurde vero quidam *μύλας* *genua* interpretabantur et *μήλοπα καρπόν* *lanam*.

105 *ὑφάουσι* § 144 et 191] *ὑφόωσι* mss.; verbi forma brevior † (*ὑφαίνω* *Γ* 125 etc.). ‖ *στροφάουσι* § 191 et 248] *στρωφῶσι* mss.

106] tertium comparationis est foliorum populeorum tremula mobilitas; in schol. iure comparatur Sophoclis fragmentum (fr. 24 Dind.). ‖ *ἥμεναι*] ad solum *στροφάουσι* pertinet, non ad *ὑφάουσι*, nam apud Hom. feminae *stantes* obeunt telam ex erecto iugo dependentem. ‖ *οἷά τε*] vid. ad γ 73. ‖ *μακεδνῆς*] †, *procerae*; cf. *πευκεδανός* *K* 8, *ἐλλεδανός* *Σ* 553, *σφεδανός* *Λ* 165 etc., *οὐτιδανός* *Λ* 231 etc., *ἠπεδανός* *Θ* 104 etc.; vid. etiam ad υ 302.

107] del. PKnight. ‖ *καιρουσσέων* Bergk] *καιροσέων* Ar. mss. (*-σσέων* P) sine sensu, quod vitium e vetere litteratura fluxit. Adi. †, *καῖρος* *licium* significare videtur, novicia autem est forma, quam Bergk restituit, pro *καιροεσσάων* (vid. § 69 et 56). ‖ *ὀθονέων*] forma novicia, cf. § 56. Vox redit *Γ* 141 *Σ* 595, significat autem *lintea* (hebr. *ethun* = *filum*), id quod non recte negatur in scholio; cf. VHehn Culturpfl.[4] p. 139. ‖ *ἀπολείβεται*] comp. nonnisi h. XXIII 3 redit; vid. ad γ 341. ‖

ὅσσον Φαίηκες περὶ πάντων ϝίδριες ἀνδρῶν
νῆα θοὴν ἐνὶ πόντῳ ἐλαυνέμεν', ὣς δὲ γυναῖκες
110 *ἱστῶν τεχνῆσσαι· περὶ γάρ σφισι 'δῶκεν Ἀθήνη*
ϝέργα τ' ἐπίστασθαι περικαλλέα καὶ φρένας ἐσθλάς. 111 = β 117
ἔκτοσθεν δ' αὐλῆς μέγας ὄρχατος ἄγχι θυράων
τετράγυος· περὶ δ' ἕρκος ἐλήλαται ἀμφοτέρωθε.
ἔνθα δὲ δένδρεα μακρὰ πεφύκασιν θαλέθοντα, 114 cf. ε 238[b]
115 *ὄγχναι καὶ ῥοιαὶ καὶ μηλέαι ἀγλαόκαρποι* 114[b] cf. ε 63
συκαῖ τε γλυκεραὶ καὶ ἐλαῖαι τηλεθάουσαι. 115 sq. = λ 589 sq.
τάων οὔ ποτε καρπὸς ἀπόλλυται οὐδ' ἐπιλείπει
χείματος οὐδὲ θέρευς, ἐπετήσιος· ἀλλὰ μάλ' αἰεὶ
Ζεφυρίη πνείουσα τὰ μὲν φύει, ἄλλα δὲ πέσσει.
120 *ὄγχνη ἐπ' ὄγχνῃ γηράσκει, μῆλον δ' ἐπὶ μήλῳ,*
αὐτὰρ ἐπὶ σταφυλῇ σταφυλή, σῦκον δ' ἐπὶ σύκῳ.
ἔνθα δέ ϝοι πολύκαρπος ἀλωὴ ἐρρίζωται,
τῆς ἕτερον μέν θ' εἰλόπεδον λευρῷ ἐνὶ χώρῳ

ἔλαιον] oleo fila (stamina?) inter texendum inducuntur, quo tenuior et aequalior evadat tela; hinc nova vestimenta lenem quendam splendorem (*apprêt*, cf. *Σ* 596 τ 232 sqq.) retinent, vid. Athen. XIII 582*d*, *e*, Plutarch. Alexandr. 36, Helbig Hom. Epos[1] p. 126-128. — Perperam Plutarchus Mor. 396*b* intellegit telam quamvis tenuem tamen ita spissam ut ne oleum quidem per filorum interstitia penetrare possit.

108 *ὅσσον*] *τόσσον* G[2] F[2] P X mss. alia.

110 *ἱστῶν* G P[1] M X[2]] *ἱστὸν* mss. pleraque, *ἱστῷ* schol. V ad *Ω* 487. ‖ *τεχνῆσσαι*] novicium pro *τεχνήεσσαι*, cf. vs. 107 et § 69. Adi. nonnisi θ 297 redit, vid. ε 270.

113 *τετράγυος*] *quatuor iugerum*; redit vox σ 374. ‖ *ἐλήλαται*] *ἐρειρέδατ'* H; vid. ad vs. 86.

114 *μακρὰ*] *καλὰ* F M mss. alia. ‖ **πεφύκασιν θαλέθοντα*] *πεφύκᾰσι τηλεθόωντα* Herodianus, *πεφύκει τηλεθάοντα* (*-θάωντα*, *-θόωντα*) mss.; vid. § 116 et ad λ 304.

115-121] *pomorum, ficorum, olivarum* cultura ab aetate heroica aliena est, vid. ad *P* 53. Hinc quoque apparet recentem esse locum. *Piri, mali punicae, mali, ficus, olivae* redeunt λ 589 sq., *piri* etiam ω 234, 247, 340, *mala punica* h. Cer. 373, 413, *mali* ω 340, *ficus* ω 246, 341, *olivae* ω 246 h. Cer. 23, 100. Cf. VHehn Culturpfl.[4] p. 79 sqq.

116 *συκαῖ*] cf. § 58. ‖ *τηλεθάουσαι* schol. ι 425] *-άωσαι* G[1], *-όωσαι* mss. cetera; cf. § 191.

117 *ἐπιλείπει* G] *ἀπολείπει* mss. pleraque, *ἀπολήγει* F[2] X mss. alia.

118 *χείματος . . . θέρευς*] genitivus substantivi (non comitante participio) nonnisi paucis locis apud Hom. tempus anni vel diei indicat: *Θ* 470, 525 *ἠοῦς* (?) *mane*, *X* 27 *ὀπώρης* *auctumno*, ν 278 *νυκτός* *noctu* (v. l. *νυκτί*, ut ο 34, alias *διὰ* vel *ἀνὰ νύκτα*), nostro denique loco *χείματος* *hieme* et *θέρευς* *aestate*. — Subsimile est *νηνεμίης* *dum venti silent* *E* 523, qua voce non anni vel diei tempus sed occasio quaedam indicatur. Praeterea commemorandae hic sunt locutiones *τῶν προτέρων ϝετέων* *Λ* 691 et *τοῦδ' αὐτοῦ λυκάβαντος* ξ 161 τ 306. ‖ *θέρευς*] cf. § 71; **οὐ θέρεος*? vid. Theocrit. XI 37. ‖ *ἐπετήσιος*] †, notetur ϝ neglectum; Bentley *διϝετήσιος*.

119 *Ζεφυρίη*] cf. § 21 et 22. Adi. substantivi loco usurpatum †, cf. *ἠοίη* δ 447.

120 sq. *μῆλον — σταφυλή*] om. Aelian. Var. Hist. III 36 et Athen. I 25*a*. Vs. 121 del. Francke, quod de uvis in sequentibus demum fiat sermo, vs. 120 sq. Anton, vs. 118-121 Grashof.

121 *σῦκον*] †, de voce *συκῆ* vid. ad vs. 115-121.

122-126] cf. *Σ* 561 sqq.

122 *ϝοι*] vid. ad vs. 103. ‖ *πολύκαρπος*] redit epitheton ω 221; Schuetz *πολύβοτρυς* (quod apud Hom. non extat adi., sed vid. *βότρυς* *Σ* 562), ut *vineam* significari appareat et vox *ἑτέρας* vs. 124 illuc referri possit. ‖ *ἀλωὴ ἐρρ.*] hiatus vitiosus, cf. § 14. ‖ *ἐρρίζωται*] verbum redit ν 163, cf. *ῥίζα* *I* 542 etc.

123-126] pinguntur quae eodem tempore fiunt et cerni possunt: uvae aliae in sole siccantur, aliae a vindemiatoribus carpuntur, aliae immittuntur torcularibus, aliae

τοῖ' ἄρ' ἐν Ἀλκινόοιο θεῶν ἔσαν ἀγλαὰ δῶρα.
ἔνθα στὰς 'θηεῖτο πολύτλας δῖος Ὀδυσσεύς. 133^a = ι 75
αὐτὰρ ἐπεὶ δὴ πάντα ἑϜῷ 'θηήσατο θυμῷ, 134 = ι 76
καρπαλίμως ὑπὲρ οὐδὸν ἐβήσετο δώματος εἴσω.
ηὗρε δὲ Φαιήκων ἡγήτορας ἠδὲ μέδοντας
σπένδοντας δεπάεσσιν ἐυσκόπῳ Ἀργεϊφόντῃ,
ᾧ πυμάτῳ 'σπένδεσκον, ὅτε μνησαίατο κοίτου.
αὐτὰρ ὃ 'βῆ διὰ δῶμα πολύτλας δῖος Ὀδυσσεὺς 139^a = σ 153
πολλὴν ἠέρ' ἔχων, ἥν Ϝοι περίχευεν Ἀθήνη,
ὄφρ' ἵκετ' Ἀρήτην τε καὶ Ἀλκίνοον βασιλῆα.

τέρσεται ἠελίῳ, ἑτέρας δ' ἄρα τε τρυγάουσι,
ἄλλας δὲ τραπέουσι· πάροιθε δέ τ' ὄμφακές εἰσι
ἄνθος ἀφιεῖσαι, ἕτεραι δ' ὑποπερκάζουσι.
ἔνθα δὲ κοσμηταὶ πρασιαὶ παρὰ νείατον ὄρχον
παντοῖαι πεφύασιν, ἐπηετανὸν γανάουσαι.
ἐν δὲ δύω κρῆναι· ἡ μέν τ' ἀνὰ κῆπον ἅπαντα
σκίδναται, ἡ δ' ἑτέρωθεν ὑπ' αὐλῆς οὐδὸν ἵησι
πρὸς δόμον ὑψηλόν, ὅθεν ὑδρεύοντο πολῖται. 131^b = ϱ 206

---

virides vel maturescentes de vitibus pendent; qualis vinea *διατρύγιος* dicitur ω 342. In miraculum vero haec detorquentes posteri narrabant sacrae cuiusdam vitis, quae in insula Euboea vel in Parnasso crescere credebatur, *διὰ μιᾶς ἡμέρας τὴν ἄμπελον ἀνθεῖν καὶ τὴν βότρυν πεπαίνεσθαι* (Steph. Byz. s. v. *Νύσα*); vid. Soph. fr. 239, Eur. Phoen. 227 sqq. cum schol., schol. Soph. Ant. 1133.

123 *θ' εἱλόπεδον* Toup] *θειλόπεδον* mss. una voce, sed vid. scholia. Vox †, *apricum solum* (a voce *εἵλη*, quae apud Hom. non extat). ‖ *λευρῷ*] † (sed vid. ad κ 94 χ 385), *aperto* sive *aprico*. Cf. oraculum apud Herod. I 67 et Aeschylus Prom. 369.

124 *τρυγάουσι* § 191] *-γόωσιν* mss.

125 *τραπέουσι*] *torculari immittunt*; verbum † (nam alias, e. g. *K* 421, corrigendum est *-τροπα-*, vid. § 251). ‖ *ὄμφακες*] †.

126 *ὑποπερκάζουσι*] †, cf. *περκνός* *fuscus* *Ω* 316. Vert. *sub cute nigricare incipiunt*; non *paululum*, ut saepe apud posteros (cf. lat. *sub-*), h. l. videtur significare *ὑπο-*, alias certe apud Hom. haec praepositionis vis nusquam apparet.

127 *κοσμηταὶ*] adi. verb. †, verbum *κοσμέω* saepius (vid. ad vs. 232). ‖ *πρασιαὶ*] *olerum areae*; vox redit ω 247. ‖ *νείατον ὄρχον*] *ultimam seriem vitium*. Vox *ὄρχος* redit ω 341 Hes. Scut. 294, cf. *ὄρχατος* *Ξ* 123 η 112 etc.

128 *γανάουσαι* § 191] *-νόωσαι* mss.

129-131] in horto, qui iuxta aulam (vs. 112) situs est, duo sunt fontes (cf. ε 70 sqq.), quorum alter ipsum hortum rigat, alter aulam petit ipsumque limen aulae (i. e. *τῆς αὐλείου θύρας*, ut α 104) subit, dein — per aquaeductum subterraneum fortasse — in aedes penetrat, ubi aquam praebet ministris ad vitae usus quotidianos. Ex hoc autem rivulo, qui dum e horto aulam versus fluit viam publicam secat, cives quoque aquam sibi petere solent.

131 *δόμον ὑψηλὸν*] *θόλον ὑψηλὴν* Naber coll. χ 442. ‖ *ὅθεν*] i. e. *ἐξ ἧς*. ‖ *ὑδρεύοντο*] imperfectum non concinit cum vss. praecedentibus (*-νται* F); *ὑδρεύουσι* Bekker coll. κ 105.

135 *ἐβήσετο*] *-σατο* mss. complura; cf. § 152. ‖ *εἴσω*] hic et θ 290 genitivum adsciscit, alias (*Λ* 263 Φ 125 ψ 24 etc.) accusativum.

136-138] del. Koechly.

138] de more libandi priusquam convivae cubitum eant vid. γ 332 sqq. (*I* 712 σ 419); Mercurio ultimo libatum esse alias diserte non dicitur.

ἀμφὶ δ' ἄρ' Ἀρήτης 'βάλε γούνασι χεῖρας Ὀδυσσεύς·
καὶ τότε δή ῥ' αὐτοῖο πάλιν 'χύτο θέσφατος ἀήρ.
οἳ δ' ἄνεῳ ἐγένοντο δόμον κάτα φῶτα Ϝιδόντες,
'θαύμαζον δ' ὁράοντες· ὃ δ' ἐλλιτάνευεν Ὀδυσσεύς·
„Ἀρήτη, θύγατερ Ῥηξήνορος ἀντιθέοιο,
σόν τε πόσιν σά τε γούναθ' ἱκάνω πολλὰ μογήσας, 147 cf. ι 449
τούσδε τε δαιτυμόνας, τοῖσιν θεοὶ ὄλβια δοῖεν
ζωέμεναι, καὶ παισὶν ἐπιτρέψειε Ϝέκαστος
κτήματ' ἐνὶ μεγάροισι γέρας θ', ὅ τι δῆμος ἔδωκε.
αὐτὰρ ἐμοὶ πομπὴν ὀτρύνετε πατρίδ' ἱκέσθαι
θᾶσσον, ἐπεὶ δὴ δϜηθὰ φίλων ἄπο πήματα πάσχω.“ 152 cf. α 49
ὣς Ϝειπὼν κατ' ἄρ' ἕζετ' ἐπ' ἐσχάρῃ ἐν κονίῃσι 153^b = 160
πὰρ πυρί· οἳ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ. 154^b sq.^{a} = *H* 398 sq.
ὀψὲ δὲ δὴ μετέϜειπε γέρων ἥρως Ἐχένηος, 155 cf. λ 342
ὃς δὴ Φαιήκων ἀνδρῶν προγενέστατος ἦεν 156 = λ 343
καὶ μύθοισ' ἐκέκαστο, παλαιά τε πολλά τε Ϝειδώς· 157^b = β 188
ὅ σφιν ἐὺ φρονέων ἀγορήσατο καὶ μετέϜειπε·
„Ἀλκίνο', οὐ μέν τοι τόδε κάλλιον οὐδὲ ϜέϜοικε, 159 cf. *Ω* 52
ξεῖνον μὲν χαμαὶ ἧσθαι ἐπ' ἐσχάρῃ ἐν κονίῃσι· 160^b = 153
οἵδε δὲ σὸν μῦθον ποτιδέγμενοι ἰσχανάονται. 161^b cf. *T* 234
ἀλλ' ἄγε δὴ ξεῖνον μὲν ἐπὶ θρόνου ἀργυροήλου 162^b = Σ 389
ἕσσον ἀναστήσας, σὺ δὲ κηρύκεσσι κέλευσον
Ϝοῖνον ἐπικρῆσαι, ἵνα καὶ Διὶ τερπικεραύνῳ 164^b sq. = 180 sq.
σπείσομεν, ὅς θ' ἱκέτῃσιν ἅμ' αἰδοίοισιν ὀπηδεῖ. 165 cf. ι 271

142] vid. *Λ* 500.

143 *αὐτοῖο*] *ἐκ τοῖο* q. De genitivo vid. ad Σ 138.

145 *ὁράοντες* § 191] *ὁρόωντες* mss.

146] ferri non posse si deleantur vs. 56-68 (ubi vid.) concedit Kirchhoff; *ἄλοχος μεγαλήτορος Ἀλκινόοιο* dedit Fick. An **ἄλοχος ῥηξήνορος Ἀλκινόοιο*? vid. ad *Λ* 99; minus aptum tamen Alcinoi hoc est epitheton. ‖ *θύγατερ*] *θυγάτηρ* G[1] P[1] M.

147 *γούναθ'*] *γοῦνα* Nauck.

148-210] del. Koechly.

149 *ζωέμεναι*] *ζώουσιν* Hartman. ‖ *ἐπιτρέψειε Ϝέκαστος*] scil. *moriens*. ‖ *ἐπιτρέψειε(ν)*] sic Ar., *-ψειαν* H Z.

153 *ἐπ'*] vid. ad *Z* 92.

155 *Ἐχένηος*] l. a. *Ἁλιθέρσης* (ex β 157).

156 *προγενέστατος* Bekker coll. θ 128 μ 246] *προγενέστερος* mss.; idem est error λ 343, contrarius λ 483.

157 *μύθοισ' ἐκέκαστο*] *-σι κ.* mss. pleraque.

159 *τόδε*] l. a. *τό γε*.

160 *ἐπ'*] vid. ad *Z* 92.

161 *οἵδε δὲ σὸν*] **οἳ δὲ τεὸν*? ‖ *ἰσχανάονται* § 191] *-νόωνται* mss.

162 *ξεῖνον μὲν*] *τὸν ξεῖνον* G.

163 *ἕσσον* § 220] *εἷσον* mss.

164 *ἐπικρῆσαι*] forma inaudita, cf. § 297; **ἐπεγκεράσαι*? — Comp. †, cf. *ἐγκεράσαι* Θ 189 (υ 252). Vert. *denuo replere crateram* (cf. *I* 202). Non recte nonnulli ex hoc versu efficiunt tempore heroico prius aquam craterae esse infusam, deinde vinum (vid. ad ι 210). ‖ *τερπικεραύνῳ*] cf. § 251.

165 *ὅς — ὀπηδεῖ*] vid. ad *Ω* 570 ν 213 et cf. Verg. Aen. I 731.

δόρπον δὲ ξείνῳ ταμίη δότω ἔνδον ἐόντων.“ 166 cf. α 140
αὐτὰρ ἐπεὶ τό γ' ἄκουσ' ἱερὸν μένος Ἀλκινόοιο, 167 cf. ϑ 143
χειρὸς ἑλὼν Ὀδυσῆα δαΐφρονα ποικιλόμητιν
ὦρσεν ἀπ' ἐσχαρόφιν καὶ ἐπὶ θρόνου εἷσε φαεινοῦ,
υἱὸν ἀναστήσας ἀγαπήνορα Λαοδάμαντα,
ὅς Ϝοι πλησίον ἷζε, μάλιστα δέ μιν 'φιλέεσκε. 171b = Γ 388
χέρνιβα δ' ἀμφίπολος προχόῳ ἐπέχευε φέρουσα 172-176 = α 136 sqq.
καλῇ χρυσείῃ ὑπὲρ ἀργυρέοιο λέβητος,
νίψασθαι· παρὰ δὲ ξεστὴν ἐτάνυσσε τράπεζαν.
σῖτον δ' αἰδοίη ταμίη παρέθηκε φέρουσα,
εἴδατα πόλλ' ἐπιθεῖσα, χαριζομένη παρεόντων.
αὐτὰρ ὃ 'πῖνε καὶ ἦσθε πολύτλας δῖος Ὀδυσσεύς. 177 cf. ζ 249 177a = ε 94
καὶ τότε κήρυκα προσέφη μένος Ἀλκινόοιο· 178-180a = ν 49 sqq.
„Ποντόνοε, κρητῆρα κερασσάμενος μέθυ νεῖμον
πᾶσιν ἀνὰ μέγαρον, ἵνα καὶ Διὶ τερπικεραύνῳ 180b sq. = 164 sq.
σπείσομεν, ὅς θ' ἱκέτῃσιν ἅμ' αἰδοίοισιν ὀπηδεῖ.“
ὣς 'φάτο· Ποντόνοος δὲ μελίφρονα Ϝοῖνον ἐκίρνα, 182 sq.a = ν 53 sq.
'νώμησεν δ' ἄρα πᾶσιν ἐπαρξάμενος δεπάεσσι. 183 cf. Α 471 Ι 176
αὐτὰρ ἐπεὶ 'σπεῖσάν τε 'πίον θ' ὅσον ἤθελε θυμός, 184 = Ι 177
τοῖσιν δ' Ἀλκίνοος ἀγορήσατο καὶ μετέϜειπε· 185-187 = ϑ 25 sqq.
„κέκλυτε, Φαιήκων ἡγήτορες ἠδὲ μέδοντες,
ὄφρ' ἔσπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει· 187 = Η 68
νῦν μὲν δαισάμενοι κατακείετε Ϝοίκαδ' ἰόντες, 188 cf. σ 408 188b cf. σ 419
ἠῶθεν δὲ γέροντας ἐπὶ πλέονας καλέσαντες
ξεῖνον ἐνὶ μεγάρῳ ξεινίσσομεν ἠδὲ θεοῖσι
ῥέξομεν ἱερὰ καλά, ἔπειτα δὲ καὶ περὶ πομπῆς

174 Ar. —

166 *δόρπον*] *δεῖπνον* X mss. alia; cf. vs. 215.
168 *ποικιλόμητιν*] *ποικιλομήτην* G F mss. alia.
169 *ἐσχαρόφιν*] cf. ε 59.
170 *Λαοδάμαντα*] *Λαομέδοντα* G F mss. alia Plut. Mor. 617*b*.
171 *ἷζε*] *ἧστο* Plut. l. l. || *μιν*] *Laodamantem*; vid. ad Γ 388 ρ 257.
174] damnabat Ar., suam enim Laodamanti, cuius sellam occupat Ulixes, fuisse mensam.
176] vid. ad α 140.
177 *ἦσθε πολύτλας*] *ἦσθιε* G (omisso *πολύτλας*). || Post hunc in M erasus est versus, in k subiungitur ε 95.
180 *τερπικεραύνῳ*] cf. § 251.
182 *ἐκίρνα*] *ἐκίρνη*? vid. § 195.
183] vid. ad Α 471.
185-232] diasceuastae tribuit Kirchhoff; vs. 185-228 damnaverat Bergk, vs. 194-225 Duentzer, vs. 207-225 Anton.
187 *ἔσπω* § 246] *εἴπω* mss.
190 *μεγάρῳ* Nauck] *-ροις* mss.; vid. η 230 ξ 326 et § 60.

μνησόμεθ', ὥς χ' ὁ ξεῖνος ἄνευθε πόνου καὶ ἀνίης
πομπῇ ὕφ' ἡμετέρῃ Ϝὴν πατρίδα γαῖαν ἵκηται
χαίρων καρπαλίμως, εἰ καὶ μάλα τηλόθεν ἐστί, 194 cf. ζ 312
μηδέ τι μεσσηγύς γε κακὸν καὶ πῆμα πάθῃσι
πρίν γε τὸν ἧς γαίης ἐπιβήμεναι· ἔνθα δ' ἔπειτα
πείσεται ἅσσα Ϝοι αἶσα κακὰ κλῶθές τε βαρεῖαι 197a = Υ 127b
γιγνομένῳ 'νήσαντο λίνῳ, ὅτε μιν 'τέκε μήτηρ. 198 cf. Υ 128
εἰ δέ τις ἀθανάτων γε κατ' οὐρανοῦ εἰλήλουθε, 199 cf. Ζ 128
ἄλλο τι δὴ τόδ' ἔπειτα θεοὶ περιμηχανάονται.
αἰεὶ γὰρ τὸ πάρος γε θεοὶ φαίνονται ἐναργὲς 201b cf. Υ 131
ἧμιν, ὅτε Ϝέρδωμεν ἀγακλειτὰς ἑκατόμβας,
δαίνυνταί τε παρ' ἧμι καθήμενοι ἔνθα περ ἧμες·
εἰ δ' ἄρα τις καὶ μοῦνος ἰὼν ξυμβλήεθ' ὁδίτης,
οὔ τι κατακρύπτουσιν, ἐπεί σφισιν ἐγγύθεν εἰμὲν
ὥς περ Κύκλωπές τε καὶ ἄγρια φῦλα Γιγάντων.“
τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
„Ἀλκίνο', ἄλλο τί τοι μελέτω φρεσίν· οὐ γὰρ ἐγώ γε 208 sq. cf. π 187
ἀθανάτοισι ϜέϜοικα, τοὶ οὐρανὸν εὐρὺν ἔχουσι,
οὐ δέμας οὐδὲ φυήν, ἀλλὰ θνητοῖσι βροτοῖσι. 210 cf. h. Ap. 465 210a = Α 115
οὕς τινας ὔμες Ϝίστε μάλιστ' ὀχέοντας ὀιζὺν
ἀνθρώπων, τοῖσίν κεν ἐν ἄλγεσι Ϝισωσαίμην·

192 *μνησόμεθ'*] l. a. *φρασσόμεθ'*. || *χ' ὁ*] *κε*? cf. α 133. || *ἄνευθε πόνου*] non officit incisio post 4um trochaeum (cf. § 3), praepositionis enim loco est *ἄνευθε*. || *πόνου καὶ ἀνίης*] cf. Β 291.
196 *τὸν ἧς*] manifesto corrupta, nam *τὸν* syntaxi vim infert, *ἧς* autem caret littera initiali; ex α 210 vitium natum esse suspicatur Bekker, *ἑϜῆς* (cf. Α 533 et § 44) aut *γ' ἔτι Ϝῆς* coniecit vHerwerden.
197 *ἅσσα*] *ὅσσα* F1 M mss. alia. || *κακὰ κλῶθες* Nauck] *κατὰ κλῶθες* Herodian., *κατακλῶθες* una voce mss.; l. a. apud Eust. *κατακλώθῃσι βαρεῖα* (omisso igitur vs. 198). || *κλῶθες*] †, cf. *Κλωθώ* nomen apud Hesiodum obvium et *ἐπικλώθειν* verbum Ω 525 saepiusque in Odyssea; praeterea vid. Υ 127 Ω 49.
198 *λίνῳ*] vid. ad Υ 128 Ω 525.
199 *οὐρανοῦ*] *οὐρανὸν* Ar.
200 *περιμηχανάονται* § 191] *-νόωνται* mss.; comp. redit ξ 340 (simplex Θ 177 etc.).
201 *αἰεὶ…τὸ πάρος*] suspecta habet Hartman. || *ἐναργὲς* schol. V] *-γεῖς* mss.; vid. § 73 et ad Υ 131. De re vid. ad ε 35.
202 **ὅτε*] *εὖθ'* mss., neglecto Ϝ verbi *Ϝέρδειν* et vitiose producta pronominis *ἧμιν* syllaba posteriore, cf. § 92. An **εὖθ' ἧμες*? Vid. Β 34, 228 et l. a. Ε 500.
203 *ἧμι* § 92] *ἄμμι* mss. || *ἧμες* § 92] *ἡμεῖς* mss.
204 *τις*] scil. *ἡμῶν*. || *ἰὼν*] *ἐὼν* F mss. alia. || **ξυμβλήεθ'*] *ξύμβληται* vel *σύμβληται* (*ξύμβλητο* H Y) mss.; vid. § 122 et 258 et ad Υ 335 φ 15.
205 *κατακρύπτουσιν*] *-πτονται* vHerwerden.
208 *τοι*] *μοι* F mss. alia; cf. Τ 29.
210 *θνητοῖσι βροτοῖσι*] vid. ad γ 3.
211 *ὔμες* § 92] *ὑμεῖς* mss.
212 *Ϝισωσαίμην*] †, vid. ad Μ 435.

καὶ δ' ἔτι κεν καὶ πλείον' ἐγὼ κακὰ μυθησαίμην,
ὅσσα γε δὴ ξύμπαντα θεῶν ἰότητ' ἐμόγησα. — 214 = ξ 198
ἀλλ' ἐμὲ μὲν δορπῆσαι ἐάσατε κηδόμενόν περ·
οὐ γάρ τι στυγερῇ ἐπὶ γαστέρι κύντερον ἄλλο
ἔπλετο, ἥ τ' ἐκέλευσε Ϝέο μνήσασθαι ἀνάγκῃ
καὶ μάλα τειρόμενον καὶ ἐνὶ φρεσὶ πένθος ἔχοντα·
ὡς καὶ ἐγὼ πένθος μὲν ἔχω φρεσίν, ἡ δὲ μάλ' αἰεὶ
ἐσθέμεναι κέλεται καὶ πινέμεν', ἐκ δέ με πάντων
ληθάνει, ὅσσ' ἔπαθον, καὶ ἐνιπλησθήμεν' ἀνώγει.
ὕμες δ' ὀτρύνεσθε ἅμ' ἠόι φαινομένηφι, — 222^b = I 682
ὥς κ' ἐμὲ τὸν δύστηνον ἐμῆς ἐπιβήσετε πάτρης
καί περ πολλὰ παθόντα· Ϝιδόντα με καὶ λίποι αἰὼν
κτῆσιν ἐμὴν δμῶάς τε καὶ ὑψερεφὲς μέγα δῶμα." — 225 = T 333
ὣς ἔφαθ'· οἳ δ' ἄρα πάντες ἐπήνεον ἠδ' ἐκέλευον — 226 sq. = ν 47 sq. 226 = δ 673
πεμπέμεναι τὸν ξεῖνον, ἐπεὶ κατὰ μοῖραν ἔϜειπε. — 227^b cf. A 286
αὐτὰρ ἐπεὶ 'σπεῖσάν τε 'πίον θ' ὅσον ἤθελε θυμὸς, — 228 sq. = γ 395 sq.
οἳ μὲν κακκείοντες ἔβαν Ϝοῖκόνδε Ϝέκαστος·
αὐτὰρ ὃ ἐν μεγάρῳ ὑπελείπετο δῖος 'Οδυσσεὺς, — 230 = τ 1,51
πὰρ δέ Ϝοι Ἀρήτη τε καὶ Ἀλκίνοος θεοϜειδὴς
ἥσθην· ἀμφίπολοι δ' ἀπεκόσμεον ἔντεα δαιτός.
τοῖσιν δ' Ἀρήτη λευκώλενος ἤρχετο μύθων· — 233 = λ 335
ἔγνω γὰρ φᾶρός τε χιτῶνά τε Ϝείματ' ἰδοῦσα
καλὰ, τά ῥ' αὐτὴ ἔτευξε σὺν ἀμφιπόλοισι γυναιξί·
καί μιν φωνήσασ' ἔπεα πτερόεντα προσηύδα·

213] in marg. habent G H, post vs. 221 iterant M J K. || *πλείον'*] *μᾶλλον* P H^3 M mss. alia, idque praefert APlatt propter praegressum *μάλιστα*.

214 *ἰότητ' ἐμόγησα*] *-τι μόγ.* mss.

215-221] del. Koechly, satiatum enim nunc esse Ulixem (vid. vs. 177) et mox (vs. 232) mensas a ministris removeri.

215 *δορπῆσαι*] l. a. *δειπνῆσαι*; cf. vs. 166.

217 *Ϝέο*] *ἑοῦ* Zen.; vid. ad *B* 239 et ad *β* 247.

221 *ληθάνει*] †; forma analogia caret, cf. § 221. || *ἐνιπλησθήμεν'* § 125] *-σθῆναι* Ar. W, *-σασθαι* mss. cett. Cf. *δ* 36.

222 *ὕμες* § 92] *ὑμεῖς* mss. || *ὀτρύνεσθε*] sic Zen., *-νεσθαι* Ar. || *ἠόι* § 77] *ἠοῖ* mss.

224 *καί περ*] hoc uno loco Homerico iunguntur hae particulae (att. *καίπερ*), vHerwerden *καὶ μάλα*.

225] del. Nitzsch. || *κτῆσιν — τε*] potius dicendum fuisse *πατρίδ' ἐμὴν ἄλοχόν τε* (vid. *E* 213) observatur in scholio; quam Aristophanis esse opinionem coll. schol. *ο* 19 et 91 statuit Cobet. || *δμῶάς*] l. a. *δμῳάς*, vid. ad *T* 333.

227-232] del. Koechly.

230 *ὃ*] *ὅς? alii *ὅ γ'*, vid. § 15.

232 *ἀπεκόσμεον*] comp. †, simplex *B* 554 etc., *ἐγκ.* *ο* 218 (?), *διακ.* *B* 126 etc., *κατακ.* *Δ* 118 etc.

234-236] del. PKnight.

234 *ἰδοῦσα*] neglecto Ϝ; Bentley *ἔχοντα*.

235 *ἔτευξε* T] *τεῦξε* Ar. et mss. cetera.

236 *ἔπεα*] neglecto Ϝ. Vid. ad *O* 35.

„ξεῖνε, τὸ μέν σε πρῶτον ἐγὼν εἰρήσομαι αὐτή· — 237 sq.^{a} = τ 104 sq.
τίς πόθεν ἔσσ' ἀνδρῶν; τίς τοι τάδε Ϝείματ' ἔδωκε; — 238^a = Φ 150
οὐ δὴ φῂς ἐπὶ πόντον ἀλώμενος ἐνθάδ' ἱκέσθαι;"
τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις 'Οδυσσεύς·
„ἀργαλέον, βασίλεια, διηνεκέως ἀγορεῦσαι, — 241^b cf. δ 836
κήδε' ἐπεί μοι πολλὰ 'δόσαν θεοὶ Οὐρανίωνες. — 242 = ι 15
τοῦτο δέ τοι Ϝερέω, ὅ μ' ἀνείρεαι ἠδὲ μεταλλᾷς· — 243 = Γ 177
'Ωγυγίη τις νῆσος ἀπόπροθεν εἰν ἁλὶ κεῖται,
ἔνθα μὲν Ἄτλαντος θυγάτηρ δολόεσσα Καλυψὼ — 245^b sq.^{a} = 254 sq. μ 448 sq.
ναίει ἐυπλόκαμος, δϜεινὴ θεός· οὐδέ τις αὐτῇ — 246^b sq. cf. Σ 403 sq.
μίσγεται οὔτε θεῶν οὔτε θνητῶν ἀνθρώπων.
ἀλλ' ἐμὲ τὸν δύστηνον ἐφέστιον ἤγαγε δαίμων
οἶον, ἐπεί μοι νῆα θοὴν ἀργῆτι κεραυνῷ — 249 cf. ε 131
Ζεὺς ἐλάσας ἐκέασσε μέσῳ ἐνὶ Ϝοίνοπι πόντῳ. — 250 sq. = ε 132 sq.
ἔνθ' ἄλλοι μὲν πάντες ἀπέφθιθεν ἐσθλοὶ ἑταῖροι,
αὐτὰρ ἐγὼ τρόπιν ἀγκὰς ἑλὼν νεὸς ἀμφιϜελίσσης
ἐννῆμαρ 'φερόμην· δεκάτῃ δέ με νυκτὶ μελαίνῃ — 253 = ξ 314 cf. μ 447
νῆσον ἐς 'Ωγυγίην 'πέλασαν θεοί, ἔνθα Καλυψὼ — 254 sq.^{a} = μ 448 sq. 254^b sq.^{a} = 245 sq.
ναίει ἐυπλόκαμος, δϜεινὴ θεὸς, ἥ με λαβοῦσα
ἐνδυκέως ἐφίλει τε καὶ ἔτρεφεν ἠδέ μ' ἔφασκε — 256^a cf. μ 450
θησέμεν' ἀθάνατον καὶ ἀγήραον ἤματα πάντα· — 256^b cf. ε 135 ψ 335
ἀλλ' ἐμὸν οὔ ποτε θυμὸν ἐνὶ στήθεσσιν ἔπειθε. — 257 = ε 136 ψ 336
ἔνθα μὲν ἑπτάϜετες 'μένον ἔμπεδον, εἵματα δ' αἰεὶ — 258 = ι 33 cf. I 587 ψ 337

251-258 Ar. —

237 *αὐτή*] cf. *τ* 104.

238] del. Duentzer, in versu sequenti pro *οὐ* coniciens *πῶς*. || *ἔσσ'* § 302] *εἰς* (*εἷς*) mss.

239 *φῂς*] *φῆς* (imperf.) T^3 et olim alii teste Herodiano.

241 sq.] non post *ἀγορεῦσαι* sed post *κήδε'* sententiam incidit Lehrs Arist.[2] p. 438; vid. tamen *ι* 15.

243-251] diasceuastae tribuit Kirchhoff, priscum enim poetam fecisse Ulixem h. l. casus suos ampla narratione exponentem, quae nunc legitur in libris *ι* et *λ* (de libris *κ* et *μ* vid. ad initium libri *κ*).

244 *εἰν*] vid. *α* 162.

246-254] del. Duentzer.

246 *αὐτῇ*] pronominis usus novicius, cf. § 98.

248 *ἐφέστιον*] neglecto Ϝ; *ἐμὲ δύστηνον ἐπιϜέστιον*? sed vid. ad *γ* 234.

250 *ἐλάσας*] *ἔλσας* G F^2 P M; vid. ad *ε* 132. || *ἐκέασσε*] l. a. *ἐκέδασσε* a Didymo commemorari videtur. Vid. ad *E* 88.

251 *ἀπέφθιθεν*] sic Ar., *-θον* (*ἐπέφθιθον* P K) mss. complura; vid. ad *ε* 110.

253 *δέ με*] l. a. *δ' ἐν*; cf. *μ* 447.

254 sq. *ἔνθα — θεὸς*] del. Lehrs, dein pro *με* legens *δὲ*; Nitzsch del. vs. 255, in vs. 256 legens *ἐνδυκέως μ'*.

255 *ναίει*] *ναῖεν* F^1 H^2 X mss. alia.

256 *μ'*] addidit Bentley. Cf. *ε* 135.

257 *θησέμεν'* § 125] *θήσειν* mss. || *ἀγήραον*] cf. *ε* 136.

259 *εἵματα*] neglecto Ϝ (cf. vs. 265). Bekker *ἔμπεδα, Ϝείματα* coll. *τ* 113. Fick *ἔνθ*

δάκρυσ' ἐδεύεσκον, τά μοι ἄμβροτα 'δῶκε Καλυψώ·
ἀλλ' ὅτε δή μοι ἐπιπλόμενον Ϝέτος ὄγδοον ἦλθε, 261 = ξ 287
καὶ τότε δή μ' ἐκέλευσεν ἐποτρύνουσα νέεσθαι
Ζηνὸς ὑπ' ἀγγελίης, ἢ καὶ νόος ἐτράπετ' αὐτῆς. 263ᵇ cf. P 546
'πέμπε δ' ἐπὶ σχεδίης πολυδέσμου, πολλὰ δ' ἔδωκε,
σῖτον καὶ μέθυ Ϝηδὺ, καὶ ἄμβροτα Ϝείματ' ἔϜεσσε, 265ᵃ = δ 746
οὖρον δὲ προέηκεν ἀπήμονά τε λιαρόν τε. 266 = ε 268
ἑπτὰ δὲ καὶ δέκα μὲν 'πλέον ἤματα ποντοπορεύων· 267 cf. ε 278
ὀκτωκαιδεκάτῃ δὲ 'φάνη ὄρεα σκιόεντα 268 = ε 279
γαίης ὑμετέρης, 'γήθησε δέ μοι φίλον ἦτορ
δυσμόρῳ· ἦ γὰρ ἔμελλον ἔτι ξυνέσεσθαι ὀιζυῖ
πολλῇ, τήν μοι ἐπῶρσε Ποσειδάων ἐνοσίχθων·
ὅς μοι ἐφορμήσας ἀνέμους κατέδησε κέλευθον, 272ᵇ cf. ε 383 κ 20
ὤρινεν δὲ θάλασσαν ἀθέσφατον, οὐδ' ἔτι κῦμα
εἴα' ἐπὶ σχεδίης ἀδινὰ στενάχοντα φέρεσθαι.
τὴν μὲν ἔπειτα θύελλα διεσκέδασ'· αὐτὰρ ἐγώ γε
νηχόμενος τόδε λαῖτμα διέτμαγον, ὄφρα με γαίῃ
ὑμετέρῃ ἐπέλασσε φέρων ἄνεμός τε καὶ ὕδωρ. 277 cf. γ 300
ἔνθα κέ μ' ἐκβαίνοντα 'βιήσατο κῦμ' ἐπὶ χέρσου,
πέτρῃς πρὸς μεγάλῃσι βαλὸν καὶ ἀτερπέι χώρῳ·
ἀλλ' ἀναχασσάμενος 'νῆχον πάλιν, ἧος ἐπῆλθον
εἰς ποταμὸν, τῇ δή μοι ἐϜείσατο χῶρος ἄριστος, 281 cf. ε 442
λεῖος πετράων, καὶ ἐπὶ σκέπας ἦν ἀνέμοιο. 282 = ε 443

ὀκτὼ Ϝέτεα μένον ἔμπεδα et vs. 261 ἀλλ' ὅτε δὴ ἐνατόν μοι ἐπιπλόμενον Ϝέτος ἦλθε, sic enim in *Ulixis reditu* computata esse tempora, corruptum autem esse locum cum inserta est narratio de *Circe* (vid. ad vs. 243-251).

260 δάκρυσ' ἐδεύεσκον] -σι δεύεσκον mss.

261 *μοι ἐπιπλόμενον Ϝέτος ὄγδοον] ὀγδοόν μοι ἐπιπλόμενον ἔτος mss. metro invito (vid. § 24), unde δὴ ὀγδόατόν μ. ἐ. Ϝέτος Bentley (vid. § 8), ἦμος δ' vel αὐτὰρ ὅτ' ὀγδόατόν μοι ἐ. Ϝ. Nauck, δή μ' ὄγδωον ἐ. Ϝ. Monro (novam formam fingens coll. Latina voce *octavus*); item versu parallelo. Vid. praeterea ad vs. 259. ‖ ἐπιπλόμενον] comp. redit ξ 287 ο 408.

263 ἢ] ᾗ M.

264 πολυδέσμου] -σμοο? cf. § 59. De adi. vid. ad ε 33. In G est πολυγόμφου (cf. schol. ε 33 et Aesch. Pers. 71, γόμφοι ε 248).

265 Ϝείματ' ἔϜεσσε] -τα ἕσσεν mss.

267-269] del. Kammer.

269 ὑμετέρης] Φαιήκων P (cf. ε 280).

270 ξυνέσεσθαι] comp. †. ‖ ὀιζυῖ] cf. § 75.

272 κέλευθον P^2 H^2] -θου G, -θους F P^1, -θα H^1 M; vid. ad δ 380.

274 εἴα' § 191] εἴα mss. ‖ ἀδινὰ] vid. ad Σ 124.

276 τόδε] μέγα Bekker.

278 κέ μ'] δέ μ' vel με mss. complura.

279 πέτρῃς] pro -ῃσι novicium, cf. § 57; Fick πρὸς μεγάλῃσι πέτρῃσι, sed nihilo praestat syllaba ante τρ correpta (vid. § 25).

280 ἧος § 323] ἕως (εἵως) mss.

282 ἦν] ἔσκ' (ἦσκ') Nauck; vid. § 302.

ἐκ δ' ἔπεσον θυμηγερέων, ἐπὶ δ' ἀμβροσίη νὺξ
ἤλυθ'· ἐγὼ δ' ἀπάνευθε διιπετέος ποταμοῖο
ἐκβὰς ἐν θάμνοισι κατέδραθον, ἀμφὶ δὲ φύλλα
ἠφυσάμην· ὕπνον δὲ θεὸς κατ' ἀπείρον' ἔχευε.
ἔνθα μὲν ἐν φύλλοισι, φίλον τετιημένος ἦτορ,
ηὗδον παννύχιος καὶ ἐπ' ἠόα καὶ μέσον ἦμαρ.
'δύσετό τ' ἠέλιος, καί με γλυκὺς ὕπνος ἀνῆκε· 289ᵃ = β 388
ἀμφιπόλους δ' ἐπὶ θινὶ τεῆς ἐνόησα θυγατρὸς
παιζούσας, ἐν δ' αὐτὴ ἔην ϜεϜικυῖα θεῇσι.
τὴν ἱκέτευσ'· ἣ δ' οὔ τι νοήματος ἤμβροτεν ἐσθλοῦ,
ὡς οὔ κεν Ϝέλποιο νεώτερον ἀντιάσαντα
Ϝερξέμεν· αἰεὶ γάρ τε νεώτεροι ἀφραδέουσι.
ἥ μοι σῖτον ἔδωκε Ϝάλις ἠδ' αἴθοπα Ϝοῖνον 295 cf. Ω 641
καὶ 'λοῦσ' ἐν ποταμῷ καί μοι τάδε Ϝείματ' ἔδωκε.
ταῦτά τοι ἀχνύμενός περ ἀληθείην κατέλεξα.“ 297 cf. h. Cer. 433
τὸν δ' αὖτ' Ἀλκίνοος ἀπαμείβετο 'φώνησέν τε·
„ξεῖν', ἦ τοι μὲν τοῦτό γ' ἐναίσιμον οὐκ ἐνόησε 299 cf. β 122
παῖς ἐμή, οὕνεκά σ' οὔ τι μετ' ἀμφιπόλοισι γυναιξὶ
ἦγεν ἐς ἡμέτερον· σὺ δ' ἄρα πρώτην Ϝ' ἱκέτευσας.“
τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
„ἥρως, μή μοι τούνεκ' ἀμύμονα νείκεε κούρην.
ἣ μὲν γάρ μ' ἐκέλευε σὺν ἀμφιπόλοισιν ἕπεσθαι·
ἀλλ' ἐγὼ οὐκ ἔθελον δϜείσας αἰσχυνόμενός τε,
μή πως καὶ σοὶ θυμὸς ἐπισκύσσαιτο Ϝιδόντι·
δύσζηλοι γάρ τ' εἰμὲν ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων.“
τὸν δ' αὖτ' Ἀλκίνοος ἀπαμείβετο 'φώνησέν τε·

---

283 ἐκ] *e mari.* ‖ θυμηγερέων †; Nauck ὀλιγηπελέων (cf. ε 457, 468), Krauss πεσὼν θυμηγέρεον.

286 ἀπείρον' ἔχευε] -να χεῦε mss.; apud Nauckium proponitur ἀπήμονα χ. (cf. Ξ 164).

288 ἠόα § 77] ἠῶ mss.

289 'δύσετο] δείλετο Ar. (cf. Ludwich Arist. II p. 102), εἰς δείλην ἐκλίνετο id interpretatus (cf. ρ 599), quoniam non de crepusculo sed de tempore pomeridiano loquitur Ulixes (cf. ζ 110-301); sed ignotum aliunde est verbum δείλεσθαι neque epicum esse potest (vid. ad Φ 111). Gravius latere videtur vitium.

291 ἔην] ἔεν? vid. § 302.

292 τήν] τὴν δ' F^2 X.

293 οὔ κεν § 326] οὐκ ἂν mss.

294] del. PKnight.

296 'λοῦσ'] 'λόεσ'? cf. § 295.

297 ἀληθείην] vid. ad Δ 155.

298-347] diasceuastae tribuit Kirchhoff. Vid. ad initium librorum θ, ι, ν.

300 παῖς ἐμή] Nauck ἡ πάις. ‖ μετ'] σὺν P H^2 X.

301 ἡμέτερον] -ρου Ar.; vid. ad β 55. ‖ *Ϝ'] addidimus; APlatt σὺ δέ Ϝε πρώτην ἱκ.

304-306] non concinunt Ulixis haec verba cum ζ 295-298.

306 ἐπισκύσσαιτο] cf. I 370.

307 δύσζηλοι] †, vid. ad ε 118.

„ξεῖν', οὔ μοι τοιοῦτον ἐνὶ στήθεσσι φίλον κῆρ, 309 cf. ν 330 ρ 403
μαψιδίως κεχολῶσθαι· ἀμείνονα δ' αἴσιμα πάντα. 310ᵇ = ο 71
αἲ γάρ, Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον, 311 sq.ᵃ = δ 341; 311 = Β 371 [sq.
τοῖος ἐὼν οἷός ἐσσι, τά τε φρονέων ἅ τ' ἐγώ περ,
παῖδά τ' ἐμὴν ἐχέμεν καὶ ἐμὸς γαμβρὸς καλέεσθαι
αὖθι μένων· Ϝοῖκον δέ κ' ἐγὼ καὶ κτήματα δοίην,
εἴ γ' ἐθέλων μίμνοις· ἀϜέκοντα δέ σ' οὔ τις ἐρύξει
Φαιήκων· μὴ τοῦτο φίλον Διὶ πατρὶ γένοιτο. 316ᵇ cf. ρ 399 υ 344
πομπὴν δ' εἰς τόδ' ἐγὼ τεκμαίρομαι, ὄφρ' ἐὺ Ϝείδῃς,
αὔριον εἶς· τῆμος δὲ σὺ μὲν δεδμημένος ὕπνῳ
λέξεαι, οἱ δ' ἐλάουσι γαλήνην, ὄφρα χ' ἵκηαι
πατρίδα σὴν καὶ δῶμα καὶ εἴ ποθί τοι φίλον ἐστί· 320 cf. κ 66
εἴ περ καὶ μάλα πολλὸν ἑκαστέρω ἔστ' Εὐβοίης,
τήν περ τηλοτάτω φάσ' ἔμμεναι οἵ Ϝ' ἐϜίδοντο
λαῶν ἡμετέρων, ὅτε τε ξανθὸν Ῥαδάμανθυν
ἦγον ἐποψόμενον Τιτυὸν Γαιήιον υἱόν.
καὶ μὲν οἱ ἔνθ' ἦλθον καὶ ἄτερ καμάτοι' ἐτέλεσσαν
ἤματι τῷ αὐτῷ καὶ ἀπήνυσαν οἴκαδ' ὀπίσσω.
Ϝειδήσεις δὲ καὶ αὐτὸς ἐνὶ φρεσίν, ὅσσον ἄρισται
νῆες ἐμαὶ καὶ κοῦροι ἀναρρίπτειν ἅλα πηδῷ." 328ᵇ cf. ν 78
ὣς 'φάτ', ἐγήθησεν δὲ πολύτλας δῖος Ὀδυσσεύς· 329 = ϑ 199 ν 250 σ 281
εὐχόμενος δ' ἄρ' ἔϜειπε Ϝέπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε· 330ᵃ = Π 513

309 φίλον κῆρ] l. a. νόημα.
310 ἀμείνονα § 85] ἀμείνω mss.
311-316] suaves versus poeta indignos indicabat Ar., cui assentitur Kirchhoff; PKnight del. vs. 311-333. Cf. Lehrs Arist.[2] p. 339, Ludwich Arist. I p. 568, Cobet Miscell. Crit. p. 235, Jebb Introduction p. 15, et vid. ad ζ 244 sq.
312 οἷος] cf. § 17.
313 ἐχέμεν...καλέεσθαι] expectatur optativus (vid. δ 345 sq.), infinitivus tamen in simili sententia redit ω 380, vid. § 124. ‖ ἐχέμεν] cf. § 126.
314 κ' M] τ' mss. cetera (om. F U Eust.).
315 εἴ γ' ἐθέλων μίμνοις Nauck] εἴ (αἴ P) κ' ἐθέλων γε μένοις mss. vitiose; cf. β 76.
317 δ' εἰς τόδ'] δ' ἐς τὸν P, δ' ἐς τότ' D; vHerwerden δή τοι.
317-319 ὄφρ' — γαλήνην] del. Kammer.
319 ἐλάουσι γαλήνην] cf. πόντον ἐλαύνοντες Η 6. ‖ ἐλάουσι § 191] ἐλόωσι mss., l. a ἐλάωσι. ‖ ὄφρα χ' § 326] ὄφρ' ἂν mss.
320 ποθί § 322] πού mss.; ποσί Nauck.
321 ἑκαστέρω D U[1]] ἑκατέρω mss. cetera (ἑκάτερθεν F[1]); comparativus, in quo neglectum est Ϝ, h. VI 29 redit. Cf. § 89.
322 περ] γὰρ G mss. alia. ‖ τηλοτάτω] superl. †; cf. § 89. ‖ Ϝ'(ε) Bentley] μιν mss.
323 sq.] fabula aliunde ignota.
325 καμάτοι' ἐτέλεσσαν] -τοιο τέλεσσαν mss. (-σσεν G[1], κόμισσαν W); cf. § 59.
326] abundat τῷ, neglectum autem est Ϝ vocis Ϝοίκαδε; *αὐτῆμαρ, καὶ Ϝοίκαδ' ἀπήνυσαν αὖτις ὀπίσσω? ‖ ἀπήνυσαν] ἀπήγαγον F[2] P H[2] X mss. alia. Comp. ἀπανύω †.
327 Ϝειδήσεις] cf. § 212.
328 πηδῷ] redit vox ν 78; Att. πλάτη. Cf. δ 580.
329 'φάτ', ἐγήθησεν] φάτο, γ. mss.
330 εὐχόμενος P H[1]] εὐξάμενος mss. plerAque. ‖ ἄρ' ἔϜειπε] ἄρα εἶπεν mss. ‖ Ϝέπος — ὀνόμαζε] πρὸς ὃν μεγαλήτορα θυμόν H[2] X, ἰδὼν εἰς οὐρανὸν εὐρύν M[1] K.

„Ζεῦ πάτερ, αἴθ' ὅσ' ἔϜειπε τελευτήσειεν ἅπαντα
Ἀλκίνοος· τοῦ μέν κεν ἐπὶ ζείδωρον ἄρουραν 332ᵇ = Θ 486
ἄσβεστον κλέος εἴη, ἐγὼ δέ κε πατρίδ' ἱκοίμην."
ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
'κέκλετο δ' Ἀρήτη λευκώλενος ἀμφιπόλοισι
δέμνι' ὑπ' αἰθούσῃ θέμεναι καὶ ῥήγεα καλὰ 336-339 = Ω 644 sqq.
πορφύρε' ἐμβαλέμεν, στορέσαι τ' ἐφύπερθε τάπητας,
χλαίνας τ' ἐνθέμεναι Ϝούλας καθύπερθε Ϝέσασθαι.
αἱ δ' ἴσαν ἐκ μεγάροιο δάος μετὰ χερσὶν ἔχουσαι·
αὐτὰρ ἐπεὶ 'στόρεσαν πυκινὸν λέχος ἐγκονέουσαι, 340 = ψ 291 cf. Ω 648
ὤτρυνον δ' Ὀδυσῆα παριστάμεναι Ϝεπέεσσι·
„ὄρσο κέων, ὦ ξεῖνε· πεποίηται δέ τοι εὐνή."
ὣς 'φάν, τῷ δ' ἀσπαστὸν ἐϜείσατο κοιμηθῆναι. 343 cf. ϑ 295
ὣς ὃ μὲν ἔνθα καθηῦδε πολύτλας δῖος Ὀδυσσεὺς 344 = ζ 1
τρητοῖσ' ἐν λεχέεσσιν ὑπ' αἰθούσῃ ἐριδούπῳ· 345 = γ 399
Ἀλκίνοος δ' ἄρ' ἔλεκτο μυχῷ δόμου ὑψηλοῖο, 346ᵇ = γ 402
πὰρ δὲ γυνὴ δέσποινα λέχος 'πόρσυνε καὶ εὐνήν. 347 cf. γ 403

331 ὅσ' ἔϜειπε] ὅσα εἶπε mss., l. a. ὡς εἶπε.
335 ἀμφιπόλοισι] ἐν μεγάροισι P.
337 ἐμβαλέμεν § 126] -λέειν mss.
339 δάος] vid. ad Ω 647.
340 ἐγκονέουσαι] vid. ad Ω 648.
341 δ'] ῥ' G mss. alia, om. F.
342 ὄρσο] ὄρσεο H mss. alia, ὄρσεο κείων. ξεῖνε proponitur apud Bekkerum. ‖ κέων] vid. § 17 et 169.
345] del. Grashof. ‖ τρητοῖσ'] cf. Γ 448.
346 ἄρ' ἔλεκτο G P[2] T i k] ἄρα λέκτο mss. cett.
347 'πόρσυνε] πόρσαινε Ar.; vid. ad Γ 411.

ΟΔΥΣΣΕΙΑΣ Θ.

Ὀδυσσέως σύστασις πρὸς Φαίακας.

ἦμος δ' ἠριγένεια 'φάνη ῥοδοδάκτυλος Ἠώς, 1 sq.* cf. β 1 sq.
ὤρνυτ' ἄρ' ἐξ εὐνῆς ἱερὸν μένος Ἀλκινόοιο,
ἂν δ' ἄρα διογενὴς ὦρτο πτολίπορθος Ὀδυσσεύς.
τοῖσιν δ' ἡγεμόνευ' ἱερὸν μένος Ἀλκινόοιο 4 = 421
Φαιήκων ἀγορήνδ', ἥ σφιν παρὰ νηύσ' ἐτέτυκτο.
ἐλθόντες δὲ καθῖζον ἐπὶ ξεστοῖσι λίθοισι 6 = π 408 cf. Σ 504
πλησίον. ἡ δ' ἀνὰ Ϝάστυ μετῴχετο Παλλὰς Ἀθήνη
Ϝειδομένη κήρυκι δαΐφρονος Ἀλκινόοιο,
νόστον Ὀδυσσῆι μεγαλήτορι μητιάουσα, 9 = ζ 14
καί ῥα Ϝεκάστῳ φωτὶ παρισταμένη 'φάτο μῦθον· 10 = β 384
„δεῦτ' ἄγε, Φαιήκων ἡγήτορες ἠδὲ μέδοντες,
εἰς ἀγορὴν ἴμεναι, ὄφρα ξείνοιο πύθησθε,
ὃς νέον Ἀλκινόοιο δαΐφρονος ἵκετο δῶμα
πόντον ἔπι πλαγχθεὶς, δέμας ἀθανάτοισιν ὁμοῖος.“ 14^b = γ 468
ὣς Ϝειποῦσ' ὤτρυνε μένος θυμόν τε Ϝεκάστου. 15 = E 470
καρπαλίμως δ' ἔμπληντο βροτῶν ἀγορή τε καὶ ἕδραι

Diasceuastam (vid. ad α 88 sqq.) hunc librum ex antiquo fonte desumtum et levius graviusve mutatum inseruisse putat Kirchhoff; vid. ad η 298-347.

5 *νηύσ' ἐτέτυκτο*] *νηυσὶ τ.* mss.

6 *λίθοισι*] cf. γ 406.

8 *κήρυκι*] *κούρῃ* F[1] (cf. ζ 22).

9-31] om. P[1], in marg. addidit P[2] (omisso vs. 27).

9] in Y legitur: *ἣ λαοὺς μὲν ἄνωγ' ἀγορήν τ' (-δ') ἰέναι Φαιήκων.* ‖ *μητιάουσα* § 191] *μητιόωσα* mss.

12 *ἴμεναι* § 125] *ἰέναι* mss.

15 *θυμόν τε* Bentley] *καὶ θυμὸν* mss.

16-23] del. Grashof.

16 *ἔμπληντο*] *ἔπληντο* G[2] X[1] mss. alia, cf. vs. 57. Suspectum est *-ηντο* pro *-ήατο*, cf. § 119; **ἔμπλητο?* Hartman *ἐμπλήαθ' ὅμως,* vocem *βροτῶν* hinc alienam ducens. ‖ *ἀγορή* Hartman] *ἀγοραί* mss.

ἀγρομένων· πολλοὶ δ' ἄρ' ἐθηήσαντο Ϝιδόντες
υἱὸν Λαέρταο δαΐφρονα. τῷ δ' ἄρ' Ἀθήνη
θεσπεσίην κατέχευε χάριν κεφαλῆς τε καὶ ὤμων, 19 cf. ζ 235
καί μιν μακρότερον καὶ πάσσονα 'θῆκε Ϝιδέσθαι, 20 cf. ζ 229 sq. σ 195
21 ὥς κεν Φαιήκεσσι φίλος πάντεσσι γένοιτο.
24 αὐτὰρ ἐπεί ῥ' ἤγερθεν ὁμηγερέες τ' ἐγένοντο, 24 = Ω 790
τοῖσιν δ' Ἀλκίνοος ἀγορήσατο καὶ μετέϜειπε· 25-27 = η 185 sqq.
„κέκλυτε, Φαιήκων ἡγήτορες ἠδὲ μέδοντες,
ὄφρ' ἔσπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
ξεῖνος ὅδ', οὐ Ϝοῖδ' ὅς τις, ἀλώμενος ἵκετ' ἐμὸν δῶ,
ἠὲ πρὸς ἠοίων ἢ Ϝεσπερίων ἀνθρώπων·
πομπὴν δ' ὀτρύνει καὶ λίσσεται ἔμπεδον εἶναι.
ἦμες δ', ὡς τὸ πάρος περ, ἐποτρυνώμεθα πομπήν·
οὐδὲ γάρ οὐδέ τις ἄλλος, ὅ τις κ' ἐμὰ δώμαθ' ἵκηται, 32^b cf. γ 355
ἐνθάδ' ὀδυρόμενος δϜηρὸν μένει εἵνεκα πομπῆς.
ἀλλ' ἄγε νῆα μέλαιναν ἐρύσσομεν εἰς ἅλα δῖαν 34 cf. Α 141
πρωτόπλοον· κούρω δὲ δύω καὶ πεντήκοντα 35 cf. 48
κρινέσθων κατὰ δῆμον, ὅσοι πάρος εἰσὶν ἄριστοι. 36 cf. δ 530 36^b cf. Α 825
δησάμενοι δ' εὖ πάντες ἐπὶ κληῖσιν ἐρετμὰ
ἔκβητ', αὐτὰρ ἔπειτα θοὴν ἀλεγύνετε δαῖτα

---

22 *δϜεινός τ' αἰδοῖός τε καὶ ἐκτελέσειεν ἀέθλους*
πολλούς, τοὺς Φαίηκες ἐπειρήσαντ' Ὀδυσῆος.

22 sq. Zen. (et Ar.? cf. η 13) —

---

17 *δ' ἄρ'*] *γάρ* G, *δὲ* Nauck. ‖ *ἄρ' ἐθηήσαντο*] *ἄρα θηήσαντο* mss. pleraque invito metro.

18 *δ' ἄρ'*] l. a. *γάρ*.

19 **κεφαλῆς ... ὤμων*] *κεφαλῇ ... ὤμοις* mss. (*-λήν* H[1] l... *ὤμους* G l); vid. § 60 et ad ζ 235.

22 sq.] *multa* certamina parum apte commemorari vidit Zen., cui Aristarchum assensum esse e scholiis iure effecit Ludwich Arist. I p. 568; Kirchhoff tamen dubitat an ipsius diasceuastae hic sit error. Male Crates referebat ad *labores* Ulixi mox enarrandos.

25 *τοῖσιν δ'*] *τοῖσιν ἄρ'* M post ras., *τοῖσι δ' ἄρ* K.

27] om. G P[2] (vid. ad vs. 9-31) mss. alia, del. LaRoche. ‖ *ἔσπω* § 246] *εἴπω* mss.

31 *ἦμες* § 92] *ἡμεῖς* mss.

32 *ὅ τις*] *ὅστις* metro invito mss. multa, PKnight *οὐδὲ γὰρ οὐδ' ἄλλος, ὅς τίς κ'.*

34 *ἐρύσσομεν*] neglecto Ϝ; Bentley *ἀλλὰ μέλαιναν νῆα Ϝερ.*, Fick *νῆα θοὴν προϜερύσσομεν.*

35 *πρωτόπλοον*] †, notetur correptio Attica (vid. § 25). ‖ *κούρω*] sic G F[1] P, *κοῦροι* mss. multa; cf. vs. 48 sq. — Dualem Gladstone ita explicat ut duo viri (dux et gubernator) qui ceteris praesint indicentur cum quinquaginta nautis (vid. ad γ 7). Redit locutio vs. 48; ceterum cf. Meisterhans Gramm. d. att. Inschr.[2] p. 161, Apoll. Synt. 197,8.

36 *κρινέσθων* vHerwerden] *-νάσθων* mss.; cf. vs. 48. ‖ *ὅσοι*] liberius dictum pro *ἐκ πάντων ὅσοι.* ‖ *εἰσὶν*] *ἦσαν* (ut locis par.) M mss. alia; vid. ad Π 23.

37 *ἐπὶ κληῖσιν*] vid. ad β 419.

38 *ἔκβητ'*] e navi nimirum; durius dictum. ‖ *ἀλεγύνετε*] sic (non *-νατε*) Ar.

ἡμέτερόνδ' ἐλθόντες· ἐγὼ δ' ἐῢ πᾶσι παρέξω.
κούροισιν μὲν ταῦτ' ἐπιτέλλομαι· αὐτὰρ οἳ ἄλλοι — 40^{a} = Ι 68
σκηπτόοχοι βασιλῆες ἐμὰ πρὸς δώματα καλὰ
ἔρχεσθ', ὄφρα ξεῖνον ἐνὶ μεγάρῳ φιλέωμεν·
μηδέ τις ἀρνείσθω. καλέσασθε δὲ θεῖον ἀοιδὸν
Δημόδοκον· τῷ γάρ ῥα θεὸς περὶ 'δῶκεν ἀοιδὴν
τερπέμεν', ὅππῃ θυμὸς ἐποτρύνῃσιν ἀείδειν."
ὣς ἄρα φωνήσας ἡγήσατο, τοὶ δ' ἅμ' ἕποντο — 46 = Μ 251
σκηπτόοχοι· κῆρυξ δὲ μετῴχετο θεῖον ἀοιδόν.
κούρω δὲ κρινθέντε δύω καὶ πεντήκοντα — 48 cf. 35
'βήτην, ὡς ἐκέλευσ', ἐπὶ θῖν' ἁλὸς ἀτρυγέτοιο.
αὐτὰρ ἐπεί ῥ' ἐπὶ νῆα κατήλυθον ἠδὲ θάλασσαν, — 50 = β 407
νῆα μὲν οἵ γε μέλαιναν ἁλὸς βένθοσδ' ἐϝέρυσσαν, — 51 cf. δ 780
ἐν δ' ἱστόν τ' ἐτίθεντο καὶ ἱστία νηὶ μελαίνῃ, — 52 sq. = δ 781 sq.
ἠρτύναντο δ' ἐρετμὰ τροποῖσ' ἐν δερματίνοισι,
ὑψόθι δ' ἐν νοτίῳ τήν γ' ὥρμισαν. αὐτὰρ ἔπειτα — 55^{a} = δ 785
'βάν ῥ' ἴμεν' Ἀλκινόοιο δαΐφρονος εἰς μέγα δῶμα·
'πλῆντο δ' ἄρ' αἴθουσαί τε καὶ ἕρκεα καὶ δόμοι ἀνδρῶν.
τοῖσιν δ' Ἀλκίνοος δύο καὶ δέκα μῆλ' ἱέρευσε,
ὀκτὼ δ' ἀργιόδοντας ὕας, δύο δ' εἰλίποδας βοῦς·
τοὺς 'δέρον ἀμφί θ' ἕπον 'τετύκοντό τε δαῖτ' ἐρατεινήν.
κῆρυξ δ' ἐγγύθεν ἦλθεν ἄγων ἐρίηρον ἀοιδόν, — 62 = 471

54 πάντα κατὰ μοῖραν, ἀνά θ' ἱστία λεύκ' ἐπέτασσαν, — 54 = δ 783
58 ἀγρομένων· πολλοὶ δ' ἄρ' ἔσαν νέοι ἠδὲ παλαιοί. — 58 cf. δ 720

41 σκηπτόοχοι] -οῦχοι mss. ‖ βασιλῆες] vid. ad α 386.

42 μεγάρῳ Nauck] μεγάροισ(ι) mss.; cf. § 60 et 191.

43 θεῖον] δῖον Nauck.

45 τερπέμεν' § 125] τέρπειν vel τερπνὴν mss.

47 σκηπτόοχοι] -οῦχοι mss. ‖ θεῖον] δῖον Nauck.

48 κούρω] κοῦροι mss. complura; cf. vs. 35.

49 ἐπὶ θῖν' ἁλὸς ἀτρυγέτοιο] l. a. ἱερὸν μένος Ἀλκινόοιο.

53 ἠρτύναντο] ἠρτύνοντο H^2 U. ‖ τροποῖσ' ... δερματίνοισι] vid. vs. parall.

54] del. Kammer; vid. ad δ 783. ‖ ἀνά ... λεύκ' ἐπέτασσαν] ἀνά ... λευκὰ πέτασσαν vel παρά ... λευκὰ τάνυσσαν mss.

55 ὑψόθι § 322] ὑψοῦ mss.; an *ὕψι δ' ἐνὶ? De adverbii sensu vid. ad Ξ 77. ‖ ἐν νοτίῳ] ἐννοδίῳ (?) Aristoph.; vid. ad δ 785 et de voce νότιον ad Θ 307. ‖ αὐτὰρ ἔπειτα] ἐκ δ' ἔβαν αὐτοί X D (cf. vs. 38).

56 ῥ'] δ' X D.

57 'πλῆντο] vid. ad vs. 16; *'πλήατο δ' αἴθουσαί?

58] om. mss. pleraque.

59] cunctos Phaeaces apud Alcinoum ad coenam convenisse fuere qui putarent, in his Crates; cuius opinionis testis videtur vs. 58. Absurde autem hi poetae vitio vertebant quod regem finxisset parcius aequo tot convivis epulas parantem.

62 ἦλθεν ἄγων] ἦλθε φέρων (absurde) M U K. ‖ P^2 subiungit Δημόδοκον λιγύφωνον ἐόντα θεῖον ἀοιδόν.

τὸν περὶ μοῦσ' ἐφίλησε, 'δίδου δ' ἀγαθόν τε κακόν τε·
ὀφθαλμὼ μὲν ἄμερσε, 'δίδου δ' ἡδεῖαν ἀοιδήν.
τῷ δ' ἄρα Ποντόνοος 'θῆκε θρόνον ἀργυρόηλον
μέσσῳ δαιτυμόνων, πρὸς κίονα μακρὸν ἐρείσας· — 66 = 473
κὰδ δ' ἐκ πασσαλόφι 'κρέμασεν φόρμιγγα λιγεῖαν — 67 = 105
αὐτόθ' ὑπὲρ κεφαλῆς καὶ ἐπέφραδε χερσὶν ἑλέσθαι
κῆρυξ· πὰρ δ' ἐτίθει κάνεον καλήν τε τράπεζαν,
πὰρ δὲ δέπας ϝοίνοιο, πιεῖν ὅτε θυμὸς ἀνώγοι. — 70 cf. Δ 263
οἳ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον. — 71 sq. = Ι 91 sq.
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον εἷντο,
μοῦσ' ἄρ' ἀοιδὸν ἀνῆκεν ἀειδέμεναι κλέε' ἀνδρῶν, — 73^{b} cf. Ι 189
οἴμην, τῆς τότ' ἄρα κλέος οὐρανὸν εὐρὺν ἵκανε·
νεῖκος Ὀδυσσῆος καὶ Πηλεΐδα' Ἀχιλῆος,
ὥς ποτ' ἐδηρίσαντο θεῶν ἐν δαιτὶ θαλείῃ
ἐκπάγλοισι ϝέπεσσι, ϝάναξ δ' ἀνδρῶν Ἀγαμέμνων
'χαῖρε νόῳ, ὅ τ' ἄριστοι Ἀχαιῶν 'δηριάοντο·
ὣς γάρ ϝοι χρήων 'μυθήσατο Φοῖβος Ἀπόλλων
Πυθῶν' ἠγαθέῃ, ὅθ' ὑπέρβη λάινον οὐδόν.

81 χρησόμενος· τότε γάρ ῥά 'κυλίνδετο πήματος ἀρχὴ
Τρωσί τε καὶ Δαναοῖσι Διὸς μεγάλου διὰ βουλάς.

81 sq. Ar. —, defuisse in vetustis quibusdam libris refert Didymus.

63 sq.] poetam, qui haec cecinit, ipsum oculis captum fuisse suspicetur quispiam coll. h. Apoll. 172 et Β 599 sq.

64 ὀφθαλμὼ U^2 q] -μῶν mss. cett.; vid. Ν 340 et ad Ε 659 Ι 503. ‖ μὲν] μιν Bentley. ‖ ἄμερσε] cf. Ν 340. ‖ ἡδεῖαν] neglecto ϝ; Fick δὲ λιγεῖαν metro invito (vid. § 3).

65 sq.] diascenastae tribuit Kirchhoff.

67 πασσαλόφι] -λοο PKnight; cf. § 59. ‖ κρέμασεν Ar. mss.] δῆσεν Aristoph.; cf. vs. 105.

68 αὐτόθ' § 322] αὐτοῦ mss.

70 ἀνώγοι G^3 F X^2 T] -γει mss. pleraque.

72 εἷντο] ἕντο mss.

73 ἀνῆκεν] ἐνῆκεν D. ‖ κλέε' ἀνδρῶν] ὀπὶ καλῇ G^1 (cf. ε 61). Vid. ad Ι 189. ‖ κλέε' § 71] κλέα mss.

74 *οἴμην] οἴμης mss., qui genitivus explicari nequit (prolepsin sumit Nitzsch). Vox redit ϑ 481 χ 347, item οἶμος (?) h. Merc. 451 (sed Δ 24 = *linea*); vert. *curriculum narrationis*. In schol. recte confertur προοίμιον.

75-80] Apollinis oraculum responderat Agamemnoni, fore ut Troia caperetur si optimos Achivorum discordia invasisset, μῆνιν illam, quae Iliadis praebuit argumentum, significans; Agamemnon autem, cum belli initio Achilles et Ulixes inter pocula aliquando rixam iniissent, intempestive laetatus est, cum putaret ratum fieri illud oraculum. Rem, quae in Cypriis carmine fuse enarrata fuisse videtur, in scena repraesentarunt tragici, vid. Aesch. fr. 179 Soph. 147 et 152 sqq. — Demodocum *Iliadem* aliquam (a nostra diversam) cecinisse suspicatur Seeck.

75 Πηλεΐδα' § 55] -δέω mss.

77 ἐκπάγλοισι ϝέπεσσι § 60] -οις ἐπέεσσιν mss.

78 'δηριάοντο § 191] δηριόωντο mss.

79 χρήων § 190] χρείων mss.

80 Πυθῶν' Nauck] Πυθοῖ ἐν mss., quod scribendum foret Πυθό' ἐν (cf. § 77); sed vid. Β 519 Ι 405. ‖ ἠγαθέῃ] cf. § 21.

81 sq.] *hoc enim si accidisset, Troiae perniciem instare oraculum ei dixerat.*

82] imitatur Verg. Aen. XI 901. ‖ μεγάλου

ταῦτ' ἄρ' ἀοιδὸς ἄειδε περικλυτός. αὐτὰρ Ὀδυσσεὺς 83 = 367, 521
πορφύρεον μέγα φᾶρος ἑλὼν χερσὶ στιβαρῇσι 84 cf. Θ 221
κὰκ κεφαλῆς ἐϝέρυσσε, 'κάλυψε δὲ καλὰ πρόσωπα· 84^b = Μ 397
ἥδετο γὰρ Φαίηκας ὑπ' ὀφρύσι δάκρυα λείβων.
ἦ τοι ὅτε λήξειεν ἀείδων θεῖος ἀοιδὸς,
δάκρυ' ὀμορξάμενος κεφαλῆς ἄπο φᾶρος ἕλεσκε 88^a cf. Σ 124
καὶ δέπας ἀμφικύπελλον ἑλὼν 'σπείσασκε θεοῖσι·
αὐτὰρ ὅτ' ἂψ ἄρχοιτο καὶ ὀτρύνειαν ἀείδειν
Φαιήκων οἳ ἄριστοι, ἐπεὶ 'τέρποντο ϝέπεσσι,
ἂψ Ὀδυσεὺς κατὰ κρᾶτα καλυψάμενος 'γοάεσκε.
ἔνθ' ἄλλους μὲν πάντας ἐλάνθανε δάκρυα λείβων, 93-97 = 532 sqq.
Ἀλκίνοος δέ μιν οἶος ἐπεφράσατ' ἠδ' ἐνόησε
ἥμενος ἄγχ' αὐτοῦ, βαρὺ δὲ στενάχοντος ἄκουσε.
αἶψα δὲ Φαιήκεσσι φιληρέτμοισι μετηύδα· 96 sq. = 386 sq. 96 = ν 36
„κέκλυτε, Φαιήκων ἡγήτορες ἠδὲ μέδοντες·
ἤδη μὲν δαιτὸς κεκορήμεθα θυμὸν ἐϝίσης
φόρμιγγός θ', ἣ δαιτὶ συνήορός ἐστι θαλείῃ·
νῦν δ' ἐξέλθωμεν καὶ ἀέθλων πειρηθῶμεν
πάντων, ὥς χ' ὃ ξεῖνος ἐνίσπῃ ϝοῖσι φίλοισι 101 sq. = 251 sq.
ϝοίκαδε νοστήσας, ὅσσον περιγιγνόμεθ' ἄλλων
πύξ τε παλαισμοσύνῃ τε καὶ ἅλματι ἠδὲ πόδεσσι."
ὣς ἄρα φωνήσας ἡγήσατο, τοὶ δ' ἅμ' ἕποντο. 104 = Μ 251
κὰδ δ' ἐκ πασσαλόφι 'κρέμασεν φόρμιγγα λιγεῖαν, 105 = 67

(-λοιο H^2 Y) διὰ βουλάς] μεγάλοιο ἕκητι Y in margine, quae elegans est coniectura. Cf. Α 5.

83-96] diasceuastae tribuit Kirchhoff; Duentzer del. vs. 83-520, Anton vs. 87-92, Koechly vs. 93-531.

85 ἐϝέρυσσε] εἴρυσσε mss.; cf. § 293.

86 ἥδετο] αἴδετο mss.

87 θεῖος] δῖος X D.

88 δάκρυ'] vid. ad β 81.

91 'τέρποντο ϝέπεσσι] -ντ' ἐπέεσσι mss.

92 ἂψ] sic Ar., ἂψ δ' G W Z, αἶψ' Aristoph.; cf. Η 272 Ρ 729 Φ 33 β 292 γ 307 δ 283 ε 349, 352 ι 485 κ 244, 263, 395, 405 μ 199 ρ 466 σ 110. || κρᾶτα] acc. plur.; cf. § 82. || γοάεσκε(ν) K] γοάασκεν mss. cett.; vid. § 191.

95] del. PKnight.

98 δαιτὸς ... θυμὸν] sic Ar., θυμὸν ... δαιτὸς M K veteresque apud Didymum.

99] cf. α 152 h. Merc. 478 sqq. || συνήορος] †, *socia*, a verbo ἀείρειν, vid. ad Κ 499. || θαλείῃ] l. a. ἑταίρῃ apud Eust., quod vocis συνήορος est glossema; cf. ρ 271 Athen. XIV 627*e*.

100 πειρηθῶμεν] pro -θήομεν novicium, cf. § 122; πειρήσωμεν schol. Δ 389, vid. ad Χ 381. Fick καὶ πειρησώμεθ' ἀέθλων.

101 χ' ὃ] κε?

103 παλαισμοσύνῃ] παλαιμοσύνῃ mss. nonnulla, idque Aristarcho tribuit Eust. („vix recte" Ludwich); vid. Ψ 701 ϑ 126 et ad ϑ 246. || *ἅλματι] ἅλμασιν mss. Vox redit ϑ 128, ubi vid.

105 πασσαλόφι] cf. vs. 67. || κρέμασεν] sic Ar.; vid. ad vs. 67.

Δημοδόκου δ' ἕλε χεῖρα καὶ ἔξαγεν ἐκ μεγάροιο
κήρυξ· ἦρχε δὲ τῷ αὐτὴν ὁδὸν ἥν περ οἳ ἄλλοι,
Φαιήκων οἳ ἄριστοι, ἀέθλια θαυμανέοντες.

'βὰν δ' ἴμεν' εἰς ἀγορὴν, ἅμα δ' ἕσπετο πολλὸς ὅμιλος,
μυρίοι. ἂν δ' ἵσταντο νέοι πολλοί τε καὶ ἐσθλοί·
ὦρτο μὲν Ἀκρόνεώς τε καὶ Ὠκύαλος καὶ Ἐλατρεὺς
Ναυτεύς τε Πρυμνεύς τε καὶ Ἀγχίαλος καὶ Ἐρετμεὺς
Ποντεύς τε Πρῳρεύς τε, Θόων Ἀναβησίνεώς τε
Ἀμφίαλός θ' υἱὸς Πολυνήου Τεκτονίδαο·
ἂν δὲ καὶ Εὐρύαλος βροτολοιγῷ ϝῖσος Ἄρηι 115^b = Λ 295
Ναυβολίδης, ὃς ἄριστος ἔην ϝεῖδός τε δέμας τε 116 cf. λ 469 ω 17
πάντων Φαιήκων μετ' ἀμύμονα Λαοδάμαντα· 116^b = σ 251 τ 124
ἂν δ' ἔσταν τρεῖς παῖδες ἀμύμονος Ἀλκινόοιο,
Λαοδάμας θ' Ἅλιός τε καὶ ἀντίθεος Κλυτόνηος.
οἳ δ' ἦ τοι πρῶτον μὲν ἐπειρήσαντο πόδεσσι.
τοῖσι δ' ἀπὸ νύσσης 'τέτατο δρόμος· οἳ δ' ἅμα πάντες 121^a = Ψ 758
καρπαλίμως ἐπέτοντο κονίοντες πεδίοιο. 122^b = Ψ 372
τῶν δὲ θέειν ὄχ' ἄριστος ἔην Κλυτόνηος ἀμύμων·
ὅσσον τ' ἐν νειῷ οὖρον πέλετ' ἡμιόνοιιν, 124 cf. Κ 351^b sq.
τόσσον ὑπεκπροθέων λαοὺς ἵκεθ', οἳ δ' ἐλίποντο.
οἳ δὲ παλαισμοσύνης ἀλεγεινῆς 'πειρήσαντο·
τῇ δ' αὖτ' Εὐρύαλος ἀπεκαίνυτο πάντας ἀρίστους.
ἅλματι δ' Ἀμφίαλος πάντων προφερέστατος ἦεν·
δίσκῳ δ' αὖ πάντων πολὺ φέρτατος ἦεν Ἐλατρεὺς,

107 αὐτὴν] cf. κ 263 et § 98.

108] del. PKnight. || θαυμανέοντες] verbum nonnisi h. Ven. 84 redit.

109 *πολλὸς § 83] πολλὺς G, πολὺς vel πουλὺς mss. cetera.

111 Ἀκρόνεως] novicia est nominis forma pro -νηος (cf. vs. 114 et 119); item Ἀναβησίνεως vs. 113. Vid. § 62.

112 sq. Ναυτεύς] Ναύτης Bekker. || Πρυμνεύς ... Πρῳρεύς] ordine inverso habent G i k. || Ἀγχίαλος] vid. ad Β 640.

113 Ἀναβησίνεως] vid. ad vs. 111.

116 Ναυβολίδης M] -δης θ' mss. cetera, at „solo patris nomine Homerus homines obscuros appellare non solet" (LaRoche). || ἔην] ἔεν? vid. § 302.

118 ἀμύμονος] -νες Barnes; cf. vs. 419.

122 πεδίοιο] vid. ad Β 785.

123 ἔην] ἔεν? vid. § 302.

124] cf. Ν 707. || οὖρον] cf. Κ 351. || πέλετ' § 275] πέλει mss.

125 λαοὺς] spectatores apud metam eos opperientes; Bentley ἄλλους, sed hoc est supervacaneum, verbum autem ἵκεθ' suum sibi accusativum flagitat.

126 παλαισμοσύνης] παλαιμ. mss. multa; vid. Ψ 701 ϑ 103 et ad ϑ 246.

127 ἀπεκαίνυτο] comp. vs. 219 redit.

128 προφερέστατος] προφερέστερος F mss. alia, πολὺ φέρτατος U.

129 πολὺ φέρτατος] προφερέστατος (-στερος) mss. multa; cf. φ 134.

πὺξ δ' αὖ Λαοδάμας, ἀγαθὸς πάις Ἀλκινόοιο.
αὐτὰρ ἐπεὶ δὴ πάντες ἐτέρφθησαν φρέν' ἀέθλων, 131 cf. ρ 174
τοῖσ' ἄρα Λαοδάμας μετέφη πάις Ἀλκινόοιο·
„δεῦτε, φίλοι, τὸν ξεῖνον ἐρώμεθα, εἴ τιν' ἄεθλον
Ϝοῖδέ τε καὶ δεδάηκε. φυήν γε μὲν οὐ κακός ἐστι,
μηρούς τε κνήμας τε καὶ ἄμφω χεῖρας ὕπερθε
αὐχένα τε στιβαρὸν μέγα τε σθένος, οὐδέ τι ἥβης 136ᵃ = Σ 415
δεύεται· ἀλλὰ κακοῖσι συνέρρηκται πολέεσσι.
οὐ γὰρ ἐγώ γέ τι φημὶ κακώτερον ἄλλο θαλάσσης
ἀνέρα συγχεῦαι, εἰ καὶ μάλα καρτερὸς εἴη." 139ᵇ cf. Ε 410 χ 13
τὸν δ' αὖτ' Εὐρύαλος ἀπαμείβετο 'φώνησέν τε·
„Λαοδάμαν, μάλα τοῦτο Ϝέπος κατὰ μοῖραν ἔϜειπες· 141ᵇ = Ο 206
αὐτὸς νῦν προκάλεσσαι ἰὼν καὶ πέφραδε μῦθον."
αὐτὰρ ἐπεὶ τό γ' ἄκουσ' ἀγαθὸς πάις Ἀλκινόοιο, 143 cf. η 167
'στῆ ῥ' εἰς μέσσον ἰὼν καὶ Ὀδυσσῆα προσέϜειπε·
„δεῦρ' ἄγε καὶ σύ, ξεῖνε πάτερ, πείρησαι ἀέθλων.
147 οὐ μὲν γὰρ μεῖζον κλέος ἀνέρος, ὄφρα κ' ἔῃσι,
ἢ ὅ τι ποσσίν τε ῥέξῃ καὶ χερσὶν ἑϜῇσι.
ἀλλ' ἄγε πείρησαι, σκέδασον δ' ἀπὸ κήδεα θυμοῦ·
σοὶ δ' ὁδὸς οὐκέτι δηρὸν ἀπέσσεται, ἀλλά τοι ἤδη 150ᵃ = β 285
νηῦς τε κατείρυσται καὶ ἐπαρτέες εἰσὶν ἑταῖροι." 151 cf. ξ 332 τ 289
τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
„Λαοδάμαν, τί με ταῦτα κελεύετε κερτομέοντες;

146 εἴ τινά που δεδάηκας· ἔοικε δέ σ' ἴδμεν' ἀέθλους.
142 ignorarunt Zen. Aristoph. Ar.

131 ἀέθλων Fick] ἀέθλοις mss. Vid. § 60 et ad ρ 174. Conieceramus *ἀέθλοισιν φρέν' ἐτερφθεν, sed *satiandi* notio requiritur, non *delectandi*, praestat igitur genitivus.

135 ἄμφω χεῖρας] vid. ad π 15.

136 σθένος] mire adiungitur corporis partibus; *στῆθός τε μέγ' (cf. σ 69 Β 479)? Schuetz μέγα δὲ σθένος, at de *robore* hospitis Phaeaces nihildum compertum habent. ‖ τι ἥβης] de hiatu vid. § 99 sq. et Ε 465 Ψ 103 Ω 593 (ι 27?) ι 339 κ 246.

137 συνέρρηκται] comp. †.

139 ἀνέρα Nauck] ἄνδρα γε vel τε mss.

140 Εὐρύαλος] Ἀμφίαλος Kammer, vulgatam cum vs. 159 sq. pugnare ratus.

141 Λαοδάμαν PKnight] Λαοδάμα (Ar.) mss., item vs. 153. Vid. ad Α 86. ‖ κατὰ μοῖραν] νημερτὲς Y.

144 'στῆ] βῆ J K.

145 ξεῖνε πάτερ] vid. ad η 28.

146] importuna loquacitate displicet PKnight del. vs. 146-151. ‖ ἔοικε . . . ἴδμεν'] utriusque verbi neglectum est Ϝ.

147 κ' ἔῃσι § 302] κεν ᾖσιν mss.

150 οὐκέτι δηρὸν] *οὔ τι δϜηρὸν?

151 τε κατείρυσται] *καταϜέϜρυ(σ)ται? cf. § 293. ‖ ἐπαρτέες] *parati*; adi. nonnisi locis par. redit.

153 Λαοδάμαν PKnight] -μα mss.; cf. vs. 141.

κήδεά μοι καὶ μᾶλλον ἐνὶ φρεσὶν ἤ περ ἄεθλοι·
ὃς πρὶν μὲν μάλα πόλλ' ἔπαθον καὶ πόλλ' ἐμόγησα, 155ᵇ = Ι 492
νῦν δὲ μεθ' ὑμετέρῃ ἀγορῇ νόστοιο χατίζων 156ᵇ cf. λ 350
ἧμαι, λισσόμενος βασιλῆά τε πάντα τε δῆμον."
τὸν δ' αὖτ' Εὐρύαλος ἀπαμείβετο 'νείκεσέ τ' ἄντην·
„οὐ γάρ σ' οὐδέ, ξεῖνε, δαήμονι φωτὶ ϜεϜίσκω
ἄθλων, οἷά τε πολλὰ μετ' ἀνθρώποισι πέλονται,
ἀλλὰ τῷ, ὅς θ' ἅμα νηὶ πολυκλήιδι θαμίζων,
ἀρχὸς ναυτάων οἵ τε πρηκτῆρες ἔωσι,
φόρτου τε μνήμων καὶ ἐπίσκοπος εἶσιν ὁδαίων
κερδέων θ' ἁρπαλέων· οὐδ' ἀθλητῆρι ϜέϜοικας."
τὸν δ' ἄρ' ὑπόδρα Ϝιδὼν προσέφη πολύμητις Ὀδυσσεύς·
„ξεῖν', οὐ καλὸν ἔϜειπες· ἀτασθάλῳ ἀνδρὶ ϜέϜοικας.
167 οὕτως οὐχ ἅμα πάντα θεοὶ χαρίεντα διδοῦσι.
169 ἄλλος μὲν γὰρ Ϝεῖδος ἀκιδνότερος πέλετ' ἀνήρ,
ἀλλὰ θεὸς μορφὴν Ϝέπεσι στέφει· οἳ δέ τ' ἐς αὐτὸν 170-173 cf. Hes. Theog. 84 sqq.
τερπόμενοι λεύσσουσιν, ὃ δ' ἀσφαλέως ἀγορεύει
αἰδόι μειλιχίῃ, μετὰ δὲ πρέπει ἀγρομένοισι· 172ᵇ = Β 481

168 ἀνδράσιν, οὔτε φυὴν οὔτ' ἄρ φρένας οὔτ' ἀγορητύν. 168 cf. Α 115

154 ἐνὶ] ἐπὶ G T i.

158 'νείκεσέ τ' ἄντην] l. a. φώνησέν τε.

159 σ' οὐδὲ] σ' οὔ τι Buttmann cum schol. ϑ 133; idem aut τ' οὐ σὲ Nitzsch.

160] del. PKnight. ‖ ἄθλων] novicium pro ἀέθλων; vid. ϑ 164 et ad Η 453; *ἀέθλων (sic U Y[1]) τά τε? ‖ οἷά τε πολλὰ] vid. ad γ 73.

161-165] hos versus corruptos esse iure statuit Hartman.

161 θ' ἅμα] θαμὰ mss. nonnulla, μάλα G[1]; τ' ἄρα Ernesti. Vix recte dicitur ἅμα νηὶ θαμίζειν.

162 πρηκτῆρες] vid. ad γ 72. Cobet πρητῆρες (*venditores*). ‖ *ἔωσι] ἔασι mss.

163 φόρτου] vox nonnisi ξ 296 redit; vid. ad ι 250. ‖ μνήμων] litterarum ignorantiam hanc vocem testari olim fuere qui contenderent; at recte *curatorem* interpretatur Nitzsch coll. Aristot. Politic. VI 5 § 4. Etiam ἱερομνήμονος magistratus Atheniensis nomen huc facit; praeterea cf. IGA. 5008 sqq. (Gilbert Alterth. II p. 168, Cauer Del.[2] 491 etc.) nec non voces iudiciales ἴδυ(ι)οι et Ϝίστωρ (vid. ad Σ 501). — Vox μνήμων nonnisi φ 95 redit; vid. ad Θ 181. ‖ ἐπίσκοπος] sic Ar.; ἐπίστροφος Aristoph. (cf. α 177). ‖ εἶσιν P[1]] ᾖσιν mss. cett. ‖ ὁδαίων] ἑταίρων G. Vox ὁδαίων nonnisi ο 445 redit, ubi vid.

164] del. PKnight. ‖ κερδέων] de synizesi vid. § 8. ‖ ἀθλητῆρι] vox †, vid. ϑ 160 et ad Η 453.

167-175] del. Hentze.

167 οὐχ ἅμα πάντα Duentzer] οὐ πάντεσσι mss. sine sensu (desiderari ἅμα coll. Ν 729 observaverat Nitzsch); vHerwerden οὐ γάρ πως ἅμα πάντα, Adam οὕτως οὐ πάντεσσι θεοὶ ἅμα πάντα διδοῦσιν aut οὕτως οὐκ ἄρα πάντα θεοὶ πάντεσσι διδοῦσιν (sic tamen pro πάντεσσι praestaret ἄνδρεσσι). Cf. Δ 320.

168] del. PKnight.

169 γὰρ U[1]] γάρ τ' (τις P[1]) mss. cett. ‖ πέλετ' § 275] πέλει mss.

170 μορφὴν] vox nonnisi λ 367 redit, utrobique translate. ‖ οἳ] sc. auditores; cf. ἀγρομένοισι vs. 172.

172 αἰδόι § 77] αἰδοῖ mss.

ἐρχόμενον δ' ἀνὰ ϝάστυ θεὸν ὣς εἰσοράουσι. 173 cf. *M* 312 ο 520
ἄλλος δ' αὖ ϝεῖδος μὲν ἀλίγκιος ἀθανάτοισι,
ἀλλ' οὔ ϝοι χάρις ἀμφὶ περιστέφεται ϝεπέεσσι·
ὡς καὶ σοὶ ϝεῖδος μὲν ἀριπρεπὲς, οὐδέ κεν ἄλλως 176ᵇ = υ 211
οὐδὲ θεὸς τεύξειε, νόον δ' ἀποφώλιός ἐσσι.
ὤρινάς μοι θυμὸν ἐνὶ στήθεσσι φίλοισι
ϝειπὼν οὐ κατὰ κόσμον. ἐγὼ δ' οὐ νῆϝις ἀέθλων,
ὡς σύ γε μυθέεαι, ἀλλ' ἐν πρώτοισιν ὀίω
ἔμμεναι, ὄφρ' ἥβῃ τε 'πεποίθεα χερσί τ' ἐμῇσι·
νῦν δ' ἔχομαι κακότητι καὶ ἄλγεσι, πολλὰ γὰρ ἔτλην
ἀνδρῶν τε πτολέμους ἀλεγεινά τε κύματα πείρων. 183 = *Ω* 8
ἀλλὰ καὶ ὣς, κακὰ πολλὰ παθὼν, πειρήσομ' ἀέθλων·
θυμοδακὴς γὰρ μῦθος, ἐπώτρυνας δέ με ϝειπών."
  ἦ ῥα, καὶ αὐτῷ φάρε' ἀναΐξας 'λάβε δίσκον
μείζονα καὶ πάχετον, στιβαρώτερον οὐκ ὀλίγον περ
ἢ οἵῳ Φαίηκες ἐδίσκεον ἀλλήλοισι.
τόν ῥα περιστρέψας ἧκε στιβαρῆς ἀπὸ χειρός·
'βόμβησεν δὲ λίθος, κατὰ δ' ἔπτηξαν ποτὶ γαίῃ
Φαίηκες δολιχήρετμοι, ναυσίκλυτοι ἄνδρες, 191 = 369 ν 166
λᾶος ὑπὸ ῥιπῆς. ὃ δ' ὑπέρπτατο σήματα πάντα, 192ᵃ = *M* 462
ῥίμφα θέων ἀπὸ χειρός. ἔθηκε δὲ τέρματ' Ἀθήνη, 192ᵇ cf. *Ψ* 843
ἀνδρὶ δέμας ϝεϝικυῖα, ϝέπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε·
  „καί κ' ἀλαός τοι, ξεῖνε, διακρίνειε τὸ σῆμα
ἀμφαφάων, ἐπεὶ οὔ τι μεμιγμένον ἐστὶν ὁμίλῳ,
ἀλλὰ πολὺ πρῶτον. σὺ δὲ θάρσεε τόνδε γ' ἄεθλον·

173] del. Anton. ‖ *εἰσοράουσι* § 191] -*ρόωσιν* mss.
174 *αὖ* F] *αὖτ'* mss. pleraque. ‖ *ἀλίγκιος*] cf. *Z* 401 η 5.
175 *περιστέφεται*] cf. ϑ 303.
176 sq.] similis sententia est ρ 454.
176 *ἄλλως*] nempe *melius*; cf. υ 211.
177 *ἀποφώλιος*] vid. ad ε 182.
180 *μυθέεαι* § 191] *μυθεῖαι* mss.
182 *ἔχομαι*] *ἄχομαι* Miller Mélang. 57 (ut σ 256 τ 129).
183 *πείρων*] sic Ar.; *πειρῶν* male Pamphilus.
185 *θυμοδακὴς*] †.
186 *φάρε'* § 71] *φάρει* mss. ‖ *'λάβε*] *ἕλε* U.
187 *πάχετον*] adiectivum, cuius forma suspecta, redit ψ 191; cf. -*μήκετος* *Ξ* 287 ζ 103. Doederlein *πάχετος στιβαρώτερον*, pro substantivo habens. ‖ *περ* G¹ F² mss. alia] *τε* mss. pleraque, *γε* G².
188 *ἐδίσκεον*] -*σκευον* P H; cf. § 144. Verbum † (*δίσκος* *B* 774 etc.).
190 *λίθος*] *ferreus* discus (*σόλος*) commemoratur *Ψ* 826.
191] del. Nitzsch (ad ι 208).
192 *ὑπὸ*] *ὑπαὶ* F² M¹ X mss. alia; cf. § 315. ‖ *ὑπέρπτατο*] cf. § 216; *ὑπέρβαλε* schol. (Ariston.) *Ψ* 843, de *disco* non bene. ‖ *σήματα*] l. a. *βήματα* (sic J). ‖ *πάντα*] *πάντων* G mss. alia.
196 *ἀμφαφάων* G] -*φόων* mss. cett.; cf. § 191.
197 *θάρσεε* § 191] *θάρσει* mss.

οὔ τις Φαιήκων τόδε γ' ἵξεται οὐδ' ὑπερήσει."
  ὣς 'φάτ'· ἐγήθησεν δὲ πολύτλας δῖος Ὀδυσσεὺς, 199 = η 329
χαίρων οὕνεχ' ἑταῖρον ἐνηέα 'λεῦσσ' ἐν ἀγῶνι.
καὶ τότε κουφότερον μετεφώνεε Φαιήκεσσι·
  „τούτου νῦν ἐφίκεσθε, νέοι· τάχα δ' ὕστερον ἄλλον
ἡσέμεν' ἢ τοσσοῦτον ὀίομαι ἢ ἔτι μᾶσσον.
τῶν δ' ἄλλων ὅν τε κραδίη θυμός τε κελεύῃ, 204 cf. ο 395
δεῦρ' ἄγε πειρηθήτω, ἐπεί μ' ἐχολώσατε λίην,
ἢ πὺξ ἠὲ πάλῃ ἢ καὶ ποσίν, — οὔ τι μεγαίρω, —
πάντων Φαιήκων, πλήν γ' αὐτοῦ Λαοδάμαντος.
ξεῖνος γάρ μοι ὅδε· τίς κεν φιλέοντι μάχοιτο;
ἄφρων δὴ κεῖνός γε καὶ οὐτιδανὸς πέλετ' ἀνὴρ,
ὅς τις ξεινοδόκῳ ἔριδα προφέρηται ἀέθλων
δήμῳ 'ν ἀλλοδαπῷ· ϝέο δ' αὐτοῦ πάντα κολούει.
τῶν δ' ἄλλων οὔ πέρ τιν' ἀναίνομαι οὐδ' ἀθερίζω,
ἀλλ' ἐθέλω ϝίδμεν καὶ πειρηθήμεναι ἄντην.
πάντα γὰρ οὐ κακός εἰμι, μετ' ἀνδράσιν ὅσσοι ἄεθλοι·
εὖ μὲν τόξον ϝοῖδα ἐύξοον ἀμφαφάεσθαι, 215 cf. τ 586

198 *τόδε γ'* Ar.] *τόν γ'* vel *τόνδ'* mss.
199 *'φάτ'· ἐγήθησεν*] *φάτο· γήθ.* mss.
200] del. PKnight. ‖ *ἐνηέα*] pro nomine proprio habebat Zoilus („Zenodotus?" Nauck) teste schol. *P* 204. Vid. ad *Λ* 99.
201 *κουφότερον*] compar. †, cf. *κοῦφα* *N* 158 h. Merc. 83. Nauck *κουροτέροισιν ἐφώνεε* (cf. *Δ* 316 φ 310) parum probabiliter. ‖ *μετεφώνεε* § 191] -*νει* mss. pleraque.
202 *τούτου* l. a. in schol. (?)] *τοῦτον* mss. ‖ *ἐφίκεσθε*] *ἀφίκεσθε* mss. pleraque. Vid. ad *N* 613.
203 *ἡσέμεν'* § 125] *ἥσειν* mss. ‖ *τοσσοῦτον*] *τοσοῦτον* mss. complura, PKnight *ἠὲ τοσοῦτον.* ‖ *μᾶσσον*] § 86.
204 *ὅν τε* PKnight] *εἴ τινα* U, *ὅντινα* mss. pleraque, *ὅτινα* G K alia, quae forma nonnisi ο 395 redit, ubi vid. ‖ *κελεύῃ*] -*ει* mss.; cf. *H* 74 ο 395.
206] del. Nitzsch coll. vs. 230, sed servandus videtur uterque; iratus dicit Ulixes: *etiam si ad pedum certamen me provocare vultis, per me licet*; mox addit celeritate tamen minus se nunc valere quam antea. ‖ *πάλῃ*] nonnisi *Ψ* 635 vox redit; vid. ad ϑ 246.
207 *Λαοδάμαντος*] mirum non simul ceteros Alcinoi filios, *Halium* et *Clytoneum* (cf. vs. 119), ab Ulixe excipi. Nitzsch quidem observat Laodamantem patri prae ceteris dilectum fuisse (η 170 sq.) et Ulixem ad certamen provocasse (ϑ 145), sed minus haec ad rem; plus valet quod inter *victores* modo fuerat Laodamas (ϑ 130), non fuerant fratres. Non tamen cum quolibet victore sed cum quolibet cive uno Laodamante excepto luctari paratum se dicit Ulixes, parum igitur accurate loquens. Dubitanter proponimus **αὐτοῖ' Ἀλκινόοιο*.
208 **ὅδε· τίς κεν*] *ὅδ' ἐστί· τίς ἂν* mss.; cf. ζ 300 ι 366 et § 326.
209 *πέλετ'* § 275] *πέλει* mss.
210 *προφέρηται ἀέθλων*] *προφέρῃσι βαρεῖαν* Iulian. 96*b*. De verbi potestate videatur ad *Γ* 7.
211 *αὐτοῦ*] *αὐτόο*? cf. § 59.
213 *ϝίδμεν*] suspectum pro *ϝίδμεναι* (sic H U), cf. § 126, *sciendi* autem verbum minus huc quadrat; **ϝιδέμεν*?
215 *ἀμφαφάεσθαι* H¹] -*φάασθαι* mss. cetera; cf. § 191.

229 δουρὶ δ' ἀκοντίζω ὅσον οὐκ ἄλλος τις ὀιστῷ.
οἴοισιν δέδϝοικα ποσὶν μή τίς με παρέλθῃ
Φαιήκων· λίην γὰρ ἀϝεικελίως ἐδαμάσθην
232ᵃ 233ᵇ κύμασιν ἒν πολέσιν· τῷ μοι φίλα γυῖα λέλυνται."
ὣς ἔφαθ'· οἳ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ. 234 = Γ 95
Ἀλκίνοος δέ μιν οἶος ἀμειβόμενος προσέϝειπε· 235 cf. β 84
„ξεῖν', ἐπεὶ οὐκ ἀχάριστα μεθ' ἥμιν ταῦτ' ἀγορεύεις,
ἀλλ' ἐθέλεις ἀρετὴν σὴν φαινέμεν', ἥ τοι ὀπηδεῖ,
χωόμενος, ὅτι σ' οὗτος ἀνὴρ ἐν ἀγῶνι παραστὰς
'νείκεσεν, ὥς κεν σὴν ἀρετὴν βροτὸς οὔ τις ὄνοιτο,
ὅς τις ἐπίσταιτο ϝῇσι φρεσὶν ἄρτια βάζειν· 240 = Ξ 92
ἀλλ' ἄγε νῦν ἐμέθεν ξυνίει ϝέπος, ὄφρα καὶ ἄλλῳ 241 cf. ζ 289

216 πρῶτός κ' ἄνδρα βάλοιμι διστεύσας ἐν ὁμίλῳ
ἀνδρῶν δυσμενέων, εἰ καὶ μάλα πολλοὶ ἑταῖροι
ἄγχι παρασταῖεν καὶ τοξαζοίατο φωτῶν.
οἶος δή με Φιλοκτήτης ἀπεκαίνυτο τόξῳ
δήμῳ ἔνι Τρώων, ὅτε τοξαζοίμεθ' Ἀχαιοί·
τῶν δ' ἄλλων ἐμὲ φημὶ πολὺ προφερέστερον εἶναι,
ὅσσοι νῦν βροτοί εἰσιν ἐπὶ χθονὶ σῖτον ἔδοντες.
ἀνδράσι δὲ προτέροισιν ἐριζέμεν' οὐκ ἐθελήσω,
οὔθ' Ἡρακλέεϊ οὔτ' Εὐρύτῳ Οἰχαλιῆι,
οἵ ῥα καὶ ἀθανάτοισιν ἐρίζεσκον περὶ τόξων.
τῷ ῥα καὶ αἶψ' ἔθανεν μέγας Εὔρυτος οὐδ' ἐπὶ γῆρας
ἵκετ' ἐνὶ μεγάροισι· χολωσάμενος γὰρ Ἀπόλλων
ἔκτανεν, οὕνεκά μιν προκαλίζετο τοξάζεσθαι.
232ᵇ ἐπεὶ οὐ κομιδὴ κατὰ νῆα
ἦεν ἐπηετανός.

216-228] delevit Kirchhoff, vs. 217-228 PKnight, vs. 218-228 Lehrs, vs. 219-228 Ameis-Hentze, vs. 212-233 Anton. Ulixes haec prius non potest proferre quam nomen suum professus fuerit, simplex autem eius sermo hac digressione male divellitur. Sed forsitan ipse diasceuasta finxerit hos versus vel aliunde desumserit.

219 *ἀπεκαίνυτο*] cf. vs. 127.

221 *προφερέστερον*] *-στατον* G F mss. alia.

222 *σῖτον ἔδοντες*] i. e. *ἀλφεσταί* (vid. ad α 349).

223 *οὐκ ἐθελήσω*] minus aptum videtur futurum; **οὔ κ' ἐθέλωμι?*

224 *Ἡρακλέεϊ* § 73] *-κλῆι* mss. De re vid. imprimis *E* 392. ‖ *Εὐρύτῳ*] *Eurytus* cum Apolline, qui arcum ei dono dederat, suo malo certavit; vid. Apoll. Rhod. I 88. Moriens autem filio suo *Iphito* hunc arcum reliquit (vid. φ 32 sq.); ab hoc Ulixes eum accepit, qui postea procos eo interfecit. Cf. φ 11 sqq.

226 *οὐδ' ἐπὶ*] *οὐδέ τι* G k.

227 *γὰρ*] **δέ ϝ'?*

232 **πολέσιν*] *πολλοῖς* mss.; cf. § 60 et 83.

232 sq. *ἐπεὶ — ἐπηετανός*] verba absurda addubitavit Nitzsch, delevit Bekker.

233 *γυῖα*] *γοῦνα* U (cf. υ 352).

236] de structura vid. ad *Γ* 59 *Z* 334. ‖ *ἀχάριστα*] †, sed cf. υ 392.

239 *ὡς*] *qua ratione.* ‖ *κεν* § 326] *ἂν* mss.; an **ὥς κε τεήν?* ‖ *ἀρετὴν βροτὸς οὔ τις ὄνοιτο*] vid. ad *Π* 31.

240 *ϝῇσι φρεσὶν*] *φρεσὶν ᾗσιν* P mss. alia.

241-249] del. Koechly.

241 *ἄλλῳ*] l. a. *ἄλλοις* (male).

ϝείπῃς ἡρώων, ὅτε κεν σοῖσ' ἐν μεγάροισι
δαινύεαι παρὰ σῇ τ' ἀλόχῳ καὶ σοῖσι τέκεσσι, 243 cf. κ 61
ἡμετέρης ἀρετῆς μεμνημένος, οἷα καὶ ἧμιν
Ζεὺς ἐπὶ ϝέργα τίθησι διαμπερὲς ἒξ ἔτι πατρῶν.
οὐ γὰρ πυγμάχοι εἰμὲν ἀμύμονες οὐδὲ παλαισταί,
ἀλλὰ ποσὶ κραιπνῶς θεέμεν καὶ νηυσὶν ἄριστοι·
248 αἰεὶ δ' ἧμιν δαίς τε φίλη κίθαρίς τε χοροί τε.
ἀλλ' ἄγε, Φαιήκων βητάρμονες ὅσσοι ἄριστοι,
παίσατε, ὥς χ' ὃ ξεῖνος ἐνίσπῃ ϝοῖσι φίλοισι 251 sq. = 101 sq
ϝοίκαδε νοστήσας, ὅσσον περιγιγνόμεθ' ἄλλων
ναυτιλίῃ καὶ ποσσὶ καὶ ὀρχηστυῖ καὶ ἀοιδῇ.
Δημοδόκῳ δέ τις αἶψα κιὼν φόρμιγγα λιγεῖαν
οἰσέτω, ᾗ ποθι κεῖται ἐν ἡμετέροισι δόμοισι."
ὣς ἔφατ' Ἀλκίνοος θεοϝείκελος· ὦρτο δὲ κῆρυξ
οἴσων φόρμιγγα γλαφυρὴν δόμου ἒκ βασιλῆος.
αἰσυμνῆται δὲ κριτοὶ ἐννέα πάντες ἀνέσταν 258ᵇ = Η 161
δήμιοι, οἳ κατ' ἀγῶνα ἐὺ 'πρήσσεσκον ἕκαστα·
'λείηναν δὲ χορὸν, καλὸν δ' ηὔρυναν ἀγῶνα.
κῆρυξ δ' ἐγγύθεν ἦλθε φέρων φόρμιγγα λιγεῖαν
Δημοδόκῳ· ὃ δ' ἔπειτα 'κί' εἰς μέσον· ἀμφὶ δὲ κοῦροι
πρωθῆβαι ἵσταντο, δαήμονες ὀρχηθμοῖο,

219 ϝείματά τ' ἐξημοιβὰ λοετρά τε θερμὰ καὶ εὐναί.

243 *δαινύεαι*] *δαινύῃ* mss. duplici vitio, ῡ pro ῠ et *-ῃ* pro *-εαι*. Vid. § 117 et 122 et τ 328.

246] *πυγμάχοι*] †, cf. *πυγμαχίη* Ψ 653, 665 h. Ap. 149, *πυγμή* Ψ 669, *πύξ* *Γ* 237 etc. ‖ *παλαισταί*] †, cf. *πάλη* Ψ 635 ϑ 206, *παλαισμοσύνη* Ψ 701 ϑ 103, 126.

247 *θεέμεν* criticus apud Nauckium] *θέομεν* mss.; cf. § 126.

248-386] cum vs. 388 del. Kammer.

249] del. Schuetz, cui assensus Nitzsch egregie demonstravit, Horatium nonnisi per iocum, certe non ex mente Homeri, Phaeacas vocasse *iuventutem in cute curanda plus aequo operatam* (Epist. I 2, 29); non enim delicatulorum hominum gregem effeminatum pingere voluisse poetam sed populum beate viventem pacisque perpetuae artibus florentem; cf. τ 109 sqq. ‖ *τ'*] *δ'* mss. pleraque. ‖ *ἐξημοιβὰ*] †, cf. *ἀμοιβάς* ξ 521, *ἐπημοιβοί* *M* 456 ξ 513.

250 *βητάρμονες*] *saltatores*, a verbo *βαίνειν* et substantivo *ἁρμός* („*παρὰ τὸ ἐν ἁρμονίᾳ βαίνειν*" schol.); cf. adi. *ἐμπυριβήτης* Ψ 702. Vox ϑ 383 redit.

251 *παίσατε*] *παίσατον* Zen. noto errore, cf. § 52. ‖ *χ' ὃ*] *κε?*

253] del. Duentzer. ‖ *ναυτιλίῃ*] †, cf. *ναυτίλλεσθαι* δ 672 ξ 246. ‖ *ὀρχηστυῖ*] cf. § 75.

255 *ποθι* § 322] *που* mss.

257 *γλαφυρὴν*] *λιγυρὴν* F³.

258 *αἰσυμνῆται*] †, cf. *αἰσυμνητήρ* *Ω* 347 et nomen proprium *Αἰσυήτης* *B* 793 *N* 427; *αἰσιμν.* legitur IGA. 514*b* CIG. 3794, *αἰσυμν.* tamen extat IGA. 497 (= CIG. 3044).

259] del. Fick. ‖ *ἀγῶνα*] *-νας* P² mss. alia. ‖ *ἕκαστα*] neglecto ϝ, *ἅπαντα* Bentley.

260 *ηὔρυναν*] †.

’πέπληγον δὲ χορὸν θεῖον ποσίν. αὐτὰρ Ὀδυσσεὺς
μαρμαρυγὰς ’θηεῖτο ποδῶν, ’θαύμαζε δὲ θυμῷ. 265^a cf. h. Ap. 203

αὐτὰρ ὃ φορμίζων ἀνεβάλλετο καλὸν ἀείδειν 266 cf. α 155
ἀμφ’ Ἄρεος φιλότητα ἐυστεφάνου τ’ Ἀφροδίτης, 267 cf. 288
ὡς τὰ πρῶτ’ ἐμίγησαν ἐν Ἡφαίστοιο δόμοισι
λάθρῃ· πολλὰ δ’ ἔδωκε, λέχος δ’ ᾔσχυνε καὶ εὐνὴν
Ἡφαίστοιο ϝάνακτος. ἄφαρ δέ ϝοι ἄγγελος ἦλθε
Ἠέλιος, φιλότητι μιγαζομένω σφε νοήσας.
Ἥφαιστος δ’ ὡς οὖν θυμαλγέα μῦθον ἄκουσε,
’βῆ ῥ’ ἴμεν’ εἰς χαλκεῶνα κακὰ φρεσὶ βυσσοδομεύων·
ἐν δ’ ἔθετ’ ἀκμοθέτῳ μέγαν ἄκμονα, ’κόπτε δὲ δεσμοὺς 274 cf. Σ 476 / 274^b = Σ 379
ἀρρήκτους ἀλύτους, ὄφρ’ ἔμπεδον αὖθι μένοιεν. 275 = N 37
αὐτὰρ ἐπεὶ δὴ ἔτευξε δόλον κεχολωμένος Ἄρει,

---

264 ’*πέπληγον — ποσίν*] vertit Verg. Aen. VI 644: *pars pedibus plaudunt choreas.* ‖ *θεῖον*] *λεῖον* Naber coll. vs. 260 et Ψ 359; vid. etiam Φ 558.

265 *μαρμαρυγὰς*] *-γὴν* schol. α 44; vox nonnisi h. Ap. 203 redit (cf. *μαρμαίρω, μάρμαρος*).

266 sqq.] veteribus philosophis (Xenophani, Platoni Rep. III 390*c*) in toto Homero vix quidquam gravius displicebat quam haec narratiuncula de Veneris Martisque amoribus. Frustra defendere conatur Heracl. Allegor. cap. 69; nam negari non potest, iocum ludumque fieri deos et veluti in scena comica traduci. Fuisse qui spurium indicarent locum (vs. 266-369 aut 267-366), his autem oblocutum esse Apionem, refertur in schol. Aristoph. Pac. 778. Fortasse damnavit etiam Aristarchus, huic certe debetur observatio bonae frugis ad vs. 267, quae inter multas nugas legitur, non *Venerem* sed *Charitem* Vulcani uxorem dici Σ 382 item Hes. Theog. 945). Kirchhoff a diasceuasta hanc fabulam ex antiquo fonte una cum toto libro ϑ ductam, Fick ab ipso nventam esse suspicatur. Nobis satis antiquus videtur locus, hinc tamen alienus; nam recte observavit PKnight poetam „Demodocum in gymnasium adduxisse non ut „cantaret sed ut citharam saltantibus pulsaret“. — In throno Amyclaeo chorum Phaeacum cum Demodoco repraesentatum fuisse refert Pausanias III 18 § 7.

266 *ἀνεβάλλετο*] vid. ad α 155.

267 *φιλότητα* G] *φιλότητος* mss. cett. vitiose, vid. § 316. Accusativus eodem sensu usurpatus extat h. Merc. 57, hymnorum VI, XVIII, XXI, XXXII initio, Eur. Troad. 511, Arist. Ran. 215; simile est vitium δ 646. ‖ *ἐυστεφάνου*] vid. ad Σ 597.

268 *πρῶτ’ ἐμίγησαν*] *πρῶτα μίγ.* G F mss. alia.

271 *’*Ἠέλιος, φιλότητι μιγαζομένω σφε νοήσας*] *Ἥλιος* (’*Ἠέλιος* F), *ὅ(ς) σφ’ ἐνόησε μιγαζομένους φιλότητι* mss., quod propter nomen *Ἥλιος* hoc uno loco obvium pro ’*Ἠέλιος* (cf. vs. 302) ferri nequit. IHVoss ’*Ἠέλιος ὃ νόησε*; sed dualis *σφε* (cf. § 92) interpolatori tribuendus non videtur. ‖ *μιγαζομένω*] verbum † (sed vid. ad *K* 365).

272] post vs. 273 scripsit G^1 omissa particula *δ’*.

273 *χαλκεῶνα*] vox †, suspecta autem pro *χαλκειῶνα*, vid. § 8 et 61. Ecquid *’*βῆ ῥ’ εἰς χαλκειῶνα*?

274 *δ’*] om. P^1 H^1.

276 *ἔτευξε*] *τεῦξε* mss. ‖ *δόλον*] *λόχον* G^2. ‖ *Ἄρει*] novicium pro *Ἄρηι* vel *Ἄρεϊ*, cf. *E* 757 et § 73; **ἦτορ*? non enim *Marti* soli succenset Vulcanus sed aliquanto etiam gravius *uxori*.

’βῆ ῥ’ ἴμεν’ εἰς θάλαμον, ὅθι ϝοι φίλα δέμνι’ ἔκειτο,
ἀμφὶ δ’ ἄρ’ ἑρμῖσιν ’χέε δέσματα κύκλῳ ἁπάντῃ·
πολλὰ δὲ καὶ καθύπερθε μελαθρόφιν ἐξεκέχυντο,
ἠύτ’ ἀράχνια λεπτά, τά γ’ οὔ κέ τις οὐδὲ ϝίδοιτο
οὐδὲ θεῶν μακάρων· περὶ γὰρ δολόεντ’ ἐτέτυκτο. 281^a = ι 276
αὐτὰρ ἐπεὶ δὴ πάντα δόλον περὶ δέμνι’ ἔχευε,
’ϝείσατ’ ἴμεν εἰς Λῆμνον, ἐὺ κτίμενον πτολίεθρον,
ἥ ϝοι γαιάων πολὺ φιλτάτη ἐστὶν ἁπασέων.
οὐδ’ ἀλαὸς σκοπιὴν εἶχε χρυσήνιος Ἄρης, 285 cf. K 515
ὡς ἔϝιδ’ Ἥφαιστον κλυτοτέχνην νόσφι κιόντα·
’βῆ δ’ ἴμεναι πρὸς δῶμα περικλυτοῦ Ἡφαίστοιο,
ἰχανάων φιλότητος ἐυστεφάνου Κυθερείης. 288 cf. 267
ἡ δὲ νέον παρὰ πατρὸς ἐρισθενέος Κρονίωνος
ἐρχομένη κατ’ ἄρ’ ἕζεθ’· ὃ δ’ εἴσω δώματος ᾖε
ἔν τ’ ἄρα ϝοι ’φῦ χειρὶ ϝέπος τ’ ἔφατ’ ἔκ τ’ ὀνόμαζε· 291 = Z 253
„δεῦρο, φίλη, λέκτρονδε· τραπήομεν εὐνηθέντε. 292^b = Γ 441
οὐ γὰρ ἔθ’ Ἥφαιστος μεταδήμιος, ἀλλά ποθ’ ἤδη
οἴχεται εἰς Λῆμνον μετὰ Σίντιας ἀγριοφώνους.“
ὣς ’φάτο, τῇ δ’ ἀσπαστὸν ἐϝείσατο κοιμηθῆναι. 295 cf. η 343
τὼ δ’ εἰς δέμνια βάντε κατέδραθον· ἀμφὶ δὲ δεσμοὶ
τεχνήεντες ἔχυντο πολύφρονος Ἡφαίστοιο,
οὐδέ τι κινῆσαι μελέων ἦν οὐδ’ ἀναεῖραι. 298 cf. h. Ven. 235

---

277 *δέμνι’ ἔκειτο*] *δέμνια κ.* mss. pleraque.

278 *ἑρμῖσιν*] *pedibus lecti*; vox redit ψ 198. Cf. *θεσμός* ψ 296.

280 *γ’* M] *τ’* W, *κ’* mss. pleraque.

281 *δολόεντ’ ἐτέτυκτο*] *-ντα τέτ.* mss.

282 *δέμνι’ ἔχευε*] *δέμνια χεῦεν* mss.

283 ’*ϝείσατ’ — Λῆμνον*] *fingit iter Lemnum* Ovid. Art. Amat. II 579. ‖ *ἴμεν*] pro *ἴμεναι* vix sanum, vid. § 126; **ὦρτ’ ἴμεναι* (aut *ἴμεν’ εἰς*) *Λῆμνόνδε*?

284 *ἐστὶν ἁπασέων* G^2 F P H D^1] *ἔσκεν ἁπασέων* M D^2, *ἔπλετο πασέων* T, *ἔπλετο πάντων* G^1. De forma novicia *ἁπασέων* vid. § 56.

285 *ἀλαὸς σκοπιὴν*] sic Ar. versu parall. *K* 515, ubi vid.; *ἀλαοσκοπιὴν* mss. ‖ *χρυσήνιος*] vid. ad *Z* 205.

286 **ἔϝιδ’*] *ἴδεν* mss. ‖ *νόσφι κιόντα*] *νόσφιν ἐόντα* F^1: cf. Ξ 440 β 260 κ 546.

288 *ἰχανάων*] *ἰχανόων* Hesych., *ἰσχανόων* mss.; vid. ad *P* 572 et de termino *-όων* § 191. ‖ *ἐυστεφάνου*] vid. ad Σ 597. ‖ *Κυθερείης*] *Ἀφροδίτης* G^1 Y^2 k et l. a. in P. Dubiae originis epitheton nonnisi σ 193 (ubi vid.) et in hymnis redit.

290 *εἴσω δώματος*] vid. ad η 135. ‖ *ᾖε* § 308] *ᾔει* mss.

292 *φίλη* G F M] *γύναι* P H X D (cf. vs. 424). ‖ *λέκτρονδε*] post hanc vocem sententiam incidit Povelsen. ‖ *τραπήομεν*] *-πείομεν* mss.; cf. § 122 et 250. ‖ *εὐνηθέντε* G P^1] *-ντες* mss. pleraque.

293 *μεταδήμιος*] adi. redit ν 46, cf. *πανδήμιος* σ 1; de vi praepositionis *μετα-* vid. ad *E* 19. ‖ *-ποθ’* § 322] *που* mss.

294 *Σίντιας*] cf. *A* 594. ‖ *ἀγριοφώνους*] cf. *B* 867.

297 *τεχνήεντες*] vid. ad η 110.

298 *ἦν*] *ἔεν*? cf. § 302.

καὶ τότε δὴ 'γίγνωσκον ὅ τ' οὐκέτι φύκτ' ἐπέλοντο. 299ᵇ cf. Π 128
ἀγχίμολον δέ σφ' ἦλθε περικλυτὸς ἀμφιγυήεις,
αὖτις ὑποστρέψας πρὶν Λήμνου γαῖαν ἱκέσθαι·
'Ηέλιος γάρ Ϝοι σκοπιὴν ἔχε 'Ϝεῖπέ τε μῦθον.
ἔστη δ' ἐν προθύροισι, χόλος δέ μιν ἄγριος ᾕρει· 304ᵇ = Δ 23
σμερδαλέον δ' ἐβόησε 'γέγωνέ τε πᾶσι θεοῖσι·
„Ζεῦ πάτερ ἠδ' ἄλλοι μάκαρες θεοὶ αἰὲν ἐόντες, 306 = ε 7
δεῦθ', ἵνα Ϝέργ' ἀγέλαστα καὶ οὐκ ἐπιϜεικτὰ Ϝίδησθε,
ὡς ἐμὲ χωλὸν ἐόντα Διὸς θυγάτηρ Ἀφροδίτη
αἰὲν ἀτιμάζει, φιλέει δ' ἀίδηλον Ἄρηα,
οὕνεχ' ὃ μὲν καλός τε καὶ ἀρτίπος, αὐτὰρ ἐγώ γε
ἠπεδανὸς 'γενόμην· ἀτὰρ οὔ τί μοι αἴτιος ἄλλος,
ἀλλὰ τοκῆε δύω, τὼ μὴ γείνασθαι ὄφειλον.
ἀλλ' ὄψεσθ' ἵνα τώ γε καθεύδετον ἐν φιλότητι
εἰς ἐμὰ δέμνια βάντε· ἐγὼ δ' ὁράων ἀκάχημαι.
οὐ μὲν ἔτι σφε ϜέϜολπα μίνυνθά γε κειέμεν' οὕτως,
καὶ μάλα περ φιλέοντε· τάχ' οὐκ ἐθελήσετον ἄμφω
εὑδέμεναι. ἀλλά σφε δόλος καὶ δεσμὸς ἐρύξει,
εἰς ὅ κέ μοι μάλα πάντα πατὴρ ἀποδώῃ ἔϜεδνα,
ὅσσα Ϝοι ἠγγυάλιξα κυνώπιδος εἵνεκα κούρης·
οὕνεκά Ϝοι καλὴ θυγάτηρ, ἀτὰρ οὐκ ἐχέθυμος."
ὣς ἔφαθ', οἳ δ' ἤγροντο θεοὶ ποτὶ χαλκοβατὲς δῶ· 321ᵇ cf. Α 426
ἦλθε Ποσειδάων γαιήοχος, ἦλθ' ἐριούνης 322 cf. Υ 34

303 'βῆ δ' ἴμεναι πρὸς δῶμα φίλον τετιημένος ἦτορ. 303 = β 298

299 φύκτ' ἐπέλοντο] φυκτὰ πέλοντο (-νται pleraque) mss., φυκτὰ πέλοιτο Rhianus.
300 ἀμφιγυήεις] vid. ad Α 607.
301 Λήμνου] Λῆμνον M.
302] cum sequenti del. Nauck.
303] pleraque mss. om.
307 ἔργ' ἀγέλαστα Apoll. lex. et l. a. apud Eust.] ἔργα γελαστὰ Ar. Herodian. mss.; ἔργα γ' ἄλαστα Barnes infeliciter. ‖ Ϝίδησθε] ἴδησθε mss. multa.
310 ἀρτίπος] cf. Ι 505; l. a. ἄλκιμος.
311 ἠπεδανὸς] cf. Θ 104.
312 ἀλλὰ] i. e. ἤ, vid. φ 72. ‖ ὄφειλον Nauck] ὄφελλον mss.; cf. § 273.
313 ὄψεσθ'] imperativus? Cf. § 152.
314 βάντε Ahrens] βάντες mss.; cf. φιλέοντε et ἐθελήσετον vs. 316. ‖ ὁράων § 191] ὁρόων mss.
315 *ἔτι σφε ϜέϜολπα] σφεας (σφας, σφᾶς) ἔτ' ἔολπα mss.; σφωε ϜέϜολπα Bentley, σφεάς τι ϜέϜολπα Cobet.
317 *εὑδέμεναι· ἀλλά σφε] εὕδειν, ἀλλά σφωε mss. metro elumbi; de infinitivo εὑδέμεναι cf. § 125, de forma σφωε pro σφε § 93.
318 *ἀποδώῃ] ἀποδώσει aut -δῷσι mss.; cf. § 122.
319 ἠγγυάλιξα] ἐγγυάλιξα mss.
320 οὐκ ἐχέθυμος] = οὐ σώφρων, *quae non cohibet suam libidinem* sed Ϝῷ θυμῷ Ϝείκει (vid. ε 126). Adi. †.
321 *ἤγροντο] ἀγέροντο mss.; cf. § 255. ‖ ποτὶ] κατὰ G T.

'Ερμείας, ἦλθεν δὲ Ϝάναξ ϜεκάϜεργος Ἀπόλλων·
θηλύτεραι δὲ θεαὶ 'μένον αἰδόι Ϝοίκοι ἑκάστη.
ἔσταν δ' ἐν προθύροισι θεοί, δωτῆρες ἐάων· 325ᵃ = κ 220 cf. [κ 310
ἄσβεστος δ' ἄρ' ἐνῶρτο γέλος μακάρεσσι θεοῖσι 326 = Α 599
τέχνας εἰσοράουσι πολύφρονος 'Ηφαίστοιο.
ὧδε δέ τις 'Ϝείπεσκε Ϝιδὼν εἰς πλησίον ἄλλον· 328 = Β 271
„οὐκ ἀρετᾷ κακὰ Ϝέργα· κιχάνει τοι βραδὺς ὠκύν.
ὡς καὶ νῦν Ἥφαιστος ἐὼν βραδὺς εἷλεν Ἄρηα
ὠκύτατόν περ ἐόντα θεῶν, οἳ Ὄλυμπον ἔχουσι,
χωλὸς ἐὼν τέχνῃ· τῷ καὶ μοιχάγρι' ὀφείλει."
ὣς οἳ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον·
'Ερμῆν δὲ προσέϜειπε Ϝάναξ Διὸς υἱὸς Ἀπόλλων·
„'Ερμεία, Διὸς υἱὲ διάκτορε, δῶτορ ἐάων,
ἦ ῥά κεν ἐν δεσμοῖσ' ἐθέλοις κρατεροῖσι πιεσθεὶς
εὑδέμεν' ἐν λέκτροισι παρὰ χρυσέῃ Ἀφροδίτῃ;"
τὸν δ' ἠμείβετ' ἔπειτα διάκτορος Ἀργεϊφόντης·
„αἲ γὰρ τοῦτο γένοιτο, Ϝάναξ Ϝεκατηβόλ' Ἄπολλον·
δεσμοὶ μὲν τρὶς τόσσοι ἀπείρονες ἀμφὶς ἔχοιεν,
ὕμες δ' εἰσοράοιτε θεοὶ πᾶσαί τε θέαιναι, 341ᵇ = Θ 5
αὐτὰρ ἐγὼν εὕδοιμι παρὰ χρυσέῃ Ἀφροδίτῃ."
ὣς ἔφατ', ἐν δὲ γέλος ὦρτ' ἀθανάτοισι θεοῖσι.

333-342 in quibusdam libris defuisse refert Didymus, ab Aristarcho quoque damnatos arbitratur Lehrs.

324 θηλύτεραι] cf. § 88. ‖ αἰδόι § 77] αἰδοῖ mss. ‖ ἑκάστη] neglecto Ϝ; ἁπᾶσαι Bentley probabiliter.
325 ἐν προθύροισι] εἰνὶ (ἐνὶ) θύρῃσι P H X D; vid. ad Θ 199 ι 417. ‖ δωτῆρες] †, cf. δώτωρ ϑ 335 h. XVII 12 XXVIII 8 et δοτήρ Τ 44 h. VII 9. ‖ ἐάων] cf. § 75; redit locutio ϑ 335 h. XVII 12 XXVIII 8, praeterea genitivus legitur Ω 528.
326 γέλος Bentley] γέλως mss.; cf. § 63.
327 εἰσοράουσι § 191] -ρόωσι mss.
329 ἀρετᾷ] *florent, vigent* (*durant*); verbum redit τ 114.
332] *spurius? ‖ τέχνῃ Bentley ex Athen. XII p. 511*c*] τέχνῃσι mss. ‖ τῷ] sic (τῶ) G F H¹ M etc.; τὸ mss. alia (cf. Γ 176 Ρ 404), quod huic loco minus aptum est; vid. Τ 213 ψ 547. ‖ μοιχάγρι'] † (radix μοιχ- non redit). ‖ ὀφείλει Nauck] ὀφέλλει mss.; cf. § 273.
334 'Ερμῆν] novicium pro -είαν, cf. vs. 335 et § 58. *'Ερμείαν δ' ἄρ' ἔϜειπε? vid. ad Μ 60.
335] om. G. ‖ δῶτορ ἐάων] Ἀργεϊφόντη Y. Vid. ad vs. 325.
337 εὑδέμεν' § 125] εὕδειν mss. ‖ χρυσέῃ § 18 et 61] χρυσῇ mss.
340 τρὶς τόσσοι] cf. Α 213. ‖ ἀμφὶς] ἐντὸς P X D; ἀμφὶς pro ἀμφὶ vitiosum, vid. § 316. Corrigatur *ἀμφί μ' aut *ἀμφιέχοιεν; cf. γ 486.
341 ὕμες § 92] ὑμεῖς mss. ‖ εἰσοράοιτε § 191] -ρόῳτε vel -ρόοιτε mss.
342 χρυσέῃ § 18 et 61] χρυσῇ mss.
343 γέλος Bentley] γέλως mss., vid. § 63. ‖ ὦρτ' ἀθανάτοισι] ὦρτο μακάρεσσι k et l. a. in schol.

οὐδὲ Ποσειδάωνα γέλος ἔχε, 'λίσσετο δ' αἰεὶ
Ἥφαιστον κλυτοϝεργὸν, ὅπως λύσειεν Ἄρηα·
καί μιν φωνήσας ϝέπεα πτερόεντα προσηύδα·
„λῦσον· ἐγὼ δέ τοι αὐτὸν ὑπίσχομαι, ὡς σὺ κελεύεις,
τισέμεν' αἴσιμα πάντα μετ' ἀθανάτοισι θεοῖσι.“
τὸν δ' αὖτε προσέϝειπε περικλυτὸς ἀμφιγυήεις·
„μή με, Ποσείδαον γαιήοχε, ταῦτα κέλευε·
δϝειλαί τοι δϝειλῶν γε καὶ ἐγγύαι ἐγγυάεσθαι.
πῶς κεν ἐγώ σε δέοιμι μετ' ἀθανάτοισι θεοῖσι,
εἴ περ Ἄρης οἴχοιτο χρέος καὶ δεσμὸν ἀλύξας;“
τὸν δ' αὖτε προσέϝειπε Ποσειδάων ἐνοσίχθων· — 354 cf. O 205
„Ἥφαιστ', εἴ περ γάρ κεν Ἄρης χρῆος ὑπαλύξας
οἴχηται φεύγων, αὐτός τοι ἐγὼ τάδε τίσω.“
τὸν δ' ἠμείβετ' ἔπειτα περικλυτὸς ἀμφιγυήεις· — 357 cf. Σ 393
„οὐκ ἔστ' οὐδὲ ϝέϝοικε τεὸν ϝέπος ἀρνήσασθαι.“ — 358 = Ξ 212
ὣς ϝειπὼν δεσμὸν ἀνίει μένος Ἡφαίστοιο.
τὼ δ' ἐπεὶ ἐκ δεσμοῖο 'λύθεν κρατεροῦ περ ἐόντος,
αὐτίκ' ἀναΐξαντε ὃ μὲν Θρηίκηνδ' ἐβεβήκει, — [58 sqq.
ἣ δ' ἄρα Κύπρον ἵκανε φιλομμειδὴς Ἀφροδίτη — 362-366 cf. h. Ven.
εἰς Πάφον, ἔνθα τέ ϝοι τέμενος βωμός τε θυήεις. — 363 cf. Θ 48
ἔνθα δέ μιν Χάριτες 'λοῦσαν καὶ 'χρῖσαν ἐλαίῳ — 364b = Ω 587
ἀμβρότῳ, οἷα θεοὺς ἐπανήνοθεν αἰὲν ἐόντας,
ἀμφὶ δὲ ϝείματ' ἔϝεσσαν ἐπήρατα, θαῦμα ϝιδέσθαι. — 366a cf. δ 253

---

344 *γέλος* Bentley] *γέλως* mss., vid. § 63. ‖ *ἔχε*] l. a. *εἷλε*. Cf. *B* 2.
345 *κλυτοϝεργὸν*] †, cf. *κλυτοτέχνης* *A* 571 etc.
348 *τισέμεν'* § 125] *τίσειν* mss. ‖ In mss. quibusdam additur versus manifesto spurius *εἴ κεν Ἄρης οἴχοιτο χρέος καὶ δεσμὸν ἀλύξας* (cf. vs. 353).
349 *ἀμφιγυήεις*] vid. ad *A* 607.
350 *Ποσείδαον*] *Ποσειδάων* mss. complura.
351 *καὶ ἐγγύαι*] *κατεγγύαι* vHerwerden; vox †. ‖ *ἐγγυάεσθαι* § 191] *-άασθαι* mss.; verbum †.
352 *κεν* § 326] *ἂν* mss. ‖ *δέοιμι … θεοῖσι*] *φέριστε … δέοιμι* W et l. a. in schol., vHerwerden *φέριστε … διδείην*; cf. § 198. ‖ *δέοιμι*] Ar. recte interpretatus est *εὐθύνοιμι*, alii olim absurde ad *δήειν* *reperire* referebant coll. *ν* 407. Vid. Ludwich Arist. I p. 571.
353 *περ* vHerwerden] *κεν* mss.; *μὲν* Thiersch.
355 *χρῆος* § 190] *χρείως* aut *χρεῖος* mss.
357 *ἀμφιγυήεις*] vid. ad *A* 607.
359 *δεσμὸν*] sic Ar., *δεσμῶν* mss. multa; non legitur alias apud Hom. *ἀνιέναι* cum genitivo sensu *dimittendi*.
360 sq.] de structura vid. ad *Γ* 211.
361 *Θρηίκηνδ'*] vid. § 17 et de re *N* 301.
362 *Κύπρον ἵκανε*] *Κύπρονδ' ἵκε* W. De Cypri mentione vid. ad *E* 330.
363 *τέ* Z] *δέ* mss. cetera; vid. ad *Θ* 48.
364 *'λοῦσαν*] *'λόεσαν*? cf. § 295.
**365*] versum addubitat Doederlein. ‖ *οἷα*] vid. ad *γ* 73. ‖ **ἐπανήνοθεν*] *ἐπενήνοθεν* mss.; vid. *B* 219 *ϱ* 270 et § 135.
366 *ϝείματ' ἔϝεσσαν*] *εἵματα ἕσσαν* mss.

ταῦτ' ἄρ' ἀοιδὸς ἄειδε περικλυτός· αὐτὰρ Ὀδυσσεὺς — 367 = 83
'τέρπετ' ἐνὶ φρεσὶ ϝῇσιν ἀκούων ἠδὲ καὶ ἄλλοι
Φαίηκες δολιχήρετμοι, ναυσίκλυτοι ἄνδρες. — 369 = 191

Ἀλκίνοος δ' Ἅλιον καὶ Λαοδάμαντ' ἐκέλευσε
μουνὰξ ὀρχήσασθαι, ἐπεί σφισιν οὔ τις ἔριζε.
οἳ δ' ἐπεὶ οὖν σφαῖραν καλὴν μετὰ χερσὶν ἕλοντο
πορφυρέην, τήν σφιν Πόλυβος 'ποίησε δαΐφρων,
τὴν ἕτερος 'ρίψασκε ποτὶ νέφεα σκιόεντα — 374b = λ 592
ἰδνωθεὶς ὀπίσω· ὃ δ' ἀπὸ χθονὸς ὑψόσ' ἀερθεὶς — 375a = M 205; 375b cf. Y 325
ῥηιδίως μεθέλεσκε, πάρος ποσὶν οὖδας ἱκέσθαι.
αὐτὰρ ἐπεὶ δὴ σφαίρῃ ἀν' ἰθὺν 'πειρήσαντο,
ὠρχείσθην δὴ ἔπειτα ποτὶ χθονὶ πολυβοτείρῃ
ταρφέ' ἀμειβομένω· κοῦροι δ' ἐπελήκεον ἄλλοι
ἑσταότες κατ' ἀγῶνα, πολὺς δ' ὑπὸ κόμπος ὀρώρει.
δὴ τότ' ἄρ' Ἀλκίνοον προσεφώνεε δῖος Ὀδυσσεύς·
„Ἀλκίνοε κρεῖον, πάντων ἀριδείκετε λαῶν, — 382 = 401 ι 2 etc.
ἠμὲν ἀπείλησας βητάρμονας ἔμμεν' ἀρίστους,
ἠδ' ἄρ' ἑτοῖμ' ἐτέτυκτο· σέβας μ' ἔχει εἰσοράοντα.“
ὣς 'φάτ', ἐγήθησεν δ' ἱερὸν μένος Ἀλκινόοιο·
αἶψα δὲ Φαιήκεσσι φιληρέτμοισι μετηύδα· — 386 sq. = 96 sq.
„κέκλυτε, Φαιήκων ἡγήτορες ἠδὲ μέδοντες·
ὃ ξεῖνος μάλα μοι δοκέει πεπνυμένος εἶναι· — 388 cf. σ 125
ἀλλ' ἄγε ϝοι δῶμεν ξεινήια, ὡς ἐπιϝεικές. — 389 cf. Ψ 537; 389a = ν 13
δώδεκα γὰρ κατὰ δῆμον ἀριπρεπέες βασιλῆες

---

370 *Λαοδάμαντ' ἐκέλευσε* H[2]] *-ντα κ.* mss. cetera.
371 *μουνὰξ*] adv. nonnisi *λ* 417 redit.
374 *ῥίψασκε* Kirchhoff] *ῥίπτασκε* mss.; cf. § 146.
376 *μεθέλεσκε*] comp. †.
378 *ὠρχείσθην*] *ὀρχ.* mss. multa. ‖ *δὴ ἔπειτα*] *δήπειτα* mss.; cf. § 9. ‖ *ποτὶ*] *ἐπὶ* k (ut *Γ* 89 etc.). ‖ *πολυβοτείρῃ* U] *πουλ.* mss. cett.; vid. § 21.
379 *ἐπελήκεον*] cf. § 239; comp. †.
380 *ἑσταότες*] *ἑστεῶτες* Ar., *ἑσταῶτες* G P H U. ‖ *ἀγῶνα*] vid. ad *H* 298. ‖ *ὑπὸ*] cf. *A* 417. ‖ *κόμπος*] *δοῦπος* G mss. alia (cf. *I* 573 *M* 289). De voce *κόμπος* vid ad *M* 151.
383 *βητάρμονας*] cf. vs. 250. ‖ *ἔμμεν'* § 125] *εἶναι* mss.
384 *ἑτοῖμ' ἐτέτυκτο*] *-μα τέτ.* mss. De locutione vid. *Ξ* 53. ‖ *σέβας*] *θάμβος* G metro invito (cf. *Γ* 342). ‖ *εἰσοράοντα* § 191] *-ρόωντα* mss.
385 *'φάτ', ἐγήθησεν*] *φάτο, γ.* mss.
389 *δῶμεν*] novicium pro *δώομεν*, vid. *Ψ* 537 *ν* 13 et § 122; **δόμεναι*? PKnight *ἀλλ' ἄγε δώωμεν*. ‖ *ξεινήια* k] *ξεινήιον* mss. cett.
390 sq.] vid. ad *α* 386.
390 *κατὰ δῆμον ἀριπρεπέες βασιλῆες*] *βασιλῆες ἀριπρεπέες κατὰ δῆμον* schol. *Y* 84.

ἀρχοὶ κραίνουσι, τρισκαιδέκατος δ' ἐγὼ αὐτός·
τῶν Ϝοι ἕκαστος φᾶρος ἐυπλυνὲς ἠδὲ χιτῶνα 392 cf. 425 ν 67 π 173
καὶ χρυσοῖο τάλαντον ἐνείκατε τιμήεντος.
αἶψα δὲ πάντα φέρωμεν ἀϜολλέα, ὄφρ' ἐνὶ χερσὶ
ξεῖνος ἔχων ἐπὶ δόρπον ἴῃ χαίρων ἐνὶ θυμῷ.
Εὐρύαλος δέ μιν αὖτις ἀρεσσάσθω Ϝεπέεσσι
καὶ δώρῳ, ἐπεὶ οὔ τι Ϝέπος κατὰ μοῖραν ἔϜειπε."
ὣς ἔφαθ', οἳ δ' ἄρα πάντες ἐπήνεον ἠδ' ἐκέλευον· 398 = δ 673
δῶρα δ' ἄρ' οἰσέμεναι πρόεσαν κήρυκα Ϝέκαστος. 399 = σ 291
τὸν δ' αὖτ' Εὐρύαλος ἀπαμείβετο 'φώνησέν τε·
„Ἀλκίνοε κρεῖον, πάντων ἀριδείκετε λαῶν, 401 = 382
τοιγὰρ ἐγὼ τὸν ξεῖνον ἀρέσσομαι, ὡς σὺ κελεύεις.
δώσω Ϝοι τόδ' ἄορ παγχάλκεον, ᾧ ἔπι κώπη
ἀργυρέη, κολεὸν δὲ νεοπρίστοι' ἐλέφαντος
ἀμφιδεδίνηται· πολέος δέ Ϝοι ἄξιον ἔσται." 405 cf. Ψ 562
ὣς Ϝειπών Ϝ' ἐν χέρσ' ἐτίθει ξίφος ἀργυρόηλον,
καί μιν φωνήσας Ϝέπεα πτερόεντα προσηύδα·
„χαῖρε, πατὴρ ὦ ξεῖνε· Ϝέπος δ' εἴ πέρ τι βέβακται 408a = σ 122 υ 199
δϜεινόν, ἄφαρ τὸ φέροιεν ἀναρπάξασαι ἄελλαι.
σοὶ δὲ θεοὶ ἄλοχόν τε Ϝιδεῖν καὶ πατρίδ' ἱκέσθαι
δοῖεν, ἐπεὶ δὴ δϜηθὰ φίλων ἄπο πήματα πάσχεις." 411 cf. α 49
τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
„καὶ σύ, φίλος, μέγα χαῖρε, θεοὶ δέ τοι ὄλβια δοῖεν· 413b = ω 402
μηδέ τί τοι ξίφεός γε ποθὴ μετόπισθε γένοιτο
τούτου, ὃ δή μοι ἔδωκας ἀρεσσάμενος Ϝεπέεσσι."
ἦ ῥα, καὶ ἀμφ' ὤμοισι 'θέτο ξίφος ἀργυρόηλον. 416 cf. B 45

---

391 *κραίνουσι*] vid. § 267. Verbum hoc uno loco sensu *imperandi* usurpatur.

392 *ἕκαστος φᾶρος*] *φᾶρος ἕκαστος* F^2 Y. ‖ *ἕκαστος*] neglecto Ϝ; cf. *K* 215. Bentley *τῶν ῥα Ϝέκαστος*, Nauck *τῶν φᾶρός γε* (probabilius Fick *τε*) *Ϝέκαστος*.

394 *ἀϜολλέα*] *ἀολλέες* F mss. alia.

396 *μιν αὖτις* APlatt] *μιν αὐτὸν* U, *οἱ αὐτὸν* G, *ὁ αὐτὸν* (*ἑαυτὸν*) mss. cett., *ὁ αὐτὸς* Bergler. Platt confert *I* 120 *ἂψ ἀρέσαι* et *δ* 670. Nos conieceramus **δ' αὐτός Ϝε*. Cf. *P* 551.

404 *νεοπρίστοι'* § 59] *-στου* mss. Vox †, cf. *πριστός σ* 196 *τ* 564.

405 *ἀμφιδεδίνηται*] vid. ad *Γ* 391.

406 **Ϝ'(οι)*] addidimus. ‖ *χέρσ' ἐτίθει*] *χερσὶ τίθει* mss.; *χειρὶ* IHVoss (cf. *Λ* 585 *γ* 51), sed praestat vulgata. ‖ *ξίφος ἀργυρόηλον*] *ὃ δ' ἐδέξατο χαίρων* Y (ex *Λ* 446).

408 *πατὴρ* Barnes] *πάτερ* mss.

409] cf. *Δ* 363. ‖ *ἀναρπάξασαι ἄελλαι*] vid. ad *α* 241.

410 *τε Ϝιδεῖν*] *τ' ἰδέειν* mss.

412 *ἀπαμειβόμενος — πολύμητις*] *ἠμείβετ' ἔπειτα πολύτλας δῖος* G mss. alia (cf. *ο* 340).

413 *μέγα* Nauck] *μάλα* mss.; cf. *ω* 402 h. Ap. 466 *Δ* 256 *Γ* 76 *H* 54 *Π* 600 *H* 127 etc.

415 *ἔδωκας*] *δῶκας* mss.

'δύσετό τ' ἠέλιος, καὶ τῷ κλυτὰ δῶρα παρῆεν. 417a = β 388
καὶ τά γ' εἰς Ἀλκινόοιο 'φέρον κήρυκες ἀγαυοί·
δεξάμενοι δ' ἄρα παῖδες ἀμύμονος Ἀλκινόοιο
μητρὶ πάρ' αἰδοίῃ ἔθεσαν περικαλλέα δῶρα.
τοῖσιν δ' ἡγεμόνευ' ἱερὸν μένος Ἀλκινόοιο· 421 = 4
ἐλθόντες δὲ καθῖζον ἐν ὑψηλοῖσι θρόνοισι.
δή ῥα τότ' Ἀρήτην προσέφη μένος Ἀλκινόοιο·
„δεῦρο, γύναι, φέρε χηλὸν ἀριπρεπέ', ἥ τις ἀρίστη·
ἐν δ' αὐτὴ θὲς φᾶρος ἐυπλυνὲς ἠδὲ χιτῶνα. 425 cf. 392
ἀμφὶ δέ Ϝοι πυρὶ χαλκὸν ἰήνατε, θέρμετε δ' ὕδωρ,
ὄφρα λοεσσάμενός τε Ϝιδών τ' ἐὺ κείμενα πάντα
δῶρα, τά Ϝοι Φαίηκες ἀμύμονες ἐνθάδ' ἔνεικαν,
δαιτί τε τέρπηται καὶ ἀοιδῆς ὕμνον ἀκούων.
καί Ϝοι ἐγὼ τόδ' ἄλεισον ἐμὸν περικαλλὲς ὀπάσσω, 430-432 cf. δ 591 sq.
χρύσεον, ὄφρ' ἐμέθεν μεμνημένος ἤματα πάντα
σπένδῃ ἐνὶ μεγάρῳ Διί τ' ἄλλοισίν τε θεοῖσι." 432b = Z 475
ὣς ἔφατ'· Ἀρήτη δὲ μετὰ δμῳῇσιν ἔϜειπε
ἀμφὶ πυρὶ στῆσαι τρίποδα μέγαν ὅττι τάχιστα. 434 cf. Σ 344
αἳ δὲ λοετροχόον τρίποδ' ἵστασαν ἐν πυρὶ κηλέῳ, 435sq. cf. Σ 346sq.
ἐν δ' ἄρ' ὕδωρ ἔχεον, ὑπὸ δὲ ξύλα 'δαῖον ἑλοῦσαι·
γάστρην μὲν τρίποδος πῦρ ἄμφεπε, 'θέρμετο δ' ὕδωρ. 437 = Σ 348
τόφρα δ' ἄρ' Ἀρήτη ξείνῳ περικαλλέα χηλὸν
ἐξέφερεν θαλάμοιο, 'τίθει δ' ἐνὶ κάλλιμα δῶρα, 439b sq. cf. ο 206 sq.
Ϝεσθῆτα χρυσόν τε, τά Ϝοι Φαίηκες ἔδωκαν·
ἐν δ' αὐτὴ φᾶρος 'θῆκεν καλόν τε χιτῶνα,
καί μιν φωνήσασ' ἔπεα πτερόεντα προσηύδα·
„αὐτὸς νῦν Ϝίδε πῶμα, θοῶς δ' ἐπὶ δεσμὸν ἴηλον, 443 cf. 447 443b cf. φ 241
μή τίς τοι καθ' ὁδὸν δηλήσεται, ὁππότε κ' αὖτε

---

417 *τ'*] *δ'* T. ‖ *παρῆεν*] *παρῆσαν* U^2 q, fortasse recte.

419 *ἀμύμονος*] *-νες* F, cf. vs. 118.

422 *θρόνοισι*] *δόμοισι* G T (cf. *ρ* 110 *ζ* 308).

425 *αὐτὴ* T] *αὐτῇ* mss. cetera; vid. vs. 441.

426-429] post vs. 432 collocat F^3.

429 *ὕμνον*] vox suspecta (nonnisi in hymnis *ὕμνος* et *ὑμνεῖν* hic illic redeunt); *οἶμον* probabiliter Bentley (cf. vs. 481).

432 *μεγάρῳ*] *-ροισ(ι)* mss. complura.

435 *ἵστασαν*] *ἕστασαν* vel *ἕστησαν* (sic M) mss. nonnulla; *στῆσαν τρίποδ'* q; vid. *M* 56. ‖ *κηλέῳ*] cf. § 8.

436 *ἔχεον* G T] *ἔχεαν* (*ἔχευαν*) mss. cetera.

437 *γάστρην*] cf. *Σ* 348.

441 *αὐτὴ*] *αὐτῇ* D U^2 K; cf. vs. 425.

442 *ἔπεα*] neglecto Ϝ; vid. ad *O* 35.

444 *καθ'*] *μεθ'* G P^2 mss. alia. ‖ *ὁππότε κ'* § 326] *ὁππότ' ἂν* mss. ‖ *αὖτε*] *αὐτὸς* M J K. Voce *αὖτε* alludi ad Aeoli utrem (vid. *κ* 31 sqq.), Ulixem igitur casus suos reginae iam narrasse videri, observavit Koechly.

εὕδησθα γλυκὺν ὕπνον ἰὼν ἐν νηὶ μελαίνῃ.“
αὐτὰρ ἐπεὶ τό γ' ἄκουσε πολύτλας δῖος 'Οδυσσεὺς,
αὐτίκ' ἐπήρτυε πῶμα, θοῶς δ' ἐπὶ δεσμὸν ἴηλε — 447 cf. 443
ποικίλον, ὅν ποτέ μιν 'δέδαε φρεσὶ πότνια Κίρκη.
αὐτόδιον δ' ἄρα μιν ταμίη λούσασθαι ἄνωγε
εἰς ἀσάμινθον βάνθ'· ὃ δ' ἄρ' ἀσπάσιος 'Ϝίδε θυμῷ
θερμὰ λοέτρ', ἐπεὶ οὔ τι κομιζόμενός γ' ἐθάμιζε,
ἐπεὶ δὴ 'λίπε δῶμα Καλυψόος ἠυκόμοιο·
τόφρα δέ Ϝοι κομιδή γε θεῷ ὣς ἔμπεδος ἦεν.
τὸν δ' ἐπεὶ οὖν δμῳαὶ 'λοῦσαν καὶ 'χρῖσαν ἐλαίῳ, — 454 = Ω 587
ἀμφὶ δέ μιν χλαῖναν καλὴν 'βάλον ἠδὲ χιτῶνα, — 455 cf. Ω 588 κ 365
ἔκ ῥ' ἀσαμίνθου βὰς ἄνδρας μέτα Ϝοινοποτῆρας
ἤιε. Ναυσικάα δὲ θεῶν ἄπο κάλλος ἔχουσα — 457^b cf. h. Ven. 77
'στῆ ῥα παρὰ σταθμὸν τέγεος πύκα ποιητοῖο· — 458 = α 333
'θαύμαζεν δ' 'Οδυσῆα ἐν ὀφθαλμοῖσ' ὁράουσα,
καί μιν φωνήσασ' ἔπεα πτερόεντα προσηύδα·
„χαῖρε, ξεῖν', ἵνα καί ποτ' ἐὼν ἐν πατρίδι γαίῃ
μνήσε' ἐμεῖ', ὅτι μοι πρώτῃ ζῳάγρι' ὀφείλεις.“
τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις 'Οδυσσεύς·
„Ναυσικάα, θύγατερ μεγαλήτορος Ἀλκινόοιο, — 464 cf. ζ 17
οὕτω νῦν Ζεὺς θείη, ἐρίγδουπος πόσις Ἥρης, — 465 = ο 180
Ϝοίκαδέ τ' ἐλθέμεναι καὶ νόστιμον ἦμαρ ἰδέσθαι· — 466 = γ 233
τῷ κέν τοι καὶ κεῖθι θεῷ ὣς εὐχεταοίμην — 467 = ο 181
αἰεὶ ἤματα πάντα· σὺ γάρ μ' ἐβιώσαο, κούρη.“ — 467^b cf. Χ 394
ἦ ῥα, καὶ εἰς θρόνον ἷζε παρ' Ἀλκίνοον βασιλῆα·
οἳ δ' ἤδη μοίρας τ' ἔνεμον 'κεράοντό τε Ϝοῖνον.

445 ἰὼν] ἐὼν G mss. alia; vid. ad λ 58.
449 αὐτόδιον] †, = ἐξ αὐτῆς ὁδοῦ, αὐτόθεν, *e vestigio*. Vid. ad γ 322. ‖ λούσασθαι] λοέσασθαι? cf. § 295. ‖ ἄνωγε(ν) G F P^2 M^1] ἀνώγει mss. multa; cf. § 225.
450 εἰς G T] ἐς ῥ' mss. cett. ‖ βάνθ'· ὃ δ' ἄρ'] βάντα· ὃ δ' Nauck. ‖ ἀσπάσιος Bentley] ἀσπασίως mss.; vid. ad Σ 270.
452] diasceuastae tribuit Kirchhoff; vs. 452 sq. del. Fick. ‖ ἐπεὶ] cf. § 22. ‖ Καλυψόος § 77] -ψοῦς mss.
454 'λοῦσαν] 'λόεσαν? cf. § 295.
456 Ϝοινοποτῆρας] †, cf. Ϝοινοποτάζω Υ 84 etc.
457-469 Ναυσικάα — ἦ ῥα] addubitat Kirchhoff (p. 598), diasceuastae tribuit Fick.
459 ἐν ὀφθαλμοῖσ' ὁράουσα § 191] -μοῖσιν ὁρῶσα mss. (ἐπεὶ ἴδεν ὀφθαλμοῖσιν P^2, cf. δ 269).
460 ἔπεα] neglecto Ϝ; vid. ad Ο 35.
462 μνήσε' § 117] μνήσῃ mss. ‖ ἐμεῖ'] sic (ἐμεῖο F H^1) mss. h. l.; cf. § 92. ‖ ζῳάγρι'] vid. ad Σ 407. ‖ ὀφείλεις IHVoss] ὀφέλλεις mss., cf. § 273.
466 τ'] *μ'? ‖ ἰδέσθαι] neglecto Ϝ; vid. ad γ 233.
467 εὐχεταοίμην § 191] -τοῴμην mss.
468 αἰεὶ ἤματα] hiatus vitiosus, vid. § 14. ‖ ἐβιώσαο] cf. § 194.
470 τ'] om. G mss. alia. ‖ 'κεράοντο § 191] κερόωντο mss.; an *'κίρναντο? vid. § 297.

κῆρυξ δ' ἐγγύθεν ἦλθεν ἄγων ἐρίηρον ἀοιδὸν, — 471 = 62
Δημόδοκον λαοῖσι τετιμένον· εἷσε δ' ἄρ' αὐτὸν — 472^a cf. ν 28
μέσσῳ δαιτυμόνων, πρὸς κίονα μακρὸν ἐρείσας. — 473 = 66
δὴ τότε κήρυκα προσέφη πολύμητις 'Οδυσσεὺς,
νώτου ἄπο προταμὼν — ἐπὶ δὲ πλεῖον ἐλέλειπτο —
ἀργιόδοντος ὑὸς, θαλερὴ δ' ἦν ἀμφὶς ἀλοιφή·
„κῆρυξ, τῆ δή, τοῦτο πόρε κρέας ὄφρα φάγῃσι
Δημοδόκῳ, καί μιν προσπτύξομαι ἀχνύμενός περ·
πᾶσι γὰρ ἀνθρώποισιν ἐπιχθονίοισιν ἀοιδοὶ
τιμῆς ἔμμοροί εἰσι καὶ αἰδόος, οὕνεκ' ἄρα σφας
οἴμας μοῦσ' ἐδίδαξε, 'φίλησε δὲ φῦλον ἀοιδῶν.“
ὣς ἄρ' ἔφη· κῆρυξ δὲ φέρων ἐν χερσὶν ἔθηκε
ἥρωι Δημοδόκῳ· ὃ δ' ἐδέξατο, 'χαῖρε δὲ θυμῷ. — 483^b = ξ 113
οἳ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον. — 484 sq. = Ι 91 sq.
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον εἷντο,
δὴ τότε Δημόδοκον προσέφη πολύμητις 'Οδυσσεύς·
„Δημόδοκ', ἔξοχα δή σε βροτῶν αἰνίζομ' ἁπάντων· — 487 cf. Ν 374
ἢ σέ γε μοῦσ' ἐδίδαξε, Διὸς πάις, ἢ σέ γ' Ἀπόλλων.
λίην γὰρ κατὰ κόσμον Ἀχαιῶν οἶτον ἀείδεις,
ὥς τέ ποθ' ἢ αὐτὸς παρεὼν ἤ' ἄλλου ἀκούσας.
ἀλλ' ἄγε δὴ μετάβηθι καὶ ἵππου κόσμον ἄεισον
δουρατέου, τὸν 'Επειὸς ἐποίησεν σὺν Ἀθήνῃ,
ὅν ποτ' ἐς ἀκρόπολιν δόλῳ ἤγαγε δῖος 'Οδυσσεὺς
ἀνδρῶν ἐμπλήσας, οἳ Ϝίλιον ἐξαλάπαξαν.

· 490 ὅσσ' ἔρξαν τ' ἔπαθόν τε καὶ ὅσσ' ἐμόγησαν Ἀχαιοί,

472 αὐτὸν] novicium, cf. § 98; δέ Ϝ' αὖθι IMHoogvliet.
476 ἦν] ἔεν? cf. § 302.
480 ἔμμοροι] †; vid. ad υ 76. ‖ αἰδόος § 77] αἰδοῦς mss. ‖ σφας U] σφεας mss. cett.; cf. § 92.
481 οἴμας] cf. vs. 74.
483] del. PKnight. ‖ ἥρωι] cf. § 17 et ζ 303. Pro disyllabo habebat Ar. teste Aristonico ad Η 453.
485 εἷντο] ἕντο mss.
487 αἰνίζομ'] cf. vs. parall.
488 ἢ … ἢ] ἦ … ἦ OMueller, item Nitzsch, Apollinem enim in Homericis non esse carminis praeceptorem qui Musis possit opponi. ‖ μοῦσ' ἐδίδ. T i] μοῦσα δίδ. mss. cett.
490] del. Bekker, vs. 490 sq. delebat PKnight; Seeck vs. 489-491 diasceuastae tribuit. ‖ ἔρξαν] neglecto Ϝ.
491 *ποθ' § 322] που mss. ‖ ἢ αὐτὸς] l. a. ἦ αὐτός. ‖ παρεὼν] περ ἐὼν G mss. alia.
492 μετάβηθι] translate ut h. Ven. 294 VIII 9 XVII 11.
493 δουρατέου] adi. ϑ 512 h. Merc. 121 redit.
494 ἀκρόπολιν] vox nonnisi vs. 504 redit, cf. ἀκρόπολος Ε 523 etc. ‖ δόλῳ Aristoph. Ar.] δόλον mss., *doli fabricator Epeos* Verg. Aen. II 264.
495 οἳ Eust.] οἵ ῥ' mss.

αἴ κεν δή μοι ταῦτα κατὰ μοῖραν καταλέξῃς, 496 cf. γ 331
αὐτίκ' ἐγὼ πᾶσιν μυθήσομαι ἀνθρώποισι,
ὡς ἄρα τοι πρόφρων θεὸς ὤπασε θέσπιν ἀοιδήν."
ὣς 'φάθ'· ὃ δ' ὁρμηθεὶς θεοῦ ἤρχετο, 'φαῖνε δ' ἀοιδὴν
ἔνθεν ἑλών, ὡς οἳ μὲν ἐυσσέλμων ἐπὶ νηῶν
βάντες ἀπέπλειον, πῦρ ἐν κλισίῃσι βαλόντες,
Ἀργέιοι, τοὶ δ' ἤδη ἀγακλυτὸν ἀμφ' Ὀδυσῆα
ἧατ' ἐνὶ Τρώων ἀγορῇ κεκαλυμμένοι ἵππῳ·
αὐτοὶ γάρ μιν Τρῶες ἐς ἀκρόπολιν 'Ϝερύσαντο.
ὣς ὃ μὲν εἱστήκει, τοὶ δ' ἄκριτα πόλλ' ἀγόρευον
ἥμενοι ἀμφ' αὐτόν. τρίχα δέ σφισι 'Ϝάνδανε βουλή· 506 cf. Σ 510
ἠὲ διαπλῆξαι κοῖλον δόρυ νηλέι χαλκῷ,
ἢ κατὰ πετράων βαλέμεν Ϝερύσαντας ἐπ' ἄκρης,
ἢ ἐάειν μέγ' ἄγαλμα θεῶν θελκτήριον εἶναι,
τῇ περ δὴ καὶ ἔπειτα τελευτήσεσθαι ἔμελλε·
αἶσα γὰρ ἦν ἀπολέσθαι, ἐπεὶ πόλις ἀμφικαλύψαι
δουράτεον μέγαν ἵππον, ὅθ' ἧατο πάντες ἄριστοι 512 cf. δ 272
Ἀργεΐων, Τρώεσσι φόνον καὶ κῆρα φέροντες. 513 = δ 273
ἤειδεν δ', ὡς Ϝάστυ διέπραθον υἷες Ἀχαιῶν
ἱππόθεν ἐκχύμενοι, κοῖλον λόχον ἐκπρολιπόντες.
ἄλλον δ' ἄλλῃ ἄειδε πόλιν κεραϊζέμεν' αἰπὴν,
αὐτὰρ Ὀδυσσῆα προτὶ δώματα Δηιφόβοιο
βήμεναι ἠύτ' Ἄρηα σὺν ἀντιθέῳ Μενελάῳ.
κεῖθι δὴ αἰνότατον πόλεμον 'φάτο τολμήσαντα
νικῆσαι καὶ ἔπειτα διὰ μεγάθυμον Ἀθήνην. 520^b = ν 121
ταῦτ' ἄρ' ἀοιδὸς ἄειδε περικλυτός· αὐτὰρ Ὀδυσσεὺς 521 = 83
'τήκετο, δάκρυ δ' ἔδευεν ὑπὸ βλεφάροισι παρειάς.

497 *αὐτίκ' ἐγὼ*] *αὐτίκα καὶ* G M mss. alia.
499 *ὁρμηθεὶς θεοῦ*] *a deo* (vel *musa*, cf. vs. 488) *incitatus*. Locutio †. || *'φαῖνε . . . ἀοιδὴν*] locutio non redit.
500 *ἔνθεν*] cf. Α 6 α 10. || *ἑλὼν*] *ἑλῶν* Bergk, refutatus a Nitzschio.
503 *ἧατ'* § 220] *εἵατ'* mss.
504 *ἀκρόπολιν*] cf. vs. 494.
506 *ἀμφ' αὐτόν*] *ἄγχ' αὐτοῦ* P H X. || *'Ϝάνδανε*] *ἥνδανε* mss.
507 *διαπλῆξαι* Ar. coll. Ψ 120] *διατμῆξαι* (Zen.?, vid. Σ 34) mss.; cf. κ 440. Nauck *διαρρῆξαι*; vid. ad Α 146 Ψ 120.
508 *βαλέμεν* § 126] *βαλέειν* mss. || *ἄκρης*] *ἄκρας* G F^2 P^2 mss. alia.
509 *ἢ ἐάειν* § 191] *ἢ ἐάαν* vel *ἠὲ* (*ἢ*) *ἐᾶν* mss.
511 *ἦν*] cf. § 302; Nauck *ἦεν ὀλέσθαι*. || *ἐπεὶ* § 326] *ἐπὴν* mss. || *ἀμφικαλύψαι* GHermann] *-ψῃ* mss.; cf. § 113.
512 *δουράτεον*] cf. vs. 493. || *ἧατο* § 220] *εἵατο* mss.
513 *Ἀργεΐων*] *Ἀργεῖοι* mss. pleraque.
516 *αἰπὴν*] cf. § 75.
517 sq.] vid. ad δ 276.
522 *παρειάς*] vid. ad Χ 491.

ὡς δὲ γυνὴ κλαίῃσι φίλον πόσιν ἀμφιπεσοῦσα,
ὅς τε ἑϜῆς πρόσθεν πόλιος λαῶν τε πέσῃσι
Ϝάστεϊ καὶ τεκέεσσιν ἀμύνων νηλεὲς ἦμαρ, — 525^b cf. Δ 484
ἣ μὲν τὸν θνήσκοντα καὶ ἀσπαίροντα Ϝιδοῦσα
ἀμφ' αὐτῷ χυμένη λίγα κωκύει, οἳ δέ τ' ὄπισθε 527 cf. Τ 284
κόπτοντες δούρεσσι μετάφρενον ἠδὲ καὶ ὤμους
εἴρερον εἰς ἀνάγουσι, πόνον τ' ἐχέμεν καὶ ὀιζύν· 529^b = Ν 2
τῆς δ' ἐλεεινοτάτῳ ἄχεϊ φθινύθουσι παρειαί, —
ὣς Ὀδυσεὺς ἐλεεινὸν ὑπ' ὀφρύσι δάκρυον εἶβε. 531 cf. π 237; 531^b = δ 153
ἔνθ' ἄλλους μὲν πάντας ἐλάνθανε δάκρυα λείβων, 532-536 = 93 sqq.
Ἀλκίνοος δέ μιν οἶος ἐπεφράσατ' ἠδ' ἐνόησε
ἥμενος ἄγχ' αὐτοῦ, βαρὺ δὲ στενάχοντος ἄκουσε.
αἶψα δὲ Φαιήκεσσι φιληρέτμοισι μετηύδα·
„κέκλυτε, Φαιήκων ἡγήτορες ἠδὲ μέδοντες,
Δημόδοκος δ' ἤδη σχεθέτω φόρμιγγα λιγεῖαν·
οὐ γάρ πως πάντεσσι χαριζόμενος τάδ' ἀείδει.
ἐξ οὗ δορπέομέν τε καὶ ὤρορε θεῖος ἀοιδός,
ἐκ τοῦ δ' οὔ πω ἐπαύσατ' ὀιζυροῖο γόοιο
ὃ ξεῖνος· μάλα πού μιν ἄχος φρένας ἀμφιβέβηκε.
ἀλλ' ἄγ' ὃ μὲν σχεθέτω, ἵν' ὁμῶς τερπώμεθα πάντες,
ξεινοδόκοι καὶ ξεῖνος, ἐπεὶ πολὺ κάλλιον οὕτως· 543^b = γ 358
544 εἵνεκα γὰρ ξείνοιο τάδ' αἰδοίοιο τέτυκται.
548 τῷ νῦν μηδὲ σὺ κεῦθε νοήμασι κερδαλέοισι,

545 *πομπὴ καὶ φίλα δῶρα, τά Ϝοι δίδομεν φιλέοντες.* 545^a = ν 41
ἀντὶ κασιγνήτου ξεῖνός θ' ἱκέτης τε τέτυκται
ἀνέρι, ὅς τ' ὀλίγον περ ἐπιψαύῃ πραπίδεσσι.

524 *τε ἑϜῆς*] hiatus notabilis, vid. § 44 et ad Α 533. || *πρόσθεν*] *προπάροιθε(ν)* G F M mss. alia; vid. ad Φ 567.
525 *τεκέεσσιν*] *ὤρεσσιν* Callistratus coll. Ε 486.
526-529] del. Nitzsch, vs. 526-530 suspectos habet Nauck.
526 *ἀσπαίροντα ἰδοῦσα* P Y Z^1] *-ροντ' ἐσιδοῦσα* mss. cett. (cf. Χ 407).
529 *εἴρερον*] †, *servitutem*; vox a verbo *εἴρειν* (§ 277) per reduplicationem ducta est. || *εἰς*] **εἷς Ϝ'* ? || *ἐχέμεν*] cf. § 126.
530 *παρειαί*] vid. ad Χ 491.
534] om. U^1, post vs. 535 (loco alieno) habet G^1, del. PKnight.
539 *δορπέομεν*] *δειπνέομεν* Duentzer. || *ὤρορε*] *ὤρετο* H^2 i; aor. *ὤρορον* intransitive usurpatur etiam Ν 78 et l. a. Ξ 397, item comp. *ὑπώρορε* ω 62; cf. § 284. || *θεῖος*] *δῖος* Nauck cum edd. vet.
540 *ἐπαύσατ'*] *παύσατ'* mss. || *γόοιο*] *πόνοιο* M errore manifesto.
541 *μάλα*] *μέγα* K.
542-571] del. Duentzer.
543 *οὕτως* Eust.] *οὕτω* mss.
545-547] del. Kirchhoff; vs. 545 sq. in margine habet F, del. Friedlaender.
546 *ξεῖνος*] *φίλος* F^2 Z. || *ἱκέτης*] *αἰδοῖος* G^1.
547 *ἐπιψαύῃ*] *-ει* mss. complura. Compositum (= *comprehendere*) †.

ὅττι κέ σ' εἴρωμαι· φάσθαι δέ σε κάλλιόν ἐστι.
Ϝείπ' ὄνομ' ὅττι σε κεῖθι 'κάλεον μήτηρ τε πατήρ τε
ἄλλοι θ', οἳ κατὰ Ϝάστυ καὶ οἳ περιναιετάουσι·
οὐ μὲν γάρ τις πάμπαν ἀνώνυμός ἐστ' ἀνθρώπων,
οὐ κακὸς οὐδὲ μὲν ἐσθλὸς, ἐπεὶ τὰ πρῶτα γένηται, 553 cf. Z 489
ἀλλ' ἐπὶ πᾶσι τίθενται, ἐπεί κε τέκωσι, τοκῆες.
Ϝειπὲ δέ μοι γαῖάν τε τεὴν δῆμόν τε πόλιν τε,
ὄφρα σε τῇ πέμπωσι τιτυσκόμεναι φρεσὶ νῆες.
οὐ γὰρ Φαιήκεσσι κυβερνητῆρες ἔασι
οὐδέ τι πηδάλι' ἔστι, τά τ' ἄλλαι νῆες ἔχουσι·
ἀλλ' αὐταὶ Ϝίσσασι νοήματα καὶ φρένας ἀνδρῶν
καὶ πάντων Ϝίσσασι πόλις καὶ πίονας ἀγροὺς
ἀνθρώπων, καὶ λαῖτμα τάχισθ' ἁλὸς ἐκπεράουσι
ἠέρι καὶ νεφέλῃ κεκαλυμμέναι· οὐδέ ποτέ σφι 562ᵃ cf. λ 15
οὔτε τι πημανθήμεν' ἔπι δϜέος οὔτ' ἀπολέσθαι.

564 ἀλλὰ τόδ' ὥς ποτε πατρὸς ἐγὼ Ϝειπόντος ἄκουσα
Ναυσιθόοι', ὃς ἔφασκε Ποσειδάων' ἀγάσεσθαι 565ᵇ-569 = ν 173 sqq.
ἥμισιν, οὕνεκα πομποὶ ἀπήμονές εἰμεν ἁπάντων·
'φῆ ποτε Φαιήκων ἀνδρῶν ἐυϜεργέα νῆα 567 cf. ν 149
ἐκ πομπῆς ἀνιοῦσαν ἐν ἠεροϜειδέι πόντῳ 568 = ν 150
ῥαισέμεναι, μέγα δ' ἥμιν ὄρος πόλι' ἀμφικαλύψειν. 569 cf. ν 152, 158
569ᵇ cf. ν 183
564-571 Ar. —

550-577] del. Kayser.
550 'κάλεον] synizesis suspecta (cf. § 191); *πατὴρ μήτηρ τ' ἐκάλεσκον? cf. Z 402 I 562 O 338.
552-554] del. PKnight.
552 ἀνώνυμος] †, cf. νώνυμ(ν)ος M 70 etc., ὁμώνυμος P 720, ἐπώνυμος I 562 η 54 τ 409 h. Ap. 273.
553 ἐπεὶ § 326] ἐπὴν mss.
554 ἐπὶ ... τίθενται] genus medium, cf. τ 406. Sunt qui pro passivo habeant, ὀνόματα (ex ἀνώνυμος vs. 552) mente supplentes, deleto commate post τέκωσι. || τοκῆες] l. a. γονῆες.
556 πέμπωσι] -ψωσι G F¹ P mss. alia.
557 κυβερνητῆρες] †, alias κυβερνήτης (Ψ 316 etc.); κυβερνάω γ 283.
559 ἴσσασι T³ i] ἴσασι mss. cett.; cf. § 160.
560 ἴσσασι G T i] ἴσασι mss. cett.; cf. § 160. || πόλις § 74] πόλιας mss.
561 ἐκπεράουσι § 191] -ρόωσιν mss.
563 πημανθήμεν' § 125] -θῆναι mss.
564-571] ex libro ν desumtos, hic autem molestissimos esse vidit Ar.; ab ipso diasceuasta illinc desumtos putat Kirchhoff. Fick delet vs. 564-576, fortasse recte; Seeck vero censet usque ad vs. 571 omnia bene cohaerere, sed vs. 572-586 ex alio fonte esse adiectos ut Ulixis subiungi posset narratio.
565 Ναυσιθόοι' § 59] -θόου mss. || ἀγάσεσθαι Ar. G Y¹] -σασθαι mss. cetera et olim „deteriora"; cf. vs. par. et Γ 28 β 373 υ 121.
566 ἥμισιν § 93] ἡμῖν mss.; an gravius latet vitium? (*Φαίηξ' ?). || ἀπήμονες] ἀμύμονες H² X.
567 ἐυϜεργέα] περικαλλέα U mss. alia; vid. ν 175.
569 ῥαισέμεναι H] ῥαίσεσθαι G F P mss. alia, l. a. ῥαίσασθαι; cf. ν 177. || πόλι' § 74] πόλει mss. || ἀμφικαλύψειν] -ψαι G P¹ mss. alia.

ἀλλ' ἄγε μοι τόδε Ϝειπὲ καὶ ἀτρεκέως κατάλεξον, 572 = K 384
ὅππῃ ἀπεπλάγχθης τε καὶ ἅς τινας ἵκεο χώρας
ἀνθρώπων, αὐτούς τε πόλις τ' ἐὺ ναιεταούσας,
ἠμὲν ὅσοι χαλεποί τε καὶ ἄγριοι οὐδὲ δίκαιοι, 575ᵇ = ζ 120
οἵ τε φιλόξεινοι καί σφιν νόος ἐστὶ θεοδϜής. 576 cf. ζ 121
Ϝειπὲ δ' ὅ τι κλαίεις καὶ ὀδύρεαι ἔνδοθι θυμῷ,
Ἀργείων Δαναῶν ἠδ' Ἰλίου οἶτον ἀκούων.
τὸν δὲ θεοὶ μὲν ἔτευξαν, ἐπεκλώσαντο δ' ὄλεθρον 579sq. cf. Z 357 sq.
ἀνθρώποισ', ἵν' ἔῃσι καὶ ἐσσομένοισιν ἀοιδή.
ἦ τίς τοι καὶ πηὸς ἀπέφθιτο Ϝιλιόθι πρὸ
ἐσθλὸς ἐών, γαμβρὸς ἢ πενθερὸς, οἵ τε μάλιστα
κήδιστοι τελέθουσι μεθ' αἷμά τε καὶ γένος αὐτῶν;
ἦ ποθί τις καὶ ἑταῖρος ἀνὴρ κεχαρισμένα Ϝειδὼς,
ἐσθλός; ἐπεὶ οὐ μήν τι κασιγνήτοιο χερείων
γίγνεται, ὅς κεν ἑταῖρος ἐὼν πεπνυμένα Ϝείδῃ."

570 ὣς ἀγόρευ' ὁ γέρων· τὰ δέ κεν θεὸς ἢ τελέσειε 570 cf. ν 178
ἤ κ' ἀτέλεστ' εἴη, ὥς Ϝοι φίλον ἔπλετο θυμῷ.

570 ἀγόρευ' ὁ] ἀγόρευε F.
571 εἴη] Barnes εἴῳ, melius Nauck ἐάοι.
573 ἅς] ἐς Z.
574 πόλις § 74] πόλιας vel πόλεις mss. || ναιεταούσας § 191] ναιεταώσας vel ναιετοώσας mss.
576 θεοδϜής] θεουδής mss.
578 Ἀργείων Δαναῶν ἠδ' Ἰλίου] verba corrupta; ἢ P. Bekker ἡρώων Δαναῶν coll. Θ 353, ἀχρεῖον, Δαναῶν criticus apud Nauckium, quae parum prosunt coniecturae; νείκεα Ἀργείων Kayser, Ἀργείων τε δόλον ingeniose vHerwerden, quae si recipiatur lectio, praeterea legatur καὶ (PKnight) aut ἰδὲ Ϝιλίου (Bentley). Fick Ἀργείων τε νεῶν καὶ Ϝιλίου coll. κ 15; at *navium interitum* Demodocus non cecinerat.
579 ἔτευξαν W] τεῦξαν mss. cett. || ἐπεκλώσαντο] vid. ad Ω 525.
580] in F est ἀνθρώποισιν ἅπασι καὶ ἐ<σ>σομένοισι<ν> ἀοιδήν. || ἵν' ἔῃσι Bentley] ἵνα ᾖσι mss., cf. § 302. || ἀοιδή] cf. Z 358 ω 200.
581 πηός] cf. Γ 163. || ἀπέφθιτο] ἀπώλετο F.
583 αὐτῶν] ἀνδρῶν F mss. alia.
584 ποθί τις § 322] πού τις G P M, τίς που mss. alia. || κεχαρισμένα] πεπνυμένα H.
585 ἐπεὶ οὐ] hiatus suspectus, vid. § 14; *ἐσθλὸς ἐών; οὐ? Hoffmann ἐπεὶ οὐ μέν πού τι, Ameis ἐπεὶ οὐ μέν τοί τι, sed nihil praestat synizesis (cf. § 8). || μήν § 18] μέν mss.

ΟΔΥΣΣΕΙΑΣ ι.

Ἀλκινόου ἀπόλογοι (ι—μ).

Κυκλώπεια.

τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς· 1 sq. = λ 354 sq., 377 sq.
„Ἀλκίνοε κρεῖον, πάντων ἀριδείκετε λαῶν, 2 = ϑ 382
ἦ τοι μὲν τόδε καλὸν ἀκουέμεν' ἐστὶν ἀοιδοῦ 3 cf. α 370
τοιοῦδ', οἷος ὅδ' ἐστί, θεοῖσ' ἐναλίγκιος αὐδήν. 4 = α 371
οὐ γὰρ ἐγώ γέ τι φημὶ τέλος χαριέστερον εἶναι
ἢ ὅτ' ἐυφροσύνη μὲν ἔχῃ κάτα δῆμον ἅπαντα,
δαιτυμόνες δ' ἀνὰ δώματ' ἀκουάζωνται ἀοιδοῦ
ἥμενοι ἑξείης, παρὰ δὲ πλήθωσι τράπεζαι 8ᵇ sq.ᵃ = ο 333 sq.
σίτου καὶ κρεάων, μέθυ δ' ἐκ κρητῆρος ἀφύσσων
Ϝοινοχόος φορέῃσι καὶ ἐγχείῃ δεπάεσσι·
τοῦτό τί μοι κάλλιστον ἐνὶ φρεσὶ Ϝείδεται εἶναι.

5-8 in Ambros. Q appictos habent —, quos obelos Aristarcho deberi sed ad vs. 7-10 pertinere censet Ludwich.

1-38] del. KLKayser; quae diasceuasta adiecit in versu 15 (= η 242) finem habere censet Kirchhoff.
4 αὐδήν] ἄντην l et olim alii; tertiane fuit lectio αὐδῇ? vid. Strab. XIV p. 648.
5-11] vid. Plat. Rep. III 390 Aristot. Politic. VIII 2(3).
5 τέλος] male θυσίαν interpretatur Athen. II 40*d*.
6 ὅτ' ἐυφροσύνη] ὅτ' ἂν εὐφρ. G F mss. alia male; vid. ad ζ 156. ‖ ἔχῃ] ἔχει H X mss. alia. ‖ κάτα δῆμον ἅπαντα] κακότητος ἀπούσης Eratosthenes apud Athen. I 16*d* insulse et vitiose (debebat enim ἀπεούσης, vid. § 302).
7 ἀκουάζωνται] -ζονται F X mss. alia.
8 πλήθωσι] -θουσι G F².
9 κρεάων § 72] κρειῶν mss.
10 ἐγχείῃ δεπάεσσι] Nauck ἐγχείῃσι δέπασσι sine causa.

σοὶ δ' ἐμὰ κήδεα θυμὸς ἐπετράπετο στονόεντα
εἴρεσθ', ὄφρ' ἔτι μᾶλλον ὀδυρόμενος στεναχίζω. 13 = λ 214 π 195
τί πρῶτόν τοι ἔπειτα, τί δ' ὑστάτιον καταλέξω;
κήδε' ἐπεί μοι πολλὰ 'δόσαν θεοὶ Οὐρανίωνες. 15 = η 242
νῦν δ' ὄνομα πρῶτον μυθήσομαι, ὄφρα καὶ ὕμες
Ϝείδετ', ἐγὼ δέ κ' ἔπειτα φυγὼν ὕπο νηλεὲς ἦμαρ 17ᵇ = Φ 57
ὕμιν ξεῖνος ἔω καὶ ἀπόπροθι δώματα ναίων.
„εἴμ' Ὀδυσεὺς Λαερτιάδης, ὃς πᾶσι δόλοισι
ἀνθρώποισι μέλω, καὶ ἐμὸν κλέος οὐρανὸν ἵκει.
ναιετάω δ' Ἰθάκην ἐυδήελον· ἐν δ' ὄρος αὐτῇ
Νήριτον ἐνοσίφυλλον ἀριπρεπές· ἀμφὶ δὲ νῆσοι 22ᵃ = Β 632ᵇ
πολλαὶ ναιετάουσι μάλα σχεδὸν ἀλλήλῃσι,
Δουλίχιόν τε Σάμη τε καὶ ὑλήεσσα Ζάκυνθος. 24 = h. Ap. 429 cf. α 246
αὐτὴ δὲ χθαμαλὴ πανυπερτάτη εἰν ἁλὶ κεῖται
πρὸς ζόφον, — αἳ δέ τ' ἄνευθε πρὸς ἠόα τ' ἠέλιόν τε, — 26ᵇ = Μ 239
τρηχεῖ', ἀλλ' ἀγαθὴ κουροτρόφος· οὔ τοι ἐγώ γε
Ϝῆς γαίης δύναμαι γλυκερώτερον ἄλλο Ϝιδέσθαι.
29 ἦ μέν μ' αὐτόθ' ἔρυκε Καλυψώ, δῖα θεάων· 29ᵇ = α 14
31 ὣς δ' αὔτως Κίρκη κατερήτυεν ἐν μεγάροισι 31ᵇ cf. Ι 465
Αἰαίη δολόεσσα λιλαιομένη πόσιν εἶναι·

30 ἐν σπέεσι γλαφυροῖσι λιλαιομένη πόσιν εἶναι. 30 = α 15

13 στεναχίζω] στον. mss. complura.
14 τοι] τί mss. nonnulla, τί δ' Iulian. 244*c*. Cf. Ε 703. ‖ ὑστάτιον καταλέξω] ὕστατον ἐξονομήνω G. Producta superlativi forma ὑστάτιος legitur etiam Θ 353 Ο 634.
15 κήδε'] κήδεα G¹. ‖ πολλὰ] μάλα P. Num l. a. fuit κήδεά μοι μάλα πολλά?
16 ὕμες § 92] ὔμμες Apoll. lex., ὑμεῖς (ἡμεῖς) mss.
17 δέ κ' § 326] δ' ἂν mss.
19 πᾶσι] vid. ad Α 5.
20 μέλω] vid. § 270 et ad β 41. ‖ ἐμὸν — ἵκει] cf. Verg. Aen. I 379: *fama super aethera notus*. ‖ *ἐμὸν] μευ mss.; vid. § 92 et ad ε 311. ‖ ἵκει] ἥκει H¹ K q; vid. β 28.
21 ἐυδήελον] εὐδείελον mss.; vid. ad β 167.
22] vid. ν 351 et ad α 186. ‖ Νήριτον] Νήιον Philoxenus (coll. γ 81) et Crates (coll. ν 104). ‖ ἐνοσίφυλλον § 21] εἰνοσ. mss.
24 Σάμη] sic Ar., Σάμος Apollodorus U; vid. ad α 246. ‖ ὑλήεσσα Ζάκυνθος] cf. § 53.
25-36] del. Koechly.
25] notabili errore poeta contendit Ithacam ultimam insulam esse occidentem versus; vix igitur nota ei fuisse haec loca apparet. ‖ πανυπερτάτη] † (ὑπέρτατος Μ 381 Ψ 451). ‖ εἰν] ἐν F; vid. α 162.
26 αἳ δέ τ'] οὐδ' ἔτ' F¹; ἡ δέ τ' Bryant. ‖ ἠόα § 77] ἠῶ mss.
27] de Ithacae solo cf. Γ 201 δ 605 sqq. ν 242 sqq. ‖ κουροτρόφος] †. ‖ τοι Bentley] τι mss.; vid. § 99 sq. et ad ϑ 136.
28 Ϝῆς] notabile h. l. (et vs. 34) est pronomen: *nihil iucundius novi quam si quis suam ipsius patriam conspiciat*; cf. § 95. Bentley τῆς, vix recte. Vid. Apoll. Pron. 139 et Matronis parodia in Convivio Athen. 135*f*.
30] om. mss. pleraque. ‖ σπέεσι § 71] σπέσσι mss.
31 sq.] om. D; del. Kirchhoff, vs. 29-36 Sengebusch.

ἀλλ' ἐμὸν οὔ ποτε θυμὸν ἐνὶ στήθεσσιν ἔπειθε. 33 = η 258
εἶ' ἄγε τοι καὶ νόστον ἐμὸν πολυκηδέ' ἐνίσπω,
ὅν μοι Ζεὺς ἐφέηκεν ἀπὸ Τροίηθεν ἰόντι. 38^b cf. Ω 492
„Ϝιλιόθεν με φέρων ἄνεμος Κικόνεσσ' ἐπέλασσε, 39 cf. γ 300
Ἰσμάρῳ· ἔνθα δ' ἐγὼ πόλιν ἔπραθον, ὤλεσα δ' αὐτούς.
ἐκ πόλιος δ' ἀλόχους καὶ κτήματα πολλὰ λαβόντες
'δασσάμεθ', ὡς μή τίς μοι ἀτεμβόμενος κίοι αἴσης. 42 = 549 cf. Λ 705
ἔνθ' ἦ τοι μὲν ἐγὼ διερῷ ποδὶ φευγέμεν' ἦμας
ἤνωγον, τοὶ δὲ μέγα νήπιοι οὐκ ἐπίθοντο.
ἔνθα δὲ πολλὸν μὲν μέθυ 'πίνετο, πολλὰ δὲ μῆλα
ἔσφαζον παρὰ θῖνα καὶ εἰλίποδας Ϝέλικας βοῦς. 46^b = Ι 466
τόφρα δ' ἄρ' οἰχόμενοι Κίκονες Κικόνεσσ' ἐγέγωνον,
οἵ σφιν γείτονες ἦσαν ἅμα πλέονες καὶ ἀρείους
ἤπειρον ναίοντες, ἐπιστάμενοι μὲν ἀφ' ἵππων
ἀνδράσι μάρνασθαι καὶ ὅθι χρὴ πεζὸν ἐόντα.
ἦλθον ἔπειθ', ὅσα φύλλα καὶ ἄνθεα γίγνεται ὥρῃ, 51 cf. Β 468
ἠέριοι· τότε δή ῥα κακὴ Διὸς αἶσα παρέστη
ἥμισιν αἰνομόροισιν, ἵν' ἄλγεα πολλὰ πάθοιμεν. 53^a = ω 169

34 ὡς οὔ τι γλύκιον Ϝῆς πατρίδος οὐδὲ τοκήων
γίγνεται, εἴ περ καί τις ἀπόπροθι πίονα Ϝοῖκον
γαίῃ ἐν ἀλλοδαπῇ ναίει ἀπάνευθε τοκήων. 35 cf. Ψ 832
54 στησάμενοι δ' ἐμάχοντο μάχην παρὰ νηυσὶ θοῇσι, 54 cf. Ο 673 Σ 533
33-35 in Ambros. Q appictos habent —, quos obelos ad vs. 34-36 referendos esse vidit Nitzsch.

33 ἐμὸν] ἐμοὶ H². ‖ ἔπειθε] -θον P mss. alia; vid. ad vs. 31 sq.
34-36] del. Bekker.
34 *οὔ τι] οὐδὲν mss.; cf. § 100. ‖ Ϝῆς] cf. vs. 28. ‖ οὐδὲ] ἠδὲ F².
35 sq.] in margine habet F.
36 ναίει] ναίῃ G mss. alia.
37 εἶ' § 328] εἰ δ' mss. ‖ ἐνίσπω] ἐνίψω U W; vid. ad Η 447 β 137 λ 148 et § 246.
39 Κικόνεσσ' ἐπέλασσε] -σσι π. mss.
42 ἀτεμβόμενος] vid. ad β 90. ‖ αἴσης Bentley coll. ν 138] ἴσης mss. neglecto Ϝ et sine apto sensu (vid. tamen Μ 423). Cf. Λ 705 β 203 ι 549.
43 διερῷ] *fugaci* (?); vid. ad ζ 201. Lucretius VI 638 vertit *liquido pede*.
44 ἤνωγον § 225] ἠνώγεα mss.
47 Κικόνεσσ' ἐγέγωνον] -νεσσι γεγώνευν (-νεον T) mss.; cf. § 260.
48 ἀρείους] forma novicia, vid. § 85 et ad Π 557; *γείτονες οἵ σφιν ἅμα πλέονες καὶ ἀρείονες ἦσαν? sed verba ita ordinata minus placent, quapropter tentavimus *οἵ σφι περικτίονες πλέονες καὶ ἀρείονες ἦσαν.
51 ὥρῃ] ἦρος T i et olim alii (quod ex glossemate natum videtur).
52 ἠέριοι] vid. ad Α 497; Bentley Ϝεαρινῇ, cf. Β 471 etc. et Mimnerm. fr. 2. Redit tamen vox ὥρῃ epitheto destituta versu par. Β 468; Cicones autem mane venisse e vs. 56 apparet.
53 ἥμισιν § 93] ἡμῖν mss. ‖ πάθοιμεν] πάθωμεν mss. pleraque.
54 sq.] del. Classen, vs. 54-59 Hentze. Tertia persona hinc aliena; remansisse haec ex antiquiore fonte, in quo non *ab* Ulixe sed *de* Ulixe narrarentur (vid. ad initium librorum κ et μ), putat Seeck.

ὄφρα μὲν ἠὼς ἦν καὶ ἀέξετο ἱερὸν ἦμαρ, 56 = Θ 66
τόφρα δ' ἀλεξόμενοι 'μένομεν πλεονάς περ ἐόντας·
ἦμος δ' ἠέλιος μετενίσσετο βουλυτόνδε, 58 = Π 779
καὶ τότε δὴ Κίκονες 'κλῖναν δαμάσαντες Ἀχαιούς.
Ϝὲξ δ' ἀφ' ἑκάστης νηὸς ἐυκνήμιδες ἑταῖροι
ὤλονθ'· οἱ δ' ἄλλοι 'φύγομεν θάνατόν τε μόρον τε.
„ἔνθεν δὲ προτέρω 'πλέομεν ἀκαχημένοι ἦτορ, [κ 133 sq. 62 sq. = 565 sq. 62 = 105 κ 77
Ϝάσμενοι ἐκ θανάτοιο, φίλους ὀλέσαντες ἑταίρους. 63^a cf. Υ 350^b
οὐδ' ἄρα μοι προτέρω νῆες 'κίον ἀμφιϜέλισσαι,
πρίν τινα τῶν δϜειλῶν ἑτάρων τρὶς ἕκαστον ἀῦσαι,
οἳ 'θάνον ἐν πεδίῳ Κικόνων ὕπο δῃωθέντες.
νηυσὶ δ' ἐπῶρσ' ἄνεμον Βορέην νεφεληγερέτα Ζεὺς 67 cf. μ 313
λαίλαπι θεσπεσίῃ, σὺν δὲ νεφέεσσ' ἐκάλυψε 68 sq. = μ 314 sq.
γαῖαν ὁμοῦ καὶ πόντον· ὀρώρεε δ' οὐρανόθεν νύξ. 68^b sq. = ε 293 sq.
αἱ μὲν ἔπειτ' ἐφέροντ' ἐπικάρσιαι, ἱστία δέ σφι
τριχθά τε καὶ τετραχθὰ διέσχισε Ϝὶς ἀνέμοιο. 71^a = Γ 363
καὶ τὰ μὲν εἰς νῆας κάθεμεν δϜείσαντες ὄλεθρον,
αὐτὰς δ' ἐσσυμένως προερέσσαμεν ἤπειρόνδε. 73 cf. ν 279^a
ἔνθα δύω νύκτας δύο τ' ἤματα συννεχὲς αἰεὶ 74 cf. κ 142
'κείμεθ', ὁμοῦ καμάτῳ τε καὶ ἄλγεσι θυμὸν ἔδοντες. 74^a = ε 388 75 sq. = κ 143 sq.
ἀλλ' ὅτε δὴ τρίτον ἦμαρ ἐυπλόκαμος 'τέλεσ' Ἠώς, 76 = ε 390

55 'βάλλον δ' ἀλλήλους χαλκήρεσιν ἐγχείῃσι. 55 = Σ 534

56 ἦν] vid. ad Θ 66.
58 βουλυτόνδε] sic h. l. et Π 779 dicitur tempus quod proxime praecedit τὸ δεῖπνον, brevi igitur post meridiem; cf. Λ 86 Aristoph. Av. 1500. Arator coenaturus boves iugo solvit. Posteriores, qui sub solis occasum coenare solebant, *vesperam* perperam intellexerunt, e. g. Apollonius Rhodius III 1342.
60 ἑκάστης] neglecto Ϝ; δὲ Ϝεκάστης Bentley. Sed iure Zoilus aliique mirati sunt quod *seni* e singulis navibus occubuisse dicerentur milites; Crates putabat septuaginta duos periisse, reliquos deinde per naves duodecim (Β 637 ι 159) aequabiliter esse distributos. — *Sex* comites Ulixis a Cyclope devorantur ι 289, 311, 344, *sex* a Scylla μ 110, 245 sq. ‖ ἐυκνήμιδες] l. a. ἐμοὶ ἐρίηρες.
62 sq.] del. Kirchhoff.
64-66] del. Duentzer, vs. 64 sq. Fick.
65 τινα] subiecti est accusativus. ‖ τῶν] articulus molestus. ‖ ἕκαστον] neglecto Ϝ; praeterea displicet caesura post 4um trochaeum (vid. § 3).
68 νεφέεσσ' ἐκάλυψε] -σσι κ. mss.
69 ὀρώρεε § 110] ὀρώρει mss.
70 ἐπικάρσιαι] †, *transversae*, ita ut alterum navis latus vento fluctibusque feriatur; cf. Herodot. VII 36. Sunt qui *pronas* interpretentur coll. Π 392.
73 προερέσσαμεν Ar. X] -ρύ(σ)σαμεν mss. cett.; cf. Λ 435.
74 συννεχὲς l. a. apud Eust.] συνεχὲς Aristoph. Ar. mss.; vid. ad Μ 26.
75-78 'κείμεθ' ... ἥμεθα] opponuntur verba ambo etiam Ο 240.
75 θυμὸν ἔδοντες] cf. Ζ 202.

ἱστοὺς στησάμενοι ἀνά θ' ἱστία λεύκ' ἐρύσαντες 77 cf. Α 480 μ 402
ἥμεθα· τὰς δ' ἄνεμός τε κυβερνῆταί τ' ἴθυνον. 78 = ξ 256 cf. λ 10 μ 152
καί νύ κεν ἀσκηθὴς ἱκόμην εἰς πατρίδα γαῖαν· 79 cf. ε 26
ἀλλά με κῦμα ῥόος τε περιγνάμπτοντα Μάλειαν
καὶ Βορέης ἀπέωσε, παρέπλαγξεν δὲ Κυθήρων.
„ἔνθεν δ' ἐννῆμαρ 'φερόμην ὀλοοῖσ' ἀνέμοισι 82[b] = μ 425 ξ 313
πόντον ἔπ' ἰχθυόεντα· ἀτὰρ δεκάτῃ ἐπέβημεν
γαίης Λωτοφάγων, οἵ τ' ἄνθινον εἶδαρ ἔδουσι.
ἔνθα δ' ἐπ' ἠπείρου 'βῆμεν καὶ ἀφυσσάμεθ' ὕδωρ· 85-87 = κ 56 sqq.
αἶψα δὲ δεῖπνον ἕλονθ' ἕταροι παρὰ νηυσὶ θοῇσι.
αὐτὰρ ἐπεὶ σίτοιό τ' ἐπασσάμεθ' ἠδὲ ποτῆτος,
δὴ τότ' ἐγὼν ἑτάρους προΐην πεύθεσθαι ἰόντας, 88 sq. = κ 100 sq. 88 cf. μ 9
89 οἵ τινες ἀνέρες εἶεν ἐπὶ χθονὶ σῖτον ἔδοντες.
91 οἳ δ' αἶψ' οἰχόμενοι 'μίγεν ἀνδράσι Λωτοφάγοισι.
οὐδ' ἄρα Λωτοφάγοι 'μήδονθ' ἑτάροισιν ὄλεθρον
ἡμετέροισ', ἀλλά σφι 'δόσαν λωτοῖο πάσασθαι.
τῶν δ' ὅς τις λωτοῖο φάγοι μελιϝηδέα καρπόν,
οὐκέτ' ἀπαγγεῖλαι πάλιν ἤθελεν οὐδὲ νέεσθαι·
ἀλλ' αὐτοῦ 'βούλοντο μετ' ἀνδράσι Λωτοφάγοισι
λωτὸν ἐρεπτόμενοι μενέμεν νόστου τ' ἐλάθοντο. 97[a] = Β 776
τοὺς μὲν ἐγὼν ἐπὶ νῆας ἄγον κλαίοντας ἀνάγκῃ,
νηυσὶ δ' ἐνὶ γλαφυρῇσιν ὑπὸ ζυγὰ 'δῆσα ϝερύσσας·
αὐτὰρ τοὺς ἄλλους 'κελόμην ἐρίηρας ἑταίρους 100 cf. 193
σπερχομένους νηῶν ἐπιβαινέμεν ὠκειάων,
μή πώς τις λωτοῖο φαγὼν νόστοιο λάθηται.

90 ἄνδρε δύω κρίνας, τρίτατον κήρυχ' ἅμ' ὀπάσσας. 90 = κ 102

77 ἐρύσαντες] neglecto ϝ, item μ 402; ἕλξαντες PKnight coll. β 426 ο 291.

81 παρέπλαγξεν] παρέπλαξεν F mss. alia; vid. ad Φ 269 ι 389.

83 ἰχθυόεντα· ἀτὰρ] -εντ'(α)· αὐτὰρ mss. pleraque; cf. § 18.

84] de *Lotophagis* Libyae incolis vid. Herod. IV 177.

85 ἀφυσσάμεθ' ὕδωρ] vid. δ 359.

86 *ἕλονθ' ἕταροι παρὰ νηυσὶ θοῇσι] ἕλοντο θοῇς (θοῇσι P[2]) παρὰ νηυσὶν (-σὶ P) ἑταῖροι mss., cf. § 57. Fick ἐπὶ pro παρὰ dedit.

87 σίτοιό τ'] σίτου τε mavult Nauck.

88 πεύθεσθαι] πεύσεσθαι P mss. alia.

89] om. X D. || εἶεν] de optativo vid. § 109.

90] del. Kayser, ante vs. 89 collocant G F mss. alia; non de tribus sed de satis multis sermonem esse patet ex verbis ὅς τις…φάγοι vs. 94. Cf. κ 102.

96 sq.] del. PKnight.

96 μετ'] παρ' M[1] H[2] K W.

97 μενέμεν] cf. § 126. || (ἐ)λάθοντο Naber] λαθέσθαι mss., quod servare mavult vHerwerden. De verbi sensu cf. Ο 822.

99 ἐνὶ] ἐπὶ (sic G) vel ὑπὸ (sic F) mss. complura.

102 πώς] πώ H mss. alia male, nam μήπω *nondum* significat nec nisi imperativo iungitur; cf. Ρ 422 Σ 134 χ 431 ψ 59. || λάθηται] de subiunctivo vid. ad Α 158.

οἳ δ' αἶψ' εἴσβαινον καὶ ἐπὶ κληῖσι καθῖζον, 103 sq. = 179 sq. 471 sq. 563 sq. μ 146 sq.
ἑξῆς δ' ἑζόμενοι πολιὴν ἅλα 'τύπτον ἐρετμοῖς.
ἔνθεν δὲ προτέρω 'πλέομεν ἀκαχημένοι ἦτορ. 103 = λ 638 ο 549 cf. ο 221
„Κυκλώπων δ' εἰς γαῖαν ὑπερφιάλων ἀθεμίστων 103[b] sq. = δ 579 sq.
ἱκόμεθ', οἵ ῥα θεοῖσι πεποιθότες ἀθανάτοισι 105 = 62
108 οὔτε φυτεύουσιν χερσὶν φυτὸν οὔτ' ἀρόουσι·
112 τοῖσιν δ' οὔτ' ἀγοραὶ βουληφόροι οὔτε θέμιστες,
ἀλλ' οἵ γ' ὑψηλῶν ὀρέων ναίουσι κάρηνα
ἐν σπέεσι γλαφυροῖσι, θεμιστεύει δὲ ϝέκαστος
παίδων ἠδ' ἀλόχων, οὐδ' ἀλλήλων ἀλέγουσι.
„νῆσος ἔπειτ' ἐλαχεῖα παρ' ἐκ λιμένος τετάνυσται,
γαίης Κυκλώπων οὔτε σχεδὸν οὔτ' ἀπὸ τῆλε,
ὑλήεσσ', ἐν δ' αἶγες ἀπειρέσιαι γεγάασι
119 ἄγριαι· οὐ μὲν γὰρ πάτος ἀνθρώπων ἀπερύκει.
122 οὔτ' ἄρα ποίμνῃσιν καταΐσχεται οὔτ' ἀρότοισι,

109 ἀλλὰ τά γ' ἄσπαρτα καὶ ἀνήροτα πάντα φύονται, 109 cf. 123
πυροὶ καὶ κριθαὶ ἠδ' ἄμπελοι, αἵ τε φέρουσι
ϝοῖνον ἐριστάφυλον, καί σφιν Διὸς ὄμβρος ἀέξει. 111 = 358
120 οὐδέ μιν εἰσοιχνεῦσι κυνηγέται, οἵ τε καθ' ὕλην
ἄλγεα πάσχουσιν κορυφὰς ὀρέων ἐφέποντες.

103 ἐπὶ κληῖσι] vid. ad β 419.

104] vid. ad δ 580.

105] in suspicionem vocavit Kirchhoff.

106] de *Cyclopibus* vid. ad vs. 333. || ἀθεμίστων] vid. Apoll. lex. s. v.

107 θεοῖσι πεποιθότες] „*vertrauend der Natur*" (Nitzsch).

108] vid. ad α 349. || ἀρόουσι § 191] ἀρόωσιν mss.

109-111] delevimus ex Nitzschii sententia; vid. ad vs. 357-359.

109] cf. aurei saeculi descriptio Hes. Oper. 117, Ovid. Metam. I 101.

111 ἐριστάφυλον] adi. nonnisi versu par. redit (σταφυλή *uva* Σ 561 etc.).

114 σπέεσι U q] σπέ(σ)σι mss. cett.; cf. § 71.

115 ἀλόχων] plures igitur singulis Cyclopibus uxores tribuit poeta. Apud Aristot. Eth. Nicom. X 10 est ἀλόχου, sed ipsum Aristotelem in Homero id legisse inde non efficitur; neque urgenda est vis vocis, cum de hominibus agrestibus sermo fiat.

116 ἔπειτ' ἐλαχεῖα i] item Zen. Hesych. s. v. Etym. M. 558,10, ἔπειτα λάχεια mss. cett., quod pro nomine proprio quidam habuerunt (vid. ad Α 99). Adi. redit κ 509 h. Ap. 197, superlativus inde formatus ἐλάχιστος occurrit h. Merc. 573, apud posteros autem frequentissimus est. Vulgatum λάχεια perperam repetebant a verbo λαχαίνειν (= σκάπτειν). || τετάνυσται] cf. Aristoph. Nub. 212.

117 τῆλε § 322] τηλοῦ mss.

118 γεγάασι] τελέθουσιν G.

120 sq.] del. Fick; vs. 120-124 damnaverat Nitzsch propter tot vocum insolitarum concursum, vs. 120-135 Duentzer.

120 εἰσοιχνεῦσι] cf. § 7 et 191. De verbo vid. ad γ 322 ζ 157. || κυνηγέται] † (alias ἐπακτήρ, θηρητήρ, θηρήτωρ, θηρευτής).

122 ποίμνῃσιν] †, vid. ad Β 470. || καταΐσχεται] insolitus est hiatus (vid. § 44); κατίσχεται habent P H[1]. Bentley οὐδ' ἄρα τοι ποίμνῃσι κατίσχεται, Naber οὔ τοι γὰρ ποίμνῃσι κατίσχε-

ἀλλ' ἥ γ' ἄσπαρτος καὶ ἀνήροτος ἤματα πάντα 123 cf. 109
ἀνδρῶν χηρεύει, βόσκει δέ τε μηκάδας αἶγας.
οὐ γὰρ Κυκλώπεσσι νέες πάρα μιλτοπάρῃοι,
οὐδ' ἄνδρες νηῶν ἔνι τέκτονες, οἵ κε κάμοιεν
νῆας ἐυσσέλμους, αἵ κεν τελέοιεν ἕκαστα
Ϝάστε' ἔπ' ἀνθρώπων ἱκνεύμεναι, οἷά τε πολλὰ
ἄνδρες ἐπ' ἀλλήλους νηυσὶν περάουσι θάλασσαν·
οἵ κέ σφιν καὶ νῆσον ἐὺ κτιμένην ἐκάμοντο.
οὐ μὲν γάρ τι κακή γε, φέροι δέ κεν ὥρια πάντα·
ἐν μὲν γὰρ λειμῶνες ἁλὸς πολιοῖο παρ' ὄχθας
ὑδρηλοὶ μαλακοί· μάλα κ' ἄφθιτοι ἄμπελοι εἶεν·
ἐν δ' ἄροσις λείη· μάλα κεν βαθὺ λήιον αἰεὶ
εἰς ὥρας ἀμάοιεν, ἐπεὶ μάλα πῖαρ ὕπ' οὖδας. 135ᵇ cf. h. Ap. 60
ἐν δὲ λιμὴν ἐύορμος, ἵν' οὐ χρὴ πείσματός ἐστι, 136ª = δ 358
οὔτ' εὐνὰς βαλέμεν οὔτε πρυμνήσι' ἀνάψαι, 137 cf. Α 436
ἀλλ' ἐπικέλσαντας μεῖναι χρόνον, εἰς ὅ κεν αὐτῶν
θυμὸς ἐποτρύνῃ καὶ ἐπιπνεύσωσιν ἀῆται.
αὐτὰρ ἐπὶ κρατὸς λιμένος ῥέει ἀγλαὸν ὕδωρ, 140ª = ν 102 cf. ν 346
κρήνη ὑπὸ σπέεος· περὶ δ' αἴγειροι πεφύασι.

ται, vHerwerden οὐδ' ἄρα ποιμέσιν ἧδε κατίσχεται. ‖ ἀρότοισι] vox †; ἀρότησιν K, Nitzsch ἀρότῃσι, vHerwerden (nisi spurius sit versus) ἀροτῆρσι.

124 χηρεύει] † (cf. χῆρος, χηρόω).

125 μιλτοπάρῃοι] vid. Β 637.

126-129] del. Fick, vs. 130 pro οἵ legens αἵ.

127 ἕκαστα] sine Ϝ; τελέωσι Ϝέκαστα Bentley, nos *αἵ περ τελέουσι Ϝέκαστα, sed delendus potius videtur locus quam corrigendus, vid. ad vs. 126-129.

128 ἱκνεύμεναι] vid. § 7 et 191. ‖ οἷά τε πολλὰ] vid. ad γ 73.

129 ἐπ'] ἐς M. ‖ περάουσι § 191] περόωσι mss.

130 ἐκάμοντο] vid. ad Σ 341.

131-141] *spurii? Certam aliquam insulam auditoribus commendare voluisse videtur horum versuum auctor; *Aegusam* (prope Lilybaeum) significari sunt qui putent (cf. Seeck Quellen p. 364).

131] om. P¹. ‖ ὥρια] adi. † (cf. ὥρη).

132 πολιοῖο] cf. § 53.

133 ὑδρηλοί] adi. nonnisi h. Apoll. 41 redit. ‖ ἄφθιτοι] ἄσπετοι Bentley.

135 ἀμάοιεν § 191] ἀμόωεν F² et olim alii, ἀμῷεν mss. cett.; cf. vs. 247 et Theocr. XI 73. In *arsi* syllaba ἀ- producitur Α 67 Ω 451 φ 301; cf. § 18. ‖ πῖαρ] adi. ad οὖδας referendum; cf. Α 550 et § 70.

136 sq.] cf. Verg. Aen. I 168 sq.

136 χρὴ PKnight] χρεὼ mss.; cf. § 8. ‖ πείσματός ἐστι] πείσματα δῆσαι PKnight coll. κ 96.

137] deletur apud Nauckium. ‖ εὐνὰς] vid. ad Α 436. ‖ βαλέμεν § 126] βαλέειν mss.

138 sq.] del. Fick.

139 ἐπικέλσαντας] sc. τὴν ναῦν; vid. ad vs. 148. ‖ κεν αὐτῶν F¹ P¹ X] κεν αὐτέων G F² P² T, κε ναυτέων mss. pleraque male, cf. § 56 (hinc Aratus κε ναύτης in fine versus Phaen. 729). Fortasse praestat accusativus (sive ναύτας sive αὐτούς). Bentley κεν αὖτε.

140 ἐπὶ κρατὸς λιμένος] *in ultima parte portus.* Locutio nonnisi l. par. redit.

141 ὑπὸ] ὑπ' ἐκ Naber coll. λ 37 μ 107 ι 489. ‖ σπέεος § 71] σπείους mss.

142 ἔνθα κατεπλέομεν, καί τις θεὸς ἡγεμόνευε· 142ᵇ = κ 141
144 ἀὴρ γὰρ περὶ νηυσὶ βαθεῖ' ἦν, οὐδὲ σελήνη
οὐρανόθεν προέφαινε, κατείχετο δὲ νεφέεσσι.
ἔνθ' οὔ τις τὴν νῆσον ἐσέδρακεν ὀφθαλμοῖσι·
οὐδ' οὖν κύματα μακρὰ κυλινδόμενα προτὶ χέρσον
εἰσϜίδομεν, πρὶν νῆας ἐυσσέλμους ἐπικέλσαι.
κελσάσῃσι δὲ νηυσὶ καθείλομεν ἱστία πάντα,
ἐκ δὲ καὶ αὐτοὶ ἔβημεν ἐπὶ ῥηγμῖνι θαλάσσης· 150-152 = μ 6 sqq. 150 = 547 cf. Α 437
ἔνθα δ' ἀποβρίξαντες ἐμείναμεν Ἠόα δῖαν. 151ᵇ = Α 723
„ἦμος δ' ἠριγένεια 'φάνη ῥοδοδάκτυλος Ἠώς, 152 = Α 477
νῆσον θαυμάζοντες ἐδινεόμεσθα κατ' αὐτήν.
ὦρσαν δὲ νύμφαι, κοῦραι Διὸς αἰγιόχοιο, 154ᵇ = ζ 105
αἶγας ὀρεσκοίους, ἵνα δειπνήσειαν ἑταῖροι.
αὐτίκα καμπύλα τόξα καὶ αἰγανέας δολιχαύλους
εἱλόμεθ' ἐκ νηῶν, διὰ δὲ τρίχα κοσμηθέντες
'βάλλομεν· αἶψα δ' ἔδωκε θεὸς μενοϜεικέα θήρην.
νῆες μέν μοι ἕποντο δυώδεκα, εἰς δὲ Ϝεκάστην
ἐννέ' ἐλάγχανον αἶγες· ἐμοὶ δὲ δέκ' ἔξελον οἴῳ. [κ 183 sq. etc.
ὣς τότε μὲν πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα 161 sq. = 556 sq. 161 = Α 601
ἥμεθα δαινύμενοι κρέα τ' ἄσπετα καὶ μέθυ Ϝηδύ. 162 = κ 468
οὐ γάρ πω νηῶν ἐξέφθιτο Ϝοῖνος ἐρυθρός,
ἀλλ' ἐνέην· πολλὸν γὰρ ἐν ἀμφιφορεῦσι Ϝέκαστοι
ἠφύσαμεν Κικόνων ἱερὸν πτολίεθρον ἑλόντες.
Κυκλώπων δ' εἰς γαῖαν ἐλεύσσομεν ἐγγὺς ἐόντων,
καπνόν τ' αὐτῶν τε φθογγὴν ὀίων τε καὶ αἰγῶν.

---

143 νύκτα δι' ὀρφναίην, οὐδὲ προέφαινε Ϝιδέσθαι· 143ª = Κ 83

143-145] locum vertit Verg. Aen. III 585-587.

143] del. vHerwerden. ‖ προέφαινε (προύφαινε) Bentley] προυφαίνετ' mss.; cf. vs. 145.

144 περὶ] sic Ar., παρὰ mss. complura. ‖ ἦν] ἔεν? cf. § 302.

145 οὐρανόθεν] -θε Ar. (? — οὐρανόθι Ludwich; an corrupta haec sunt ex annotatione qua Aristarchus δὲ νεφέεσσι scripsisse ferretur, reiecta lectione δ' ἐν (sic G) νεφέεσσι?). ‖ προέφαινε] προύφαινε mss.

147 οὐδ' Nitzsch] οὔτ' mss. Vid. Ε 879. ‖ προτὶ] ποτὶ mss. pleraque.

148 ἐπικέλσαι] intransitive? Sic κέλσαι vel ἐπικέλσαι usurpatur ι 149 ν 114, sed transitive ι 138, 546 κ 511 λ 20 μ 5.

149 κελσάσῃσι] vid. ad vs. 148.

150 ἔβημεν] βῆμεν mss.

151 ἀποβρίξαντες] comp. μ 7 redit, cf. βρίζω Δ 223. ‖ Ἠόα § 2 et 77] Ἠῶ mss.

155 ὀρεσκοίους Fick] -κῴους mss.; vid. Α 268.

156 sq.ª] vertit Verg. Aen. I 187 sq.

156 δολιχαύλους] †.

159 εἰς δὲ Ϝεκάστην] ἐν δὲ ἑκάστῃ G P¹ X mss. alia:

160 ἐννέ' ἐλάγχανον] ἐννέα λ. mss.

167] del. Duentzer. ‖ ὀίων] cf. Γ 198.

ἦμος δ' ἠέλιος κατέδυ καὶ ἐπὶ κνέφας ἦλθε,
δὴ τότ' ἐκοιμήθημεν ἐπὶ ῥηγμῖνι θαλάσσης.
„ἦμος δ' ἠριγένεια 'φάνη ῥοδοδάκτυλος Ἠώς,
καὶ τότ' ἐγὼν ἀγορὴν θέμενος μετὰ πᾶσιν ἔϝειπον·
‚ἄλλοι μὲν νῦν μίμνετ', ἐμοὶ ἐρίηρες ἑταῖροι·
αὐτὰρ ἐγὼ σὺν νηΐ τ' ἐμῇ καὶ ἐμοῖσ' ἑτάροισι
ἐλθὼν τῶνδ' ἀνδρῶν πειρήσομαι, οἵ τινές εἰσι,
ἤ ῥ' οἵ γ' ὑβρισταί τε καὶ ἄγριοι οὐδὲ δίκαιοι,
ἠὲ φιλόξεινοι καί σφιν νόος ἐστὶ θεοδϝής.'
„ὣς ϝειπὼν ἀνὰ νηὸς ἔβην, ἐκέλευσα δ' ἑταίρους
αὐτούς τ' ἀμβαίνειν ἀνά τε πρυμνήσια λῦσαι.
οἳ δ' αἶψ' εἴσβαινον καὶ ἐπὶ κληῖσι καθῖζον,
ἑξῆς δ' ἑζόμενοι πολιὴν ἅλα 'τύπτον ἐρετμοῖς.
ἀλλ' ὅτε δὴ τὸν χῶρον ἀφικόμεθ' ἐγγὺς ἐόντα,
ἔνθα δ' ἐπ' ἐσχατιῇ 'ϝίδομεν σπέος ἄγχι θαλάσσης
ὑψηλόν, δάφνῃσι κατηρεφές· ἔνθα δὲ πολλὰ
μῆλ', ὀϊές τε καὶ αἶγες, ἰαύεσκον· περὶ δ' αὐλὴ
ὑψηλὴ 'δέδμητο κατωρυχέεσσι λίθοισι
μακρῇσίν τε πίτυσσιν ἰδὲ δρυσὶν ὑψικόμοισι.
ἔνθα δ' ἀνὴρ ἐνίαυε πελώριος, ὅς ῥά τε μῆλα
οἶος ἐποιμαίνεσκεν ἀπόπροθεν, οὐδὲ μετ' ἄλλους
'πωλέετ', ἀλλ' ἀπάνευθεν ἐὼν ἀθεμίστι' ἐϝείδει.
καὶ γὰρ θαῦμ' ἐτέτυκτο πελώριον οὐδ' ἐϝεϝοίκει
ἀνέρι σιτοφάγῳ, ἀλλὰ ῥίῳ ὑλήεντι

168-171 = κ 185 sqq.
168-170 = 558
168 = Α 475 [sqq.
169 = δ 430
170 = Α 477
171 cf. μ 319
172ᵇ = Ψ 6
173 cf. Α 183
175 sq. = ζ 120 sq.
177 cf. λ 636 ο 547
178-180 = 562 sqq. μ 145 sqq.
178 sq. = λ 637 sq. ο 548 sq.
179 sq. = 103 sq.
185ᵃ = ξ 6

172 νῦν] οὖν mss. complura.
175 οὐδὲ δίκαιοι] cf. Α 832.
176 θεοδϝής] θεουδής mss.
177 ἀνὰ] ἐπὶ Ellendt.
179 ἐπὶ κληῖσι] vid. ad β 419.
180] vid. ad δ 580.
182 ἴδομεν σπέος dubitanter LaRoche] σπέος εἴδομεν (ἴδομεν K) mss.; σπέος εὕρομεν Bentley coll. vs. 217 et Bekker coll. κ 252.
183 δάφνῃσι] nonnisi h. Ap. 396 Merc. 109 XXV 9 redit.
184 ἰαύεσκον] notetur imperfectum (item vs. 187), *noctes transigere solebant*. Nunc absunt (vid. vs. 217).
185 sq.] chortem subdialem sibi eodem modo ante domum suam construxit Eumaeus, vid. ξ 5 sqq.; Polyphemo autem αὐλὴν perpetuo patentem poeta videtur tribuisse.
185] hinc muri, qui e saxis selectis et apte dispositis essent constructi, *Cyclopei* postea vocabantur. || δέδμητο Ar. mss.] βέβλητο Aristoph. („an κέκμητο?" Nauck). || κατωρυχέεσσι] adi. nonnisi ζ 267 redit.
187 ἐνίαυε] vid. ad vs. 184. || τε F] τὰ mss. pleraque; ϝὰ APlatt.
188 ἐποιμαίνεσκεν] ποιμ. mss.
189 'πωλέετ' § 191] πωλεῖτ' mss. || ἀθεμίστι' ἐϝείδει] -στια ᾔδει (vel ᾔδη) mss.
190 θαῦμ' ἐτέτυκτο] θαῦμα τέτ. Ar. U. || οὐδ' ἐϝεϝοίκει] οὐδὲ ἐῴκει mss.
191 ἀνέρι Nauck] ἀνδρί γε mss., quam antiquam satis esse lectionem testatur versus, qui apud Aristotelem interpolatur post Ι 539 (ubi vid.). || σιτοφάγῳ] †, vid. ad α 349.

ὑψηλῶν ὀρέων, ὅ τε φαίνεται οἶον ἀπ' ἄλλων.
„δὴ τότε τοὺς ἄλλους 'κελόμην ἐρίηρας ἑταίρους
αὐτόθι πὰρ νηΐ τε μένειν καὶ νῆα ῥύεσθαι·
αὐτὰρ ἐγὼ κρίνας ἑτάρων δύο καὶ δέκ' ἀρίστους
'βῆν· ἀτὰρ αἴγεον ἀσκὸν ἔχον μέλανος ϝοίνοιο
ϝηδέος, ὅν μοι ἔδωκε Μάρων Εὐάνθεος υἱός,
ἱρεὺς Ἀπόλλωνος, ὃς Ἴσμαρον ἀμφεβεβήκει,
οὕνεκά μιν σὺν παιδὶ περισχόμεθ' ἠδὲ γυναικὶ
ἁζόμενοι· 'ναῖεν γὰρ ἐν ἄλσεϊ δενδρεόεντι
Φοίβου Ἀπόλλωνος. ὃ δέ μοι 'πόρεν ἀγλαὰ δῶρα·
χρυσοῦ μέν μοι ἔδωκ' ἐυϝεργέος ἑπτὰ τάλαντα,
'δῶκε δέ μοι κρητῆρα πανάργυρον, αὐτὰρ ἔπειτα
ϝοῖνον ἐν ἀμφιφορεῦσι δυώδεκα πᾶσιν ἀφύσσας
ϝηδὺν ἀκηράσιον, θεῖον ποτόν· οὐδέ τις αὐτὸν
ἐϝϝείδει δμώων οὐδ' ἀμφιπόλων ἐνὶ ϝοίκῳ,
ἀλλ' αὐτός τ' ἄλοχός τε φίλη ταμίη τε μί' οἴη.
τὸν δ' ὅτε πίνοιεν μελιϝηδέα ϝοῖνον ἐρυθρὸν,
ἓν δέπας ἐμπλήσας ὕδατος ἀνὰ ϝείκοσι μέτρα
'χεῦ', ὀδμὴ δ' ἡδεῖα ἀπὸ κρητῆρος ὀδώδει,
θεσπεσίη· τότε κ' οὔ τοι ἀποσχέσθαι φίλον ἦεν.

[sq. ρ 428 sq.
193 sq. cf. ξ 259
193 cf. 100
194 = κ 444
202 sq. cf. ω 274 sq.

194 αὐτόθι § 322] αὐτοῦ mss.; an *αὖθι παρὰ? (παρὰ habent F P H¹ X). || ῥύεσθαι PKnight] ἔρυσθαι mss.; cf. § 164.
197 Εὐάνθεος] hoc nomine *Bacchum* indicari (cf. Athen. XI 465 *a*) iure negavit Nitzsch, nam apud Homerum Bacchus nusquam (nisi in hymnis) *vini* deus dicitur, raro autem commemoratur. Posteriores tamen Maronem, quem Homerus Apollinis dicit antistitem, fecerunt Bacchi filium (Eur. Cyclop. 141) aut nepotem (Hesiod. in schol. ad hunc locum; cf. Io Chius apud Plutarch. Thes. 20, schol. Apoll. Rh. III 997).
198 ἀμφεβεβήκει] ἀμφιβεβήκει mss.; ἀμφιβέβηκε Nitzsch, at deletam nunc esse urbem Ulixes vs. 40 dixit. Vid. ad Α 37.
199 παιδὶ Aristoph. Ar.] παισὶ mss. pleraque.
200 ναῖεν Nauck] ᾤκει mss.; vid. ad Δ 18 Ξ 116. || *δενδρεόεντι] δενδρήεντι mss.; vid. § 63.
201 ὃ δέ] vid. ad Α 191.
202 ἔδωκ'] δῶκ' mss.
203 πανάργυρον] redit adi. ω 275; vid. ad Β 448.
205 ἀκηράσιον] etiam h. Merc. 72 legitur pro ἄκρητος. || οὐδέ τις αὐτὸν] οὔ τις ἐόντα Hartman.
206 ἐϝϝείδει § 27] ἠείδει vel -δη mss. (πίνει F).
207 αὐτός τ' H² K i] αὐτὸς mss. cett.
209] vid. ad vs. sq. || ὕδατος] ὕδατος δ' mss. pleraque.
210 ἡδεῖα] neglecto ϝ; Fick ὀδμὴ δὲ ϝηδεῖα deleto verbo 'χεῦ' et versu 209, quem insulsum vocat; at quorsum tum illud δὲ? Nos tentavimus *ἐπὶ ϝείκοσ' ἔχευε, | ὀδμὴ δὲ ϝηδεῖα. In vulgata enim praeter cetera displicet quod vinum aquae infundi dicitur, non aqua vino, contra morem posteriorum (cf. Cobet Nov. Lect. p. 601). Vid. tamen Hes. Oper. 596, Theophr. apud Athen. XI c. 18; non huc referendus est η 164, ubi vid.
211 τότε κ' § 326] τότ' ἂν mss.

τοῦ 'φέρον ἐμπλήσας ἀσκὸν μέγαν, ἐν δέ τ' ἤια 212 sq. cf. ι 266 sq.
κωρύκῳ· αὐτίκα γάρ μοι ὀΐσσατο θυμὸς ἀγήνωρ
ἄνδρ' ἔπ' ἐλεύσεσθαι μεγάλην ἐπιϜειμένον ἀλκήν, 214 cf. 514
ἄγριον, οὔτε δίκας ἐῢ Ϝειδότα οὔτε θέμιστας.
„καρπαλίμως δ' εἰς ἄντρον ἀφικόμεθ', οὐδέ μιν ἔνδον
ηὕρομεν, ἀλλ' ἐνόμευε νομὸν κάτα πίονα μῆλα.
ἐλθόντες δ' εἰς ἄντρον ἐθηεόμεσθα Ϝέκαστα.
ταρσοὶ μὲν τυρῶν 'βρῖθον, 'στείνοντο δὲ σηκοὶ
Ϝαρνῶν ἠδ' ἐρίφων· διακεκριμέναι δὲ Ϝέκασται
εἶρχατο, χωρὶς μὲν πρόγονοι, χωρὶς δὲ μέτασσαι,
χωρὶς δ' αὖθ' ἕρσαι. ἔναον δ' ὀρῷ ἄγγεα πάντα,
γαυλοί τε σκαφίδες τε, τετυγμένα, τοῖσ' ἐνάμελγε.
ἔνθ' ἐμὲ μὲν πρώτισθ' ἕταροι 'λίσσοντο Ϝέπεσσι
τυρῶν αἰνυμένους ἴμεναι πάλιν, αὐτὰρ ἔπειτα
καρπαλίμως ἐπὶ νῆα θοὴν ἐρίφους τε καὶ ἄρνας
σηκῶν ἐξελάσαντας ἐπιπλεῖν ἁλμυρὸν ὕδωρ· 227^{b} = 470
ἀλλ' ἐγὼ οὐ 'πιθόμην, — ἦ κεν πολὺ κέρδιον ἦεν, — 228 = Ε 201
ὄφρ' αὐτόν τε Ϝίδοιμι, καὶ εἴ μοι ξείνια δοίη.
οὐδ' ἄρ' ἔμελλ' ἑτάροισι φανεὶς ἐρατεινὸς ἔσεσθαι.
„ἔνθα δὲ πῦρ κήαντες ἐθύσαμεν ἠδὲ καὶ αὐτοὶ
τυρῶν αἰνύμενοι 'φάγομεν, 'μένομέν τέ μιν ἔνδον

---

212 τ' ἤια] καὶ ἤια mss.; vid. ad ι 266.
213 κωρύκῳ] cf. ι 267. || ὀΐσσατο] ὠΐσατο P^2 X; vid. ad α 323.
214 ἔπ' ἐλεύσεσθαι Nitzsch] ἐπελ. mss. || ἐπιϜειμένον] cf. Α 149.
215 οὔτε δίκας ἐῢ Ϝειδότα οὔτε θέμιστας] cum his verbis cf. Λ 832.
216 μιν] l. a. τιν'. Cf. Soph. Philoct. 31. || ἔνδον] *domi.*
218 ἐθηεόμεσθα § 191] ἐθηεύμεσθα mss.
219 ταρσοί] †, *crates* (cf. τέρσομαι Λ 267 etc.); alia est vox ταρσός Λ 377, 388.
221 εἶρχατο § 230] ἔρχατο mss. || πρόγονοι] †. || μέτασσαι] †, i. e. μέτακjαι (μετάκ-ιαι, cf. μεταξύ); recte μεσήλικας interpretari videtur schol., Nitzsch μεταγενεστέρας significari putat.
222 ἕρσαι] †; *recens natae?* Cum voce ἐϜέρση (*ros*) confuderunt Aeschylus, qui δρόσους vocavit *avium pullos* Agam. 141, et Sophocles, qui ψακαλούχους dixit oves *lactantes* (fr. 962); item grammatici. Hinc Nauck χωρὶς δὲ Ϝέρσαι. || ἔναον vHerwerden] ναῖον Ar., sic aut νᾶον (νάον) mss.; vid. § 286. || ὀρῷ] *sero* (*wei*); redit vox ρ 225. Cf. ι 246.
223 γαυλοί] †. || σκαφίδες] †; σκάπτω h. Merc. 90, 207. || τοῖσ' ἐνάμελγε] τοῖσιν ἄμελγε G^2 H W; cf. η 5.
224 'λίσσοντο Ϝέπεσσι] -ντ' ἐπέεσσι mss.
225 ἴμεναι § 125] ἰέναι mss.
226 ἄρνας] neglecto Ϝ; Heyne ἐρίφους Ϝάρνας τε, PKnight ἐρίφους καὶ Ϝάρνας, probabilius Nauck Ϝάρνας τ' ἐρίφους τε.
227 ἐπιπλεῖν] forma recentior, item vs. 470; cf. Ι 418, 685 π 331 et § 191.
228 *κεν] τ' ἂν mss.; cf. § 326. || κέρδιον] φέρτερον P.
229 ξείνια] sic Ar.; ξεινήια P U; „εἰ ξεινήια olim alii?" (Ludwich).
231 κήαντες Ar.] κείαντες mss. pleraque; cf. § 177.

ἥμενοι, ἧος ἐπῆλθε νέμων· 'φέρε δ' ὄβριμον ἄχθος
ὕλης ἀζαλέης, ἵνα Ϝοι ποτιδόρπιον εἴη,
ἔντοσθεν δ' ἄντροιο βαλὼν ὀρυμαγδὸν ἔθηκε·
ἧμες δὲ δϜείσαντες ἀπεσσύμεθ' εἰς μυχὸν ἄντρου. 236^{a} = 396
αὐτὰρ ὅ γ' εἰς εὐρὺ σπέος ἤλασε πίονα μῆλα 237 sq.^{a} cf. 337 sq.
πάντα μάλ', ὅσσ' ἤμελγε, τὰ δ' ἄρσενα 'λεῖπε θύρηφι,
ἀρνειούς τε τράγους τε, βαθείης ἔντοθεν αὐλῆς.
αὐτὰρ ἔπειτ' ἐπέθηκε λίθον μέγαν ὑψόσ' ἀείρας, 240 = 340
ὄβριμον· οὔ κεν τόν γε δύω καὶ Ϝείκοσ' ἅμαξαι
ἐσθλαὶ τεσσαράκυκλοι ἀπ' οὔδεος ὀχλίσσειαν· 242^{b} = Μ 448
τόσσην ἠλίβατον πέτρην ἐπέθηκε θύρησι.
ἑζόμενος δ' ἤμελγεν ὄις καὶ μηκάδας αἶγας, 244 sq. = 341 sq.
πάντα κατὰ μοῖραν, καὶ ὑπ' ἔμβρυον ἧκε Ϝεκάστῃ. 245 = 309
αὐτίκα δ' ἥμισυ μὲν θρέψας λευκοῖο γάλακτος
πλεκτοῖσ' ἐν ταλάροισιν ἀμησάμενος κατέθηκε, 247^{a} = Σ 568
ἥμισυ δ' αὖτ' ἔστησεν ἐν ἄγγεσιν, ὄφρα Ϝοι εἴη
πινέμεν' αἰνυμένῳ καί Ϝοι ποτιδόρπιον εἴη.
αὐτὰρ ἐπεὶ δὴ 'σπεῦσε πονησάμενος ἑϜὰ Ϝέργα, 250 = 310, 343
καὶ τότε πῦρ ἀνέκαιε καὶ εἰσέϜιδ', εἴρετο δ' ἧμας· 251^{a} = 308

---

233 ἧος § 323] εἵως vel ἕως mss. || ὄβριμον] ὄμβριμον F mss. alia.
234 ἀζαλέης] vid. ad Δ 487. || ποτιδόρπιον] redit vs. 249; cf. μεταδόρπιος δ 194.
235 ἔντοσθεν M U W] ἔκτοσθε(ν) mss. pleraque, non recte, ut apparet coll. vs. 240 et 251; vid. ad vs. 239.
236 ἧμες § 92] ἡμεῖς mss. || ἄντρου] ἔνδον G^1.
239 τράγους] †. || ἔντοθεν HRumpf] mss. ἔκτο(σ)θεν. Redit vitium vs. 338; vid. vs. 235 et ad ψ 179. Polyphemus oves et capras cogit in cavernam, deinde obiecto saxo secludit a maribus, quos in spatiosa chorte, quae antro praestructa est, relinquit ut ibi noctem transigant.
240 ἐπέθηκε] nempe ostio antri. || *λίθον] θυρεὸν mss., quae vox nonnisi vs. 313 et 340 redit, h. l. autem et vs. 340 propter synizesin (§ 8) suspecta est. Saxum (cf. vs. 243), quod ianuae vice fungitur, θυρεός tum demum vocari poterit, cum edocti fuerint Ulixes eiusque comites qualem usum Polyphemo id praestet; apertam autem invenerunt speluncam, necdum scire possunt occludendo antro ingentem hunc lapidem inservire. — Vertit Verg. Georg. IV 422 *obice saxi.*
241 οὔ κεν § 326] οὐκ ἂν mss. || ἅμαξαι] ἄμ. mss. multa.
242 τεσσαράκυκλοι Bentley Barnes coll. Ψ 705] τετράκυκλοι mss. vitiose producto sono α. Cf. Ω 324. || ὀχλίσσειαν] ὀχλήσειαν H U; cf. Μ 448.
243 θύρησι] θύρηφι G P^2 H^2 (e versu 238).
244] aut igitur saxum non accurate antri ostium explebat aut ipsa caverna per rimas aliquas superne lumen et aëra admittebat.
245 ἔμβρυον] vox nonnisi locis par. redit. Vid. ad Ψ 266.
246 θρέψας] cf. Ε 903.
247 πλεκτοῖσ' ἐν] πλεκτοῖσιν Apoll. lex.; vid. ad Θ 337. || ταλάροισιν ἀμησάμενος] -σι πονησάμενος F^1 Z.
249 πινέμεν' § 125] πίνειν mss. || ποτιδόρπιον] cf. vs. 234.
250 ἑϜὰ PKnight] τὰ ἃ mss.; cf. Θ 430.
251 πῦρ ἀνέκαιε] Polyphemus ad penetralia antri accedens, ut ignem sub favilla sopi-

,ὦ ξεῖνοι, τίνες ἐστέ; πόθεν πλέεθ' ὑγρὰ κέλευθα; 252-255 = γ 71 sqq.
ἦ τι κατὰ πρῆξιν; ἦ μαψιδίως ἀλάλησθε
οἷά τε ληιστῆρες ὑπεὶρ ἅλα, τοί τ' ἀλάονται
ψυχὰς παρθέμενοι, κακὸν ἀλλοδαποῖσι φέροντες;'
„ὣς ἔφαθ'· ἧμιν δ' αὖτε κατεκλάσθη φίλον ἦτορ, 256 cf. δ 481 κ 198
δϝεισάντων φθόγγον τε βαρὺν αὐτόν τε πέλωρον.
ἀλλὰ καὶ ὥς ϝε ϝέπεσσιν ἀμειβόμενος προσέϝειπον· 258 = δ 484
,ἧμές τοι Τροίηθεν ἀποπλαγχθέντες Ἀχαιοὶ
παντοίοισ' ἀνέμοισιν ὑπὲρ μέγα λαῖτμα θαλάσσης 260b = δ 504
ϝοίκαδε ϝιέμενοι, ἄλλην ὁδὸν, ἄλλα κέλευθα 261 cf. h. Ap. 472; 261a = γ 160
ἤλθομεν· οὕτω που Ζεὺς ἤθελε μητίσασθαι.
λαοὶ δ' Ἀτρεΐδα' Ἀγαμέμνονος εὐχόμεθ' εἶναι,
τοῦ δὴ νῦν γε μέγιστον ὑπουράνιον κλέος ἐστί· 264b cf. Κ 212
τόσσην γὰρ διέπερσε πόλιν καὶ ἀπώλεσε λαοὺς
πολλούς. ἧμες δ' αὖτε κιχανόμενοι τεὰ γοῦνα
ἱκόμεθ', εἴ τι πόροις ξεινήιον ἠὲ καὶ ἄλλως
δοίης δωτίνην, ἥ τε ξείνων θέμις ἐστί.
αἴδεσσαι δὲ, φέριστε, θεούς· ἱκέται δέ τοί εἰμεν· 269a cf. Ω 503
Ζεὺς δ' ἐπιτιμήτωρ ἱκετάων τε ξείνων τε.'
„ὣς ἐφάμην, ὃ δέ μ' αὐτίκ' ἀμείβετο νηλέι θυμῷ· 272 = 368 cf. δ 471 ι 287
,νήπιός ἐσσ', ὦ ξεῖν', ἢ τηλόθεν εἰλήλουθας, 273 = ν 237; 273a = δ 371
ὅς με θεοὺς κέλεαι ἢ δεδϝίμεν ἢ ἀλέασθαι·
οὐ γὰρ Κύκλωπες Διὸς αἰγιόχοι' ἀλέγουσι

271 ξείνιος, ὃς ξείνοισιν ἅμ' αἰδοίοισιν ὀπηδεῖ. 271 cf. η 165
253-255 Aristoph. — (Ar. vero γ 72-74 —)

tum suscitet, hospites conspicit latitantes. || *εἰσέϝιδ'] εἴσιδεν mss. || εἴρετο] ἤρετο H^2 M T, cf. § 264.

252-255] vid. ad γ 71-74.

254 τοί τ' ἀλάονται] l. a. μηχανόωνται.

256 ἧμιν] ἡμῶν F.

257 δϝεισάντων] de genitivo vid. ad ζ 157.

258 ϝε Bekker] μιν mss.

259 ἧμες § 92] ἡμεῖς mss.

261 ϝιέμενοι] νισσόμενοι (νεισόμ.) G T.

262 οὕτω που] *ὧδέ ποθι? cf. § 322. || μητίσασθαι] μητιάασθαι Eust., καὶ θεοὶ ἄλλοι U W.

263 Ἀτρεΐδα'(ο) U] -δεω mss. cett.; cf. § 55.

264 ἐστί] εἶσι Nitzsch.

266 ἧμες § 92] ἡμεῖς mss. || τεὰ PKnight] τὰ σὰ mss., vid. ad Α 185.

267 ἄλλως] vid. ad Ι 699.

268 δοίης Wolf] δῴης vel δώῃς (i. e. δώης) mss.

269 *αἴδεσσαι δὲ] αἰδεῖο vel αἰδοῖο mss.; vid. Ω 503. || εἰμεν] εὐχόμεθ' εἶναι P.

270] vid. ad Ω 570 ν 213. || ἐπιτιμήτωρ] †; vid. ad γ 422.

271] del. PKnight. || ξείνοισιν] θ' ἱκέτῃσι U W (ut η 165).

272 αὐτίκ' G] αὖτις mss. pleraque; vid. loc. parall. et ad ξ 153.

273 ἐσσ' § 302] εἰσ' G, εἰς (εἶ) mss. cett.

275 αἰγιόχοι'(ο) F mss. alia] -χου pleraque; cf. § 59.

οὐδὲ θεῶν μακάρων, ἐπεὶ ἦ πολὺ φέρτεροί εἰμεν. 276a = θ 281; 276b = Υ 135
οὐδέ κ' ἐγὼ Διὸς ἔχθος ἀλευάμενος πεφιδοίμην
οὔτε σέ' οὔθ' ἑτάρων, εἰ μὴ θυμός με κελεύοι.
ἀλλά μοι ἔσφ', ὅπῃ ἔσχες ἰὼν ἐυϝεργέα νῆα,
ἤ ποθ' ἐπ' ἐσχατιῆς ἦ καὶ σχεδὸν, ὄφρα δαήω.'
„ὣς 'φάτο πειράζων· ἐμὲ δ' οὐ 'λάθε ϝειδότα πολλὰ,
ἀλλά μιν ἄψορρον προσέφην δολίοισι ϝέπεσσι· 282a = 501
,νῆ' ἡμὴν κατέϝαξε Ποσειδάων ἐνοσίχθων
πρὸς πέτρῃσι βαλὼν ὑμῆς ἐπὶ πείρασι γαίης,
ἄκρῃ προσπελάσας· ἄνεμος δ' ἐκ πόντου ἔνεικε·
αὐτὰρ ἐγὼ σὺν τοισίδ' ὑπέκφυγον αἰπὺν ὄλεθρον.' 286b = μ 446 cf. [Ζ 57
„ὣς ἐφάμην· ὃ δέ μ' οὔ τι ἀμείβετο νηλέι θυμῷ, 287 cf. 272
ἀλλ' ὅ γ' ἀναΐξας ἑτάροισ' ἐπὶ χεῖρας ἴαλλε,
σὺν δὲ δύω μάρψας ὥς τε σκύλακας ποτὶ γαίῃ
'κόπτ'· ἐκ δ' ἐγκέφαλος χαμάδις 'ρέε, 'δεῦε δὲ γαῖαν. 290b cf. Ψ 220
τοὺς δὲ διὰ μελεϊστὶ ταμὼν ὡπλίσσατο δόρπον·
ἤσθιε δ' ὥς τε λέων ὀρεσίτροφος — οὐδ' ἀπέλειπε —
ἔγκατά τε σάρκας τε καὶ ὀστέα μυελόεντα.
ἧμες δὲ κλαίοντες ἀνεσχέθομεν Διὶ χεῖρας,
σχέτλια ϝέργ' ὁράοντες· ἀμηχανίη δ' ἔχε θυμόν.
„αὐτὰρ ἐπεὶ Κύκλωψ μεγάλην ἐμπλήσατο νηδὺν
ἀνδρόμεα κρέ' ἔδων καὶ ἐπ' ἄκρητον γάλα πίνων,
'κεῖτ' ἔντοσθ' ἄντροιο τανυσσάμενος διὰ μήλων.
τὸν μὲν ἐγὼ 'βούλευσα κατὰ μεγαλήτορα θυμὸν 299a = Ι 458

277 οὐδέ κ' § 326] οὐδ' ἂν mss. || ἔχθος] l. a. ἄχθος.

278 σέ' § 92] σεῦ (σοῦ M) mss. || με] τε G, γε D.

279 ἔσφ' § 246] εἴφ' mss.; Bentley ἀλλ' ἄγε ϝείφ'.

280 ποθ' § 322] που mss. || δαήω § 122] δαείω mss.

282 δολίοισι ϝέπεσσι § 60] -οις ἐπέεσσι mss.

283 νῆ' ἡμὴν (ἁμὴν) vGendt] νέα μέν μοι (sic Ar.) vel νῆα μέν μοι mss. vitio manifesto, neque enim in arsi dici potuit νέα neque νῆα aut νέα in monosyllabum contrahi. PKnight νῆά γέ μοι, Ahrens (post vGendt) νῆ' ἁμήν μοι ἔαξε. De pronomine ἡμὴν cf. § 95.

285] displicet Nitzschio.

286 τοισίδ' Nauck] τοῖσδε (θ') mss. (τοῖσιν P^2, τοῖσδέσ' G alia); cf. § 59 et 97.

287 *οὔ τι] οὐδὲν mss.; cf. § 100.

289 sqq.] aemulantur Verg. Aen. III 623 sqq. et Ovid. Metam. XIV 205 sqq.; longius discedit Eur. Cyclop. 396 sqq.

289] de numero nautarum vid. ad ι 60 et κ 208.

291 μελεϊστὶ] adv. redit Ω 409 σ 339.

292 ἀπέλειπε] ὑπέλειπε (ut η 230 π 50) proponitur apud Nauckium.

293 τε σάρκας] de -ε producto vid. § 26. || μυελόεντα] †, cf. μυελός Υ 482 etc.

294 ἧμες § 92] ἡμεῖς mss.

295 ὁράοντες § 191] ὁρόωντες mss. || ἀμηχανίη] †, cf. ἀμήχανος Θ 130 etc.

296 ἐμπλήσατο] ἐπλήσατο F P (vid. ad β 427).

ἄσσον ἰών, ξίφος ὀξὺ Ϝερυσσάμενος παρὰ μηροῦ, — 300 cf. κ 126, 294, 535 λ 48
οὐτάμεναι πρὸς στῆθος, ὅθι φρένες ἧπαρ ἔχουσι,
χείρ' ἐπιμασσάμενος· ἕτερος δέ με θυμὸς ἔρυκε. — 302a = τ 480
αὐτόθι γάρ κε καὶ ἧμες ἀπωλόμεθ' αἰπὺν ὄλεθρον·
οὐ γάρ κεν 'δυνάμεσθα θυράων ὑψηλάων
χερσὶν ἀπώσασθαι λίθον ὄβριμον, ὃν προσέθηκε.
ὣς τότε μὲν στενάχοντες ἐμείναμεν Ἠόα δῖαν. — 306 sq. = 436 sq.; 306b = Λ 723
„ἦμος δ' ἠριγένεια 'φάνη ῥοδοδάκτυλος Ἠώς, — 307 = Λ 477
καὶ τότε πῦρ ἀνέκαιε καὶ ἤμελγε κλυτὰ μῆλα, — 308a = 251
πάντα κατὰ μοῖραν, καὶ ὑπ' ἔμβρυον ἧκε Ϝεκάστῃ. — 309 sq. = 342 sq.; 309 = 245
αὐτὰρ ἐπεὶ δὴ 'σπεῦσε πονησάμενος ἐϜὰ Ϝέργα, — 310 = 250
σὺν δ' αὖτ' ἄνδρε δύω μάρψας ὡπλίσσατο δεῖπνον. — 311 cf. 344 κ 116
δειπνήσας δ' ἄντροι' ἐξήλασε πίονα μῆλα,
ῥηιδίως ἀφελὼν θυρεὸν μέγαν· αὐτὰρ ἔπειτα
ἂψ ἐπέθηχ', ὡς εἴ τε φαρέτρῃ πῶμ' ἐπιθείη.
πολλῇ δὲ ῥοίζῳ πρὸς ὄρος 'τρέπε πίονα μῆλα
Κύκλωψ. αὐτὰρ ἐγὼ 'λιπόμην κακὰ βυσσοδομεύων,
εἴ πως τισαίμην, δοίη δέ μοι εὖχος Ἀθήνη. — 317b cf. Η 154
ἥδε δέ μοι κατὰ θυμὸν ἀρίστη 'φαίνετο βουλή· — 318 = 424 λ 230 cf. Β 5
Κύκλωπος γὰρ ἔκειτο μέγα ῥόπαλον παρὰ σηκῷ
χλωρὸν ἐλαΐνεον· τὸ μὲν ἐξέταμ' ὄφρα φοροίη
αὐανθέν, ἧμες δὲ 'ϜεϜίσκομεν εἰσοράοντες
ὅσσον θ' ἱστὸν νηὸς ἐϜεικοσόροιο μελαίνης,

---

302 χείρ'] i. e. χειρὶ (sic G F), item τ 480; cf. § 13. Male χεῖρ' (i. e. χεῖρα) mss. pleraque. ‖ ἕτερος...θυμός] verba corrupta, nam vox θυμός pro *sententia* usurpari non potuit. Naber ἕτερον ... μῆδος coll. λ 202, vHerwerden ἕτερον δέ τι θυμὸν coll. λ 105.

303 αὐτόθι § 322] αὐτοῦ mss. ‖ ἧμες § 92] ἄμμες mss. ‖ ὄλεθρον] de acc. vid. l. a. ο 268 et ad γ 87.

304 κεν] πως Nauck sine causa.

305 ὄβριμον] ὄμβρ. G mss. alia.

306 Ἠόα § 77] Ἠῶ mss.

309 ἔμβρυον] cf. vs. 245.

310 ἐϜὰ PKnight] τὰ ἃ mss.; cf. Θ 430.

311 *αὖτ' ἄνδρε] ὅ γε δ' αὖτε mss., Barnes infeliciter ὅδε γ' αὖτε. Vid. vs. 344. ‖ δεῖπνον] δόρπον G[1] F, δαῖτα P; cf. β 20. Vocis δεῖπνον non urgenda hoc loco est vis, nam pomeridiano demum tempore Polyphemum greges pastum egisse (vs. 312) non est veri simile.

312 ἄντροι' § 59] ἄντρου mss.

313 θυρεὸν] vid. ad vs. 240.

315 πολλῇ] πολλῷ P[1] mss. alia. ‖ ῥοίζῳ] nonnisi Π 361 redit; vid. ad Κ 502.

317] del. Niese.

320 ἐλαΐνεον] forma producta redit vs. 394; ἐλάινος Ν 612 etc. ‖ *ἐξέταμ'] ἔκταμεν mss., ἔκσπασεν l. a. apud Eust., quam praefert Bentley, fortasse iure, cf. Theocrit. XXV 210. ‖ φοροίη] cf. § 114.

321 *ἧμες δὲ] τὸ μὲν ἄμμες mss.; cf. § 242. Ex vs. 320 τὸ μὲν irrepsit. ‖ εἰσοράοντες § 191] -ρόωντες mss.

322 ἐϜεικοσόροιο] †; cf. Λ 309 α 280 β 212 δ 669, 778.

φορτίδος εὐρείης, ἥ τ' ἐκπεράει μέγα λαῖτμα· — 323a = ε 250
τόσσον ἔην μῆκος, τόσσον πάχος εἰσοράεσθαι.
τοῦ μὲν ὅσον τ' ὄργυιαν ἐγὼν ἀπέκοψα παραστὰς — 325 cf. Ψ 327; 325a cf. κ 167
καὶ παρέθηχ' ἑτάροισιν, ἀποξῦσαι δ' ἐκέλευσα·
οἳ δ' ὁμαλὸν 'ποίησαν· ἐγὼ δ' ἐθόωσα παραστὰς
ἄκρον, ἄφαρ δὲ λαβὼν ἐπυράκτεον ἐν πυρὶ κηλέῳ.
καὶ τὸ μὲν εὖ κατέθηκα κατακρύψας ὑπὸ κόπρῳ,
ἥ ῥα κατὰ σπέεος 'κέχυτο μεγάλ' ἤλιθα πολλή·
αὐτὰρ τοὺς ἄλλους κλήρῳ πεπαλέσθαι ἄνωγον,
ὅς τις τολμήσειεν ἐμοὶ σὺν μοχλὸν ἀείρας
τρῖψαι ἐν ὀφθαλμῷ, ὅτε τὸν γλυκὺς ὕπνος ἱκάνοι. — 333b cf. Λ 610
οἳ δ' ἔλαχον, τοὺς ἄρ κε καὶ ἤθελον αὐτὸς ἑλέσθαι,
τέσσαρες, αὐτὰρ ἐγὼ πέμπτος μετὰ τοῖσιν ἐλέγμην.
„Ϝεσπέριος δ' ἦλθεν καλλίτριχα μῆλα νομεύων.
αὐτίκα δ' εἰς εὐρὺ σπέος ἤλασε πίονα μῆλα — 337 sq.a cf. 237 sq.
πάντα μάλ', οὐδέ τι 'λεῖπε βαθείης ἔντοθεν αὐλῆς,
ἤ τι ὀισσάμενος, ἦ καὶ θεὸς ὣς ἐκέλευσε·

---

323 φορτίδος] cf. ε 250. ‖ ἐκπεράει § 191] -ράᾳ mss.

324 ἔην] ἔεν? vid. § 302. ‖ εἰσοράεσθαι § 191] -ράασθαι mss.

325 ὄργυιαν] cf. Ψ 327.

326 ἀποξῦσαι W] ἀποξῦναι mss. cetera, item Eur. Cyclop. 456, Lucian. Dial. mar. II 2; vid. ad ζ 269. Non *acuendum* sed *levigandum* comitibus tradit stipitem; ἀπολεπίσαι bene redditur in P.

327 ὁμαλὸν] †, *laevem*. ‖ ἐθόωσα] †, *acui*; cf. ο 299?

328 ἐπυράκτεον] †. ‖ κηλέῳ] cf. § 8.

329 κόπρῳ] κόπρου Aristoph. F; cf. ο 469.

330 σπέεος § 71] σπεῖος M, σπείους mss. cett. ‖ μεγάλ'] corruptum, vid. ad Χ 88 (et δ 505). Nitzsch μεγάλου χύτο, Ameis μεγάλου κέχυτ', sed praeterea praepositioni κατά h. l. perperam additur genitivus; Bothe σπεῖος κέχυτο μέγα, sed σπεῖος non est sincera forma (cf. ε 194); tentavimus *μυχὸν, probabilius Hartman διὰ σπέεος μήλων 'κέχυτ' coll. ρ 297 sq. ‖ ἤλιθα] vid. ad ε 483.

331 πεπαλέσθαι Doederlein] πεπαλάσθαι Ar. Herodian., πεπαλάχθαι mss.; vid. ad Η 171. ‖ ἄνωγον] -γα G mss. alia.

332 μοχλὸν] litteram χ in rasura habet G, item vs. 375, 378, 387, 394, 396 (non tamen ε 261 ι 382).

333 ἐν] ἐπ' Ar. ‖ ὀφθαλμῷ] ex hoc versu totaque quae sequitur narratione apparet poetam Polyphemum (ceterosque Cyclopes?) μονόφθαλμον sibi finxisse, qui inde a natalibus unum oculum haberet in media fronte collocatum, quemadmodum torvum Cyclopis vultum descripserunt Hes. Theog. 144, Theocrit. XI 31 sqq., Verg. Aen. III 636 sq., Ovid. Metam. XIII 851 sq. — Perperam Philoxenus grammaticus (cf. schol. vs. 106) contendebat posterorum hoc fuisse figmentum, Homerum vero Polyphemum finxisse ante Ulixis adventum casu aliquo *altero oculo captum* (ἑτερόφθαλμον. Item Ar.? vid. HIPolak ad Odyss. p. 27-37). — Ipsum nomen sitne a vocibus κύκλος et ὤψ derivatum necne dubitatur. ‖ ἱκάνοι] de opt. or. obliquae vid. § 109.

334 *ἄρ] ἂν mss.; vHerwerden dubitanter περ, Nauck τοὺς ἄρα καί.

338 οὐδέ τι] ne mares quidem; vid. vs. 238 sq. ‖ ἔντοθεν HRumpf] ἔκτο(σ)θεν mss.; vid. vs. 239.

339 τι ὀισσάμενος] de hiatu vid. § 99 sq. et ad ϑ 136. ‖ ὀισσάμενος] ὀισάμενος F, vid. ad α 323.

αὐτὰρ ἔπειτ' ἐπέθηκε λίθον μέγαν ὑψόσ' ἀείρας. 340 = 240
ἑζόμενος δ' ἤμελγεν ὄις καὶ μηκάδας αἶγας, 341 sq. = 244 sq.
πάντα κατὰ μοῖραν, καὶ ὑπ' ἔμβρυον ἧκε Ϝεκάστῃ. 342 sq. = 309 sq.
αὐτὰρ ἐπεὶ δὴ 'σπεῦσε πονησάμενος ἑϜὰ Ϝέργα,
σὺν δ' αὖτ' ἄνδρε δύω μάρψας ὡπλίσσατο δόρπον. 344 cf. 311
„καὶ τότ' ἐγὼ Κύκλωπα προσηύδων ἄγχι παραστὰς,
κισσύβιον μετὰ χερσὶν ἔχων μέλανος Ϝοίνοιο·
‚Κύκλωψ, τῆ, πίε Ϝοῖνον, ἐπεὶ 'φάγες ἀνδρόμεα κρέα,
ὄφρ' εἴδῃς οἷόν τι ποτὸν τόδε νηῦς ἐκεκεύθει
ἡμετέρη· σοὶ δ' αὖ λοιβὴν 'φέρον, εἴ μ' ἐλεήσας
Ϝοίκαδε πέμψειας· σὺ δὲ μαίνεαι οὐκέτ' ἀνεκτῶς. 350ᵇ cf. Θ 355
σχέτλιε, πῶς κέν τίς σε καὶ ὕστερον ἄλλος ἵκοιτο
ἀνθρώπων πολέων; ἐπεὶ οὐ κατὰ μοῖραν ἔρεξας.'
„ὣς ἐφάμην, ὃ δ' ἔδεκτο καὶ ἔκπιε· 'Ϝήσατο δ' αἰνῶς
Ϝηδὺ ποτὸν πίνων, καί μ' ᾔτεε δεύτερον αὖτις·
‚δός μοι ἔτι πρόφρων, καί μοι τεὸν οὔνομα Ϝειπὲ
αὐτίκα νῦν, ἵνα τοι δῶ ξείνιον, ᾧ κε σὺ χαίρῃς.'

357 καὶ γὰρ Κυκλώπεσσι φέρει ζείδωρος ἄρουρα 357ᵇ = δ 229
Ϝοῖνον ἐριστάφυλον καί σφιν Διὸς ὄμβρος ἀέξει· 358 = 111
ἀλλὰ τόδ' ἀμβροσίης καὶ νέκταρός ἐστιν ἀπορρώξ.

340 *λίθον] θυρεὸν mss.; vid. ad vs. 240.
341 μηκάδας] πίονας P (cf. β 56).
342 ἔμβρυον] vid. ad vs. 245.
343 ἑϜὰ PKnight] τὰ ἃ mss., cf. Θ 430.
344 *αὖτ' ἄνδρε] ὅ γε δ' αὖτε mss.; vid. ad vs. 311. || δόρπον P] δεῖπνον mss. pleraque; cf. β 20.
345 προσηύδων] -δαον? cf. § 195.
346 κισσύβιον] *mulctram* (*tobbe*), vas e supellectile rustica, quod e Polyphemi domo desumsisse putandus est Ulixes; vid. ad ξ 112. Vocis, quae ξ 78 π 52 redit, originem veteres ridicule a nomine κισσός repetebant, quasi ex *hederae* ligno vasa aut tornari possint aut pangi! vid. Eur. Cyclop. 390 Alcest. 756, Timotheus apud Athen. XI 465*c*, Athen. XI 477, Theocrit. I 27, Macrob. V 21. *Ligneum*ne vas an *fictile* poeta dicat nescimus. || χερσὶν ἔχων] χερσὶ φέρων X.
347 τῆ, πίε] cf. inscriptio Cyprica Collitz nº 135: τᾶ 'Ετεοδάμα, πῖθι. || κρέα] synizesis vitii indicium (vid. § 72); *ἐπὶ κρέασ' ἀνδρομέοισι? cf. Eur. Cyclop. 419.
348 εἴδῃς] neglecto Ϝ; neque ὡς Ϝείδῃς verum videtur, neque ὄφρα Ϝίδῃς (sic Bentley); Naber Ϝειδήσεις coll. η 327. || νηῦς ἐκεκεύθει] navem in rupibus elisam esse finxerat vs. 284.
351 κέν] ἄν M mss. alia; cf. § 326.
352] del. Bekker.
353 ὃ δ' — αἰνῶς] ὁ δέ μ' αὐτίκ' ἀμειβόμενος προσέειπεν G.
356 δῶ] novicium pro δώω (cf. § 122). Coniecimus *Ϝειπὲ, | αὐτίκα νῦν δώω ξεινήιον (-ήιον est in P, cf. ι 365, 370 υ 296). Vid. § 108.
357-359] delevimus. Perit loci acumen, si vinum Cyclopi non fuit ignotum; non ille *vappa* sed *lacte* sitim restinguere solitus est (cf. Eur. Cycl. 121-124), quapropter novum liquorem, cuius vim nunquam est expertus, nihilo cautius quam lac solet tepidum totis mulctris per gulam demittit. Vid. ad vs. 109-111.
358 ἐριστάφυλον] vid. ad vs. 111.
359 ἀπορρώξ] vid. ad B 755.

„ὣς ἔφατ'· αὐτὰρ ἐγώ Ϝ' αὖτις 'πόρον αἴθοπα Ϝοῖνον.
τρὶς μὲν ἔδωκα φέρων, τρὶς δ' ἐξέπι' ἀφραδίηφι.
αὐτὰρ ἐπεὶ Κύκλωπα περὶ φρένας ἤλυθε Ϝοῖνος,
καὶ τότε δή Ϝε Ϝέπεσσι προσηύδων μειλιχίοισι· 363 cf. λ 552 φ 192
‚Κύκλωψ, εἰρωτᾷς μ' ὄνομα κλυτόν· αὐτὰρ ἐγώ τοι
ἐκϜερέω· σὺ δέ μοι δὸς ξείνιον, ὥς περ ὑπέστης.
Οὖτις ἐμοί γ' ὄνομα· Οὖτιν δέ με κικλήσκουσι
μήτηρ ἠδὲ πατὴρ ἠδ' ἄλλοι πάντες ἑταῖροι.'
„ὣς ἐφάμην, ὃ δέ μ' αὐτίκ' ἀμείβετο νηλέι θυμῷ· 368 = 272
‚Οὖτιν ἐγὼ πύματον ἔδομαι μετὰ Ϝοῖσ' ἑτάροισι,
τοὺς δ' ἄλλους πρόσθεν· τὸ δέ τοι ξεινήιον ἔσται.'
„ἦ, καὶ ἀνακλινθεὶς ἔπεσ' ὕπτιος· αὐτὰρ ἔπειτα
'κεῖτ' ἀποδοχμώσας παχὺν αὐχένα, κὰδ δέ μιν ὕπνος 372ᵇ cf. Ω 4
ᾕρεε πανδαμάτωρ· φάρυγος δ' ἐξ ἔσσυτο Ϝοῖνος 373ᵃ = Ω 5
ψωμοί τ' ἀνδρόμεοι, ὃ δ' ἐρεύγετο Ϝοινοβαρείων.
καὶ τότ' ἐγὼ τὸν μοχλὸν ὑπὸ σποδοῦ ἤλασα πολλῆς,
ἦος θερμαίνοιτο· Ϝέπεσσι δὲ πάντας ἑταίρους
'θάρσυνον, μή τίς μοι ὑποδϜείσας ἀναδυίη.
ἀλλ' ὅτε δὴ τάχ' ὁ μοχλὸς ἐλάινος ἐν πύρ' ἔμελλε 378 cf. K 365ᵃ
ἅψεσθαι χλωρός περ ἐών, διεφαίνετο δ' αἰνῶς,
καὶ τότ' ἐγὼν ἆσσον 'φέρον ἐκ πυρὸς, ἀμφὶ δ' ἑταῖροι
ἵσταντ'· αὐτὰρ θάρσος ἐνέπνευσεν μέγα δαίμων.
οἳ μὲν μοχλὸν ἑλόντες ἐλάινον, ὀξὺν ἐπ' ἄκρῳ,
ὀφθαλμῷ ἐνέρεισαν· ἐγὼ δ' ἐφύπερθεν ἀερθεὶς

360 *ἐγώ Ϝ'(οι) αὖτις] οἱ αὖτις ἐγὼ (ἐγὼ om. F) mss., quod ferri quidem potest si Ϝ'(οι) αὖτις ἐγὼ scribitur (cf. § 13), sed tamen parum placent numeri versus ita correcti. Bentley ὣς φάτ', ἀτάρ Ϝοι ἐγὼν αὖτις.
361 *ἐξέπι'] ἔκπιεν mss. || ἀφραδίηφι(ν) Nauck] -ῃσιν mss.
363 Ϝε Bekker] μιν mss.
365 ἐκϜερέω] ἐξερέω mss. || μοι δὸς ξείνιον] *δὸς ξεινήιον (-ήιον est in P)? Vid. ad vs. 356.
366 ὄνομα] ὄνομ' ἐστ'(ι) M U, idque suadet Naber coll. ω 306. De producta syllaba -α vid. § 19 et ad ζ 300 ϑ 208.
368 αὐτίκ'] αὖτις G F mss. alia; cf. loci parall.
370 ἔσται] ἔστω Apoll. Pron. 31, idque probat Bergk.
371 *ἔπεσ'] πέσεν mss.
372 ἀποδοχμώσας] comp. †, simplex h. Merc. 146, cf. δοχμός M 148, δόχμιος Ψ 116.
373 ᾕρεε § 191] ᾕρει mss.
374 ψωμοί] †. || Ϝοινοβαρείων] redit participium κ 555 φ 304; cf. Α 225 γ 139 et § 286.
375 σποδοῦ] vid. ad ε 488.
376 ἦος § 323] εἵως (εἴ πως X) mss.; de syntaxi vid. ad δ 800. || δὲ] τε M.
377 ἀναδυίη] cf. § 114.
378 τάχ' ὁ] τάχα? || πύρ' ἔμελλε] πυρὶ μέλλε mss.
379 ἅψεσθαι] ἅψασθαι F X mss. alia (male).
380 ἐγὼν] *ἐγώ Ϝ'?
383 ἀερθεὶς] ἐρεισθεὶς Ar. P H K.

'δίνεον, ὡς ὅτε τις τρυπᾷ δόρυ νήιον ἀνὴρ
τρυπάνῳ, οἱ δέ τ' ἔνερθεν ὑποσσείουσιν ἱμάντι
ἁψάμενοι Ϝεκάτερθε, τὸ δὲ τρέχει ἐμμενὲς αἰεί.
ὣς τοῦ ἐν ὀφθαλμῷ πυριήκεα μοχλὸν ἔχοντες
'δινέομεν, τὸν δ' αἷμα περὶ 'ζέε θερμὸν ἐόντα.
πάντα δέ Ϝοι βλέφαρ' ἀμφὶ καὶ ὀφρύας ηὖσεν ἀυτμὴ
γλήνης καιομένης· 'σμαραγεῦντο δέ Ϝοι πυρὶ ῥίζαι.
ὡς δ' ὅτ' ἀνὴρ χαλκεὺς πέλεκυν μέγαν ἠὲ σκέπαρνον
ἐν ὕδατι ψυχρῷ βάπτῃ μεγάλα ϜιϜάχοντα
φαρμάσσων, — τὸ γὰρ αὖτε σιδήρου γε κράτος ἐστί, —
ὣς τοῦ ἔσιζ' ὀφθαλμὸς ἐλαϊνέῳ περὶ μοχλῷ.
σμερδαλέον δὲ μέγ' ᾤμωξεν, — περὶ 'ϜίϜαχε πέτρη, —
ἧμες δὲ δϜείσαντες ἀπεσσύμεθ'. αὐτὰρ ὃ μοχλὸν 396a = 236
ἐκϜέρυσ' ὀφθαλμοῖο πεφυρμένον αἵματι πολλῷ.
τὸν μὲν ἔπειτ' ἔρριψεν ἀπὸ Ϝέο χερσὶν ἀλύων,
αὐτὰρ ὃ Κύκλωπας μεγάλ' ἤπυεν, οἵ ῥά μιν ἀμφὶ
'Ϝοίκεον ἐν σπεέεσσι δι' ἄκριας ἠνεμοέσσας. [ω 415
οἱ δὲ βοῆς ἀίοντες ἐφοίταον ἄλλοθεν ἄλλος, 401 cf. κ 118b sq.
ἱστάμενοι δ' εἴροντο περὶ σπέος, ὅττι Ϝε κήδοι· 401b = λ 42
,τίπτε τόσον, Πολύφημ', ἀρημένος ὧδ' ἐβόησας

384 τρυπᾷ Draco metr. 86] τρυπῷ mss.; verbum † (cf. τρύπανον vs. 385).

385 τρυπάνῳ] † (vid. ad vs. 384); cf. τέρετρον ε 246 ψ 198. || ἱμάντι] cf. Eur. Cyclop. 461.

387 πυριήκεα] †. || ἔχοντες F] ἑλόντες Ar. (?) et mss. cett.

388] *περὶ 'ζέε] περί(ρ)ρεε mss.; calor ligni efficere non potuit ut *largior flueret* sanguis. Coniecturae favent Φ 365 ι 394. IHVoss περίρρεε θερμὸν ἰόντα (cf. Γ 61), adiectivum ad αἷμα referens, id quod dissuadere videtur verborum ordo.

390 γλήνης] vid. ad Θ 164. || 'σμαραγεῦντο vHerwerden coll. Β 210, 463 Φ 199] *stridebant*; σφαραγεῦντο mss., i. e. *turgebant* (Attic. ἐσφρίγων), vid. vs. 440. Veram lectionem videtur secutus esse Theocritus Syring. 8: πόθοιο πυρισμαράγου (ubi codd. deteriores πυρισφαράγου exhibent). De termino -εῦντο vid. § 7 et 191.

391-394] imitatur Ovid. Metam. XII 275 -279.

391 ἠὲ σκέπαρνον] cf. § 28.

392 ἐν X K] εἰν mss. cett., cf. § 315. || βάπτῃ] †.

393] del. PKnight. || φαρμάσσων] †, cf. φάρμακον et vid. ad α 261. || αὖτε] αὐτὸ Bothe. || σιδήρου γε] σιδήροιο Nauck.

394 ἔσιζ'] σίζ' (melius σῖζ') mss.; verbum †. || ἐλαϊνέῳ] vid. ad vs. 320.

395 σμερδαλέον — ᾤμωξεν] vertit Verg. Aen. III 672: *clamorem immensum tollit.* || δὲ μέγ'] δ' ὁ μὲν Bothe, δ' ἄρ' ὅ γ' vHerwerden, μέγα interpretamentum ducentes; nos *σμερδαλέον· μέγα δ' coll. Υ 260. PKnight σμερδαλέ' ᾤμωξεν· περὶ δὲ μέγα. || *περὶ] περὶ δ' mss.

396 ἧμες § 92] ἡμεῖς mss.

397 ἐκϜέρυσ'] ἐξέρυσ' mss.

399 ἀμφὶ] ἀμφὶς mss.; cf. § 316.

400 'Ϝοίκεον] ᾤκεον mss.; Nauck ναῖον ἐνὶ. Vid. ad Ξ 116. || σπεέεσσι § 71] σπήεσσι mss. || ἠνεμοέσσας] cf. § 21.

401 ἐφοίταον § 191] -των mss.

403 ἀρημένος] cf. Σ 435.

νύκτα δι' ἀμβροσίην καὶ ἀύπνους ἧμε τίθησθα; 404a = Κ 41
ἦ μή τίς σεο μῆλα βροτῶν ἀϜέκοντος ἐλαύνει;
ἦ μή τίς σ' αὐτὸν κτείνει δόλῳ ἠὲ βίηφι;' 406 cf. 408
„τοὺς δ' αὖτ' ἐξ ἄντρου προσέφη κρατερὸς Πολύφημος·
,ὦ φίλοι, Οὖτίς με κτείνει δόλῳ οὐδὲ βίηφι.' 408 cf. 406
„οἱ δ' ἀπαμειβόμενοι Ϝέπεα πτερόεντ' ἀγόρευον·
,εἰ μὲν δὴ μή τίς σε βιάζεται οἶον ἐόντα,
νοῦσόν γ' οὔ πως ἔστι Διὸς μεγάλοι' ἀλέασθαι· 411b cf. π 447
ἀλλὰ σύ γ' εὔχεο πατρὶ Ποσειδάωνι Ϝάνακτι.' 412a cf. Ω 290
„ὣς ἄρ' ἔφαν ἀπιόντες· ἐμὸν δ' ἐγέλασσε φίλον κῆρ, 413b cf. Φ 389
ὥς Ϝ' ὄνομ' ἐξαπάτησεν ἐμὸν καὶ μῆτις ἀμύμων.
Κύκλωψ δὲ στενάχων τε καὶ ὠδίνων ὀδύνῃσι
χερσὶ ψηλαφάων ἀπὸ μὲν λίθον εἷλε θυράων,
αὐτὸς δ' ἐν προθύροισι καθέζετο χεῖρε πετάσσας, 417b cf. Ξ 495
εἴ τινά που μετ' ὄισσι λάβοι στείχοντα θύραζε·
οὕτω γάρ τί μ' ἐϜέλπετ' ἐνὶ φρεσὶ νήπιον εἶναι.
αὐτὰρ ἐγὼ 'βούλευον, ὅπως ὄχ' ἄριστα γένοιτο, 420b = γ 129
εἴ τιν' ἑταίροισιν θανάτου λύσιν ἠδ' ἐμοὶ αὐτῷ
εὑροίμην· πάντας δὲ δόλους καὶ μῆτιν ὕφαινον,
ὥς τε περὶ ψυχῆς· μέγα γὰρ κακὸν ἐγγύθεν ἦεν.
ἥδε δέ μοι κατὰ θυμὸν ἀρίστη 'φαίνετο βουλή· 424 = 318
ὄιες ἄρσενες ἦσαν ἐυτρεφέες δασύμαλλοι,
καλοί τε μεγάλοι τε, Ϝιοδνεφὲς εἶρος ἔχοντες· 426b cf. δ 135

404 ἀμβροσίην] ὀρφναίην (cf. ι 143) W. || ἧμε § 92] ἄμμε mss. („φανερῶς δυϊκὸν" Eust.). Requiritur pluralis: *ἧμας ἔθηκας?

405 ἦ] εἰ Apoll. Synt. p. 164 sq.; cf. ζ 200. || σεο J in m.] σε P[1] H K, σευ mss. cett.; cf. § 92. An *τεὰ?

406] om. F Z, in margine habet G, cuius erroris causa videtur haplographia. || ἠὲ] οὐδὲ (male) P[1] M mss. alia; cf. vs. 408.

409 πτερόεντ' ἀγόρευον] -ντα προσηύδων G M[1].

410 εἰ . . . δὴ] vid. ad Α 61.

411 γ'] δ' G H mss. alia. || μεγάλοι' § 59] -λου mss.

412] in K et in marg. H subiungitur τοῦ γὰρ δὴ παῖς ἐσσί, πατὴρ δὲ σὸς εὔχεται εἶναι (cf. vs. 519).

414] in marg. habet F. || Ϝ'] adiecit Naber.

415 ὠδίνων] vid. ad Λ 271.

416 ψηλαφάων § 191] -φόων mss.; verbum †, cf. Ζ 322.

417 *ἐν προθύροισι] εἰνὶ θύρῃσι mss., cf. § 315. Redit error κ 310 μ 256; vid. l. a. θ 325 κ 220 et ad Θ 199.

418 ὄισσι § 74] ὄεσσι mss.

419 τί μ' ἐϜέλπετ' Cobet] πού μ' ἤλπετ' mss., ἔμ' ἐϜέλπετ' Fick, μ' ἄρ που ἔλπετ' Nauck.

422 πάντας] vid. ad Α 5.

425 *ὄιες ἄρσενες (item post nos WSchulze Q. E. p. 379)] ἄρσενες ὄιες Ar. et mss. pleraque metro invito, ἄρσενες οἴιες H[1] praeter analogiam, vid. § 74. De producto ὀ- vid. § 22 et ad Ω 79; versus initio ὄιες vel οἴιες habet Call. h. Ap. 53. Ceterum cf. Theocr. I 9. || δασύμαλλοι] †, cf. πηγεσίμαλλος Γ 197 et δασύς ξ 49, 51.

426] in margine habet F. || Ϝιοδνεφὲς] vid. ad δ 135.

τοὺς ἀκέων συνέϝεργον ἐυστρεφέεσσι λύγοισι,
τῇσ' ἔπι Κύκλωψ ηὗδε, πέλωρ ἀθεμίστια ϝειδὸς,
σύντρεις αἰνύμενος· ὃ μὲν ἐν μέσῳ ἄνδρ' ἐφέρεσκε,
τὼ δ' ἑτέρω ϝεκάτερθεν ἴτην σαόοντες ἑταίρους.
τρεῖς δὲ ϝέκαστον φῶτ' ὄιες 'φέρον· αὐτὰρ ἐγώ γε, —
ἀρνειὸς γὰρ ἔην μήλων ὄχ' ἄριστος ἁπάντων, —
τοῦ κατὰ νῶτα λαβὼν, λασίην ὑπὸ γαστέρ' ἐλυσθεὶς
'κείμην· αὐτὰρ χερσὶν ἀώτου θεσπεσίοιο
νωλεμέως στρεφθεὶς ἐχόμην τετληότι θυμῷ. 435^{a} cf. μ 437
ὣς τότε μὲν στενάχοντες ἐμείναμεν Ἠόα δῖαν. 435^{b} cf. δ 459 — 436 sq. = 306 sq.
„ἦμος δ' ἠριγένεια 'φάνη ῥοδοδάκτυλος Ἠὼς,
καὶ τότ' ἔπειτα νομόνδ' ἐξέσσυτο ἄρσενα μῆλα,
θήλειαι δ' ἐμέμηκον ἀνήμελκτοι περὶ σηκούς·
οὔθατα γὰρ 'σφαραγεῦντο. ϝάναξ δ' ὀδύνῃσι κακῇσι
τειρόμενος πάντων ὀίων ἐπεμαίετο νῶτα
ὀρθῶν ἑσταότων· τὸ δὲ νήπιος οὐκ ἐνόησε, 442^{b} cf. χ 32
ὥς ϝοι ὑπ' εἰροπόκων ὀίων στέρνοισ' ἐδέδεντο.
ὕστατος ἀρνειὸς μήλων ἔστειχε θύραζε,
λάχνῳ στεινόμενος καὶ ἐμοὶ πυκινὰ φρονέοντι.
τὸν δ' ἐπιμασσάμενος προσέφη κρατερὸς Πολύφημος·
‚κριὲ πέπον, τί μοι ὧδε διὰ σπέος ἔσσυο μήλων
ὕστατος; οὔ τι πάρος γε λελειμμένος ἔρχεαι οἰῶν,
ἀλλὰ πολὺ πρῶτος νέμεαι τέρεν' ἄνθεα ποίης
μακρὰ βιβὰς, πρῶτος δὲ ῥοὰς ποταμῶν ἀφικάνεις,
πρῶτος δὲ σταθμόνδε λιλαίεαι ἀπονέεσθαι
ϝεσπέριος· νῦν αὖτε πανύστατος. ἦ σὺ ϝάνακτος

---

427 λύγοισι] cf. Δ 105 κ 166.
428] in marg. habet P; del. Nitzsch. ‖ ϝειδὸς Bekker coll. Β 321 Σ 410 κ 219 μ 87] εἰδὼς mss.
429 ἄνδρ' ἐφέρεσκε] ἄνδρα φέρ. mss.
430 σαόοντες § 191] σάοντες U, σώοντες mss. cett.; *ἑτάρους σαόοντε?
432 ἴτην] ἴεν? vid. § 302.
433 τοῦ] l. a. τόν. ‖ ἐλυσθεὶς] cf. § 265.
436 Ἠόα § 77] Ἠῶ mss.
438 ἐξέσσυτο] ἐξεσσύατ' Bentley.
440 οὔθατα] vid. ad Ι 141. ‖ 'σφαραγεῦντο] † (sed vid. vs. 390); de termino -εῦντο vid. § 7 et 191.
441 ὀίων] cf. Γ 198.
443 ὥς ϝοι] ὡς οἱ („dass sie") Nitzsch. ‖ εἰροπόκων] vid. ad Μ 451. ‖ ὀίων] cf. Γ 198. ‖ στέρνοισ' ἐδέδεντο] -σι δέδ. mss.
445 λάχνῳ Seleucus (Etym. M. 558,26) Herodian. (?)] λαχμῷ mss.; vox †, alias λάχνη (Β 219 Κ 134 λ 320, cf. λαχνήεις Β 743 etc.).
447 κριὲ] vox nonnisi vs. 461 redit, cf. κτίλος Γ 196 Ν 492, ἀρνειός Β 550 etc.
448 οἰῶν] cf. § 74; ἀρνῶν F[1], λαῶν H[1]; *ἄλλων? Scribi nequit ἔρχεο (sic X D) ϝαρνῶν aut μήλων propter praesentia quae sequuntur.
451 ἀπονέεσθαι] cf. § 21.
452 σὺ Bentley] σύ γ' mss.

ὀφθαλμὸν ποθέεις; τὸν ἀνὴρ κακὸς ἐξαλάωσε
σὺν λυγροῖσ' ἑτάροισι, δαμασσάμενος φρένα ϝοίνῳ,
Οὖτις, ὃν οὔ πω φημὶ πεφυγμένον ἔμμεν' ὄλεθρον.
εἰ δὴ ὁμοφρονέοις ποτιφωνήεις τε γένοιο
ϝειπέμεν' ὅππῃ κεῖνος ἐμὸν μένος ἠλυσκάζει·
τῷ κέ ϝοι ἐγκέφαλός γε διὰ σπέος ἄλλυδις ἄλλῃ
θεινομένου ῥαίνοιτο πρὸς οὔδεϊ, κὰδ δέ κ' ἐμὸν κῆρ
λωφήσειε κακῶν, τά μοι οὐτιδανὸς 'πόρεν Οὖτις.'
„ὣς ϝειπὼν τὸν κριὸν ἀπὸ ϝέο 'πέμπε θύραζε.
ἐλθόντες δ' ἦ βαιὸν ἀπὸ σπέεός τε καὶ αὐλῆς,
πρῶτος ὑπ' ἀρνειοῦ 'λυόμην ὑπέλυσα δ' ἑταίρους.
καρπαλίμως δὲ τὰ μῆλα ταναύποδα, πίονα δημῷ,
πολλὰ περιτροπάοντες ἐλαύνομεν, ὄφρ' ἐπὶ νῆα
ἱκόμεθ'· ἀσπάσιοι δὲ φίλοισ' ἑτάροισ' ἐφάνημεν,
οἳ 'φύγομεν θάνατον· τοὺς δ' ἐστέναχον γοάοντες. 467^{b} cf. Σ 315
ἀλλ' ἐγὼ οὐκ εἴων — ἀνὰ δ' ὀφρύσι 'νεῦσα ϝεκάστῳ —
κλαιέμεν', ἀλλ' ἐκέλευσα θοῶς καλλίτριχα μῆλα
πόλλ' ἐν νηὶ βαλόντας ἐπιπλεῖν ἁλμυρὸν ὕδωρ. 470^{b} = 227

---

453 τὸν] vid. ad vs. 504. ‖ ἐξαλάωσε] vid. ad α 69.
454 λυγροῖσ'] vid. ad Ν 119. ‖ φρένα l] φρένας mss. cett.
455] del. PKnight. ‖ ἔμμεν' G T] εἶναι mss. cett.; cf. § 125. ‖ ὄλεθρον] -θρου P[1]; cf. Ζ 488 Χ 219.
456-460 ὁμοφρονέοις ... γένοιο ... ῥαίνοιτο ... λωφήσειε] de optativi usu vid. ad Δ 314.
456 ὁμοφρονέοις] ὁμοῦ φρονέοις Cauer (i. e. *aeque ac ego mente esses praeditus*). Vid. ad Χ 263. ‖ ποτιφωνήεις] †, adi. insolite formatum, non extat enim subst. ποτιφωνή; cf. ἀμφιγυήεις, βαθυδινήεις.
457 ϝειπέμεν' § 125] εἰπεῖν mss. ‖ ὅππῃ] ὅπποι X D, l. a. ὅττι (? — ὁππόθι corr. Ludwich). ‖ ἠλυσκάζει W] ἠλασκάζει mss. cetera, quod *vagari* significat, cf. Σ 281 h. Ap. 142 (Ν 104); ἀλυσκάζω (*vito*) extat Ε 253 Ζ 443 ρ 581.
458 ἄλλῃ] vix sanum; vid. ad ε 369.
459 θεινομένου] de genitivo vid. ad ζ 157. ‖ ῥαίνοιτο Duentzer] ῥαίοιτο mss. *Confringitur* (ῥαίεται) caput, cerebrum vero vel cruor solo vel parietibus *adspergitur*; cf. Μ 431 υ 354 (Δ 282 υ 150), Soph. Trach. 781, Eur. Cycl. 402 fr. 388 (Verg. Aen. III 625).
460 λωφήσειε] cf. Φ 292.
461 κριὸν] vid. ad vs. 447.
462 sq.] de constructione vid. ad Γ 211.
462 ἦ βαιὸν] ἠβαιὸν mss.; cf. § 2. ‖ σπέεος § 71] σπείους mss.
464 ταναύποδα] h. Ap. 304 Merc. 232 redit epitheton, quo oves distinguuntur a bubus εἰλιπόδεσσι et equis ἀερσιπόδεσσι (cf. Helbig Hom. Epos[1] p. 133); ad *furias* transfertur Soph. Aiac. 837. ‖ πίονα] πίονι (absurde) G P[1] H[1] mss. alia.
465 περιτροπάοντες § 191 et 251] -πόωντες Hesych. s. v., -πέοντες mss. — Multis *ambagibus* utitur, ne Cyclops auribus ductus eos occupet priusquam navem, in proxima vicinia littori appulsam, conscenderint.
466 ἑτάροισ' ἐφάνημεν] -σι φ. mss. (-ροις ἱκόμεθα G[1]).
467 *ἐστέναχον γοάοντες] -ντο γοῶντες mss.; cf. Σ 315 et § 191.
468 εἴων] ἔαον PKnight. ‖ νεῦσα Bentley] νεῦον mss.
469 κλαιέμεν' § 125] κλαίειν mss.
470 ἐπιπλεῖν] cf. vs. 227.

οἳ δ' αἶψ' εἴσβαινον καὶ ἐπὶ κληῖσι καθῖζον, 471 sq. = 103 sq.
ἑξῆς δ' ἑζόμενοι πολιὴν ἅλα 'τύπτον ἐρετμοῖς. 472 cf. μ 180
ἀλλ' ὅτε τόσσον ἀπῆα ὅσον τ' ἐγέγωνε βοήσας, 473 = μ 181 cf. ι 400
καὶ τότ' ἐγὼ Κύκλωπα προσηύδων κερτομίοισι·
,Κύκλωψ, οὐκ ἄρ' ἔμελλες ἀνάλκιδος ἀνδρὸς ἑταίρους 476 cf. μ 210
Ϝελσέμεν' ἐν σπέεϊ γλαφυρῷ κρατερῆφι βίηφι. 476ᵇ = Φ 501
καὶ λίην σέ γ' ἔμελλε κιχήσεσθαι κακὰ Ϝέργα,
σχέτλι', ἐπεὶ ξείνους οὐχ ἤζεο σῷ ἐνὶ Ϝοίκῳ
ἐσθέμεναι· τῷ σε Ζεὺς 'τίσατο καὶ θεοὶ ἄλλοι.'
„ὣς ἐφάμην· ὃ δ' ἔπειτα 'χολώσατο κηρόθι μᾶλλον, 480ᵇ = Φ 136
ἧκε δ' ἀπορρήξας κορυφὴν ὄρεος μεγάλοιο,
κὰδ δ' ἔβαλε προπάροιθε νεὸς κυανοπρῴροιο. 482 cf. 539 482ᵃ cf. κ 172
ἐκλύσθη δὲ θάλασσα κατερχομένης ὑπὸ πέτρης· 484 = 541 484ᵃ = Ξ 392
τὴν δ' ἂψ ἤπειρόνδε παλιρρόθιον 'φέρε κῦμα,
πλημυρὶς ἐκ πόντοιο, 'θέμωσε δὲ χέρσον ἱκέσθαι. 486ᵇ = 542
αὐτὰρ ἐγὼ χείρεσσι λαβὼν περιμήκεα κοντὸν
ὦσα παρ' ἔξ· ἑτάροισι δ' ἐποτρύνας ἐκέλευσα 488ᵇ cf. β 422 κ 128
κρατὶ κατανεύων· οἳ δὲ προπεσόντες ἔρεσσον. 490ᵇ = μ 194
ἀλλ' ὅτε δὴ δὶς τόσσον ἅλα πρήσσοντες ἀπῆμεν,

483 τυτθὸν ἐδεύησεν δ' οἰήιον ἄκρον ἱκέσθαι. 483 = 540
489 ἐμβαλέμεν κώπησ', ἵν' ὑπ' ἐκ κακότητα φύγοιμεν. 489 = κ 129

483 Ar. —

471 ἐπὶ κληῖσι] vid. ad β 419.
472] vid. ad δ 580.
473 *ἀπῆα ὅσον] ἀπῆν ὅσσον mss., Nauck ἀπῆμεν ὅσον, fortasse recte; vid. § 302 et ι 400.
474 προσηύδων] cf. § 195.
475-501] del. Kammer.
476 Ϝελσέμεν vHerwerden coll. μ 210] ἔδμεναι mss.; requiritur futurum, vid. § 107 et ad Π 47 Σ 99. Futurum tamen verbi Ϝέλλειν alibi in Hom. non extat, cf. § 254 et 265. ‖ σπέεϊ § 71] σπῆι mss.
478 ἤζεο] ἄζεο mss.
479] del. PKnight.
483] e vs. 540 repetitum esse viderunt veteres; saxum, quod *ultra navem* delapsum aestu eam versus littus repellit, *paene gubernaculum attigisse* dici non potest. Axt temtavit κὰδ δὲ βαλὼν ... | τυτθὸν ἐδεύησε πρῳρήσιον ἄκρον ἱκέσθαι coll. Etym. M. 177,47.
485 ἂψ Ar.] αἶψ' mss.; vid. ad ϑ 92. ‖ παλιρρόθιον] vid. ad ε 412.
486] del. PKnight. ‖ πλημῦρίς] †, *aestus*; quidam pro adverbio antiquitus habebant coll. λικριφίς. Verba πλημυρὶς ἐκ πόντοιο repetit Apoll. Rh. IV 1267, sed alias (Aesch. Choeph. 186 Eur. Alc. 184 Apoll. Rh. II 578 IV 1239) syllabam -μυ- constanter produci observat Brunck; apud Nauckium proponitur πλημῦρὶς πόντοιο. ‖ 'θέμωσε] verbum nonnisi vs. 542 redit; Ar. interpretabatur ἤγγισε τῇ χέρσῳ, Callistratus ἐποίησε (ad τιθέναι referens); vHerwerden coniecit θέλησε coll. Φ 366, nos dubitanter *ἔωσε coll. Φ 235, 241 ι 81.
487 κοντὸν] †; cf. κένσαι Ψ 337.
488 ἐποτρύνας] -νων P X².
489] om. G D, in marg. habent F P T, in textu X H M. ‖ ἐμβαλέμεν § 125] -έειν mss.; de verbo vid. ad κ 129.
490 κατᾱνεύων] suspectum; cf. § 27. Ahrens κράατι καννεύων (vid. ο 464 χ 218); an *ὀφρύσι καννεύων? cf. ι 468 μ 194.
491 δὶς τόσσον] ergone Cyclopem non iam

καὶ τότ' ἐγὼ Κύκλωπα προσηύδων· ἀμφὶ δ' ἑταῖροι
μειλιχίοισι Ϝέπεσσιν ἐρήτυον ἄλλοθεν ἄλλος· 493 = κ 442
,σχέτλιε, τίπτ' ἐθέλεις ἐρεθιζέμεν' ἄγριον ἄνδρα;
ὃς καὶ νῦν τοσσόνδε βαλὼν βέλος ἤγαγε νῆα
αὖτις ἐς ἤπειρον, καὶ δὴ 'φάμεν αὖθ' ὀλέεσθαι.
εἰ δὲ φθεγξαμένου τε' ἢ αὐδήσαντος ἄκουσε,
σύν κεν ἄραξ' ἧμιν κεφαλὰς καὶ νήια δοῦρα
μαρμάρῳ ὀκριόεντι βαλών· τόσσον γὰρ ἵησι.' 499ᵃ = Μ 380
„ὣς 'φάσαν, ἀλλ' οὐ 'πεῖθον ἐμὸν μεγαλήτορα θυμόν,
ἀλλά μιν ἄψορρον προσέφην κεκοτηότι θυμῷ· 501ᵃ = 282
,Κύκλωψ, αἴ κέν τίς σε καταθνητῶν ἀνθρώπων 502 cf. h. Ven. 282
ὀφθαλμοῖ' εἴρηται ἀϜεικελίην ἀλαωτύν,
φάσθαι 'Οδυσσῆα πτολίπορθόν Ϝ' ἐξαλαῶσαι,
υἱὸν Λαέρτα' 'Ιθάκῃ ἔνι Ϝοικί' ἔχοντα.' 505 = 531
„ὣς ἐφάμην· ὃ δέ μ' οἰμώξας ἠμείβετο μύθῳ· 506 = λ 59
,ὢ πόποι, ἦ μάλα δή με παλαίφατα θέσφαθ' ἱκάνει. 507 = ν 172
ἦσκέ τις ἐνθάδε μάντις ἀνὴρ ἠύς τε μέγας τε, 508ᵇ = Γ 167
Τήλεμος Εὐρυμίδης, ὃς μαντοσύνῃ ἐκέκαστο
καὶ μαντευόμενος κατεγήρα Κυκλώπεσσι·
ὅς μοι ἔφη τάδε πάντα τελευτήσεσθαι ὀπίσσω,
χειρῶν ἐξ 'Οδυσῆος ἁμαρτήσεσθαι ὀπωπῆς.
ἀλλ' αἰεί τινα φῶτα μέγαν καὶ καλὸν ἐδέγμην

alloqui poterat Ulixes (vid. vs. 473)? In G est τρὶς τόσσον, Lehrs τοσσοῦτον tentabat, parum probabiliter, cf. vs. 538; Duentzer putat Ulixi vocem clariorem a poeta tribui quam habet vulgus mortalium. Sed praestat hoc non urgere. De locutione cf. Α 213. ‖ πρήσσοντες] πλήσσοντες Rhianus; ῥήσσοντες Bergk, cf. Σ 571. De verbi constructione vid. ad Α 483.
492 τότ' ἐγὼ] τότε δὴ Ar. P. ‖ προσηύδων] -δαον? cf. § 195.
493 μειλιχίοισι Ϝέπεσσιν § 60] -οις ἐπέεσσιν mss.
495 *τοσσόνδε] πόντονδε mss.; ferri non posse βέλος nude positum sensit Nauck. ‖ ἤγαγε] ἤλασε Nauck.
496 *αὖθ' ὀλέεσθαι] mss. αὐτόθ' ὀλέσθαι (ἐλέεσθαι P), quam verbi formam ex ὀλεῖσθαι corruptam esse, requiri enim futurum, observavit Cobet.
497 τε'] τε k, τευ mss. cett.; cf. § 99. ‖ ἢ] insolite corripitur, vid. § 16.
498 *ἧμιν] ἡμέων mss.; fortasse sufficit ἥμων (cf. § 92).
502 κέν τίς σε καταθνητῶν] καί τίς σε καταχθονίων schol. vs. 106.
503 ὀφθαλμοῖ' § 59] -λμοῦ mss.
504 πτολίπορθον P H U¹ K W J, πτολιπόρθιον mss. pleraque; cf. vs. 530. ‖ Ϝ'] i. e. τὸν ὀφθαλμόν, adiecit Hartman; σ' inserebat Bentley. Etiam vs. 453 τὸν ad ὀφθαλμόν videtur referendum; vid. tamen λ 103 ν 343 et ad α 69. ‖ ἐξαλαῶσαι] vid. ad α 69.
505] in margine habet P. ‖ Λαέρτα'(ο) P] -τεω mss. cetera; cf. § 55.
507 παλαίφατα] adi. redit ν 172 τ 163.
508 ἦσκε] ἔσκε mss.
512 ἁμαρτήσεσθαι] cf. Ω 68. Fut. non redit; Naber ἀμερθήσεσθαι coll. Χ 58 ϑ 64, at futuro in -θήσομαι lingua epica non utitur.

ἐνθάδ' ἐλεύσεσθαι, μεγάλην ἐπιϝειμένον ἀλκήν· 514 cf. 214
νῦν δέ μ' ἐὼν ὀλίγος τε καὶ οὐτιδανὸς καὶ ἄκικυς
ὀφθαλμοῖ' ἀλάωσας, ἐπεί μ' ἐδαμάσσαο ϝοίνῳ.
ἀλλ' ἄγε δεῦρ', Ὀδυσεῦ, ἵνα τοι πὰρ ξείνια θήω 517ᵇ = Σ 387
πομπήν τ' ὀτρύνω δόμεναι κλυτὸν ἐνοσίγαιον·
τοῦ γὰρ ἐγὼ πάις εἰμὶ, πατὴρ δ' ἐμὸς εὔχεται εἶναι· 519 cf. 529
αὐτὸς δ', αἴ κ' ἐθέλῃσ', ἰήσεται οὐδέ τις ἄλλος
οὔτε θεῶν μακάρων οὔτε θνητῶν ἀνθρώπων.' 521 = h. Merc. 144 Ven. 35 cf. Α 339
„ὣς ἔφατ'· αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέϝειπον·
‚αἲ γὰρ δὴ ψυχῆς τε καὶ αἰῶνός σε δυναίμην 523 cf. Π 453ᵇ
εὖνιν ποιήσας πέμψαι δόμον Ἄϝιδος εἴσω,
ὡς οὐκ ὀφθαλμόν γ' ἰήσεται οὐδ' ἐνοσίχθων.'
„ὣς ἐφάμην· ὃ δ' ἔπειτα Ποσειδάωνι ϝάνακτι
ηὔχετο, χεῖρ' ὀρέγων εἰς οὐρανὸν ἀστερόεντα· 527 = Ο 371
‚κλῦθι, Ποσείδαον γαιήοχε κυανοχαῖτα· 528ᵃ = γ 55
εἰ ἐτεόν γε σός εἰμι, πατὴρ δ' ἐμὸς εὔχεαι εἶναι, 529 cf. 519
δὸς μὴ Ὀδυσσῆα πτολίπορθον ϝοίκαδ' ἱκέσθαι.
532 ἀλλ' εἴ ϝοι καὶ μοῖρα φίλους ϝιδέμεν καὶ ἱκέσθαι 532 sq. cf. ε 41 sq. 532ᵇ = δ 475
ϝοῖκον ἐϋ κτίμενον καὶ ἑϝὴν εἰς πατρίδα γαῖαν, 533 cf. δ 476 534 sq. cf. λ 114 sq.
ὀψὲ κακῶς ἔλθοι, ὀλέσας ἄπο πάντας ἑταίρους, 534 = μ 141 534ᵇ = ν 340 cf.
νηὸς ἔπ' ἀλλοτρίης, εὕροι δ' ἐν πήματα ϝοίκῳ.' 535ᵃ = ω 301 [β 174
„ὣς ἔφατ' εὐχόμενος· τοῦ δ' ἔκλυε κυανοχαίτης.
αὐτὰρ ὅ γ' ἐξαῦτις πολὺ μείζονα λᾶαν ἀείρας 537ᵇ sq. = Η 268 sq.
ἧκ' ἐπιδινήσας, ἐπέρεισε δὲ ϝῖν' ἀπέλεθρον·

531 υἱὸν Λαέρτα' Ἰθάκῃ ἔνι ϝοικί' ἔχοντα. 531 = 505

514 ἐπιϝειμένον] cf. Α 149.
515 ἄκικυς] l. a. ἀεικής. Adi. ἄκικυς (i. e. ἄναλκις, sic F² Z; cf. Aristot. Poet. 22) redit φ 131 Aesch. Prom. 547, cf. κῖκυς *vigor* λ 393 h. Ven. 238.
516 ὀφθαλμοῖ' § 59] -λμοῦ mss. || ἀλάωσας G F P X] -σεν H M; Nauck ἀπάμερσας; cf. α 69. || ἐδαμάσσαο G X] -σσας F P, -σσατο H M.
517 θήω § 122] θείω mss.
518-536] del. Duentzer.
518 ἐνοσίγαιον G F] ἐννοσ. mss. pleraque; cf. § 21.
523 δυναίμην] de optativo vid. ad Δ 314.
524 εὖνιν] adi. redit Χ 44.
525] his verbis iram Neptuni commeruit Ulixes, ut Aiax Locrus δ 502 sqq., Aiax Telamonius Minervae iram apud Sophoclem. || ὡς] cf. Θ 538.
529 γε σός] *τεός?
530 πτολίπορθον F X U W] πτολιπόρθιον G P H M; cf. vs. 504. Nauck πτολιπόρθιον ἀπονέεσθαι, sed adi. πτολιπόρθιος pro -θος vitio natum necnisi vs. 504 redit (ubi vid.).
531] om. mss., habet Macrob. Saturn. V 12 § 6. || Λαέρτα' § 55] -ρτεω Macrob. l. l.
532 καὶ μοῖρα G F] καὶ μοῖρ' ἐστὶ P, μοῖρ' ἐστὶ H M. || ϝιδέμεν § 126] τ' ἰδέειν mss.
534] del. KLKayser coll. λ 114 μ 141.
537 αὐτὰρ ὅ γ'] ἦ ῥα καὶ Duentzer (deletis vs. 518-536); Kammer (qui versus 475-501 damnat) αὐτὰρ ἀπορρήξας κορυφὴν ὄρεος μεγάλοιο (ex vs. 481).

κὰδ δ' ἔβαλεν μετόπισθε νεὸς κυανοπρῴροιο, 539 cf. 482 539ᵇ cf. λ 6 μ 148
τυτθὸν ἐδεύησεν δ' οἰήιον ἄκρον ἱκέσθαι. 540 = 483
543 „ἀλλ' ὅτε δὴ τὴν νῆσον ἀφικόμεθ', ἔνθα περ ἄλλαι
νῆες ἐύσσελμοι 'μένον ἀθρόαι, ἀμφὶ δ' ἑταῖροι
ἧατ' ὀδυρόμενοι ἧμας ποτιδέγμενοι αἰεὶ,
νῆα μὲν ἔνθ' ἐλθόντες ἐκέλσαμεν ἐν ψαμάθοισι, 546 sq. = μ 5 sq. 546 cf. λ 20
ἐκ δὲ καὶ αὐτοὶ ἔβημεν ἐπὶ ῥηγμῖνι θαλάσσης. 547 = 150
μῆλα δὲ Κύκλωπος γλαφυρῆς ἐκ νηὸς ἑλόντες
'δασσάμεθ', ὡς μή τίς μοι ἀτεμβόμενος κίοι αἴσης. 549 = 42
ἀρνειὸν δ' ἐμοὶ οἴῳ ἐυκνήμιδες ἑταῖροι
μήλων δαιομένων 'δόσαν ἔξοχα· τὸν δ' ἐπὶ θινὶ
Ζηνὶ κελαινεφέι Κρονίδῃ, ὃς πᾶσι ϝανάσσει, 552 = ν 25
553 ῥέξας μηρί' ἔκηα. ὃ δ' οὐκ ἠμπάζετο ἱρῶν. 553ᵇ cf. ρ 488 υ 275, 384
„ἔνθεν δὲ προτέρω 'πλέομεν ἀκαχημένοι ἦτορ, 565 sq. = 62 sq.
ϝάσμενοι ἐκ θανάτοιο, φίλους ὀλέσαντες ἑταίρους.

541 ἐκλύσθη δὲ θάλασσα κατερχομένης ὑπὸ πέτρης. 541 = 484
τὴν δὲ πρόσω 'φέρε κῦμα, 'θέμωσε δὲ χέρσον ἱκέσθαι. 542ᵇ = 486
554 ἀλλ' ὅ γ' ἐμερμήριζεν ὅπως ἀπολοίατο πᾶσαι
νῆες ἐύσσελμοι καὶ ἐμοὶ ἐρίηρες ἑταῖροι. 555ᵇ = Ψ 6 [sqq.
„ὣς τότε μὲν πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα 556-560 = κ 183
ἥμεθα δαινύμενοι κρέα τ' ἄσπετα καὶ μέθυ ϝηδύ· 556-558 = κ 476 sqq.
ἦμος δ' ἠέλιος κατέδυ καὶ ἐπὶ κνέφας ἦλθε,
δὴ τότ' ἐκοιμήθημεν ἐπὶ ῥηγμῖνι θαλάσσης. 556 sq. = 161 sq.
ἦμος δ' ἠριγένεια 'φάνη ῥοδοδάκτυλος Ἠώς, 558-560 = 168 sqq.
δὴ τότ' ἐγὼν ἑτάροισιν ἐποτρύνας ἐκέλευσα
αὐτούς τ' ἀμβαίνειν ἀνά τε πρυμνήσια λῦσαι. 562-564 = 178 sqq.
οἱ δ' αἶψ' εἴσβαινον καὶ ἐπὶ κληῖσι καθῖζον,
ἑξῆς δ' ἑζόμενοι πολιὴν ἅλα 'τύπτον ἐρετμοῖς.

540 τυτθὸν ἐδεύησεν] cf. § 181.
541 sq.] in marg. habet U, del. PKnight.
542 'θέμωσε] vid. ad vs. 486. || χέρσον] *caprarum insula* (vid. vs. 116 sqq.) esset intellegenda, nisi versum delere praestaret.
545 ἧατ' § 220] εἴατ' mss. || ἧμας § 92] ἡμέας mss.
546 ἐκέλσαμεν] vid. ad vs. 148.
547] om. F. || ἔβημεν] βῆμεν mss.
549] vid. ad vs. 42.
550-555] del. Duentzer, vs. 554 sq. vHerwerden.
553 ἔκηα H²] ἔκαιον H¹ X, ἔκηον G P M. || ἠμπάζετο ἱρῶν] hiatus vitiosus, vHerwerden πάμπαν; locis parall. est μύθων. || ἠμπάζετο] ἐμπ. mss.
554 ὅ γ' ἐμερμ.] ἄρα μερμ. G F mss. alia.
556-564] non a diascenasta additos sed sero insertos esse iure statuit Fick, centonem merum vocans.
559 ἐπὶ ῥηγμῖνι θαλάσσης] παρὰ πρυμνήσια νηός P Y (cf. μ 32).
561 ἐποτρύνας] -νων P X mss. alia (cf. β 422).
563 ἐπὶ κληῖσι] vid. ad β 419.
564] vid. ad δ 580.

ΟΔΥΣΣΕΙΑΣ κ.

Ἀλκινόου ἀπόλογοι (ι—μ).

Τὰ περὶ Αἰόλου (vs. 1-76) *καὶ Λαιστρυγόνων* (vs. 77-134) *καὶ Κίρκης* (vs. 135 sqq.).

„Αἰολίην δ' εἰς νῆσον ἀφικόμεθ'· ἔνθα δ' ἔναιε   1 cf. 135
Αἴολος Ἱπποτάδης, φίλος ἀθανάτοισι θεοῖσι,
πλωτῇ ἐνὶ νήσῳ· πᾶσαν δέ τέ μιν πέρι τεῖχος
χάλκεον ἄρρηκτον, λισσὴ δ' ἀναδέδρομε πέτρη.   4ᵇ = ε 412
τοῦ δύο καὶ δέκα παῖδες ἐνὶ μεγάρῳ γεγάασι,   5 cf. Ω 603
Ϝὲξ μὲν θυγατέρες, Ϝὲξ δ' υἱέες ἡβάοντες.   6 = Ω 604

Libros κ et μ diasceuasta non desumsit e carmine de Ulixis reditu, quo in praecedentibus usus est (vid. ad α 88 sqq.), sed ex alio carmine vetusto, quod in eodem argumento versabatur; de quo vid. ad κ 108. Hoc ita mutavit diasceuasta ut in *primam* personam converteret omnia quae poeta *suo nomine* de Ulixe rettulisset; praeterea retractavit multa vel de suo addidit. Egregio acumine haec effecit Kirchhoff e versibus μ 374-390, qui in Ulixis ore absurdi sunt atque ieiuni, sed ab ipso poeta sine offensione narrari poterant; vid. praeterea ad κ 116 sq., 208 sqq., 275 sqq., 348 sqq. μ 260 sqq., 339 sqq., 374 sqq. — Cum Argonautarum fabula hos libros nonnulla communia habere Kirchhoff praeterea observat.

1 *δ' ἔναιε*] **δὲ ναίει?* vid. vs. 3-5.
3 *πλωτῇ*] † (*πλώω* saepius). Crates interpretabatur *πλεομένην* (*ad quam navibus patet aditus*), Ar. *κινουμένην*, *natantem* (cf. Herodot. II 156), quod verum videtur, etsi recte observat Nitzsch huic explicationi sequentia parum favere.
4 *χάλκεον*] *aerea* moenia effinxitne poeta e suo ingenio? an de muris urbium Assyriarum, qui laminis aereis obtegebantur, fando audiverat? vid. Helbig Hom. Epos[1] p. 72 et ad δ 73.
5 *τοῦ*] *τῷ* X². ‖ *δύο καὶ δέκα* Nauck] *καὶ δώδεκα* mss. ‖ *μεγάρῳ* Nauck] *μεγάροις* mss., cf. § 60.
6 sq.] del. Duentzer.
6] in marg. habet T. ‖ *ἡβάοντες* § 191] *ἡβώοντες*, *ἡβώωντες*, *ἡβόωντες* mss.

ἔνθ' ὅ γε θυγατέρας 'πόρεν υἱάσιν ἔμμεν' ἀκοίτις.
οἳ δ' αἰεὶ παρὰ πατρὶ φίλῳ καὶ μητέρι κεδνῇ
δαίνυνται, παρὰ δέ σφιν ὀνείατα μυρία κεῖται·
κνισῆεν δέ τε δῶμα περιστεναχίζετ' ἀοιδῇ
ἤματα· νύκτας δ' αὖτε παρ' αἰδοίῃσ' ἀλόχοισι
εὕδουσ' ἔν τε τάπησι καὶ ἐν τρητοῖσι λέχεσσι.
καὶ μὲν τῶν ἱκόμεσθα πόλιν καὶ δώματα καλά.
μῆνα δὲ πάντ' ἐφίλει με καὶ ἐξερέεινε Ϝέκαστα,
Ϝίλιον Ἀργείων τε νέας καὶ νόστον Ἀχαιῶν·
καὶ μὲν ἐγὼ τῷ πάντα κατὰ μοῖραν κατέλεξα.   16 cf. μ 35
ἀλλ' ὅτε δὴ καὶ ἐγὼν ὁδὸν ᾔτεον ἠδ' ἐκέλευον
πεμπέμεν', οὐδέ τι κεῖνος ἀνήνατο, 'τεῦχε δὲ πομπήν.
'δῶκε δέ μ' ἐκδείρας ἀσκὸν βοὸς ἐννεώροιο,
ἔνθα δὲ βυκτάων ἀνέμων κατέδησε κέλευθα, —   20ᵇ cf. ε 383 η 272
κεῖνον γὰρ ταμίην ἀνέμων 'ποίησε Κρονίων,
ἠμὲν παυέμεναι ἠδ' ὀρνύμεν', ὅν κ' ἐθέλῃσι, —
νηὶ δ' ἐνὶ γλαφυρῇ κατέδει μέρμιθι φαεινῇ
ἀργυρέῃ, ἵνα μή τι παραπνεύσει' ὀλίγον περ.
αὐτὰρ ἐμοὶ πνοιὴν Ζεφύρου προέηκεν ἀῆναι,
ὄφρα φέροι νῆάς τε καὶ αὐτούς· οὐδ' ἄρ' ἔμελλε
ἐκτελέειν· αὐτῶν γὰρ ἀπωλόμεθ' ἀφραδίηφι.
„ἐννῆμαρ μὲν ὁμῶς 'πλέομεν νύκτας τε καὶ ἦμαρ·   28 cf. 80 ο 476
τῇ δεκάτῃ δ' ἤδη ἀνεφαίνετο πατρὶς ἄρουρα,   28ᵃ = Ε 490
καὶ δὴ πυρπολέοντας ἐλεύσσομεν ἐγγὺς ἐόντας.

7 *ἔμμεν'* § 125] *εἶναι* mss.
9 *κεῖται*] l. a. *πολλὰ* (immo glossema ad *μυρία* pertinens).
10 *περιστεναχίζετ' ἀοιδῇ* Duentzer] *περιστεναχίζεται* (*-στοναχίζεται* X) vel *-ζετο αὐλῇ* (*-λή*) mss., l. a. *αὐδή*; *-ζεται αὐλῷ* Rochefort, *αὔλῃ* (i. e. *αὐλήσει*) Schaefer, *αὐδῇ* Nitzsch, *περιστενάχιζε καὶ αὐλή* Ludwich, gravius vitium latitare censet Hartman. Duentzerum secuti sumus, collato h. Ap. 20, ubi pro *βεβλήαται ᾠδῆς* leg. **βεβλήατ' ἀοιδῆς*. Locum imitatur Verg. Aen. I 725.
11 sq.] in suspicionem vocavit Duentzer.
12 *τρητοῖσι λέχεσσι*] *τρητοῖς λεχέεσσι* mss. alia male, cf. § 60. De adiectivo vid. Γ 448.
13 *δώματα καλά*] l. a. *τείχεα μακρά*.
14 *πάντ' ἐφίλει*] *πάντα φ.* mss.
15] del. Duentzer. ‖ *νέας*] *μόρον* G, *πόλιν* P.
16 *καὶ μὲν*] *αὐτὰρ* Y et l. a. in F, cf. ρ 122.
18] in margine habet P. ‖ *τι*] **τό?*
19 *μ'*] *μοι* mss.; cf. § 13 et Ludwich Arist. II p. 25. ‖ *ἐννεώροιο*] vid. ad Σ 351.
20 *βυκτάων*] †, *stridentium?* ‖ *κέλευθα*] *κέλευθον* F¹ T, cf. loci par. et δ 380.
21 sq.] imitatur Verg. Aen. I 65 sq.
23 sq.] suspecti Duentzero.
23 *γλαφυρῇ*] *πρύμνῃ* Apoll. lex. ‖ *κατέδει*] **ἰδίδει?* cf. Λ 105. ‖ *μέρμιθι*] †, *funiculo?*
24 *παραπνεύσει'* Bekker] *-σει* (sic G) vel *-σῃ* mss.; cf. § 113.
26 *αὐτούς*] displicet metrum, cf. § 3; **ἀνέρας?* ‖ *ἔμελλε*] *ἔμελλον* P.
27 *ἀφραδίηφι(ν)* Nauck] *-ῃσιν* mss.
30 *πυρπολέοντας*] *-ντες* P¹ D¹ (male). Ver-

ἔνθ' ἐμὲ μὲν γλυκὺς ὕπνος ἐπήλυθε κεκμηῶτα· 31 = ν 282
αἰεὶ γὰρ πόδα νηὸς ἐνώμαον οὐδέ τιν' ἄλλῳ
'δῶχ' ἑτάρων, ἵνα θᾶσσον ἱκοίμεθα πατρίδα γαῖαν.
οἳ δ' ἕταροι ϝεπέεσσι πρὸς ἀλλήλους ἀγόρευον
καί μ' ἔφασαν χρυσόν τε καὶ ἄργυρον οἴκαδ' ἄγεσθαι,
δῶρα παρ' Αἰόλοο μεγαλήτορος Ἱπποτάδαο.
ὧδε δέ τις 'ϝείπεσκε ϝιδὼν εἰς πλησίον ἄλλον· 37 = Β 271
‚ὢ πόποι, ὡς ὅδε πᾶσι φίλος καὶ τίμιός ἐστι
ἀνθρώποισ', ὅτεών κε πόλιν καὶ γαῖαν ἵκηται.
πολλὰ μὲν ἐκ Τροίης ἄγεται κειμήλια καλὰ
ληίδος, ἧμες δ' αὖτε ὁμὴν ὁδὸν ἐκτελέσαντες
ϝοίκαδε νισσόμεθα κενεὰς σὺν χεῖρας ἔχοντες·
καὶ νῦν ϝοι τάδ' ἔδωκε χαριζόμενος φιλότητι
Αἴολος. ἀλλ' ἄγε θᾶσσον ἰδώμεθα ὅττι τάδ' ἐστί,
ὅσσος τις χρυσός τε καὶ ἄργυρος ἀσκῷ ἔνεστι.'
„ὣς ἔφασαν, βουλὴ δὲ κακὴ 'νίκησεν ἑταίρων·
ἀσκὸν μὲν 'λῦσαν, ἄνεμοι δ' ἐκ πάντες ὄρουσαν·
τοὺς δ' αἶψ' ἁρπάξασα 'φέρεν πόντονδε θύελλα 48 cf. δ 515 sq.
κλαίοντας, γαίης ἄπο πατρίδος. αὐτὰρ ἐγώ γε
ἐγρόμενος κατὰ θυμὸν ἀμύμονα 'μερμήριξα, 50 cf. π 237
ἠὲ πεσὼν ἐκ νηὸς ἀποφθίμην ἐνὶ πόντῳ,
ἢ ἀκέων τλαίην καὶ ἔτι ζῳοῖσι μετείην.
ἀλλ' ἔτλην καὶ ἔμεινα, καλυψάμενος δ' ἐνὶ νηὶ

bum †; vid. ad Α 63. Pastores praesertim designari apparet ex Τ 375 sqq., qui locus omnino est conferendus. || ἐόντας] ἐόντες G[2] F[2] mss. alia (sic Ar.?); cf. ι 181.

31 ἐπήλυθε F X] ἐπέλλαβε G P H M[2] (ἐπέβαλλε M[1]), ὑπήλυθε l. a. apud Eust. Cf. δ 793 ε 472.

32 πόδα] cf. ε 260. || ἐνώμαον § 191] ἐνώμων mss. || τιν'(ι) § 99] τῳ mss.

35-37] del. vHerwerden, vs. 35 sq. Duentzer; versum 35 in margine habet G.

35 οἴκαδ'] neglecto ϝ; ἐντὸς vel ἔνδον Bentley, ἄσκῳ Fick.

36 Αἰόλοο § 59] -λου mss.

38 τίμιος] adi. nonnisi h. Ap. 483 Merc. 528 Ven. 143 redit, alias τιμήεις dicitur; male τιμής (i. e. τιμῆς, ut Ι 605) F[1] et olim alii, vid. § 2 et 69.

39] del. PKnight. || ὅτεων] vid. § 102. || κε (καί) F P[1] mss. alia] τε mss. pleraque. || γαῖαν] l. a. δῶμαθ', cf. ζ 195.

40-42] del. Duentzer.

40 Τροίης] Ar. Τροΐης (*Troianae*) coll. ν 262; vid. Α 129.

41 ἧμες § 92] ἡμεῖς mss. || ἐκτελέσαντες] ἐκτελέοντες Zen.

42 κενεὰς — ἔχοντες] locutio non redit. Ceteris locis (Β 218 Δ 133 Υ 415, 478) συνέχω intransitive usurpatur.

43 τάδ' ἔδωκε H] τάδε δῶκε Ar. (vid. Ludwich Arist. I p. 577)? τά γ' ἔδωκε G F M, τά γε δῶκε Herodian. P X.

44 ἰδώμεθα] neglecto ϝ. || τάδ'] τόδ' X.

45] del. PKnight. || τις] cf. Η 156.

51 ἀποφθίμην] cf. λ 330 et § 120.

52 μετείην] μετεῖναι P.

'κείμην· αἳ δ' ἐφέροντο κακῇ ἀνέμοιο θυέλλῃ
αὖτις ἐπ' Αἰολίην νῆσον, 'στενάχοντο δ' ἑταῖροι.
„ἔνθα δ' ἐπ' ἠπείρου 'βῆμεν καὶ ἀφυσσάμεθ' ὕδωρ· 56 58 = ι 85 sqq.
αἶψα δὲ δεῖπνον ἕλονθ' ἕταροι παρὰ νηυσὶ θοῇσι.
αὐτὰρ ἐπεὶ σίτοιό τ' ἐπασσάμεθ' ἠδὲ ποτῆτος,
δὴ τότ' ἐγὼ κήρυκά τ' ὀπασσάμενος καὶ ἑταῖρον
'βῆν εἰς Αἰόλοο κλυτὰ δώματα· τὸν δ' ἐκίχανον
δαινύμενον παρὰ ϝῇ τ' ἀλόχῳ καὶ ϝοῖσι τέκεσσι. 61 cf. θ 243
ἐλθόντες δ' εἰς δῶμα παρὰ σταθμοῖσιν ἐπ' οὐδοῦ
ἑζόμεθ'· οἳ δ' ἀνὰ θυμὸν ἐθάμβεον ἔκ τ' ἐρέοντο· 63 cf. δ 638
‚πῶς ἦλθες, Ὀδυσεῦ; τίς τοι κακὸς ἔχραε δαίμων;
ἦ μέν σ' ἐνδυκέως ἀπεπέμπομεν, ὄφρ' ἀφίκοιο
πατρίδα σὴν καὶ δῶμα καὶ εἴ ποθί τοι φίλον εἴη.' 66 cf. η 320
„ὣς ἔφαν· αὐτὰρ ἐγὼ μετεφώνεον ἀχνύμενος κῆρ·
‚ἄασσάν μ' ἕταροί τε κακοὶ πρὸς τοῖσί τε ὕπνος 68 cf. λ 61
σχέτλιος. ἀλλ' ἀκέσασθε, φίλοι· δύναμις γὰρ ἐν ὕμιν.'
„ὣς ἐφάμην μαλακοῖσι καθαπτόμενος ϝεπέεσσι.
οἳ δ' ἄνεῳ ἐγένοντο· πατὴρ δ' ἠμείβετο μύθῳ·
‚ϝέρρ' ἐκ νήσου θᾶσσον, ἐλέγχιστε ζωόντων·
οὐ γάρ μοι θέμις ἐστὶ κομιζέμεν οὐδ' ἀποπέμπειν
ἄνδρα τόν, ὅς κε θεοῖσιν ἀπέχθηται μακάρεσσι.
ϝέρρ', ἐπεὶ ἀθανάτοισιν ἀπεχθόμενος τόδ' ἱκάνεις.'
ὣς ϝειπὼν ἀπέπεμπε δόμων βαρέα στενάχοντα. 76a cf. Κ 72

„ἔνθεν δὲ προτέρω 'πλέομεν ἀκαχημένοι ἦτορ. 77 = ι 62

56 ἀφυσσάμεθ' ὕδωρ] vid. δ 359.

57 *ἕλονθ' ἕταροι παρὰ νηυσὶ θοῇσι] ἕλοντο θοῇς παρὰ νηυσὶν ἑταῖροι mss.; cf. § 57 et ι 86.

58 σίτοιό τ'] σίτου τε Nauck.

59 ἑταῖρον] ἑτά(ι)ρους P et Etym. M. 627,16.

60 Αἰόλοο § 59] -λου mss.

62 δ' εἰς] l. a. πρός.

63 ἐρέοντο] ἐρέεινον F.

65 ἀφίκοιο H[2] X[2] D K] ἂν ἵκοιο F, ἂν ἵκηαι G P H[1] M; cf. Ο 23 ψ 151.

66 ποθί § 322] πού mss.; ποσέ Nauck. || εἴη M] ἐστίν mss. pleraque.

67 ἔφαν G F] φάσαν P H M.

68 ἄασσαν Eust. et q] ἄασαν mss. cett.; cf. § 287. || ἕταροί τε] ἕταροί γε Bothe. || τε ὕπνος] hiatus non ferendus (τε καὶ ὕπνος F). Tentavimus *καὶ τοῖσιν ἔφ' ὕπνος vel *ὕπνος τ' ἐπὶ τοῖσι. Cf. Ι 639 Ξ 130 γ 113 etc.

70 καθαπτόμενος] ἀμειβόμενος Zen. probante Didymo.

73 οὐδ'] ἀλλ' Nauck dubitanter.

74 κε] τε Doederlein.

75] del. PKnight. || ἀθανάτοισιν P H] ἄρα θεοῖσιν G F X, ἐπεὶ ἦ ῥα θεοῖσιν Barnes coll. ε 556.

76 ϝειπὼν] *ϝειπών μ'? Cf. Κ 72.

'τείρετο δ' ἀνδρῶν θυμὸς ὑπ' ἐρεσίης ἀλεγεινῆς
ἡμετέρῃ ματίῃ, ἐπεὶ οὐκέτι 'φαίνετο πομπή.
Ϝεξῆμαρ μὲν ὁμῶς 'πλέομεν νύκτας τε καὶ ἦμαρ· 80 = ο 476 cf. κ 28 80[b] = Ε 490
ἑβδομάτῃ δ' ἱκόμεσθα Λάμοι' αἰπὺ πτολίεθρον,
τηλέπυλον Λαιστρυγονίην, ὅθι ποιμένα ποιμὴν 82[a] cf. ψ 318
ἠπύει εἰσελάων, ὃ δέ τ' ἐξελάων ὑπακούει.
ἔνθα κ' ἄυπνος ἀνὴρ δοιοὺς ἐξήρετο μισθούς, 84[a] cf. Hes. Op. 495
τὸν μὲν βουκολέων, τὸν δ' ἄργυφα μῆλα νομεύων·
ἐγγὺς γὰρ νυκτός τε καὶ ἤματός εἰσι κέλευθοι.
„ἔνθ' ἐπεὶ εἰς λιμένα κλυτὸν ἤλθομεν, ὃν πέρι πέτρη 87 cf. ο 472
ἠλίβατος τετύχηκε διαμπερὲς ἀμφοτέρωθε,
ἀκταὶ δὲ προβλῆτες ἐναντίαι ἀλλήλῃσι

78 *ἐρεσίης* § 21] *εἰρεσίης* mss. (*-ῃ ἀλεγεινῇ* G).
79] del. PKnight. ‖ *ματίῃ*] †, *stultitia*? an *culpa*? Apollonius Rh. *temeritatis* sensu usurpavit (I 805 IV 367), Nitzsch *laborem irritum* interpretatur, Hartman *nostris ipsorum viribus*, in parenthesi collocans versum 78.
81 *Λάμοι'* § 59] *Λάμου* mss. De genitivo (explicativo) vid. ad *B* 133; pro *regis* nomine non recte habuerunt posteri, e. g. Ovid. Metam. XIV 233: *Lami veterem Laestrygonis, inquit, in urbem | venimus.* — Cohaeret vox *Lamia*, qua posteri significabant larvas sanguinis humani avidas (Ar. Vesp. 1035, 1177, Hor. ad Pison. 340 etc.).
82 *τηλέπυλον*] non proprium esse nomen (ut ψ 318 loco spurio) sed epitheton statuit Didymus (schol. Aristoph. Pac. 757). Vid. ad *Α* 99.
83-86] iure Crates statuit alludi ad praelongos dies, quibus in Europae parte septentrionali homines aestivo tempore utuntur; cuius rei notitia per Phoenices ad poetae aequales pervenisse videtur, cf. Helbig Hom. Epos[1] p. 15. Opposita est narratiuncula de Cimmeriis in perpetua obscuritate versantibus λ 15 sqq.
83 *ἠπύει*] *vocat*; cf. ι 399 etc. (non: *alloquitur*, quae verbi vis est apud tragicos, Aesch. Prom. 593, Soph. Ai. 887 etc.). Pastor sub finem diei cum ovibus domum rediens evocat alium opilionem, qui in pascuo statim se excipiat; hic vocatus audit (*ὑπακούει*, cf. δ 283), foras igitur agit suum gregem. Non recte *ὑπακούει* h. l. verti solet *respondet* (per plateam alteri pastori occurrens).
84 sq.] in Laestrygonia si quis somni expers esset homo mercenarius, cum opilionis tum bubulci ministerio apud herum suum posset fungi, per alteram partem *τοῦ νυχθημέρου* boves, per alteram pecudes pascens. Illic enim etiam per horas, quibus alibi homines cubitum eunt, operandi mercedemque merendi est occasio, quoniam perpetua luce fruuntur.
84 *ἄυπνος*] *ἄοκνος* n (ut Hes. Op. 495). ‖ *ἐξήρετο* § 284] *-ρατο* mss.
86] *illic enim viae noctis et diei vicinae sunt*, i. e. *comites ibi eunt nox et dies*, coniunctim procedunt per coelum. Quod ceteris locis Homericis *ἐγγύς* significat *prope* (res hominesve modo indicatos), non vero usurpatur de iis quae *inter se vicina* sunt, id non videtur urgendum. Alii explicant: *initium noctis ibi vicinum est diei initio*, i. e. vixdum venit nox et iam novus dies lucescit. Alii parum probabiliter *κελεύθους* interpretantur itinera quae pastores cum noctu tum interdiu ad pascua faciant. Alii denique perperam reddunt: prope urbem sunt utraque pascua.
87 *λιμένα κλυτὸν*] *λιμέν' ἄκλυτον* (*portum ignotum*) neglecta caesura Megaclides apud Hesych. s. v. *λιμένα*.
88 *τετύχηκε*] nonnisi P 748 redit perfectum; cf. § 236[4]. ‖ *ἀμφοτέρωθε*] *ἑκατέρωθεν* G neglecto Ϝ (de syllaba *ἱ-* producta vid. § 21).

ἐν στόματι προέχουσι, Ϝαραιὴ δ' εἴσοδός ἐστι,
ἔνθ' οἵ γ' εἴσω πάντες ἔχον νέας ἀμφιϜελίσσας.
αἳ μὲν ἄρ' ἔντοσθεν λιμένος κοίλοι' ἐδίδεντο
πλησίαι· οὐ μὲν γάρ ποτ' ἀέξετο κῦμά γ' ἐν αὐτῷ,
οὔτε μέγ' οὔτ' ὀλίγον, λευκὴ δ' ἦν ἀμφὶ γαλήνη·
αὐτὰρ ἐγὼν οἶος 'σχέθον ἔξω νῆα μέλαιναν
αὐτόθ' ἐπ' ἐσχατιῇ, πέτρης ἐκ πείσματα δήσας.
ἔστην δὲ σκοπιὴν εἰς παιπαλόεσσαν ἀνελθών· 97 = 148 cf. 194
ἔνθα μὲν οὔτε βοῶν οὔτ' ἀνδρῶν 'φαίνετο Ϝέργα,
καπνὸν δ' οἶον ὁρῶμεν ἀπὸ χθονὸς ἀίσσοντα.
δὴ τότ' ἐγὼν ἑτάρους προΐην πεύθεσθαι ἰόντας, 100-102 = ι 88 sqq.
οἵ τινες ἀνέρες εἶεν ἐπὶ χθονὶ σῖτον ἔδοντες,
ἄνδρε δύω κρίνας, τρίτατον κήρυχ' ἅμ' ὀπάσσας.
„οἳ δ' ἴσαν ἐκβάντες λείην ὁδόν, ᾗ περ ἅμαξαι
Ϝάστυδ' ἀφ' ὑψηλῶν ὀρέων καταγίνεον ὕλην.
κούρῃ δὲ ξύμβληντο πρὸ Ϝάστεος ὑδρευούσῃ,
θυγατέρ' ἰφθίμῃ Λαιστρυγόνος Ἀντιφάταο· 106[a] = ο 364
ἡ μὲν ἄρ' εἰς κρήνην κατεβήσετο καλλιρέεθρον,

108 Ἀρτακίην· ἔνθεν γὰρ ὕδωρ προτὶ Ϝάστυ 'φέρεσκον.

90 *προέχουσιν* P] *προύχουσιν* mss. cett. ‖ *εἴσοδος*] †; vid. ad ζ 264.
91 *πάντες*] *βάντες* X.
92 **κοίλοι' ἐδίδεντο*] *κοίλοιο δέδεντο* mss.; plusquamperfecto nullus est locus. De eliso *-οι'(ο)* vid. § 59 et de forma *ἐδίδεντο* μ 54 h. Cer. 456 et § 198.
93 *κῦμά γ'*] *κύματ'* G[2] H[2] T mss. alia et Apoll. lex.
94 *λευκὴ*] *λευρὴ* Naber coll. η 123 χ 385. ‖ *ἦν*] *ἔεν*? cf. § 302.
96 *αὐτόθ'* § 322] *αὐτοῦ* mss. ‖ *ἐσχατιῇ*] cf. β 391; *-ῆς* G M D U, ut ι 280.
97] e vs. 148 huc invectum censet Nitzsch; vs. 97-99 del. Duentzer.
98 *Ϝέργα*] *ἔργον* G.
101 sq.] inverso ordine habent G M.
101 *εἶεν*] *εἰσὶν* G P q; de optativo cf. § 109.
103 *περ*] l. a. *κεν*. ‖ *ἅμαξαι*] *ἄμ.* mss. multa.
104 *καταγίνεον*] vid. ad Σ 493.
105 *ξύμβληντο*] suspectum pro *-βλήατο*, vid. § 119.
106 *ἰφθίμῃ*] vid. ad vs. 119. ‖ *Λαιστρυγόνος*] *μεγαλήτορος* P (cf. ζ 17). ‖ *Ἀντιφάταο*] *-τοιο* G l, vid. ad vs. 199; cf. *Μ* 191 ο 242 sq. — Vs. 114 legitur acc. *Ἀντιφατῆα*.
107 *κατεβήσετο*] *κατεβήσατο* mss. complura; cf. § 152. ‖ *καλλιρέεθρον*] adi. nonnisi ο 295 h. Ap. 240 redit (*εὐρυρέεθρος* Φ 141); cf. *καλλί(ρ)ροος* *B* 752 ι 441 etc. notumque fontis nomen *Callirrhoë*.
108] del. Duentzer. *Artacia* fuit fons in agro Cyzici, vid. Apoll. Rh. I 957 cum schol.; qui fons ante Cyzicum conditam a Graeco poeta commemorari vix potuit. Itaque ipsum carmen, unde libri κ et μ a diasceuasta sunt petiti (vid. ad libri κ initium), post conditam demum Cyzicum (circa annum 700 a. C.) pactum censet Kirchhoff. At scaturiginis, quae nonnisi semel et in transcursu commemoratur, ab hac narratione alienum est nomen; neque regio fabulosa, quae hic describitur (cf. vs. 83 sqq.!), poetae tam accurate nota esse potuit ut ipsa aquarum nomina memoriter teneret. *Artaciam* qui dicit, non *Lamum Laestrygonasque* dicere debet sed *Cyzicum* et *Graecos*.

οἳ δὲ παριστάμενοι προσεφώνεον ἔκ τ' ἐρέοντο,
ὅς τις τῶνδ' εἴη βασιλεὺς καὶ τοῖσι Ϝανάσσοι·
ἣ δὲ μάλ' αὐτίκα πατρὸς ἐπέφραδεν ὑψερεφὲς δῶ. 111 = ο 424
οἳ δ' ἐπεὶ εἰσῆλθον κλυτὰ δώματα, ἓν δὲ γυναῖκα 112ᵃ cf. Ω 719
ηὗρον ὅσην τ' ὄρεος κορυφὴν, κατὰ δ' ἔστυγον αὐτήν.
ἣ δ' αἶψ' ἐξ ἀγορῆς ἐκάλει κλυτὸν Ἀντιφατῆα,
Ϝὸν πόσιν, ὃς δὴ τοῖσιν ἐμήσατο λυγρὸν ὄλεθρον. 115ᵇ = γ 194
αὐτίχ' ἕνα μάρψας ἑτάρων ὡπλίσσατο δεῖπνον· 116 cf. ι 311
τὼ δὲ δύ' ἀίξαντε φυγῇ ἐπὶ νῆας ἱκέσθην.
αὐτὰρ ὃ 'τεῦχε βοὴν διὰ Ϝάστεος· οἳ δ' ἀίοντες 118ᵇ sq. cf. ι 401
'φοίταον ἴφθιμοι Λαιστρυγόνες ἄλλοθεν ἄλλος,
μυρίοι, οὐκ ἄνδρεσσι ϜεϜοικότες ἀλλὰ Γίγασι.
οἵ ῥ' ἀπὸ πετράων ἀνδραχθέσι χερμαδίοισι
'βάλλον· ἄφαρ δὲ κακὸς κόναβος κατὰ νῆας ὀρώρει
ἀνδρῶν τ' ὀλλυμένων νηῶν θ' ἅμα Ϝαγνυμενάων·
ἰχθῦς δ' ὣς πείροντες ἀτερπέα δαῖτ' ἐφέροντο.
„ὄφρ' οἳ τοὺς ὄλεκον λιμένος πολυβενθέος ἐντὸς, 125ᵇ = π 352
τόφρα δ' ἐγὼ ξίφος ὀξὺ Ϝερυσσάμενος παρὰ μηροῦ 126 cf. ι 300
τῷ ἀπὸ πείσματ' ἔκοψα νεὸς κυανοπρῴροιο.
αἶψα δ' ἐμοῖσ' ἑτάροισιν ἐποτρύνας ἐκέλευσα 128ᵇ cf. β 422 ι 488

---

110 *εἴη…Ϝανάσσοι*] de optativo cf. § 109. ‖ *καὶ τοῖσι(ν)* Ar.] *καὶ οἷσιν* vel *ἠδ' οἷσιν* mss.; Cobet *καὶ δτέοισι* (ut O 491) vel *καὶ τέοισι*, mscriptorum enim lectionem sensum nullum praebere, Aristarcheam vero analogia carere (si *τοῖσιν* valeat *τίσιν*) aut tautologia laborare vix tolerabili (si significet *τούτοις*). Synizesis tamen obstat quominus scribatur *τέοισι* aut *δτέοισι* (vid. § 102 et ad O 491), neque apta sic nascitur sententia. Hartman tentavit *εἴ τίς ῥα Ϝανάσσοι*. ‖ *ἀνάσσοι*] sic Ar., *ἀνάσσει* G mss. alia.

112 *ἐν* vHerwerden] *τὴν* mss.

113 *αὐτήν*] novicium, cf. § 98; **ἄντην*?

114 *ἐξ ἀγορῆς*] *εἰς ἀγορὴν* M W. ‖ *Ἀντιφατῆα*] vid. ad vs. 106.

116 sq.] hos versus a diasceuasta additos esse ut explicaret unde haec rescivisset Ulixes, statuit Kirchhoff. Vid. ad libri κ initium.

116 *δεῖπνον*] *δόρπον* G X mss. alia; cf. β 20.

117 *φυγῇ*] vid. ad ω 57.

119 *'φοίταον* § 191] *φοίτων* mss. ‖ *ἴφθιμοι*] quo sensu immanes hi homines ita dicti essent (item vs. 106) quaerebant veteres; Zenodotus *praeclaros*, Crates *improbos*, Trypho *robustos* intellegebat.

121 *ἀνδραχθέσι*] †.

122 *κόναβος*] † (*κοναβίζειν* et *-βῆσαι* B 466, 334 etc.).

123 *τ'* H] om. mss. pleraque.

124] del. Duentzer. ‖ *ἰχθῦς*] *thynnos* cogitavisse videtur poeta; cf. Aesch. Pers. 424, Ar. Vesp. 1087. Similis comparatio legitur Π 407. ‖ *ὣς πείροντες*] sic Ar., *ὣς εἴροντες* Aristoph., i. e. *veluti pisces fune colligantes*; *ἀσπαίροντας* (*ὡς σπαίροντας* corr. LaRoche) Apoll. lex., Hesych.; cf. κ 412 μ 254. ‖ *δαῖτ' ἐφέροντο*] *δαῖτα φέροντο* Zen. Aristoph. Ar. F, *δαῖτα πένοντο* mss. pleraque.

126 sq.] cf. Verg. Aen. IV 579 sq.

126 *ἐγὼ ξίφος*] *ἐγὼν ἄορ* H mss. alia (cf. Φ 173 κ 321 λ 24).

ἐμβαλέμεν κώπησ', ἵν' ὑπ' ἐκ κακότητα φύγοιμεν· 129 cf. ι 489
οἳ δ' ἅλα πάντες ἀνέρριψαν δϜείσαντες ὄλεθρον.
ἀσπασίως δ' εἰς πόντον ἐπηρεφέας 'φύγε πέτρας
νηῦς ἐμή· αὐτὰρ αἳ ἄλλαι ἀϜολλέες αὐτόθ' ὄλοντο.
„ἔνθεν δὲ προτέρω 'πλέομεν ἀκαχημένοι ἦτορ, 133 sq. = ι 62 sq.
Ϝάσμενοι ἐκ θανάτοιο, φίλους ὀλέσαντες ἑταίρους.

„Αἰαίην δ' εἰς νῆσον ἀφικόμεθ'· ἔνθα δ' ἔναιε 135 cf. 1
Κίρκη ἐυπλόκαμος, δϜεινὴ θεὸς αὐδήεσσα, 136 = λ 8 μ 150 cf. μ 449
αὐτοκασιγνήτη ὀλοόφρονος Αἰήταο·
ἄμφω δ' ἐκγεγάτην φαεσιμβρότου Ἠελίοιο
μητρός τ' ἐκ Πέρσης, τὴν Ὠκεανὸς 'τέκε παῖδα.
ἔνθα δ' ἐπ' ἀκτῆς νηὶ κατηγαγόμεσθα σιωπῇ
ναύλοχον εἰς λιμένα, καί τις θεὸς ἡγεμόνευε. 141ᵇ = ι 142
ἔνθα τότ' ἐκβάντες δύο τ' ἤματα καὶ δύο νύκτας 142 cf. ι 74
'κείμεθ', ὁμοῦ καμάτῳ τε καὶ ἄλγεσι θυμὸν ἔδοντες. 143 sq. = ι 75 sq.
„ἀλλ' ὅτε δὴ τρίτον ἦμαρ ἐυπλόκαμος 'τέλεσ' Ἠώς,
καὶ τότ' ἐγὼν ἐμὸν ἔγχος ἑλὼν καὶ φάσγανον ὀξὺ
καρπαλίμως παρὰ νηὸς ἀνήια εἰς περιωπὴν, 146ᵇ cf. Ξ 8
εἴ πως Ϝέργα Ϝίδοιμι βροτῶν ἐνοπήν τε πυθοίμην.
ἔστην δὲ σκοπιὴν εἰς παιπαλόεσσαν ἀνελθὼν, 148 = 97
καί μοι ἐϜείσατο καπνὸς ἀπὸ χθονὸς εὐρυοδείης. 149ᵇ = Π 635
'μερμήριξα δ' ἔπειτα κατὰ φρένα καὶ κατὰ θυμὸν 151 cf. E 671
ἐλθέμεν' ἠδὲ πυθέσθαι, ἐπεὶ 'Ϝίδον αἴθοπα καπνόν.
ὧδε δέ μοι φρονέοντι 'δοάσσατο κέρδιον εἶναι· 153 cf. N 458
πρῶτ' ἐλθόντ' ἐπὶ νῆα θοὴν καὶ θῖνα θαλάσσης 154ᵇ = δ 779

---

150 *Κίρκης ἐν μεγάροισι διὰ δρυμὰ πυκνὰ καὶ ὕλην.* 150ᵇ = Λ 118

---

129 *ἐμβαλέμεν* § 126] *-έειν* mss. — Sensu *incumbendi* verbum nonnisi h. l. et vs. par. usurpatur; cf. Ar. Eq. 602 Ran. 206.

130 *ἅλα* Rhianus Callistratus, cf. η 328 ν 78] *ἄρα* P et l. a. in schol., *ἅμα* Ar. et mss. cett. ‖ *πάντες*] **πηδῷ*? Cf. η 328 ν 78.

131 *ἀσπασίως*] vid. ad Σ 270.

136 *αὐδήεσσα*] *οὐδήεσσα* Aristoteles; vid. ad ε 334.

138 *ἐκγεγάτην*] *-γέγατον* Etym. M. 309,38 fortasse recte.

140 *νηὶ* G F P] *νῆα* H mss. alia.

142 *ἤματα … νύκτας*] cf. Ψ 186.

143 *θυμὸν ἔδοντες*] cf. Z 202.

146 *παρὰ*] *ἀπὸ* X. ‖ *ἀνήια* Nauck] *-ηιον* mss. h. l. et vs. 274, et in plurali κ 446 ψ 370 ω 501. Cf. § 308.

150] del. Kayser.

152 *ἐλθέμεν'* § 125] *ἐλθεῖν* mss.

δεῖπνον ἑταίροισιν δόμεναι προέμεν τε πυθέσθαι.
„ἀλλ' ὅτε δὴ σχεδὸν ἦα κιὼν νεὸς ἀμφιϝελίσσης, 156 = μ 368
καὶ τότε τίς με θεῶν ὀλοφύρατο μοῦνον ἐόντα,
ὅς ῥά μοι ὑψίκερων ἔλαφον μέγαν εἰς ὁδὸν αὐτὴν
ἧκεν· ὃ μὲν ποταμόνδε κατήιεν ἐκ νομοῦ ὕλης
πιόμενος· δὴ γάρ μιν ἔχεν μένος ἠελίοιο.
τὸν δ' ἐγὼ ἐκβαίνοντα κατ' ἄκνηστιν μέσα νῶτα
'πλῆξα, τὸ δ' ἄντικρυς δόρυ χάλκεον ἐξεπέρησε· 162 cf. Π 346
κὰδ δ' ἔπεσ' ἐν κονίῃσι μακών, ἀπὸ δ' ἔπτατο θυμός. 163 = Π 469
τῷ δ' ἐγὼ ἐμβαίνων δόρυ χάλκεον ἐξ ὠτειλῆς 164ᵇ = Π 862
εἰρυσάμην· τὸ μὲν αὖθι κατακλίνας ἐπὶ γαίῃ
εἴασ'· αὐτὰρ ἐγὼ 'σπασάμην ῥῶπάς τε λύγους τε,
πεῖσμα δ', ὅσον τ' ὄργυιαν, ἐυστρεφὲς ἀμφοτέρωθε 167ᵃ cf. ι 325
πλεξάμενος συνέδησα πόδας δϝεινοῖο πελώρου.
'βῆν δὲ καταλλοφάδεια φέρων ἐπὶ νῆα μέλαιναν
ἔγχε' ἐρειδόμενος, ἐπεὶ οὔ πως ἦεν ἐπ' ὤμου 170ᵃ cf. Ξ 38
χειρὶ φέρειν ἑτέρῃ· μάλα γὰρ μέγα θηρίον ἦεν. 171ᵇ = 180
κὰδ δ' ἔβαλον προπάροιθε νεός, ἀνέγειρα δ' ἑταίρους 172ᵃ cf. ι 482
μειλιχίοισι ϝέπεσσι παρασταδὸν ἄνδρα ϝέκαστον· 173 = 547 μ 207
‚ὦ φίλοι, οὐ γάρ πω καταδυσόμεθ' ἀχνύμενοί περ
εἰς Ἀϝίδαο δόμους, πρὶν μόρσιμον ἦμαρ ἐπέλθῃ.
ἀλλ' ἄγετ', ὄφρ' ἐν νηὶ θοῇ βρῶσίς τε πόσις τε,
μνησόμεθα βρώμης μηδὲ τρυχώμεθα λιμῷ.'
„ὣς ἐφάμην, οἳ δ' ὦκα ἐμοῖσ' ἐπίθοντο ϝέπεσσι· 178 = 428 μ 222

155 *προέμεν*] cf. § 126.

158 *ὑψίκερων*] †; adiectivi forma novicia, cf. § 62 et *κεραός* Γ 24 etc.

160 *δή*] *δήν* Zen.

161 *κατ' ἄκνηστιν*] *κατὰ κνῆστιν* G F (cf. Λ 640); vox †, *spinam* significari apparet.

162 *ἄντικρυς* P] *ἀντικρὺ* mss. cett.; cf. § 31.

163 *ἔπτατο*] cf. § 216.

164 *ἐμβαίνων*] sic Ar. coll. Ζ 65; alii olim *ἐσβαίνων*? *ἐκβαίνων* G[1] P. Vid. Κ 493. ‖ *χάλκεον*] *νήιον* F[1] (cf. ι 384). ‖ *ὠτειλῆς*] vid. ad Δ 140.

165 *εἰρυσάμην*] *ἐϝρυσάμην*? cf. § 293. ‖ *ἐπὶ*] *ἐνὶ* X mss. alia non recte.

166 *ῥῶπας*] vox ξ 49 π 47 redit, cf. *ῥωπήια* Ν 199 etc. ‖ *λύγους*] cf. Δ 105.

167 *ὄργυιαν*] cf. Ψ 327. ‖ *ἀμφοτέρωθε*] quid significet iure rogat Nitzsch.

169 *καταλλοφάδεια*] vox †, *cervici* (veluti collare) *impositum*, cf. *κατωμάδιος* Ψ 431; *λόφος cervix humana* dicitur Κ 573. Litteram λ duplicatam habet etiam adi. *ἄλλοφος* Κ 258.

170 *ἔγχε'* K] *ἔγχει* mss. cett.; vid. § 71. ‖ *ἦεν*] *εἶχον* Aristoph.

171 *θηρίον*] nonnisi κ 180 h. Ven. 4 redit.

172 *νεός*] *νεώς* mss. multa.

173 *μειλιχίοισι ϝέπεσσι* § 60] *-οις ἐπέεσσι* mss.

174 *πω* H] *πως* mss. pleraque.

175 *μόρσιμον ἦμαρ* vid. Ο 613. ‖ *ἐπέλθῃ*] *ἐπελθεῖν* W, *ἰδέσθαι* G (cf. γ 233).

176 *ἐν νηὶ θοῇ*] verba parum apta; Peppmueller *ὄφρα κεν ἦμιν ἔῃ*, Scotland *ὄφρα δίδωσι θεὸς βρῶσίν τε πόσιν τε*.

178 *ὦκα*] olim fuere qui tantae animi demissioni magis aptum iudicarent *οὔτω* (? — *οὔπω* corr. Bekker, *αὖτις* Cobet). ‖ *ἐπίθοντο ϝέπεσσι* Nauck] *ἐπέεσσι πίθοντο* mss.

ἐκ δὲ καλυψάμενοι παρὰ θῖν' ἁλὸς ἀτρυγέτοιο
'θηήσαντ' ἔλαφον· μάλα γὰρ μέγα θηρίον ἦεν. 180ᵇ = 171
αὐτὰρ ἐπεὶ 'τάρπησαν ὁρώμενοι ὀφθαλμοῖσι, 181 = δ 47
χεῖρας νιψάμενοι 'τεύχοντ' ἐρικυδέα δαῖτα. 182ᵃ cf. β 261
ὣς τότε μὲν πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα 183-187 = ι 556 sqq.
ἥμεθα δαινύμενοι κρέα τ' ἄσπετα καὶ μέθυ ϝηδύ· 183-185 = μ 29 sqq.
ἦμος δ' ἠέλιος κατέδυ καὶ ἐπὶ κνέφας ἦλθε, 185-188 = ι 168 sqq.
δὴ τότ' ἐκοιμήθημεν ἐπὶ ῥηγμῖνι θαλάσσης.
ἦμος δ' ἠριγένεια 'φάνη ῥοδοδάκτυλος Ἠώς,
καὶ τότ' ἐγὼν ἀγορὴν θέμενος μετὰ πᾶσιν ἔϝειπον·
‚ὦ φίλοι, οὐ γὰρ ϝίδμεν ὅπῃ ζόφος οὐδ' ὅπῃ ἠώς, 190 cf. ρ 78
οὐδ' ὅπῃ ἠέλιος φαεσίμβροτος εἶσ' ὑπὸ γαῖαν
οὐδ' ὅπῃ ἀννέεται· ἀλλὰ φραζώμεθα θᾶσσον,
εἴ τις ἔτ' ἔσται μῆτις· ἐγὼ δ' οὐκ οἴομαι εἶναι.
εἶδον γὰρ σκοπιὴν ἐς παιπαλόεσσαν ἀνελθὼν 194 cf. 97
νῆσον, τὴν πέρι πόντος ἀπείριτος ἐστεφάνωται·
αὐτὴ δὲ χθαμαλὴ κεῖται· καπνὸν δ' ἐνὶ μέσσῃ 196ᵃ = ι 25
ἔδρακον ὀφθαλμοῖσι διὰ δρυμὰ πυκνὰ καὶ ὕλην.' 197ᵇ = Λ 118
„ὣς ἐφάμην· τοῖσιν δὲ κατεκλάσθη φίλον ἦτορ, 198 = 566 μ 277
μνησαμένοισ' ἔργων Λαιστρυγόνος Ἀντιφάταο cf. δ 481 ι 256

189 *κέκλυτέ μοι μύθων, κακά περ πάσχοντες ἑταῖροι.* 189 = μ 271, 340
189 damnavit Callistratus, non legit Ar.

180 *θηρίον*] vid. ad vs. 171.

183-187] pro his olim fuisse *αὐτὰρ ἐπεὶ σίτοιό τ' ἐπασσάμεθ' ἠδὲ ποτῆτος* putat Kammer.

188 *καὶ*] *δὴ* Rhianus. ‖ *πᾶσιν*] *μῦθον* Rhianus F.

189] versum ex μ 271 et 340 desumtum Aristarchus ne legit quidem (vid. Ariston. ad Ρ 221), neque scholiasta Eur. Phoen. 886 (Aristophanes? vid. Cobet Miscell. Crit. p. 317). Adiectum esse ab iis qui nescirent poetam solere „*ἀπὸ τοῦ γάρ ἄρχεσθαι*" statuit Callistratus; cf. ξ 495 sq. ‖ **μοι*] *μευ* mss.; vid. § 92 et ad Δ 37. ‖ *μύθων*] *μῦθον* P[1] k (ut Β 200 Γ 87 etc.).

190-202] del. Hoffmann, vs. 203 *καὶ τότ' ἐγὼ* legens; vs. 190-193 del. Duentzer.

190-192] non ad litteram accipiendos esse sed *παροιμίας ναυτικῆς* instar habendos putat ABreusing. Solem *non latitasse* constat ex vs. 160, 185, 187.

190 *γὰρ* schol. β 1] *γάρ τ'* (*τι* G) mss.

192 *ἀννέεται* § 191] *ἀννεῖται* mss.

193 *ἔτ'*] id quod *ἄλλη* interpretatur Nitzsch coll. ρ 587. ‖ *δ' οὐκ οἴομαι εἶναι*] verba neque contextui apta neque antiqua, teste forma contracta *οἴομαι* pro *ὀΐομαι* vel *ὀΐω*; vid. § 292*. GHermann *δ' οὐκ εἶναι ὀίω* (*ἔμμεν' ὀΐω* Nauck), Naber *δέ γ' ὀίομαι εἶναι* (*δ' ἄρ' ὀίομαι εἶναι* Platt), melius vHerwerden *δέ γε ἔμμεν' ὀίω* (cf. § 3).

194 *εἶδον*] neglecto ϝ.

195 *ἀπείριτος*] adi. redit h. Ven. 120, alias dicitur *ἀπειρέσιος* (Υ 58 etc.) vel *ἀπερείσιος* (Α 13 etc.).

199 sq.] del. Fick; versum 200 diasceuastae tribuit Kirchhoff.

199 *μνησαμένοισ' ἔργων*] aut ϝ vocis *ϝέργων* neglectum est aut ι termini *-οισι*; **μνησαμέ-*

Κύκλωπός τε βίης μεγαλήτορος ἀνδροφάγοιο.
'κλαῖον δὲ λιγέως, θαλερὸν κατὰ δάκρυ χέοντες· 201 cf. λ 391 201^{a} = π 216
ἀλλ' οὐ γάρ τις πρῆξις ἐγίγνετο μυρομένοισι. 202 = 568 cf. Ω 524
αὐτὰρ ἐγὼ δίχα πάντας ἐυκνήμιδας ἑταίρους
ἠρίθμεον, ἀρχὸν δὲ μετ' ἀμφοτέροισιν ὄπασσα·
τῶν μὲν ἐγὼν ἦρχον, τῶν δ' Εὐρύλοχος θεοϝειδής.
κλήρους δ' ἐν κυνέῃ χαλκήρεϊ 'πάλλομεν ὦκα· 206 cf. Γ 316
ἐκ δ' ἔθορε κλῆρος μεγαλήτορος Εὐρυλόχοιο. 207^{a} = Η 182
'βῆ δ' ἴμεναι, ἅμα τῷ γε δύω καὶ ϝείκοσ' ἑταῖροι
κλαίοντες· κατὰ δ' ἧμας ὄπισθ' ἔλιπον γοάοντας.
„ηὗρον δ' ἐν βήσσῃσι τετυγμένα δώματα Κίρκης 210 cf. 252
ξεστοῖσιν λάεσσι περισκέπτῳ ἐνὶ χώρῳ. 211 = 253 211^{b} = α 426
ἀμφὶ δέ μιν λύκοι ἦσαν ὀρέστεροι ἠδὲ λέοντες,
τοὺς αὐτὴ κατέθελξεν, ἐπεὶ κακὰ φάρμακ' ἔδωκε.
οὐδ' οἵ γ' ὡρμήθησαν ἔπ' ἀνδράσιν, ἀλλ' ἄρα τοί γε
οὐρῇσιν μακρῇσι περισσαίνοντες ἀνέσταν.
ὡς δ' ὅτε κ' ἀμφὶ ϝάνακτα κύνες δαίτηθεν ἰόντα
σαίνωσ', — αἰεὶ γάρ τε φέρει μειλίγματα θυμοῦ, —
ὣς τοὺς ἀμφὶ λύκοι κρατερώνυχες ἠδὲ λέοντες
'σαῖνον· τοὶ δ' ἔδϝεισαν, ἐπεὶ 'ϝίδον αἰνὰ πέλωρα.

νων? vid. ad ζ 157. ‖ Ἀντιφάταο] -τοιο G^{1} l, cf. vs. 107.

200 ἀνδροφάγοιο] †, ἀνδροφόνοιο G P T et olim alii.

201 sq.] om. G, in marg. habent F X.

204 ἠρίθμεον] synizesis vel contractio (-θμευν) novicia, cf. § 8 et 191.

206 'πάλλομεν ὦκα] 'πάλλον ἑλόντες P (ut Γ 316).

208 sqq.] acute observavit Kirchhoff, ab ipso poeta haec apte potuisse enarrari, Ulixi vero ne nota quidem fuisse; nam etiamsi Eurylochum accurate singula rettulisse contendat quispiam, ea certe quae vs. 233-243 leguntur ex Eurylocho resciscere non potuit Ulixes. Vid. ad libri κ initium.

208 ἴμεναι § 125] ἰέναι mss. ‖ δύω καὶ ϝείκοσ'] *quatuor* igitur *et quadraginta* supererant Ulixis sodales, quibus si adduntur *sex* illi, qui ex singulis navibus (certe ex Ulixis nave) perierunt ι 60, *quinquaginta* nautarum conficitur numerus; totidem autem erant in navibus *Philoctetae* (Β 719) et *Achillis* (Π 170), vid. ad γ 7 et θ 35. Sex igitur comitum, unde Polyphemus dapem sibi struxit ι 289 sqq., non habetur ratio, neque ipsius Eurylochi.

209 *ἧμας ὄπισθ' ἔλιπον γοάοντας] ἄμμε λίπον γοόωντας ὄπισθεν mss.; non recte habet dualis ἄμμε (ἧμε) pro plurali, vid. § 92. ‖ γοάοντας § 191] γοόωντας mss.

210 τετυγμένα δώματα] Fick δόμον περικαλλέα propter μιν (vs. 212). ‖ Κίρκης] καλὰ Apoll. Pron. 108 (ubi omittitur versus 211).

211 περισκέπτῳ ἐνὶ χώρῳ] cf. α 426.

212 μιν] velutsi δῶμα praecederet, non δώματα; cf. ρ 266-269 Apollon. Pron. 108 Synt. 200. Vid. ad vs. 210. ‖ λύκοι ... λέοντες] homines Circae malis artibus in ferarum speciem conversos intellexit Vergilius (Aen. VII 19 sq.), fortasse recte; vid. κ 239 sq., 291, 326, 433.

213 κατέθελξεν] comp. †, simplex Μ 255 etc.

216 ὅτε κ' § 326] ὅτ' ἂν mss. (ἂν om. G^{1}).

217 μειλίγματα] †, vid. ad Ο 741. ‖ θυμοῦ] θυμῷ F W.

ἔσταν δ' ἐν προθύροισι θεᾶς καλλιπλοκάμοιο, 220 cf. 310 220^{a} = θ 325
Κίρκης δ' ἔνδον ἄκουον ἀειδούσης ϝοπὶ καλῇ 221 sq.^{a} cf. ε 61 sq.
ἱστὸν ἐποιχομένης μέγαν ἄμβροτον, οἷα θεάων
λεπτά τε καὶ χαρίεντα καὶ ἀγλαὰ ϝέργα πέλονται. 223^{a} = Χ 511
τοῖσι δὲ μύθων ἦρχε Πολίτης ὄρχαμος ἀνδρῶν,
ὅς μοι κήδιστος ἑτάρων ἦν κεδνότατός τε·
‚ὦ φίλοι, ἔνδον γάρ τις ἐποιχομένη μέγαν ἱστὸν 226 cf. 254
καλὸν ἀοιδιάει — δάπεδον δ' ἅπαν ἀμφιμέμυκε —
ἢ θεὸς ἠὲ γυνή· ἀλλὰ φθεγγώμεθα θᾶσσον.' 228^{a} = 255
„ὣς ἄρ' ἐφώνησεν, τοὶ δ' ἐφθέγγοντο καλεῦντες. 229^{b}-231 = 255 sqq.
ἡ δ' αἶψ' ἐξελθοῦσα θύρας ὤιξε φαεινὰς 230 sq.^{a} = 312 sq.
καὶ 'κάλε', οἳ δ' ἅμα πάντες ἀϝιδρίῃφιν ἕποντο·
Εὐρύλοχος δ' ὑπέμεινεν ὀισσάμενος δόλον εἶναι. 232 cf. 258 232^{b} cf. δ 453^{a}
εἷσεν δ' εἰσαγαγοῦσα κατὰ κλισμούς τε θρόνους τε,
ἐν δέ σφιν τυρόν τε καὶ ἄλφιτα καὶ μέλι χλωρὸν 234 cf. υ 69
ϝοίνῳ Πραμνείῳ ἐκύκα· ἀνέμισγε δὲ σίτῳ
φάρμακα λύγρ', ἵνα πάγχυ λαθοίατο πατρίδος αἴης.
αὐτὰρ ἐπεὶ 'δῶκέν τε καὶ ἔκπιον, αὐτίκ' ἔπειτα 237^{a} = 318
ῥάβδῳ πεπληγυῖα κατὰ συφεοῖσιν ἐϝέργνυ. 238^{a} = 319 π 456
οἳ δὲ συῶν μὲν ἔχον κεφαλὰς φωνήν τε τρίχας τε
καὶ δέμας, ἀλλὰ νόος ἦν ἔμπεδος ὡς τὸ πάρος περ.
ὣς οἳ μὲν κλαίοντες ἐέρχατο· τοῖσι δὲ Κίρκη
πάρ ῥ' ἄκυλον βάλανόν τ' ἔβαλεν καρπόν τε κρανείης

---

242 Ar. οὐκ οἶδε (? — MSchmidt οὕτως οἶδε, *agnoscit lectionem vulgatam*; Kirchhoff suspicatur Aristarcho non hunc versum sed 243 fuisse ignotum).

---

220 ἐν προθύροισι Ar. P] ἐν προθύρῃσι M, εἰνὶ θύρῃσι G F H X; vid. θ 325 et ad ι 417.

223] del. Bothe. ‖ ϝέργα] δῶρα X.

225] del. Fick. ‖ κήδιστος ἑτάρων ἦν] ἔεν κήδιστος ἑταίρων probabiliter Nauck, cf. § 302. ‖ In X D q subiungitur ὅ(ς) σφιν ἐὺ φρονέων ἀγορήσατο καὶ μετέειπεν (= η 158).

227] del. PKnight.

229 καλεῦντες] forma novicia, vid. § 7 et 191.

231 'κάλε' § 191] κάλει mss. ‖ ἀϝιδρίῃφιν] ἀιδρ(ε)ίῃσιν mss.

232 ὀισσάμενος G F^{2} P M X] ὀισάμενος F^{1}, δί(σ)σατο γὰρ H mss. alia; vid. ad α 323.

233-243] vid. ad vs. 208 sqq.

233 εἷσεν δ'] ἣ δ' εἷσ' Fick, item vs. 314, 366. Cf. ξ 49 Ι 200 ζ 8. ‖ In X aliisque mss. subiungitur τεῦχε δέ οἱ κυκεῶ χρυσέῳ δέπαι, ὄφρα πίοιεν (cf. κ 316).

234 sq.] similis potio paratur Λ 639 sq.

238 κατὰ] de syllaba -τα producta vid. § 26. ‖ ἐϝέργνυ] cf. § 230.

240 δέμας] πόδας Zen. M Q. ‖ ἀλλὰ νόος Cobet] αὐτὰρ νοῦς mss., cf. § 61. Praeterea post νόος Cobet insertum vult γ', Fick σφ'. PKnight αὐτὰρ ἔην νόος (cf. λ 393), qui displicet verborum ordo. ‖ ἦν] ἔεν? cf. § 302.

241 ἐέρχατο] ceteris locis extat εἴρχατο (ἔρχατο), Ρ 354 ι 221 ξ (15?), 73; cf. § 230. Ecquid *aoristi* h. l. est forma (ἐϝέρχατο)? an olim fuit *ὣς οἳ κλαίοντες ἐϝεϝέρχατο?

242] Callistratus παντοίης ὕλης ἐτίθει μελιηδέα καρπόν. ‖ ῥ'] om. F H X mss. alia; *πάρ

ἔδμεναι, οἷα σύες χαμαιευνάδες αἰὲν ἔδουσι.
„Εὐρύλοχος δ' ἂψ ἦλθε θοὴν ἐπὶ νῆα μέλαιναν 244ᵇ cf. β 430
245 ἀγγελίην ἑτάρων ϝερέων καὶ ἀδευκέα πότμον.
οὐδέ τι ἐκφάσθαι 'δύνατο ϝέπος ἱέμενός περ,
κῆρ ἄχεϊ μεγάλῳ βεβολημένος· ἐν δέ ϝοι ὄσσε 247 cf. I 9; 247ᵇ sq.ᵃ cf. δ 704
δακρυόφιν 'πίμπλαντο, γόον δ' ὠίετο θυμός. 248 = υ 349 [sq.
ἀλλ' ὅτε δή μιν πάντες ἀγαζόμεθ' ἐξερέοντες,
250 καὶ τότε τῶν ἄλλων ἑτάρων κατέλεξεν ὄλεθρον·
,ἤιμεν, ὡς ἐκέλευες, ἀνὰ δρυμά, φαίδιμ' Ὀδυσσεῦ·
252 ηὕρομεν ἐν βήσσῃσι τετυγμένα δώματα καλά, 252 cf. 210
254 ἔνθα δέ τις μέγαν ἱστὸν ἐποιχομένη λίγ' ἄειδε 254 cf. 226
255 ἢ θεὸς ἠὲ γυνή· τοὶ δ' ἐφθέγγοντο καλεῦντες. 255ᵃ = 228; 255ᵇ-257 = 229 sqq.
ἡ δ' αἶψ' ἐξελθοῦσα θύρας ὤιξε φαεινὰς
καὶ 'κάλε', οἳ δ' ἅμα πάντες ἀϝιδριίηφιν ἕποντο·
αὐτὰρ ἐγὼν ὑπέμεινα διссάμενος δόλον εἶναι. 258 cf. 232
οἳ δ' ἅμ' ἀϝιστώθησαν ἀϝολλέες, οὐδέ τις αὐτῶν
260 ἐξεφάνη· δϝηρὸν δὲ καθήμενος ἐσκοπίαζον.'
„ὣς ἔφατ'· αὐτὰρ ἐγὼ περὶ μὲν ξίφος ἀργυρόηλον
ὤμοιιν 'βαλόμην, μέγα χάλκεον, ἀμφὶ δὲ τόξα·
τὸν δ' ἂψ ἤνωγον αὐτὴν ὁδὸν ἡγήσασθαι.
264 αὐτὰρ ὅ γ' ἀμφοτέρῃσι λαβὼν ἐλλίσσετο γούνων· 264ᵇ = Z 45

253 ξεστοῖσιν λάεσσι περισκέπτῳ ἐνὶ χώρῳ. 253 = 211
265 καί μ' ὀλοφυρόμενος ϝέπεα πτερόεντα προσηύδα·

βάλανόν τ' ἄκυλόν τ'? ‖ ἄκυλον] †, *glandem ilicis*? ‖ κρανείης] *cornus*; arboris nomen Π 767 redit, cf. κρανέινος adi. h. Merc. 460.
243] del. Fick. ‖ χαμαιευνάδες] adi. redit ξ 15, cf. χαμαιεῦναι Π 235. De correpta syllaba -μαι- vid. § 17. ‖ αἰὲν] εἶδαρ eleganter Nauck.
244 ἂψ D] αἶψ' mss. cetera; vid. ad ϑ 92.
245 ϝερέων] vid. ο 41 π 329 et ad ν 94. ‖ ἀδευκέα] cf. δ 489.
246 τι ἐκφάσθαι] de hiatu vid. § 99 et ad ϑ 136; PKnight τι προσφάσθαι coll. ψ 106. ‖ ἱέμενος] neglecto ϝ (vid. § 201); ἐσσυμένος Fick.
247 βεβολημένος] βεβλημένος P mss. alia; cf. I 3.
248 γόον — θυμός] locutio nonnisi l. par. redit.
249 ἀγαζόμεθ' P H X] ἀγασσάμεθ' G F M. Heliodorus apud Apoll. lex. ἀλλ' ὅτε δὴ πάντες ἀγαπαζόμεθ'.
251 ἤιμεν Nauck] ἤομεν mss., item κ 570 λ 22. Cf. § 308.
253] habet X, in marg. M, om. mss. cetera. ‖ περισκέπτῳ ἐνὶ χώρῳ] cf. α 426.
254 λίγ'] μέγ' X.
255 καλεῦντες] forma novicia, cf. § 7 et 191.
257 'κάλε' § 191] κάλει mss. ‖ ἅμα] ἄρα P. ‖ ἀϝιδριίηφιν] ἀιδρ(ε)ίῃσιν mss.
258 διссάμενος] δισάμενος mss. complura; vid. ad α 323.
263 ἂψ D] αἶψ' mss. cett.; cf. ϑ 92. ‖ ἤνωγον X D U² n²] ἠνώγεον M, ἠνώγεα mss. cetera; cf. § 225. ‖ αὐτὴν] vid. ϑ 107 et § 98.
264 ἀμφοτέρῃσι λαβὼν] ἀμφοτέρῃσιν ἑλὼν H¹ mss. alia. ‖ λαβὼν … γούνων] vid. Δ 500.
265] habet U (cf. vs. 324 et 418 etc.), in margine habet M, om. mss. cetera, deest autem loco simillimo Z 45.
266 αὖθι § 322] αὐτοῦ mss.
268 σῶν] σῶον (*incolumem*) interpretabatur Ar. ‖ τοισίδε] τοίσδεσι mss. pleraque; vid. § 97.
271 αὐτόθι § 322] αὐτοῦ mss.
274 παρὰ] ἀπὸ X. ‖ ἀνήια Nauck] ἀνήιον P, ἀπήιον mss. cett.; cf. vs. 146.
275 ἄρ'] *τάχ'? cf. ι 378.
277] *Mercurium* sibi obviam venisse unde scit Ulixes? Scilicet diasceuasta finxit ab Ulixe referri quae olim ipse poeta narraverat; vid. ad libri κ initium. ‖ χρυσόρραπις] cf. ε 87.
279] suspectus Kirchhoffio. ‖ ὑπηνήτῃ] nonnisi vs. parall. redit.

266 ,μή μ' ἄγε κεῖσ' ἀϝέκοντα, διοτρεφές, ἀλλὰ λίπ' αὖθι· 266 cf. ο 199
ϝοῖδα γὰρ ὡς οὔτ' αὐτὸς ἐλεύσεαι οὔτε τιν' ἄλλον
ἄξεις σῶν ἑτάρων. ἀλλὰ ξὺν τοισίδε θᾶσσον
φεύγωμεν· ἔτι γάρ κεν ἀλύξαιμεν κακὸν ἦμαρ.'
270 „ὣς ἔφατ'· αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέϝειπον·
,Εὐρύλοχ', ἦ τοι μὲν σὺ μέν' αὐτόθι τῷδ' ἐνὶ χώρῳ
ἔσθων καὶ πίνων κοίλῃ παρὰ νηὶ μελαίνῃ· 272ᵃ = Ω 476; 272ᵇ = γ 365
αὐτὰρ ἐγὼν εἶμι· κρατερὴ δέ μοι ἔπλετ' ἀνάγκη.' 273ᵇ = h. Ven. 130
„ὣς ϝειπὼν παρὰ νηὸς ἀνήια ἠδὲ θαλάσσης. 274 cf. 446
275 ἀλλ' ὅτε δὴ ἄρ' ἔμελλον, ἰὼν ἱερὰς ἀνὰ βήσσας,
Κίρκης ἵξεσθαι πολυφαρμάκου εἰς μέγα δῶμα,
ἔνθα μοι Ἑρμείας χρυσόρραπις ἀντεβόλησε
ἐρχομένῳ πρὸς δῶμα, νεηνίῃ ἀνδρὶ ϝεϝοικὼς 278 cf. Ω 347
πρῶτον ὑπηνήτῃ, τοῦ περ χαριεστάτη ἥβη· 279 = Ω 348
280 ἔν τ' ἄρα μοι 'φῦ χειρὶ ϝέπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε· 280 = Z 253
,πῇ δ' αὖτ', ὦ δύστηνε, δι' ἄκριας ἔρχεαι οἶος
χώρου ἄϝιδρις ἐών; ἕταροι δέ τοι οἵδ' ἐνὶ Κίρκης
εἴρχαται ὥς τε σύες πυκινοὺς κευθμῶνας ἔχοντες.
ἦ τοὺς λυσόμενος δεῦρ' ἔρχεαι; οὐδὲ σέ φημι
285 αὐτὸν νοστήσειν, μενέεις δὲ σύ γ' ἔνθα περ ἄλλοι.
286 ἀλλ' ἄγε δή σε κακῶν ἐκλύσομαι ἠδὲ σαώσω·
289 πάντα δέ τοι ϝερέω ὀλοφώια δήνεα Κίρκης· 289 cf. δ 410

287 τῆ, τόδε φάρμακον ἐσθλὸν ἔχων εἰς δώματα Κίρκης
ἔρχε', ὅ κέν τοι κρατὸς ἀλάλκῃσιν κακὸν ἦμαρ.

280 μοι] οἱ mss. complura.
281 πῇ δ'] τίπτ' Heraclit. Alleg. 72. ‖ αὖτ', ὦ] αὔτως (Zen.?) Heracl. l. l. W q, αὔτως Eust.; vid. ad λ 93.
282 δέ τοι οἵδ' ἐνὶ] δ' ἐν δώμασι G (cf. vs. 449).
283 εἴρχαται § 230] ἔρχαται mss.
287 sq.] del. Kirchhoff; spurios aut ex alia recensione desumtos esse evincit futurum δώσω vs. 292. Duentzer del. vs. 287 sq., 291 sq., 302-306, in vs. 307 autem ὣς ἄρα φωνήσας ἀπέβη coniecit et vs. 308 Ἑρμείας ἀνὰ νῆσον.
288 ἔρχε' § 117] ἔρχευ mss.
289 ὀλοφώια] vid. ad δ 410. ‖ δήνεα] cf. Δ 361.

τεύξει τοι κυκεῶ, βαλέει δ' ἐν φάρμακα σίτῳ.
ἀλλ' οὐδ' ὧς θέλξαι σε δυνήσεται· οὐ γὰρ ἐάσει
φάρμακον ἐσθλόν, ὅ τοι δώσω, ϝερέω δὲ ϝέκαστα.
ὁππότε κεν Κίρκη σ' ἐλάσῃ περιμήκεϊ ῥάβδῳ,
δὴ τότε σὺ ξίφος ὀξὺ ϝερυσσάμενος παρὰ μηροῦ — 294 sq. cf. 321 sq. 294 cf. ι 300
Κίρκῃ ἐπαΐξαι ὥς τε κτάμεναι μενεαίνων.
ἡ δέ σ' ὑποδϝείσασα κελήσεται εὐνηθῆναι.
ἔνθα σὺ μηκέτ' ἔπειτ' ἀπανήνασθαι θεοῦ εὐνήν,
ὄφρα κέ τοι λύσῃ θ' ἑτάρους αὐτόν τε κομίσσῃ· — [sq.
ἀλλὰ κέλεσθαί μιν μακάρων μέγαν ὅρκον ὀμόσσαι — 299^{b} sq. cf. ι 178
μή τί τοι αὐτῷ πῆμα κακὸν βουλευέμεν' ἄλλο, — 300 = ι 187
μή σ' ἀπογυμνωθέντα κακὸν καὶ ἀνήνορα θήῃ.' — 301 cf. 341
„ὣς ἄρα φωνήσας 'πόρε φάρμακον Ἀργεϊφόντης
ἐκ γαίης ϝερύσας καί μοι φύσιν αὐτοῦ ἔδειξε·
ῥίζῃ μὲν μέλαν ἦσκε, γάλακτι δὲ ϝείκελον ἄνθος·
μῶλυ δέ μιν καλέουσι θεοί, χαλεπὸν δέ τ' ὀρύσσειν.
307 „Ἑρμείας μὲν ἔπειτ' ἀπέβη πρὸς μακρὸν Ὄλυμπον — 307 = Ω 694
νῆσον ἀν' ὑλήεσσαν, ἐγὼ δ' εἰς δώματα Κίρκης
ἤια· πολλὰ δέ μοι κραδίη 'πόρφυρε κιόντι. — 309 = δ 427
ἔστην δ' ἐν προθύροισι θεᾶς καλλιπλοκάμοιο· — 310 cf. 220
ἔνθα στὰς ἐβόησα, θεὰ δέ μοι ἔκλυεν αὐδῆς. — 311^{b} = 481
ἡ δ' αἶψ' ἐξελθοῦσα θύρας ᾤιξε φαεινὰς — 312 sq.^{a} 230 sq.
καὶ 'κάλε', αὐτὰρ ἐγὼν ἑπόμην ἀκαχημένος ἦτορ.
314 εἷσε δέ μ' εἰσαγαγοῦσα ἐπὶ θρόνου ἀργυροήλου, — 314 = 366 314^{b} = Σ 389

306 ἀνδράσι γε θνητοῖσι· θεοὶ δέ τε πάντα δύνανται.
315 καλοῦ δαιδαλέοι'· ὑπὸ δὲ θρῆνυς ποσὶν ἦεν. — 315 = Σ 390 κ 367

315 Ar. om.

290 κυκεῶ] vid. ad Λ 624.

297 ἀπανήνασθαι] ἀνήνασθαι X. Comp. nonnisi *H* 185 redit; *ἔπειτα ἀνήνασθαι?

300 βουλευέμεν' vHerwerden] -σέμεν mss.; vid. ad ι 179.

301 ἀπογυμνωθέντα] -γυιωθέντα Naber coll. *Z* 265 Θ 402, item κ 341. ‖ ἀνήνορα] nonnisi vs. parall. redit; cf. εὐήνωρ δ 622 ν 19, ἀγήνωρ. ‖ θήῃ § 122] θείῃ (vel θείη) mss.

303 φύσιν] †. ‖ αὐτοῦ] αὐτός Hartman.

304 ἦσκε] ἔσκε mss.

305] delendum arbitramur, quoniam alias linguae deorum sicubi fit mentio, mortalium voces ei opponuntur. Vid. ad Λ 403 sq.

306] del. PKnight; similis est interpolatio β 322. ‖ δύνανται G F X] ἴσασιν P^1 H M; cf. δ 379.

310 ἐν προθύροισι G] εἰνὶ (ἐνὶ M) θύρῃσι mss. cetera; vid. ad Θ 199 ι 417. ‖ Post hunc versum in X D U iteratur vs. 221.

311 ἐβόησα] ἤυσα T U. ‖ μοι P] μευ mss. cetera; cf. κ 481 Λ 37 et § 92.

313 'κάλε' § 191] κάλει mss.

314 εἷσε δέ μ'] ἡ δ' εἷσ' Fick; vid. ad vs. 233.

315] om. Ar. G, in margine habet T. ‖ In F post hunc versum iterantur vs. 368 sq., et mox vs. 371 sq. post vs. 319; in S hi omnes post versum 315 sunt additi. ‖ δαιδαλέοι' § 59] -λέου mss.

316 'τεῦχε δέ μοι κυκεῶ χρυσέῳ δέπα', ὄφρα πίοιμι,
ἐν δέ τε φάρμαχ' ἕηκε κακὰ φρονέουσ' ἐνὶ θυμῷ.
αὐτὰρ ἐπεὶ 'δῶκέν τε καὶ ἔκπιον, — οὐδέ μ' ἔθελξε, — — 318^{a} = 237
ῥάβδῳ πεπληγυῖα ϝέπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε· — 319^{a} = 238
‚ἔρχεο νῦν συφεόνδε· μετ' ἄλλων λέξε' ἑταίρων.'
„ὣς 'φάτ'· ἐγὼ δ' ἄορ ὀξὺ ϝερυσσάμενος παρὰ μηροῦ — 321 sq. cf. 294 sq. 321 cf. Φ 173 λ 24
Κίρκῃ ἐπήιξα ὥς τε κτάμεναι μενεαίνων.
ἡ δὲ μέγα ϝιϝάχουσα ὑπέδραμε καὶ 'λάβε γούνων — 323^{a} = Ε 343 323^{b} = Φ 68
καί μ' ὀλοφυρομένη ϝέπεα πτερόεντα προσηύδα·
‚τίς πόθεν ἔσσ' ἀνδρῶν; πόθι τοι πόλις ἠδὲ τοκῆες; — 325 = α 170
θαῦμά μ' ἔχει πῶς οὔ τι πιὼν τάδε φάρμακ' ἐθέλχθης.
οὐδὲ γὰρ οὐδέ τις ἄλλος ἀνὴρ τάδε φάρμακ' ἀνέτλη,
ὅς κε πίῃ καὶ πρῶτον ἀμείψεται ἕρκος ὀδόντων. — 328^{b} = Ι 409
σοὶ δέ τις ἐν στήθεσσιν ἀκήλητος νόος ἐστί. — 329 cf. Γ 63
ἦ σύ γ' Ὀδυσσεύς ἐσσι πολύτροπος; ὅν τέ μοι αἰεὶ
'φάσκεν ἐλεύσεσθαι χρυσόρραπις Ἀργεϊφόντης,
ἐκ Τροίης ἀνιόντα θοῇ σὺν νηὶ μελαίνῃ. — 332^{b} = Τ 331
ἀλλ' ἄγε δὴ κολεῷ μὲν ἄορ θέο· νῶι δ' ἔπειτα
εὐνῆς ἡμετέρης ἐπιβήομεν, ὄφρα μιγέντε
εὐνῇ καὶ φιλότητι πεποίθομεν ἀλλήλοιιν.'
„ὣς ἔφατ', αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέϝειπον·
‚ὦ Κίρκη, πῶς γάρ με κέλῃ σοὶ ἤπιον εἶναι;

329 Ar. —

316-372] om. H; addidit manus altera.

316 'τεῦχε] imperfectum ut vs. 235; τεῦξε T Eust. ‖ κυκεῶ] vid. ad Λ 624. ‖ δέπα' § 72] δέπαι mss.

317 *φάρμαχ' ἕηκε] φάρμακον ἧκε mss.; pluralem dedimus coll. vs. 236, 290, 326 sq.

320 ἄλλων ... ἑταίρων] *ἄλλους ... ἑταίρους (ut sit constructio ad sensum, = *abi ad comites tuos, ut cum illis cubes*)? Vid. § 316^{4}. ‖ λέξε'(ο) § 117, cf. *I* 617] λέξεο J, λέξαι F mss. alia, λέξο Ar. et mss. pleraque hiatu non ferendo. Sed fortasse λέξεαι (subi. aor.) est intellegendum, sententia autem cum *Z* 340 (λ 561?) etc. comparanda (vid. § 108).

324 μ' ὀλοφυρομένη] μέ λισσομένη Aristoph. (sic F^1), non improbante Didymo; cf. § 26.

325 ἔσσ' § 302] εἷς mss.

326 πῶς H^2 X^2] ὡς mss. cett.

328] del. PKnight. ‖ ἀμείψεται] nempe φάρμακα; notetur subiectum mutatum.

329] teste Ariston. ad κ 240 damnabat Ar., non enim animos sed sola corpora mutare Circen fuisse solitam. ‖ ἀκήλητος] †, cf. κηληθμός λ 334 ν 2; pro verbo κηλέω apud Hom. usurpatur θέλγω (*M* 255 κ 318 etc.).

331 χρυσόρραπις] cf. ε 87.

334 ἐπιβήομεν G H M^1] ἐπιβήσομεν P M^2, ἐπιβείομεν F X; cf. § 122.

335 ἀλλήλοιιν G] -λοισιν mss. cett.

337 κέλῃ σοὶ] novicium est κέλῃ pro κέλεαι (vid. § 117) et corripi debebat σοὶ ante hiatum (cf. § 14 et β 230); *τεῒν κέλε'? PKnight κέλεαί με, sic vero encliticum τοι debebat sequi (cf. § 3); Nauck κέλεαι σοί μ'

ἦ μοι σῦς μὲν ἔθηκας ἐνὶ μεγάροισιν ἑταίρους,
αὐτὸν δ' ἐνθάδ' ἔχουσα δολοφρονέουσα κελεύεις
εἰς θάλαμόν τ' ἴμεναι καὶ σῆς ἐπιβήμεναι εὐνῆς,
ὄφρα με γυμνωθέντα κακὸν καὶ ἀνήνορα θήῃς.
οὐδέ κ' ἐγώ γ' ἐθέλοιμι τεῆς ἐπιβήμεναι εὐνῆς,
εἰ μή μοι τλαίης γε, θεά, μέγαν ὅρκον ὀμόσσαι
μή τί μοι αὐτῷ πῆμα κακὸν βουλευέμεν' ἄλλο.'
„ὣς ἐφάμην· ἣ δ' αὐτίκ' ἐπώμνυεν, ὡς ἐκέλευον.
αὐτὰρ ἐπεί ῥ' ὄμοσέν τε 'τελεύτησέν τε τὸν ὅρκον,
καὶ τότ' ἐγὼ Κίρκης ἐπέβην περικαλλέος εὐνῆς.
„ἀμφίπολοι δ' ἄρα τῆος ἐνὶ μεγάροισ' ἐπένοντο
349 τέσσαρες, αἵ Ϝοι δῶμα κάτα δρήστειραι ἔασι.
352 τάων ἣ μὲν ἔβαλλε θρόνοισ' ἔνι ῥήγεα καλὰ
πορφύρεα καθύπερθ', ὑπένερθε δὲ λῖθ' ὑπέβαλλε·
ἣ δ' ἑτέρη προπάροιθε θρόνων ἐτίταινε τραπέζας
ἀργυρέας, ἐπὶ δέ σφι 'τίθει χρύσεια κάνεια·
ἣ δὲ τρίτη κρητῆρι μελίφρονα Ϝοῖνον ἐκίρνα
Ϝηδὺν ἐν ἀργυρέῳ, 'νέμε δὲ χρύσεια κύπελλα·
ἣ δὲ τετάρτη ὕδωρ ἐφόρει καὶ πῦρ ἀνέκαιε
πολλὸν ὑπὸ τρίποδι μεγάλῳ· ἰαίνετο δ' ὕδωρ.
„αὐτὰρ ἐπεὶ δὴ 'ζέσσεν ὕδωρ ἐνὶ Ϝήνοπι χαλκῷ,

341 cf. 301
342 cf. ι 177
343 sq. = ι 178 sq.
345 sq. cf. μ 303 sq. ο 437 sq. σ 58 sq.
346 = Ξ 280
347 cf. 480
349 cf. τ 345
360 = Σ 349

350 γίγνονται δ' ἄρα ταί γ' ἔκ τε κρηνέων ἀπό τ' ἀλσέων
ἔκ θ' ἱερῶν ποταμῶν, οἵ τ' εἰς ἅλαδε προρέουσι.

qui minus probabilis est verborum ordo; Thiersch κέλεαι deleto με.

338 σῦς] ὕας Nauck (sine iusta causa); cf. vs. 433.

340 ἴμεναι § 125] ἰέναι mss.

341 γυμνωθέντα] vid. ad vs. 301. ‖ ἀνήνορα] vid. ad vs. 301. ‖ θήῃς § 122] θείη(ι)ς mss.

342 οὐδέ κ' § 326] οὐδ' ἂν mss.

343 θεὰ] θεῶν Bothe, vid. ad ι 178.

344 αὐτῷ] αὔτως Bothe. ‖ βουλευέμεν' vHerwerden] -σέμεν mss.; vid. ad ι 179.

345 ἐπώμνυεν W n q] ἀπ. mss. pleraque; vid. ad β 377. De termino -υεν vid. § 145.

346 ὄμοσέν τε] ὤμοσσε F.

348-359] haec quoque poeta aptius narrare potuit quam Ulixes; vid. ad libri κ initium.

348 τῆος Nauck] τέως G P, τέως μὲν F H M, κεδναὶ X. Cf. § 323. ‖ μεγάροισ' ἐπένοντο] -ροισι πέν. mss.

349 δρήστειραι] vid. ad ο 330.

350 sq.] del. Nitzsch, apud Zenodotum defuisse suspicatus (vid. ad vs. 351); solum versum 351 deleverat PKnight. Recentem originem testantur formae κρηνέων et ἀλσέων et ipsa sententia. Naiades, quas *Iovis filias* vocare solet Homerus (ρ 240 etc.), hinc alienae sunt, hamadryadas poeta non novit. Cf. h. Ven. 265, Hesiod. Theog. 187 fr. 183.

351 οἵ τ' εἰς] „οὔτε γράφει Ζηνόδοτος" schol. (? — οὐδὲ corr. Nitzsch, οἵ τε Duentzer).

352 ῥήγεα] vid. ad η 92.

354 θρόνων] ποδῶν P (cf. Υ 324).

355 κάνεια] vox ceteris locis penultimam brevem habet (κάνεα G); κύπελλα F mss. alia (cf. vs. 357). Vid. § 61.

356 ἐκίρνα] ἐκίρνη? vid. § 195.

358 ἐφόρει] *ἔφερεν? vid. ν 368 χ 456 et φέρουσα κ 368 alibi.

εἷς ῥ' ἀσάμινθον ἔσασα 'λό', ἐκ τρίποδος μεγάλοιο
θυμῆρες κεράσασα, κατὰ κρατός τε καὶ ὤμων,
ὄφρα μοι ἐκ κάματον θυμοφθόρον εἵλετο γυίων.
αὐτὰρ ἐπεὶ 'λοῦσέν τε καὶ ἔχρισεν λίπ' ἐλαίῳ,
ἀμφὶ δέ με χλαῖναν καλὴν ἔβαλ' ἠδὲ χιτῶνα,
366 εἷσε δέ μ' εἰσαγαγοῦσα ἐπὶ θρόνου ἀργυροήλου,
373 ἐσθέμεναι δ' ἐκέλευεν· ἐμῷ δ' οὐ 'Ϝάνδανε θυμῷ,
ἀλλ' ἥμην ἀλλοφρονέων, κακὰ δ' ὤσσετο θυμός.
„Κίρκη δ' ὡς ἐνόησεν ἔμ' ἥμενον οὐδ' ἐπὶ σίτῳ
χεῖρας ἰάλλοντα, στυγερὸν δέ με πένθος ἔχοντα,
ἄγχι παρισταμένη Ϝέπεα πτερόεντα προσηύδα·
,τίφθ' οὕτως, Ὀδυσεῦ, κατ' ἄρ' ἕζεο Ϝῖσος ἀναύδῳ
θυμὸν ἔδων, βρώμης δ' οὐχ ἅπτεαι οὐδὲ ποτῆτος;
ἦ τινά που δόλον ἄλλον ὀίεαι; οὐδ' ἔτι σε χρὴ
δεδϜίμεν', ἤδη γάρ τοι ἐπώμοσα καρτερὸν ὅρκον.'
„ὣς ἔφατ'· αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέϜειπον·
,ὦ Κίρκη, τίς γάρ κεν ἀνήρ, ὃς ἐναίσιμος εἴη,
πρὶν τλαίη πάσσασθαι ἐδητύος ἠδὲ ποτῆτος,
πρὶν λύσασθ' ἑτάρους καὶ ἐν ὀφθαλμοῖσι Ϝιδέσθαι;
ἀλλ' εἰ δὴ πρόφρασσα πιεῖν φαγέμεν τε κελεύεις,
λῦσον, ἵν' ὀφθαλμοῖσι Ϝίδω ἐρίηρας ἑταίρους.'

364 sq. cf. Ω 587
364 = γ 466 sq.
365 cf. ϑ 455
366 = 314
381b cf. Τ 127
383b = Ζ 521
387a = Ω 555

367 καλοῦ δαιδαλέοιο'· ὑπὸ δὲ θρῆνυς ποσὶν ἦεν.
χέρνιβα δ' ἀμφίπολος προχόῳ ἐπέχευε φέρουσα
καλῇ χρυσείῃ ὑπὲρ ἀργυρέοιο λέβητος,
νίψασθαι· παρὰ δὲ ξεστὴν ἐτάνυσσε τράπεζαν.
σῖτον δ' αἰδοίη ταμίη παρέθηκε φέρουσα,
εἴδατα πόλλ' ἐπιθεῖσα, χαριζομένη παρεόντων.

367 = 315
368-372 = α 136 sqq.

361 'λό', ἐκ] l. a. (?) ἔλουε(ν).

362 θυμῆρες] adi. redit (π 389) h. Cer. 495 h. XXIX 18 XXX 17, θυμᾱρής legitur Ι 336 ρ 199 ψ 232; quam varietatem novit Herodianus (Ar.); cf. § 5.

364 'λοῦσεν] 'λόεσσεν? cf. § 295. ‖ ἔχρισεν] ἤλειψε(ν) P X. ‖ λίπ'] cf. § 13.

365 με] μοι F. ‖ ἔβαλ'] βάλεν mss.

366 εἷσε δέ μ'] ἣ δ' εἷσ' Fick, ad quartam ministram referens vs. 358-365. Vid. ad vs. 233.

367] cum sequentibus del. Nitzsch; cf. vs. 315. ‖ δαιδαλέοι' § 59] -λέου mss.

368-372] om. mss. pleraque.

373 οὐ 'Ϝάνδανε] οὐχ ἥνδανε mss.

374] del. PKnight. ‖ ἀλλοφρονέων] vid. ad Ο 245. ‖ ὤσσετο l] ὄσσετο mss. cett.

376 στυγερὸν G F P M] κρατερὸν mss. alia. ‖ ἔχοντα] *ἔχεσκε, ita ut verba in parenthesi collocentur; languet enim in textu tradito pronomen με. Cf. h. Ven. 208 (Ι 675 etc.) et ad λ 196 ω 250.

378 ἕζεο Duentzer] ἧσαι mss. vitiose, non enim extat ἕζομαι et neglectum est Ϝ adiectivi Ϝῖσος. Aoristus in huiusmodi effatis adhibitus est Β 323 Δ 243 Υ 179 κ 64 (vid. etiam ad λ 474).

381 *ἐπώμοσα] ἀπώμοσα mss.; vid. ad β 377.

385 λύσασθ'] sic Ar.; alii olim λῦσαί θ'?

386 εἰ δὴ] vid. ad Α 61. ‖ φαγέμεν] cf. § 126.

„ὣς ἐφάμην· Κίρκη δὲ δί ἐκ μεγάροἰ ἐβεβήκει
ῥάβδον ἔχουσ' ἐν χειρί· θύρας δ' ἀνόιξε συφειοῦ,
ἐκ δ' ἔλασεν σιάλοισι ϝεϝοικότας ἐννεώροισι.
οἳ μὲν ἔπειτ' ἔστησαν ἐναντίοι, ἣ δὲ δί αὐτῶν
ἐρχομένη προσάλειφε ϝεκάστῳ φάρμακον ἄλλο.
τῶν δ' ἐκ μὲν μελέων τρίχες ἔρρεον, ἃς πρὶν ἔφυσαν·
ἄνδρες δ' ἂψ ἐγένοντο, νεώτεροι ἢ πάρος ἦσαν
καὶ πολὺ καλλίονες καὶ μείζονες εἰσοράεσθαι.
ἔγνωσαν δέ με κεῖνοι ἔφυν τ' ἐν χερσὶ ϝέκαστος·
πᾶσιν δ' ἱμερόεις ὑπέδυ γόος, ἀμφὶ δὲ δῶμα
σμερδαλέον 'κονάβιζε. θεὰ δ' ἐλέαιρε καὶ αὐτή·
ἣ δέ μὲ ἄγχι στᾶσα προσηύδα δῖα θεάων· 400 sq. = 455 sq.
‚διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
ἔρχεο νῦν ἐπὶ νῆα θοὴν καὶ θῖνα θαλάσσης. 402^b = δ 779
νῆα μὲν ἂρ πάμπρωτα ϝερύσσατε ἤπειρόνδε, 403 sq. cf. 423 sq. 403ᵃ cf. δ 780
κτήματα δὲ σπεέεσσι πελάσσατε ὅπλα τε πάντα·
αὐτὸς δ' ἂψ ἴμεναι καὶ ἄγειν ἐρίηρας ἑταίρους.'
„ὣς ἔφατ', αὐτὰρ ἐμοί γ' ἐπεπείθετο θυμὸς ἀγήνωρ· 406 cf. β 103 κ 475
'βῆν δ' ἴμεναι ἐπὶ νῆα θοὴν καὶ θῖνα θαλάσσης. 407 = μ 367 407^b = δ 779
ηὗρον ἔπειτ' ἐπὶ νηὶ θοῇ ἐρίηρας ἑταίρους
οἴκτρ' ὀλοφυρομένους, θαλερὸν κατὰ δάκρυ χέοντας. 409^a cf. δ 719
ὡς δ' ὅτε κ' ἄγραυλοι πόριες περὶ βοῦς ἀγελαίας

394 φάρμακον ὀλόμενον, τό σφιν 'πόρε πότνια Κίρκη·

388 ἐφάμην G F P M] ἄρ' ἔφην H X. ‖ μεγάροἰ ἐβεβήκει] -ροιο β. mss.; cf. § 59.
389 ἀνόιξε § 241] ἀνώιξε H, ἀνέῳξε mss. cett. (ἀνέῳγε Eust.). ‖ συφειοῦ] φαεινὰς G[1] P (cf. vs. 230).
390 ἐννεώροισι] vid. ad Σ 351.
391 οἳ] ἐκ G.
393 τῶν] τοῖς Aristoph. (non recte, cf. § 60); τοῖσιν δ' ἐκ μελέων Nauck. ‖ δ'] om. G. ‖ ἔφυσαν Naber] ἔφυσε mss. Cf. e. g. Solon. fr. 27 Ar. Av. 106, 785 Ran. 418 Plat. Phaedr. p. 251 c.
394] del. Naber. ‖ ὀλόμενον P] οὐλόμενον mss. pleraque; cf. § 21. ‖ πότνια Κίρκη] l. a. δῖα θεάων.
395 ἂψ Ar.] αἶψ' mss.; vid. ad θ 92.
396 εἰσοράεσθαι § 191] -ράασθαι mss.
398 sq.] cf. π 215 sqq.
399 'κονάβιζε] κανάχιζε P (vid. ad M 36). ‖ ἐλέαιρε καὶ αὐτή] -ρεν ἅπαντας P (cf. α 19).
400 μὲ § 92] μεν mss.; an *μοι? cf. § 318[1]. ‖ προσηύδα] -δαε? cf. § 195. ‖ δῖα θεάων] πότνια Κίρκη H mss. alia.
401] om. Fick.
403 sq.] del. Kirchhoff, initio vs. 405 legens κεῖθεν (Fick αὖθις).
403 πάμπρωτα Bentley] -τον mss.; vid. ad δ 577.
404 δὲ l. a. (Ar.?) in schol.] δ' ἐν mss.; cf. Θ 337 ζ 8. ‖ σπεέεσσι § 71] σπήε(σ)σι vel σπείε(σ)σι mss.
405 ἂψ G mss. alia] αἶψ' mss. pleraque; vid. ad θ 92. ‖ ἴμεναι § 125] ἰέναι mss.
407 ἴμεναι § 125] ἰέναι mss.
409] in S k subiungitur ἀσπασίως δ' αὐτοῖς ἐφάνην (ἀσπάσιος δ' ἄρα τοῖσι γ' ἐφάνη S) κακότητος ἀλύξας (cf. ε 397 ι 466).
410 ὅτε κ' § 326] ὅτ' ἂν mss. ‖ πόριες] sic Herodian. ad P 40, item G P H X; πόρτιες F M. An *ὡς δ' ὅτε πόρτιες ἄγραυλοι? Forma πόρις † (sed cf. Eur. Bacch. 737), πόρτις extat E 162 h. Cer. 174, cf. πόρταξ P 4, πορτιτρόφος h. Ap. 21.
411 ἐπεὶ § 326] ἐπὴν mss.
412 σκαίρωσιν Bekker] σκαίρουσιν mss. pleraque, ἅμ' ἀσπαίρουσιν G[1] P vitiose, hinc σπαίρουσιν G[2] Y et v. l. apud Eust.; cf. vs. 124. — Verbum redit Σ 572 h. XXIX 15, cf. πολύσκαρθμος B 814, εὔσκαρθμος N 31.
413 ἀδινὸν] vid. ad Σ 124. ‖ ἀμφιθέουσι] comp. †.
415-417] del. Kirchhoff.
415 δακρυόεντες] δακρύοντες M K, δακρυχέοντες X n. ‖ 'δόκησε] aoristi forma nonnisi υ 93 redit; ἔδοξα legitur h. Merc. 208.
416 αὐτὴν Ar. U] αὐτῶν mss. cetera.
417 ἔτραφον i et l. a. in H] -φεν mss. cetera; vid. § 252.
420] del. Bothe.
422 μαλακοῖσι ϝέπεσσι § 60] -κοῖς ἐπέεσσι mss.
423 πάμπρωτα Bentley] -τον mss.; vid. ad δ 577.
424 δὲ (Ar.)] δ' ἐν vel τ' ἐν mss.; vid. vs. 404. ‖ σπεέεσσι § 71] σπήεσσι (σπείεσσι) mss.
425 ὀτρύνεσθε ἐμοὶ ... ἕπεσθαι] ὀτρύνεσθε ἵνα μοι ... ἕπεσθε T, ὀτρύνεσθ' ἵνα μοι ... ἕπησθε K W (ἕπεσθε U); cf. η 222. APlatt ὀτρύνεσθε, ἐμοὶ ... ἕπησθε coll. Ψ 71. Vid. § 108.
428 ἐπίθοντο ἔπεσσι(ν) Nauck] ἐπέεσσι πίθοντο mss.; cf. § 60.
429 ἐρύκανε] -κακε G[2] X mss. alia; Nauck ἐρήτυε. Vid. ad Ω 218.
430] om. G P, in marg. habent H M, in textu F X. ‖ σφας X] σφεας mss. cett.; cf. § 92. ‖ φωνήσας] ἀμειβόμενος X.
432-434] del. Duentzer.
433 σῦς] σύας PKnight; cf. vs. 338.

ἐλθούσας εἰς κόπρον, ἐπεὶ βοτάνης κορέσωνται,
πᾶσαι ἅμα σκαίρωσιν ἐναντίαι, οὐδ' ἔτι σηκοὶ
ἴσχουσ', ἀλλ' ἁδινὸν μυκώμεναι ἀμφιθέουσι
μητέρας, ὣς ἐμὲ κεῖνοι ἐπεὶ 'ϝίδον ὀφθαλμοῖσι.
καί μ' ὀλοφυρόμενοι ϝέπεα πτερόεντα προσηύδων·
‚σοὶ μὲν νοστήσαντι, διοτρεφές, ὣς ἐχάρημεν,
ὡς εἴ τ' εἰς Ἰθάκην ἀφικοίμεθα πατρίδα γαῖαν·
ἀλλ' ἄγε, τῶν ἄλλων ἑτάρων κατάλεξον ὄλεθρον.'
„ὣς ἔφαν· αὐτὰρ ἐγὼ προσέφην μαλακοῖσι ϝέπεσσι·
‚νῆα μὲν ἂρ πάμπρωτα ϝερύσσομεν ἤπειρόνδε, 423 sq. cf. 403 sq.
κτήματα δὲ σπεέεσσι πελάσσομεν ὅπλα τε πάντα·
αὐτοὶ δ' ὀτρύνεσθε ἐμοὶ ἅμα πάντες ἕπεσθαι,
ὄφρα ϝίδηθ' ἑτάρους ἱεροῖσ' ἐν δώμασι Κίρκης
πίνοντας καὶ ἔδοντας· ἐπηετανὸν γὰρ ἔχουσι.' 427 cf. η 99
„ὣς ἐφάμην, οἳ δ' ὦκα ἐμοῖσ' ἐπίθοντο ϝέπεσσι· 428 = 178
Εὐρύλοχος δέ μοι οἶος ἐρύκανε πάντας ἑταίρους,
καί σφας φωνήσας ϝέπεα πτερόεντα προσηύδα·
‚ἆ δϝειλοί, πόσ' ἴμεν; τί κακῶν ἱμείρετε τούτων;
Κίρκης εἰς μέγαρον καταβήμεναι; ἥ κεν ἅπαντας
ἢ σῦς ἠὲ λύκους ποιήσεται ἠὲ λέοντας,

415 δακρυόεντες ἔχυντο· 'δόκησε δ' ἄρα σφίσι θυμὸς
ὣς ἔμεν' ὡς εἰ πατρίδ' ἱκοίατο καὶ πόλιν αὐτὴν
τρηχείης Ἰθάκης, ἵνα τ' ἔτραφον ἠδ' ἐγένοντο.

οἵ κέν Ϝοι μέγα δῶμα φυλάσσοιμεν καὶ ἀνάγκῃ·
435 ὡς Κύκλωψ περ ἔϜερξ', ὅτε Ϝοι μέσσαυλον ἵκοντο 435^{b} = Ω 29
ἡμέτεροι ἕταροι, σὺν δ' ὃ θρασὺς εἵπετ' Ὀδυσσεύς·
τούτου γὰρ καὶ κεῖνοι ἀτασθαλίῃσιν ὄλοντο.' 437 cf. Δ 409
„ὣς ἔφατ'· αὐτὰρ ἐγώ γε μετὰ φρεσὶ 'μερμήριξα,
σπασσάμενος τανύηκες ἄορ παχέος παρὰ μηροῦ, 439 = Π 473
440 τῷ Ϝοι ἀποπλήξας κεφαλὴν οὖδάσδε πελάσσαι
καὶ πηῷ περ ἐόντι μάλα σχεδόν. ἀλλά μ' ἑταῖροι
μειλιχίοισι Ϝέπεσσιν ἐρήτυον ἄλλοθεν ἄλλος· 442 = ι 493
443 ,διογενὲς, τοῦτον μὲν ἐάσομεν, εἰ σὺ κελεύεις·
445 ἡμῖν δ' ἡγεμόνευ' ἱερὰ πρὸς δώματα Κίρκης.'
„ὣς φάμενοι παρὰ νηὸς ἀνήισαν ἠδὲ θαλάσσης. 446 cf. 274
οὐδὲ μὲν Εὐρύλοχος κοίλῃ παρὰ νή' ἐλέλειπτο,
ἀλλ' ἕπετ'· ἔδϜεισεν γὰρ ἐμὴν ἔκπαγλον ἐνιπήν.
„τόφρα δὲ τοὺς ἄλλους ἑτάρους ἐν δώμασι Κίρκη
450 ἐνδυκέως 'λοῦσέν τε καὶ ἔχρισεν λίπ' ἐλαίῳ, 450 sq. cf. Ω 587 sq.
ἀμφὶ δ' ἄρα χλαίνας Ϝούλας ἔβαλ' ἠδὲ χιτῶνας· 451 cf. δ 50
δαινυμένους δ' ἐὺ πάντας ἐφηύρομεν ἐν μεγάροισι.
οἳ δ' ἐπεὶ ἀλλήλους ἔϜιδον 'φράσσαντό τ' ἐς ἄντα,
'κλαῖον ὀδυρόμενοι, περὶ δ' ἐστεναχίζετο δῶμα. 454^{b} cf. ψ 146
455 ἡ δέ με' ἄγχι στᾶσα προσηύδα δῖα θεάων. 455 = 400

444 αὐτόθι πὰρ νηί τε μένειν καὶ νῆα ῥύεσθαι· 444 = ι 194
456 διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ, 456 = 401

434 οἵ] ἥ Nitzsch. ‖ φυλάσσοιμεν] de primae personae usu vid. ad β 41.
435-437] postea, fortasse ab ipso diasceuasta, insertos censet Kirchhoff; vs. 436 sq. ordine inverso habet F^{1}, om. P.
435 *ὡς Κύκλωψ περ ἔϜερξ'] ὥς περ Κύκλωψ ἕρξ' (ἕρεξ' G) mss.; in vulgata cum metrum displicet tum verborum ordo insolitus.
436 δ' ὃ] δὲ?
440 ἀποπλήξας Ar.] ἀποτμήξας mss.; vid. ad Δ 146 Σ 34 Ψ 120 ϑ 507.
441 πηῷ] de voce πηός vid. Γ 163. — *Ctimenen*, Ulixis sororem (vid. ο 363) Eurylochus uxorem duxisse fertur.
442 μειλιχίοισι Ϝέπεσσιν § 60] -οις ἐπέεσσιν mss.
444] delevimus; vid. ad Γ 312. ‖ αὐτόθι § 322] αὐτοῦ mss. ‖ πὰρ] παρὰ F^{1} P X mss. alia; vid. ad ι 194. ‖ ῥύεσθαι PKnight] ἔρυσθαι mss.; cf. § 164.
446 ἀνήισαν Nauck] ἀνήιον mss.; vid. ad vs. 146 et § 308.
447 νή' ἐλέλειπτο] νηὶ λέλ. mss.
448 ἐμὴν ἔκπαγλον ἐνιπήν] ἐνιπὴν τοῖο Ϝάνακτος Fick (vid. ad libri κ initium).
450 'λοῦσεν] 'λόεσεν? cf. § 295. ‖ λίπ'] cf. § 13.
451 Ϝούλας] καλὰς G F mss. alia. ‖ *ἔβαλ'] βάλεν mss.
452 ἐὺ πάντας] ἄρα τούς γε P H mss. alia.
453 τ' ἐς ἄντα G T] τε πάντα F^{1} P H X, τε θυμῷ F^{2} M. Cf. τ 475.
454 ἐστεναχίζετο] στοναχίζετο X mss. alia. ‖ δῶμα] γαῖα G (cf. Β 95).
455 με' § 92] μευ mss.; an *μοι? cf. § 318^{1}. ‖ προσηύδα] -δαε? cf. § 195.
456] om. mss. pleraque, cf. vs. 401.

457 ,μηκέτι νῦν θαλερὸν γόον ὄρνυτε· Ϝοῖδα καὶ αὐτὴ,
ἠμὲν ὅσ' ἐν πόντῳ 'πάθετ' ἄλγεα ἰχθυόεντι,
ἠδ' ὅσ' ἀνάρσιοι ἄνδρες ἐδηλήσαντ' ἐπὶ χέρσου. 459 cf. λ 401, 408 ω 111
460 ἀλλ' ἄγετ' ἐσθίετε βρώμην καὶ πίνετε Ϝοῖνον, 460 = μ 23
εἰς ὅ κεν αὖτις θυμὸν ἐνὶ στήθεσσι λάβητε,
οἷον ὅτε πρώτιστον ἐλείπετε πατρίδα γαῖαν
τρηχείης Ἰθάκης· νῦν δ' ἀσκελέες καὶ ἄθυμοι,
αἰὲν ἄλης χαλεπῆς μεμνημένοι· οὐδέ ποθ' ὔμιν
465 θυμὸς ἐν εὐφροσύνῃ, ἐπεὶ ἦ μάλα πολλὰ πέπασθε.' 465^{b} cf. Γ 99
„ὣς ἔφαθ'· ἦμιν δ' αὖτ' ἐπεπείθετο θυμὸς ἀγήνωρ. 466 = β 103
ἔνθα μὲν ἤματα πάντα τελεσφόρον εἰς ἐνιαυτὸν 467^{b} = δ 86
ἥμεθα δαινύμενοι κρέα τ' ἄσπετα καὶ μέθυ Ϝηδύ· 468 = ι 162
469 ἀλλ' ὅτε δή ῥ' ἐνιαυτὸς ἔην, περὶ δ' ἔτραπον ὧραι,
471 καὶ τότε μ' ἐκκαλέσαντες ἔφαν ἐρίηρες ἑταῖροι·
,δαιμόνι', ἤδη νῦν μιμνήσκεο πατρίδος αἴης,
εἴ τοι θέσφατόν ἐστι σαωθῆναι καὶ ἱκέσθαι 473^{b} sq. cf. δ 475 sq.
474 Ϝοῖκον ἐς ὑψόροφον καὶ σὴν εἰς πατρίδα γαῖαν.' 474 = η 77
480 „αὐτὰρ ἐγὼ Κίρκης ἐπιβὰς περικαλλέος εὐνῆς 480 cf. 347
γούνων ἐλλιτάνευσα, θεὰ δέ μοι ἔκλυεν αὐδῆς· 481^{b} = 311

470 μηνῶν φθινόντων, περὶ δ' ἤματα μάκρ' ἐτελέσθη. 470 cf. τ 153 ω 143 Hes. Theog. 59
475 „ὣς ἔφαν· αὐτὰρ ἐμοί γ' ἐπεπείθετο θυμὸς ἀγήνωρ. 475 cf. β 103 κ 406
ὣς τότε μὲν πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα 476-478 = ι 556 sqq.
ἥμεθα δαινύμενοι κρέα τ' ἄσπετα καὶ μέθυ Ϝηδύ·
ἦμος δ' ἠέλιος κατέδυ καὶ ἐπὶ κνέφας ἦλθε,
οἳ μὲν ἐκοιμήσαντο κατὰ μέγαρα σκιόεντα, 479 cf ψ 299

457 μηκέτι] μή μ' ἔτι G. ‖ θαλερὸν] στυγερὸν Aristoph., non improbante Didymo.
459] in F X D n i k subiungitur βοῦς περιταμνομένους ἠδ' (-νῃ καὶ X D) οἰῶν πώεα καλά (= ω 112).
462-465] del. PKnight.
462 πρώτιστον] -στα? vid. ad δ 577.
463 ἀσκελέες] alias nonnisi neutrum ἀσκελές (α 68 δ 543) et adverbium ἀσκελέως (Τ 68) reperiuntur. ‖ ἄθυμοι] †.
464 αἰὲν] αἰεὶ mss. pleraque; cf. α 341.
465 εὐφροσύνῃ] -νῃσ' G i k. ‖ πέπασθε Ar.] πέποσθε mss.; cf. § 160.
467-470] probabiliter Kirchhoff statuit, in carmine vetusto unde haec omnia sunt ducta (vid. ad libri κ initium) Ulixem plures annos commoratum fuisse apud Circen, huius enim deae in illa narratione similes fuisse partes atque Calypsus in altero carmine de Ulyxis reditu; diasceuastam autem locum mutasse ut constaret temporum ratio.
469 ἔην] ἔεν? vid. § 302.
470-479] del. Duentzer et vs. 480 legit καὶ τότ' ἐγὼ.
470] om. G (cum praecedenti) T H U^{1} M K J^{1} Z i Eust. ‖ μάκρ' ἐτελέσθη] μακρὰ τ. mss.
474 ἐς ὑψόροφον] ἐυκτίμενον H mss. alia.
475-479] om. H W Eust.
479 οἳ μὲν] δὴ τότε H^{2} M mss. alia. ‖ ἐκοιμήσαντο] κοιμήσαντο mss. ‖ κατὰ] ἀνὰ H^{2} M mss. alia.
481 μοι G P] μευ mss. cetera; cf. vs. 311.

καί μιν φωνήσας Ϝέπεα πτερόεντα προσηύδων·
‚ὦ Κίρκη, τέλεσόν μοι ὑπόσχεσιν ἥν περ ὑπέστης, 483^{b} cf. *B* 286
Ϝοίκαδε πεμψέμεναι· θυμὸς δέ μοι ἔσσυται ἤδη
ἠδ' ἄλλων ἑτάρων, οἵ μοι φθινύθουσι φίλον κῆρ 485^{b} cf. *Λ* 491
ἀμφ' ἔμ' ὀδυρόμενοι, ὅτε που σύ γε νόσφι γένηαι.'
„ὣς ἐφάμην, ἣ δ' αὐτίκ' ἀμείβετο δῖα θεάων· 487 sq. = 503 sq. 487 = δ 382
‚διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
μηκέτι νῦν ἀϜέκοντες ἐμῷ ἐνὶ μίμνετε Ϝοίκῳ.
ἀλλ' ἄλλην χρὴ πρῶτον ὁδὸν τελέσαι καὶ ἱκέσθαι
εἰς ἈϜίδαο δόμους καὶ ἐπαινῆς Περσεφονείης, 491 sq. = 564 sq.
ψυχῇ χρησομένους Θηβαίου Τειρεσίαο 492 cf. λ 165 ψ 323 492^{b} sq.^{a} cf. μ 267
μάντιος ἀλαόο, τοῦ τε φρένες ἔμπεδοί εἰσι·
τῷ καὶ τεθνηῶτι νόον 'πόρε Περσεφόνεια
οἴῳ πεπνῦσθαι· τοὶ δὲ σκιαὶ ἀίσσουσι.'
„ὣς ἔφατ'· αὐτὰρ ἐμοί γε κατεκλάσθη φίλον ἦτορ· 496 = δ 538
'κλαῖον δ' ἐν λεχέεσσι καθήμενος, οὐδέ νύ μοι κῆρ 497 cf. δ 539
ἤθελ' ἔτι ζώειν καὶ ὁρᾶν φάος ἠελίοιο. 498 sq. = δ 540 sq.
αὐτὰρ ἐπεὶ κλαίων τε κυλινδόμενός τ' ἐκορέσθην,
καὶ τότε δή Ϝε Ϝέπεσσιν ἀμειβόμενος προσέϜειπον· 500 = ε 96
‚ὦ Κίρκη, τίς γὰρ ταύτην ὁδὸν ἡγεμονεύσει;
εἰς ἌϜιδος δ' οὔ πώ τις ἀφίκετο νηὶ μελαίνῃ.'
„ὣς ἐφάμην, ἣ δ' αὐτίκ' ἀμείβετο δῖα θεάων· 503 = 487
‚μή τί τοι ἡγεμόνος γε ποθὴ παρὰ νηὶ μελέσθω·
ἱστὸν δὲ στήσας ἀνά θ' ἱστία λευκὰ πετάσσας 506 cf. *Λ* 480

504 *διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,* 504 = 488

482-λ 24] diasceuastae tribuit Kirchhoff exceptis vs. 546-560 et fortasse λ 1-3, ostendit autem *Ulixis iter ad inferos*, partem antiquissimae narrationis, a diasceuasta inepte insertum esse *τοῖς περὶ Κίρκης* ex altero fonte desumtis (vid. ad λ 25 sqq.). Poeta, qui Ulixem in Circae aula degentem pinxit, non *bis* sed *semel* ex eius insula eum profectum esse finxit; pergit eius carmen μ 9. — WCKayser del. ϰ 490-μ 23.

482] om. G P M^{1} T Eust.

485 *μοι* T^{1}] *με* G, *μευ* mss. cett.; cf. § 92. An **ἐμὸν*?

486 *που*] **κεν*?

491 *ἐπαινῆς*] cf. *I* 457.

493 *μάντιος*] *μάντηος* M, *μαντῆος* Thiersch. || *ἀλαόο* § 59] *ἀλαοῦ* mss. (*ἀγλαοῦ* X); Naber *ἀγλαόο*. De sono ἀ- vid. § 21.

494 *τεθνηῶτι* P mss. alia] *τεθνειῶτι* mss. pleraque; cf. § 160.

495 *τοί*] sic Ar.; *ceteri umbrarum modo vagantur*; cf. Cic. de Divin. I 40 § 88.

497 *δ' ἐν*] *δὲ* G (vid. ad *Θ* 337). || *νύ μοι κῆρ* G F P X] *τι θυμὸς* H M.

500] *καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδων* G F H M mss. alia. || *Ϝε* Bentley] *μιν* mss.

502] in P subiungitur *ζωὸς ἐών· χαλεπὸν δὲ τά γε ζωοῖσιν ὁρᾶσθαι* (cf. λ 156).

504] om. G F P mss. alia.

505 *μελέσθω*] *γενέσθω* F mss. alia; vid. ϑ 414 et ad *Λ* 523.

ἧσθαι, τὴν δέ κέ τοι πνοιὴ Βορέαο φέρῃσι.
ἀλλ' ὅτε κεν δὴ νηὶ δι' Ὠκεανοῖο περήσῃς,
ἔνθ' ἀκτή τ' ἐλαχεῖα καὶ ἄλσεα Περσεφονείης,
μακραί τ' αἴγειροι καὶ Ϝιτέαι ὀλεσίκαρποι,
νῆα μὲν αὐτόθι κέλσαι ἐπ' Ὠκεανῷ βαθυδίνῃ,
αὐτὸς δ' εἰς ἈϜίδα' ἴμεναι δόμον ἠερόεντα. 512 cf. ψ 322
ἔνθα μὲν εἰς Ἀχέροντα Πυριφλεγέθων τε ῥέουσι
Κώκυτός θ', ὃς δὴ Στυγὸς ὕδατός ἐστιν ἀπορρώξ, 514^{b} = *B* 755
πέτρη τε ξύνεσίς τε δύω ποταμῶν ἐριδούπων·
ἔνθα δ' ἔπειθ', ἥρως, χριμφθεὶς πέλας, ὥς σε κελεύω,
βόθρον ὀρύξαι ὅσον τε πυγούσιον ἔνθα καὶ ἔνθα· 517 sq. cf. λ 25 sq. 517^{b} cf. *Ψ* 164
ἀμφ' αὐτῷ δὲ χοὴν χεῖσθαι πᾶσιν νεκύεσσι,
πρῶτα μελικρήτῳ, μετέπειτα δὲ Ϝηδέι Ϝοίνῳ, 519 = λ 27
τὸ τρίτον αὖθ' ὕδατι· ἐπὶ δ' ἄλφιτα λευκὰ παλύνειν. 520 sq. cf. λ 28 sq. 520^{b} cf. *Λ* 640
πολλὰ δὲ γουνᾶσθαι νεκύων ἀμενηνὰ κάρηνα, 521^{b} = 536 λ 49
ἐλθὼν εἰς Ἰθάκην στεῖραν βοῦν, ἥ τις ἀρίστη, 522-524 = λ 30 sqq.
ῥεξέμεν' ἐν μεγάροισι πυρήν τ' ἐμπλησέμεν' ἐσθλῶν·
Τειρεσίῃ δ' ἀπάνευθεν ὄιν ἱερευσέμεν' οἴῳ
παμμέλαν', ὃς μήλοισι μεταπρέπει ὑμετέροισι. 525 sq. cf. λ 33 sq.

508 *ὅτε κεν* § 326] *ὁπότ' ἂν* mss.

509 *τ' ἐλαχεῖα*] *τ' ἐλάχεια* (Zen.) G^{2} H^{2} W, *τε λαχεῖα* vel *λάχεια* mss. cett.; cf. ι 116 *Λ* 99.

510 *ὀλεσίκαρποι* G P H^{2}] *ὠλεσ.* mss. cett.; cf. § 21. Vox †. Salices fructus ad maturitatem non perducunt.

511-515] del. Duentzer, vs. 512-515 PKnight, vs. 513-515 Nitzsch.

511 *αὐτόθι* § 322] *αὐτοῦ* mss. || *κέλσαι*] vid. ad ι 148.

512 *ἈΐδαꞋ(ο)* U] *Ἀΐδεω* mss. pleraque; cf. § 55. || *ἴμεναι* § 125] *ἰέναι* mss. || *ἠερόεντα* Nauck] *εὐρώεντα* mss.; vid. ad *Y* 65.

514 *Κώκυτος*] cf. *X* 409. || *ἀπορρώξ*] cf. *B* 755.

515] de asyndeto cf. *B* 672. || *ξύνεσις*] † (*ξυνίημι* *B* 26 etc.). || *ἐριδούπων*] l. a. *ἐριμύκων*.

516 *χριμφθείς*] simplex nonnisi h. Ap. 439 redit, *ἐγχρίμπτω* *E* 662 etc. || *κελεύω*] -*σω* F mss. alia; vid. ad ε 179.

517-537] del. Friedlaender utpote ex libro λ male transscriptos.

517 *πυγούσιον*] unius *πυγόνος* sive *palmipedis* (0.385 M.; cf. Herodot. II 175 Polluc. II 158). Adi. nonnisi λ 25 redit; quadamtenus comparari potest *γερούσιος*. PKnight *ὅσον πυγοέντιον* (*πυγοείσιον*).

518 *χεῖσθαι*] noviciam formam (pro *χέεσθαι*) Fick imputat diasceuastae, qui ex libri λ initio haec sumsit; Menrad *πᾶσιν νεκύεσσι χέεσθαι* vel potius *χεύεσθαι* (immo *χεύασθαι*) *πᾶσι νέκυσσι* coll. χ 401 ψ 45. An **χεέειν*? cf. ι 10.

519 *μελικρήτῳ*] nonnisi loco parall. redit.

521 *γουνᾶσθαι* U^{1} k] *γουνοῦσθαι* mss. cetera; cf. § 144. || *νεκύων — κάρηνα*] vertit Verg. Aen. VI 292: *tenuis sine corpore vitas*.

523 *ῥεξέμεν' ... ἐμπλησέμεν' ... ἱερευσέμεν'*] futura pendent a verbo *γουνᾶσθαι* (vs. 521) cui *vovendi* h. l. notio inest; item loco parall.

523 *ῥεξέμεν'* § 125] *ῥέξειν* mss.; cf. ρ 51, 60 et Antimachus apud Athenaeum XI 468*a*.

525 *παμμέλαν'*] vid. ad *Γ* 103. || *μεταπρέπει*] -*πῃ*? vid. ad λ 33. || *ὑμετέροισι(ν)* F H X] *ἡμετέροισιν* G M (cf. λ 33), *ἀγρομένοισιν* P (cf. ϑ 172).

αὐτὰρ ἐπεί κ' εὐχῇσι λίσῃ κλυτὰ Ϝέθνεα νεκρῶν,
ἔνθ' ὄιν ἀρνειὸν ῥέξειν θῆλύν τε μέλαιναν
εἰς ἔρεβος τρέψας, αὐτὸς δ' ἀπὸ νόσφι τραπέσθαι — 528ᵇ = ε 350
Ϝιέμενος ποταμοῖο ῥοάων· ἔνθα δὲ πολλαὶ
ψυχαὶ ἐλεύσονται νεκύων κατατεθνηώτων. — 530 cf. λ 37, 564
δὴ τότ' ἔπειθ' ἑτάροισιν ἐποτρῦναι καὶ ἀνῶξαι — 531 sq. cf. λ 44 sq.
μῆλα, τὰ δὴ κατάκειτ' ἐσφαγμένα νηλέι χαλκῷ, — [sqq.
δείραντας κατακῆαι, ἐπεύξασθαι δὲ θεοῖσι, — 533-535 = λ 46
ἰφθίμῳ τ' ἌϜιδι καὶ ἐπαινῇ Περσεφονείῃ· — 534 cf. Ι 569 Hes. Theog. 768
αὐτὸς δὲ ξίφος ὀξὺ Ϝερυσσάμενος παρὰ μηροῦ — 535 cf. ι 300
ἧσθαι μηδ' ἐάειν νεκύων ἀμενηνὰ κάρηνα — 536 cf. λ 49; 536ᵇ = 521
αἵματος ἆσσον ἴμεν πρὶν Τειρεσίαο πυθέσθαι. — 537 = λ 50, 89; 537ᵃ = λ 148
ἔνθα τοι αὐτίκα μάντις ἐλεύσεται, ὄρχαμε λαῶν,
ὅς κέν τοι Ϝείπῃσιν ὁδὸν καὶ μέτρα κελεύθου — 539 cf. δ 389
νόστον θ', ὡς ἐπὶ πόντον ἐλεύσεαι ἰχθυόεντα.' — 540 = δ 390
„ὧς ἔφατ'· αὐτίκα δὲ χρυσόθρονος ἤλυθεν Ἠώς. — 541 = μ 142 ο 56 υ 91
ἀμφὶ δέ με χλαῖνάν τε χιτῶνά τε Ϝείματ' ἔϜεσσε· — 542 = ξ 320 cf. ε 229
αὐτὴ δ' ἀργύφεον φᾶρος μέγα 'Ϝέννυτο νύμφη — 543 sq. = ε 230 sq.
λεπτὸν καὶ χαρίεν, περὶ δὲ ζώνην 'βάλετ' ἰξυῖ
καλὴν χρυσείην, κεφαλῇ δ' ἐπέθηκε καλύπτρην. — 545 cf. ε 232
αὐτὰρ ἐγὼ διὰ δῶμα κιὼν ὤτρυνον ἑταίρους — 546 cf. μ 144, 206
μειλιχίοισι Ϝέπεσσι παρασταδὸν ἄνδρα Ϝέκαστον· — 547 = κ 173 μ 145

526 ἐπεί κ' § 326] ἐπὴν mss. ‖ εὐχῇσι] †, cf. εὐχωλή Α 65 etc., εὖχος Ε 285 etc., εὖγμα χ 249. ‖ λίσῃ] novicium pro λίσεαι, cf. § 117; *λίσηαι Ϝέθνεα? Sed spurius videtur locus, cf. λ 34 sq.; nam vere observavit Nitzsch, obscurius hic indicari quae illic perspicue enarrantur.

527-530] del. Duentzer.

527 μέλαιναν] vid. ad Γ 103.

528 τρέψας] στρέψας G T Eust.; cf. μ 81.

530 κατατεθνηώτων § 160] -ειώτων mss.

531] verbo ἐποτρύνειν etiam Ο 258 dativus adiungitur, verbo ἀνώγειν etiam υ 139, ubi vid.; alias utrumque adsciscit accusativum. ‖ ἀνῶξαι] vid. § 225.

532] ex λ 45 inepte transsumtum esse observavit Kirchhoff. ‖ κατάκειτ'(αι) F mss. alia] κατέκειτ' pleraque absurde.

534 Ἄιδι G F T k] Ἀίδῃ mss. cett.; cf. λ 47. ‖ ἐπαινῇ] cf. Ι 457.

536 μηδ' ἐάειν] μηδὲ (μηδ' P) ἐᾶν mss. hiatu vitioso.

537 ἴμεν] pro ἴμεναι suspectum, cf. § 126.

539 κελεύθου] θαλάσσης G (vid. δ 389).

542] ridiculum iure vocat Kirchhoff (diasceuastae hanc culpam esse ratus, vid. ad κ 482-λ 25). ‖ Ϝείματ' ἔϜεσσε] εἵματα ἕσσεν mss.: Bothe εἵματα ἕσσα.

543 ἀργύφεον] -ρεον F H², cf. locus par.

544 ἰξυῖ] cf. § 75; vox nonnisi loco par. redit.

545 ἐπέθηκε] cf. ε 232.

546-560] versui 481 olim sic fere subiunctos fuisse arbitratur Kirchhoff: ἔκλυεν αὐδῆς. | ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς, | δὴ τότ' ἐγὼ etc.; vid. ad κ 482-λ 25.

546 δῶμα κιὼν G F P H¹ T n] δώματ' ἰὼν mss. complura; cf. Ξ 440 β 260 θ 286.

547 μειλιχίοισι Ϝέπεσσι § 60] -οις ἐπέεσσι mss.

'μηκέτι νῦν εὕδοντες ἀωτέετε γλυκὺν ὕπνον, — 548 cf. Κ 159
ἀλλ' ἴομεν· δὴ γάρ μοι ἐπέφραδε πότνια Κίρκη.'
ὣς ἐφάμην· τοῖσιν δ' ἐπεπείθετο θυμὸς ἀγήνωρ. — 550 = μ 324 τ 148 cf. β 103
„οὐδὲ μὲν οὐδ' ἔνθεν περ ἀπήμονας ἦγον ἑταίρους.
Ϝελπήνωρ δέ τις ἦσκε νεώτατος, οὔτε τι λίην
ἄλκιμος ἐν πολέμῳ οὔτε φρεσὶ Ϝῇσιν ἀρηρώς,
ὅς μοι ἄνευθ' ἑτάρων ἱεροῖσ' ἐν δώμασι Κίρκης
ψύχεος ἱμείρων κατελέξατο Ϝοινοβαρείων·
κινυμένων δ' ἑτάρων ὅμαδον καὶ δοῦπον ἀκούσας
ἐξαπίνης ἀνόρουσε καὶ ἐκλάθετο φρεσὶ Ϝῇσι
ἄψορρον καταβήμεν' ἰὼν εἰς κλίμακα μακρήν, — 558 = λ 63
ἀλλὰ κατ' ἄντικρυς τέγεος 'πέσεν· ἐκ δέ Ϝοι αὐχὴν — 559 cf. λ 64
ἀστραγάλων ἐϜάγη, ψυχὴ δ' ἌϜιδόσδε κατῆλθε. — 560 = λ 65
„ἐρχομένοισι δὲ τοῖσιν ἐγὼ μετὰ μῦθον ἔϜειπον·
'φάσθε νύ που Ϝοῖκόνδε φίλην εἰς πατρίδα γαῖαν
ἔρχεσθ'· ἄλλην δ' ἧμιν ὁδὸν 'τεκμήρατο Κίρκη
εἰς ἈϜίδαο δόμους καὶ ἐπαινῆς Περσεφονείης, — 564 sq. = 491 sq.
ψυχῇ χρησομένους Θηβαίου Τειρεσίαο.'
„ὧς ἐφάμην· τοῖσιν δὲ κατεκλάσθη φίλον ἦτορ. — 566 = 198
ἑζόμενοι δὲ κατ' αὖθι 'γόων 'τίλλοντό τε χαίτας·
ἀλλ' οὐ γάρ τις πρῆξις ἐγίγνετο μυρομένοισι. — 568 = 202
„ἀλλ' ὅτε δή ῥ' ἐπὶ νῆα θοὴν καὶ θῖνα θαλάσσης — 569ᵇ = δ 779
ἤιμεν ἀχνύμενοι, θαλερὸν κατὰ δάκρυ χέοντες, — 570 cf. λ 5, 466 μ 12
τόφρα δ' ἄρ' οἰχομένη Κίρκη παρὰ νηὶ μελαίνῃ
ἀρνειὸν κατέδησεν ὄιν θῆλύν τε μέλαιναν,
ῥεῖα παρεξελθοῦσα· τίς ἂν θεὸν οὐκ ἐθέλοντα
ὀφθαλμοῖσι Ϝίδοιτ' ἤ' ἔνθ' ἤ' ἔνθα κιόντα;

548 ἀωτέετε § 191] -τεῖτε mss. Verbum Κ 159 redit.

549 πότνια] θέσφατα P, fortasse recte.

551-560] del. Duentzer.

552 ἦσκε] ἔσκε mss.

555 ψύχεος] †. ‖ Ϝοινοβαρείων] vid. ad ι 374.

558 καταβήμεν' § 125] -βῆναι mss. ‖ κλίμακα] κίονα P (cf. α 127).

559 ἄντικρυς § 31] ἀντικρὺ mss.

564 ἐπαινῆς] cf. Ι 457.

569-574] del. PKnight; Kirchhoff coll. λ 4 vindicat diasceuastae (vid. ad κ 482-λ 24).

569] om. mss. complura.

570 ἤιμεν Nauck] ἤομεν mss.; cf. vs. 251.

571 νηὶ μελαίνῃ] νῆα μέλαιναν F mss. alia.

572 κατέδησεν] l. a. κατέθηκεν.

573 ἂν] vid. § 326; *ῥεῖα παραφθαμένη· τίς κεν? cf. Κ 346 Ψ 515. Sed fortasse ferendum est ἂν loco hoc recenti.

ΟΔΥΣΣΕΙΑΣ λ.

Ἀλκινόου ἀπόλογοι (ι—μ).

Νέκυια.

„αὐτὰρ ἐπεί ῥ' ἐπὶ νῆα κατήλθομεν ἠδὲ θάλασσαν, 1 = δ 573
νῆα μὲν ἂρ πάμπρωτα 'Ϝερύσσαμεν εἰς ἅλα δῖαν, 2 sq. cf. δ 577 sq. 2 cf. κ 403
ἐν δ' ἱστὸν 'τιθέμεσθα καὶ ἱστία νηὶ μελαίνῃ,
ἓν δὲ τὰ μῆλα λαβόντες ἐβήσαμεν, ἂν δὲ καὶ αὐτοὶ
'βαίνομεν ἀχνύμενοι, θαλερὸν κατὰ δάκρυ χέοντες. 5 cf. κ 570
ἧμιν δ' αὖ κατόπισθε νεὸς κυανοπρῴροιο 6-8 = μ 148 sqq. 6^b cf. ι 539
ἴκμενον οὖρον ἵει πλησίστιον, ἐσθλὸν ἑταῖρον,
Κίρκη ἐυπλόκαμος, δϜεινὴ θεὸς αὐδήεσσα. 8 = κ 136
ἧμες δ' ὅπλα Ϝέκαστα πονησάμενοι κατὰ νῆα 9 cf. μ 151
ἥμεθα· τὴν δ' ἄνεμός τε κυβερνήτης τ' ἴθυνον. 10 = μ 152 cf. ι 78
τῆς δὲ πανημερίης 'τέταθ' ἱστία ποντοπορούσης.

---

12 'δύσετό τ' ἠέλιος 'σκιάοντό τε πᾶσαι ἀγυιαί. 12 = β 388

1-24] vid. ad κ 482-λ 24.

1 κατήλθομεν] κατήλυθον G P.

2 πάμπρωτα Bentley] -τον mss.; vid. ad δ 577.

4 ἐβήσαμεν] ἐδήσαμεν U^2 (cf. κ 572). ‖ ἂν G H M X] ἐν F P.

6 κατόπισθε] μετόπισθε F^2; videatur versus vs. par.

7 ἴκμενον] vid. ad Α 479. ‖ πλησίστιον] adi. nonnisi par. redit.

8 αὐδήεσσα] vid. ad ε 334.

9] cf. β 430. ‖ ἧμες § 92] ἡμεῖς mss.

10] cf. Verg. Aen. III 269. ‖ κυβερνήτης] -νῆται P. ‖ ἴθυνον vHerwerden] ἴθυνεν mss.; vid. μ 152.

11 ποντοπορούσης] forma novicia, cf. § 191. Verbum †, sed cf. ποντοπορεύω ε 277 sq. η 267, ποντοπόρος Β 771 etc.

12] del. vHerwerden. ‖ 'σκιάοντο § 191] σκιόωντο mss.

ἣ δ' εἰς πείραθ' ἵκανε βαθυρρόου Ὠκεανοῖο.
ἔνθα δὲ Κιμμερίων ἀνδρῶν δῆμός τε πόλις τε,
ἠέρι καὶ νεφέλῃ κεκαλυμμένοι· οὐδέ ποτ' αὐτοὺς 15^a cf. θ 562
ἠέλιος φαέθων καταδέρκεται ἀκτίνεσσι, 16 cf. Hes. Theog. 760
οὔθ' ὁπότε στείχῃσι πρὸς οὐρανὸν ἀστερόεντα, 17^b sq. cf. μ 380 sq.
οὔθ' ὁπότ' ἂψ ἐπὶ γαῖαν ἀπ' οὐρανόθεν προτράπηται·
ἀλλ' ἐπὶ νὺξ ὀλοὴ τέταται δϜειλοῖσι βροτοῖσι.
νῆα μὲν ἔνθ' ἐλθόντες ἐκέλσαμεν, ἐκ δὲ τὰ μῆλα 20 cf. ι 546
εἱλόμεθ'· αὐτοὶ δ' αὖτε παρὰ ῥόον Ὠκεανοῖο
ἤιμεν, ὄφρ' εἰς χῶρον ἀφικόμεθ' ὃν 'φράσε Κίρκη.
„ἔνθ' ἱερήια μὲν Περιμήδης Εὐρύλοχός τε 23^b = μ 195
ἔσχον· ἐγὼ δ' ἄορ ὀξὺ Ϝερυσσάμενος παρὰ μηροῦ 24 cf. κ 321
βόθρον ὄρυξ' ὅσσον τε πυγούσιον ἔνθα καὶ ἔνθα· 25 sq. cf. κ 517 sq.
ἀμφ' αὐτῷ δὲ χοὴν 'χεόμην πᾶσιν νεκύεσσι,
πρῶτα μελικρήτῳ, μετέπειτα δὲ Ϝηδέι Ϝοίνῳ, 27 = κ 519
τὸ τρίτον αὖθ' ὕδατι· ἐπὶ δ' ἄλφιτα λεύκ' ἐπάλυνον. 28 sq. cf. κ 520 sq. 28^b cf. Α 640
πολλὰ δ' ἐγουναόμην νεκύων ἀμενηνὰ κάρηνα,
ἐλθὼν εἰς 'Ιθάκην στεῖραν βοῦν, ἥ τις ἀρίστη, 30-32 = κ 522 sqq.
ῥεξέμεν' ἐν μεγάροισι πυρήν τ' ἐμπλησέμεν' ἐσθλῶν·
Τειρεσίῃ δ' ἀπάνευθεν ὄιν ἱερευσέμεν' οἴῳ

13-15] Cimmeriam in ultimis terrae finibus sitam esse e poetae (vel potius diasceuastae) verbis apparet; quam ob causam caligine tecta esse dicitur. Accuratius ex Homero designari nequit; posteriores Graeci regionem lacui Maeotidi vicinam intellegebant (cf. Herod. IV 11), fortasse recte. Nomen indicare videtur gentem *in tenebris habitantem*; in inscriptionibus Assyriis dicuntur *Gimirri*.

14-19] del. Duentzer.

14 Κιμμερίων] Κερβερίων Crates, quam lectionem peperit iocus Aristophanis comici Ran. 187; alii Κεμμερίων, alii Χειμερίων; cf. Etym. M. 513,44. In schol. H lectio Κερβερέων (-ίων) tribuitur Aristarcho; quod falsum esse intellexit Nitzsch.

15-18] imitatur Verg. Georg. III 357-359.

16-19] cum hac fabula cf. narratio de praelongis Laestrygonum diebus κ 82 sqq.

16 καταδέρκεται Aristoph. Ar. T] ἐπιδέρκεται mss. cett. — Comp. redit h. Cer. 70 (ἐπιδ. non extat alibi in Hom., sed legitur Hes. Theog. 760).

17 sq. ὁπότε ... ὁπότ' Monro] ὁπότ' ἂν ... ὅτ' ἂν mss.; cf. § 326.

20 ἐκέλσαμεν] vid. ad ι 148. ‖ ἐκ] ἐν F P mss. alia.

22 ἤιμεν Nauck] ἤομεν mss.; cf. κ 251.

24 ἔσχον] εἶχον F.

25 sqq.] hinc incipit vetusta narratio, a diasceuasta huic loco inserta (vid. ad κ 482-λ 24), quam Kirchhoff putat in carmine antiquissimo Cyclopeae subiunctam praecessisse Ulixis adventum ad insulam Calypsus.

25 ὄρυξ' ὅσσον] ὄρυξα ὅσον H^1 mss. alia (cf. § 13). ‖ πυγούσιον] vid. ad κ 517.

26 χοὴν] χοὰς F. ‖ χεόμην] sic Ar., χεάμην Zen., χέομεν M.

28 λεύκ' ἐπάλυνον] -κὰ πάλυνον (-να F) mss.

29 *ἐγουναόμην § 144 et 191] -νούμην (-νάμην H^2 K) mss.

31 sq.] vid. ad locum par.

31 ῥεξέμεν' § 125] ῥέξειν mss.

παμμέλαν᾽, ὃς μήλοισι μεταπρέπει ἡμετέροισι. 33 sq. cf. ϰ 525 sq.
τοὺς δ᾽ ἐπεὶ εὐχωλῇσι λιτῇσί τε, Ϝέθνεα νεκρῶν,
ἐλλισάμην, τὰ δὲ μῆλα λαβὼν ἀπεδειροτόμησα
36 εἰς βόθρον· ᾽ρέε δ᾽ αἷμα κελαινεφὲς, οἳ δ᾽ ἤγροντο.
44 δὴ τότ᾽ ἔπειθ᾽ ἑτάροισιν ἐποτρύνας ἐκέλευσα 44 sq. cf. ϰ 531 sq.
μῆλα, τὰ δὴ κατέκειτ᾽ ἐσφαγμένα νηλέι χαλκῷ,
δείραντας κατακῆαι, ἐπεύξασθαι δὲ θεοῖσι, 46-48 = ϰ 533 sqq.
ἰφθίμῳ τ᾽ ἌϜιδι καὶ ἐπαινῇ Περσεφονείῃ.
αὐτὸς δὲ ξίφος ὀξὺ Ϝερυσσάμενος παρὰ μηροῦ
ἥμην οὐδ᾽ είων νεκύων ἀμενηνὰ κάρηνα 49 cf. ϰ 536, 49^b = ϰ 521
αἵματος ἆσσον ἴμεν πρὶν Τειρεσίαο πυθέσθαι. 50 = ϰ 537
„πρώτη δὲ ψυχὴ Ϝελπήνορος ἦλθεν ἑταίρου·
οὐ γάρ πω ἐτέθαπτο ὑπὸ χθονὸς εὐρυοδείης, 52^b cf. Π 635
σῶμα γὰρ ἐν Κίρκης μεγάρῳ κατελείπομεν ἧμες
ἄκλαυτον καὶ ἄθαπτον, ἐπεὶ πόνος ἄλλος ἔπειγε. 54^a cf. X 386^b
τὸν μὲν ἐγὼ ᾽δάκρυσα Ϝιδὼν ἐλέησά τε θυμῷ, 55 sq. = 395 sq., 55 cf. 87

37 ψυχαὶ ὑπ᾽ ἐξ ἐρέβευς νεκύων κατατεθνηώτων· 37 cf. ϰ 530 λ 564
νύμφαι τ᾽ ἠίθεοί τε πολύτλητοί τε γέροντες
παρθενικαί τ᾽ ἀταλαὶ νεοπενθέα θυμὸν ἔχουσαι,
πολλοὶ δ᾽ οὐτάμενοι χαλκήρεσιν ἐγχείῃσι,
ἄνδρες Ἄρηι φατοὶ βεβροτωμένα τεύχε᾽ ἔχοντες.
οἳ πολλοὶ περὶ βόθρον ἐφοίταον ἄλλοθεν ἄλλος 42^b = ι 401 ω 415
θεσπεσίῃ ϜιϜαχῇ· ἐμὲ δὲ χλωρὸν δϜέος ᾕρει. 43 cf. 633, 43^b cf. H 479

38-43 Zen. Aristoph. Ar. —— ‖ 52-54 Callistratus ——. Etiam Aristarchum hos versus damnasse ex Ariston. ad Ψ 73 efficit LaRoche, cui obloquitur Ludwich.

33 παμμέλαν᾽] cf. Γ 103. ‖ μεταπρέπει] -πῃ Bothe.

36 *οἳ] αἱ mss.; cf. vs. 388. ‖ *ἤγροντο] ἀγέροντο mss., cf. § 255.

37] delevimus versum ex vs. 564 confictum. ‖ ἐρέβευς] -βες P, -βους F H^2 mss. alia; forma novicia, cf. § 71. ‖ κατατεθνηώτων] -θνειώτων mss. pleraque; cf. § 160.

38-43] damnarunt veteres; non enim conferto agmine sed singulas ad fossam umbras accessisse, neque vulnera in iis cerni (cf. vs. 398). Bergk vs. 38-42 post vs. 632 collocat. Locum vertit Verg. Georg. IV 471 sqq. Aen. VI 306 sqq.

38 πολύτλητοι] †, cf. τλητός (?) Ω 49, τλήμων E 670 etc., πολυτλήμων H 152 σ 319, πολύτλας passim.

39 ἀταλαὶ] ἁπαλαὶ (ἀπαλαὶ) G^2 P mss. alia. ‖ νεοπενθέα] †, cf. πολυπενθής I 563 ξ 386 ψ 15.

41 βεβροτωμένα] † pro βροτόεντα (Z 480 etc.). ‖ τεύχε᾽] εἵματ᾽ J.

42 ἐφοίταον § 191] -των mss. ‖ ἄλλοθεν ἄλλος G F P M] ἔνθα καὶ ἔνθα H.

45 sq. κατέκειτ᾽ … δείραντας] κατάκειτ᾽ … δείραντες P^1 (-ντες etiam H), ut sit Ulixis allocutio ad comites.

47 ἌϜιδι] Ἀίδῃ mss. pleraque; vid. vs. par. ‖ ἐπαινῇ] cf. I 457.

48 αὐτὸς δὲ] αὐτὰρ ἐγὼ F^2.

49 εἴων] ἔαον? cf. ι 468.

50 ἴμεν] pro ἴμεναι suspectum, cf. § 126.

51-83] del. PKnight, diasceuastae tribuit Kirchhoff. Kammer del. vs. 52-55.

53 ἧμες § 92] ἡμεῖς mss.

54 ἄκλαυτον G^1 H^1] ἄκλαυστον mss. pleraque; vid. ad δ 494.

καί μιν φωνήσας Ϝέπεα πτερόεντα προσηύδων·
‚Ϝελπῆνορ, πῶς ἦλθες ὑπὸ ζόφον ἠερόεντα; 57 cf. 155
ἔφθης πεζὸς ἰὼν ἢ ἐγὼ σὺν νηὶ μελαίνῃ.‘ 57^b = Ψ 51
59 „ὣς ἐφάμην· ὃ δέ μ᾽ οἰμώξας ἠμείβετο μύθῳ· 59 = ι 506
61 ‚δαίμονος ἆασέ μ᾽ αἶσα κακὴ καὶ ἀθέσφατος ὕπνος· 61 cf. ϰ 68 φ 297^b
Κίρκης δ᾽ ἐν μεγάρῳ καταλέγμενος οὐκ ἐνόησα
ἄψορρον καταβήμεν᾽ ἰὼν εἰς κλίμακα μακρὴν, 63 = ϰ 558
ἀλλὰ κατ᾽ ἄντικρυς τέγεος ᾽πέσον· ἐκ δέ μοι αὐχὴν 64 cf. ϰ 559
ἀστραγάλων ἐϜάγη, ψυχὴ δ᾽ ἌϜιδόσδε κατῆλθε. 65 = ϰ 560
νῦν δέ σε τῶν ὄπιθεν γουνάζομαι, οὐ παρεόντων, 66 cf. O 665
πρός τ᾽ ἀλόχου καὶ πατρὸς, ὅ σ᾽ ἔτρεφε τυτθὸν ἐόντα, 67^b = Θ 283
Τηλεμάχου θ᾽, ὃν μοῦνον ἐνὶ μεγάροισιν ἔλειπες· —
Ϝοῖδα γὰρ, ὡς ἐνθένδε κιὼν δόμου ἒξ ἈϜίδαο
νῆσον ἒς Αἰαίην σχήσεις εὐϜεργέα νῆα·
ἔνθα σ᾽ ἔπειτα, Ϝάναξ, κέλομαι μνήσασθαι ἐμεῖο· —
μή μ᾽ ἄκλαυτον ἄθαπτον ἰὼν ὄπιθεν καταλείπειν 72^a cf. X 386^b
νοσφισθεὶς, μή τοί τι θεῶν μήνιμα γένωμαι, 73 cf. X 358
ἀλλά με κακκῆαι σὺν τεύχεσιν, ἅσσα μοι ἐστι,
σῆμά τέ μοι χεῦαι πολιῆς ἐπὶ θινὶ θαλάσσης, 75^b = Δ 248
ἀνδρὸς δυστήνοιο, καὶ ἐσσομένοισι πυθέσθαι· 76^b = B 119
ταῦτά τέ μοι τελέσαι πῆξαί τ᾽ ἐπὶ τύμβῳ ἐρετμὸν, 77 cf. μ 15
τῷ καὶ ζωὸς ἔρεσσον ἐὼν μετ᾽ ἐμοῖσ᾽ ἑτάροισι.‘
„ὣς ἔφατ᾽, αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέϜειπον·
‚ταῦτά τοι, ὦ δύστηνε, τελευτήσω τε καὶ ἔρξω.‘ 80^b cf. α 293
„νῶι μὲν ὣς Ϝεπέεσσιν ἀμειβομένω στυγεροῖσι 81 = 465
ἥμεθ᾽, ἐγὼ μὲν ἄνευθεν ἐφ᾽ αἵματι φάσγανον ἴσχων,

60 διογενὲς Λαερτιάδη, πολυμήχαν᾽ Ὀδυσσεῦ,

58] del. Nitzsch. ‖ ἰὼν Ar. G H] ἐὼν mss. pleraque. De perpetua hac confusione vid. Δ 277, 426 Λ 230 N 415 X 85 δ 527 ϑ 445 λ 159. ‖ ἢ] insolite corripitur, vid. § 16.

60] om. G P M X U W Zq, in marg. habet H.

61 *δαίμονος ἆασέ μ᾽] ἆσέ με δαίμονος mss.; vid. § 287. Nauck ἄασε δαίμονος. ‖ ὕπνος Stob.] οἶνος mss. neglecto Ϝ.

63 καταβήμεν᾽ § 125] -βῆναι mss.

64 ἄντικρυς § 31] ἀντικρὺ mss.

65 κατῆλθε] βεβήκει H M mss. alia.

66 τῶν ὄπιθεν] *eorum quos reliquisti*? Locutio vix Homerica et Nauckio merito suspecta. De praep. πρός omissa vid. ad β 68.

72 ἄκλαυτον G H^1 U^1 W] ἄκλαυστον mss. pleraque; vid. ad δ 494. ‖ καταλείπειν] -πῃς G F^1 mss. alia.

73 μήνιμα] vid. ad vs. parall.

74 κακκῆαι] sic Ar., alii -κεῖαι. ‖ ἅσσα] ὅσσα G^2 O Z k.

76 ἀνδρὸς δυστήνοιο] sc. σῆμα; olim fuere qui genitivum dativo μοι (vs. 75) subiunctum conferrent cum genitivis qualis est λευσσόντων ζ 157 (ubi vid.); cf. Eust.

80 ἔρξω] neglecto Ϝ.

82 ἄνευθεν] *seorsum*. ‖ ἴσχων] ἴσχον n (et M?).

παμμέλαν᾽, ὃς μήλοισι μεταπρέπει ἡμετέροισι. 33 sq. cf. κ 525 sq.
τοὺς δ᾽ ἐπεὶ εὐχωλῇσι λιτῇσί τε, ϝέθνεα νεκρῶν,
35 ἐλλισάμην, τὰ δὲ μῆλα λαβὼν ἀπεδειροτόμησα
36 εἰς βόθρον· ᾽ρέε δ᾽ αἷμα κελαινεφὲς, οἳ δ᾽ ἤγροντο.
44 δὴ τότ᾽ ἔπειθ᾽ ἑτάροισιν ἐποτρύνας ἐκέλευσα 44 sq. cf. κ 531 sq.
45 μῆλα, τὰ δὴ κατέκειτ᾽ ἐσφαγμένα νηλέι χαλκῷ,
δείραντας κατακῆαι, ἐπεύξασθαι δὲ θεοῖσι, 46-48 = κ 533 sqq.
ἰφθίμῳ τ᾽ Ἄϝιδι καὶ ἐπαινῇ Περσεφονείῃ.
αὐτὸς δὲ ξίφος ὀξὺ ϝερυσσάμενος παρὰ μηροῦ
ἥμην οὐδ᾽ εἴων νεκύων ἀμενηνὰ κάρηνα 49 cf. κ 536; 49b = κ 521
50 αἵματος ἆσσον ἴμεν πρὶν Τειρεσίαο πυθέσθαι. 50 = κ 537
„πρώτη δὲ ψυχὴ Ϝελπήνορος ἦλθεν ἑταίρου·
οὐ γάρ πω ἐτέθαπτο ὑπὸ χθονὸς εὐρυοδείης, 52b cf. Π 635
σῶμα γὰρ ἐν Κίρκης μεγάρῳ κατελείπομεν ἧμες
ἄκλαυτον καὶ ἄθαπτον, ἐπεὶ πόνος ἄλλος ἔπειγε. 54a cf. X 386b
55 τὸν μὲν ἐγὼ ᾽δάκρυσα ϝιδὼν ἐλέησά τε θυμῷ, 55 sq. = 395 sq.; 55 cf. 87

37 ψυχαὶ ὑπ᾽ ἐξ ἐρέβευς νεκύων κατατεθνηώτων· 37 cf. κ 530 λ 564
νύμφαι τ᾽ ἠίθεοί τε πολύτλητοί τε γέροντες
παρθενικαί τ᾽ ἀταλαὶ νεοπενθέα θυμὸν ἔχουσαι,
40 πολλοὶ δ᾽ οὐτάμενοι χαλκήρεσιν ἐγχείῃσι,
ἄνδρες Ἄρηι φατοὶ βεβροτωμένα τεύχε᾽ ἔχοντες.
οἳ πολλοὶ περὶ βόθρον ἐφοίταον ἄλλοθεν ἄλλος 42b = ι 401 ω 415
θεσπεσίῃ ϝιϝαχῇ· ἐμὲ δὲ χλωρὸν δϝέος ᾕρει. 43 cf. 633; 43b cf. H 479

38-43 Zen. Aristoph. Ar. —— ‖ 52-54 Callistratus ——. Etiam Aristarchum hos versus damnasse ex Ariston. ad Ψ 73 efficit LaRoche, cui obloquitur Ludwich.

33 παμμέλαν᾽] cf. Γ 103. ‖ μεταπρέπει] -πῃ Bothe.
36 *οἳ] αἱ mss.; cf. vs. 388. ‖ *ἤγροντο] ἀγέροντο mss., cf. § 255.
37] delevimus versum ex vs. 564 confictum. ‖ ἐρέβευς] -βες P, -βους F H² mss. alia; forma novicia, cf. § 71. ‖ κατατεθνηώτων] -θνειώτων mss. pleraque; cf. § 160.
38-43] damnarunt veteres; non enim conferto agmine sed singulas ad fossam umbras accessisse, neque vulnera in iis cerni (cf. vs. 398). Bergk vs. 38-42 post vs. 632 collocat. Locum vertit Verg. Georg. IV 471 sqq. Aen. VI 306 sqq.
38 πολύτλητοι] †, cf. τλητός (?) Ω 49, τλήμων E 670 etc., πολυτλήμων H 152 σ 319, πολύτλας passim.
39 ἀταλαί] ἁπαλαὶ (ἀπαλαὶ) G² P mss. alia. ‖ νεοπενθέα] †, cf. πολυπενθής I 563 ξ 386 ψ 15.
41 βεβροτωμένα] † pro βροτόεντα (Z 480 etc.). ‖ τεύχε᾽] εἵματ᾽ J.
42 ἐφοίταον § 191] -των mss. ‖ ἄλλοθεν ἄλλος G F P M] ἔνθα καὶ ἔνθα H.
45 sq. κατέκειτ᾽ ... δείραντας] κατάκειτ᾽ ... δείραντες P¹ (-ντες etiam H), ut sit Ulixis allocutio ad comites.
47 Ἄϝιδι] Ἀίδῃ mss. pleraque; vid. vs. par. ‖ ἐπαινῇ] cf. I 457.
48 αὐτὸς δὲ] αὐτὰρ ἐγὼ F².
49 εἴων] ἔαον? cf. ι 468.
50 ἴμεν] pro ἴμεναι suspectum, cf. § 126.
51-83] del. PKnight, diasceuastae tribuit Kirchhoff. Kammer del. vs. 52-55.
53 ἧμες § 92] ἡμεῖς mss.
54 ἄκλαυτον G¹ H¹] ἄκλαυστον mss. pleraque; vid. ad δ 494.

καί μιν φωνήσας ϝέπεα πτερόεντα προσηύδων·
‚Ϝελπῆνορ, πῶς ἦλθες ὑπὸ ζόφον ἠερόεντα; 57 cf. 155
ἔφθης πεζὸς ἰὼν ἢ ἐγὼ σὺν νηὶ μελαίνῃ.‘ 57b = Ψ 51
59 „ὣς ἐφάμην· ὃ δέ μ᾽ οἰμώξας ἠμείβετο μύθῳ· 59 = ι 506
61 ‚δαίμονος ἄασέ μ᾽ αἶσα κακὴ καὶ ἀθέσφατος ὕπνος· 61 cf. κ 68 φ 297b
Κίρκης δ᾽ ἐν μεγάρῳ καταλέγμενος οὐκ ἐνόησα
ἄψορρον καταβήμεν᾽ ἰὼν εἰς κλίμακα μακρήν, 63 = κ 558
ἀλλὰ κατ᾽ ἄντικρυς τέγεος ᾽πέσον· ἐκ δέ μοι αὐχὴν 64 cf. κ 559
65 ἀστραγάλων ἐϝάγη, ψυχὴ δ᾽ Ἄϝιδόσδε κατῆλθε. 65 = κ 560
νῦν δέ σε τῶν ὄπιθεν γουνάζομαι, οὐ παρεόντων, 66 cf. O 665
πρός τ᾽ ἀλόχου καὶ πατρὸς, ὅ σ᾽ ἔτρεφε τυτθὸν ἐόντα, 67b = Θ 283
Τηλεμάχου θ᾽, ὃν μοῦνον ἐνὶ μεγάροισιν ἔλειπες· —
ϝοῖδα γὰρ, ὡς ἐνθένδε κιὼν δόμου ἒξ Ἀϝίδαο
70 νῆσον ἒς Αἰαίην σχήσεις ἐυϝεργέα νῆα·
ἔνθα σ᾽ ἔπειτα, ϝάναξ, κέλομαι μνήσασθαι ἐμεῖο· —
μή μ᾽ ἄκλαυτον ἄθαπτον ἰὼν ὄπιθεν καταλείπειν 72a cf. X 386b
νοσφισθεὶς, μή τοί τι θεῶν μήνιμα γένωμαι, 73 cf. X 358
ἀλλά με κακκῆαι σὺν τεύχεσιν, ἅσσα μοι ἔστι,
75 σῆμά τέ μοι χεῦαι πολιῆς ἐπὶ θινὶ θαλάσσης, 75b = Δ 248
ἀνδρὸς δυστήνοιο, καὶ ἐσσομένοισι πυθέσθαι· 76b = B 119
ταῦτά τέ μοι τελέσαι πῆξαί τ᾽ ἐπὶ τύμβῳ ἐρετμὸν, 77 cf. μ 15
τῷ καὶ ζωὸς ἔρεσσον ἐὼν μετ᾽ ἐμοῖσ᾽ ἑτάροισι.‘
„ὣς ἔφατ᾽, αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέϝειπον·
80 ‚ταῦτά τοι, ὦ δύστηνε, τελευτήσω τε καὶ ἔρξω.‘ 80b cf. α 293
„νῶι μὲν ὣς ϝεπέεσσιν ἀμειβομένω στυγεροῖσι 81 = 465
ἥμεθ᾽, ἐγὼ μὲν ἄνευθεν ἐφ᾽ αἵματι φάσγανον ἴσχων,

60 διογενὲς Λαερτιάδη, πολυμήχαν᾽ Ὀδυσσεῦ,

58] del. Nitzsch. ‖ ἰὼν Ar. G H] ἐὼν mss. pleraque. De perpetua hac confusione vid. Λ 277, 426 Δ 230 N 415 X 85 δ 527 ϑ 445 λ 159. ‖ ἢ] insolite corripitur, vid. § 16.
60] om. G P M X U W Z q, in marg. habet H.
61 *δαίμονος ἄασέ μ᾽] ἆσέ με δαίμονος mss.; vid. § 287. Nauck ἄασε δαίμονος. ‖ ὕπνος Stob.] οἶνος mss. neglecto ϝ.
63 καταβήμεν᾽ § 125] -βῆναι mss.
64 ἄντικρυς § 31] ἀντικρὺ mss.
65 κατῆλθε] βεβήκει H M mss. alia.
66 τῶν ὄπιθεν] *eorum quos reliquisti*? Locutio vix Homerica et Nauckio merito suspecta. De praep. πρός omissa vid. ad β 68.
72 ἄκλαυτον G H¹ U¹ W] ἄκλαυστον mss. pleraque; vid. ad δ 494. ‖ καταλείπειν] -πῃς G F¹ mss. alia.
73 μήνιμα] vid. ad vs. parall.
74 κακκῆαι] sic Ar., alii -κεῖαι. ‖ ἅσσα] ὅσσα G² O Z k.
76 ἀνδρὸς δυστήνοιο] sc. σῆμα; olim fuere qui genitivum dativo μοι (vs. 75) subiunctum conferrent cum genitivis qualis est λευσσόντων ζ 157 (ubi vid.); cf. Eust.
80 ἔρξω] neglecto ϝ.
82 ἄνευθεν] *seorsum.* ‖ ἴσχων] ἴσχον n (et M?).

ϝείδωλον δ' ἑτέρωθεν ἑταίρου πόλλ' ἀγόρευε.
„ἦλθε δ' ἐπὶ ψυχὴ μητρὸς κατατεθνηυίης, 84ᵃ = Ψ 65
Αὐτολύκου θυγάτηρ μεγαλήτορος Ἀντικλέεια,
τὴν ζωὴν κατέλειπον ἰὼν εἰς ϜΊλιον ἱρήν.
τὴν μὲν ἐγὼ 'δάκρυσα ϝιδὼν ἐλέησά τε θυμῷ· 87 cf. 55
ἀλλ' οὐδ' ὣς εἴων πρότερον, πυκινόν περ ἀχεύων,
αἵματος ἆσσον ἴμεν πρὶν Τειρεσίαο πυθέσθαι. 89 = κ 537
„ἦλθε δ' ἐπὶ ψυχὴ Θηβαίου Τειρεσίαο, 90ᵃ = Ψ 65
χρύσεον σκῆπτρον ἔχων· ἐμὲ δ' ἔγνω καὶ προσέϝειπε· 91ᵃ cf. 569
‚τίπτ' αὖτ', ὦ δύστηνε, λιπὼν φάος ἠελίοιο 93ᵇ cf. Σ 11
ἤλυθες, ὄφρα ϝίδῃς νέκυας καὶ ἀτερπέα χῶρον;
ἀλλ' ἀποχάζεο βόθρου, ἄπισχε δὲ φάσγανον ὀξύ,
αἵματος ὄφρα πίω καί τοι νημερτέα ϝείπω.'
„ὣς 'φάτ'· ἐγὼ δ' ἀναχασσάμενος ξίφος ἀργυρόηλον
κουλεῷ ἐγκατέπηξ'. ὃ δ' ἐπεὶ 'πίεν αἷμα κελαινὸν, 98ᵇ = 390
καὶ τότε δή με ϝέπεσσι προσηύδα μάντις ἀμύμων·
‚νόστον δίζηαι μελιϝηδέα, φαίδιμ' Ὀδυσσεῦ·
τὸν δέ τοι ἀργαλέον θήσει θεός· οὐ γὰρ ὀίω
λησέμεν' ἐνοσίγαιον, ὅ τοι κότον ἔνθετο θυμῷ, 102ᵇsq. = ν 342sq. 102ᵇ cf. Ζ 326
χωόμενος ὅτι ϝοι υἱὸν φίλον ἐξαλάωσας.
ἀλλ' ἔτι μήν κε καὶ ὣς κακά περ πάσχοντες ἵκοισθε, 104ᵇ = 111 μ 138
αἴ κ' ἐθέλῃς σὸν θυμὸν ἐρυκακέμεν καὶ ἑταίρων,
ὁππότε κε πρῶτον πελάσῃς ἐυϝεργέα νῆα

---

92 διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,

---

83 ἑταίρου] -ροο? cf. § 59. ‖ ἀγόρευε] ἀγορεῦον H² T¹ et olim alii improbante Didymo.
84 κατατεθνηυίης] -κυίης M mss. alia; cf. δ 734.
85 Ἀντικλέεια § 73] -κλεια mss.
88 ὥς] *ὥς Ϝ'? ‖ εἴων] ἔαον? cf. ι 468. ‖ πρότερον vHerwerden] προτέρην mss.
89 ἴμεν] pro ἴμεναι suspectum, cf. § 126.
91 χρύσεον] synizesis suspecta, cf. § 8; Bothe χρυσοῦ. An *σκῆπτρον ἔχων χρύσεον? cf. § 18 et 61. ‖ ἔχων] notetur constructio ad sensum; cf. Λ 690.
92] habent M Eust., om. mss. cetera.
93 αὖτ', ὦ] αὔτως Zen.; cf. κ 281.
94 ϝίδῃς] ἴδῃ F; cf. Α 203. De subi. vid. ad Α 158.
99 καὶ τότε δή] corrupta haec esse aut ante hunc alium versum excidisse statuit Hartman; *αὐτίκα δή? ‖ με ϝέπεσσι] μ' ἐπέεσσι mss. ‖ προσηύδα] -δαε? § 195.
101-105] del. Duentzer.
102 λησέμεν' § 125] λήσειν mss.; in scholio corrupte affertur l. a. λήσειεν, i. e. *λησέμεν? Dindorf inde effecit λήσεις ἐννοσίγαιον, WCKayser λήσει ἐννοσίγαιος, Naber λήσειν σ' ἐννοσίγαιον, quam in textum recipiendam censet lectionem; cf. vs. 128. ‖ ἐνοσίγαιον F D T] ἐννοσ. mss. cett.; cf. § 21. ‖ τοι] *in te*; cf. Ξ 50 λ 554 (Α 283 φ 377 sq.).
103 ἐξαλάωσας] vid. ad α 69.
104-113] diasceuastae tribuit Kirchhoff.
104 μήν § 18] μέν mss.
105 ἐρυκακέμεν § 126] -κέειν mss.
106 κε(ν) H] δή mss. pleraque.

Θρινακίῃ νήσῳ, προφυγὼν ϝιοϝειδέα πόντον,
βοσκομένας δ' εὕρητε βόας καὶ ϝίφια μῆλα 108 cf. μ 128 108ᵇ cf. μ 322
'Ηελίοι', ὃς πάντ' ἐφορᾷ καὶ πάντ' ἐπακούει. 109 = μ 323 cf. Γ 277
τὰς εἴ κ' ἀσινέας ἐάῃς νόστου τε μέδηαι, 110-114 = μ 137
καί κεν ἔτ' εἰς Ἰθάκην κακά περ πάσχοντες ἵκοισθε· 111ᵇ = 104 [sqq.
εἰ δέ κε σίνηαι, τότε τοι τεκμαίρομ' ὄλεθρον
νηί τε καὶ ἑτάροισ'. αὐτὸς δ' εἴ πέρ κεν ἀλύξῃς, 113ᵃ cf. 161
ὀψὲ κακῶς νέεαι ὀλέσας ἄπο πάντας ἑταίρους 114 sq. cf. ι 534 sq. 114ᵇ cf. β 174
νηὸς ἔπ' ἀλλοτρίης· δήεις δ' ἐν πήματα ϝοίκῳ,
ἄνδρας ὑπερφιάλους, οἵ τοι βίοτον κατέδουσι 116 cf. ν 396
μνώμενοι ἀντιθέην ἄλοχον καὶ ϝέδνα διδόντες. 117 = ν 378
ἀλλ' ἦ τοι κείνων γε βίας ἀποτίσεαι ἐλθών· 118ᵇ = π 255 cf. γ 216
αὐτὰρ ἐπεὶ μνηστῆρας ἐνὶ μεγάροισι τεοῖσι 119 sq. cf. α 295 sq.
κτείνῃς ἠὲ δόλῳ ἢ' ἀμφαδὸν ὀξέι χαλκῷ,
ἔρχεσθαι δὴ ἔπειτα λαβὼν εὐῆρες ἐρετμὸν, 121 sq. cf. ψ 268 sq.
εἰς ὅ κε τοὺς ἀφίκηαι, οἳ οὐ ϝίσσασι θάλασσαν
ἀνέρες οὐδέ θ' ἅλεσσι μεμιγμένον εἶδαρ ἔδουσι· 123-125 = ψ 270 sqq.
οὐδ' ἄρα τοὶ ϝίσσασι νέας φοινικοπαρῄους
οὐδ' εὐήρε' ἐρετμὰ, τά τε πτερὰ νηυσὶ πέλονται.
σῆμα δέ τοι ϝερέω μάλ' ἀριφραδὲς, οὐδέ σε λήσει· 126 sq. cf. ψ 273 sq. 126 = Ψ 326
ὁππότε κεν δή τοι ξυμβλήμενος ἄλλος ὁδίτης
φήῃ ἀθηρηλοιγὸν ἔχειν ἀνὰ φαιδίμῳ ὤμῳ, 128 = ψ 275

---

107 Θρινακίῃ] vid. ad μ 127.
109] om. F¹. ‖ 'Ηελίοι' § 59] -λίου mss.
110 *εἴ κ'] εἰ μέν κ' mss. ‖ ἀσινέας] adi. nonnisi versu par. redit (cf. σίνομαι, σίντης); de syllaba ἀ- producta vid. § 21. ‖ ἐάῃς § 191] ἐάᾳς mss.
111 καί] *ἦ? vid. vs. par.
113 καὶ ἑτάροισ'] hiatus suspectus, vid. ad Ω 60. Doederlein σύν θ' ἑ., Hoffmann νηί θ' ἑταίροισίν τ' coll. Θ 162 Μ 311.
114 νέεαι § 191 et 292] νεῖαι mss.
116-137] recentioris ducimus originis; KLKayser del. vs. 115-120, Duentzer vs. 116-149, WCKayser vs. 118-137. Alienum hinc est vaticinium de ultimis Ulixis fatis, quod eventumne habuerit postea necne, in Odyssea non apparet; vid. ad vs. 134. Aliter comparati sunt loci, ubi poeta alludit ad res, quae licet in Iliade vel Odyssea non enarrentur, eiusdem tamen sunt aetatis eiusdemque fabularum orbis, e. g. armorum iudicium vel mors Antilochi vel Troiae excidium. Cum hoc loco conferri tantummodo possunt δ 561 sqq.
116 κατέδουσι] sic Ar.; κατέδοιεν postulabat Aristoph., vid. schol. β 313.
117 ϝέδνα] vid. ad Π 178.
119 ἐπεὶ F P] ἐπὴν mss. pleraque; cf. § 326.
121 δὴ ἔπειτα] vid. ad Ο 163.
122 οὐ] οὐκ mss. ‖ ἴσσασι F] ἴσασι mss. cett.; cf. § 160.
123-125] del. PKnight.
124 οὐδ'] οὐκ G. ‖ τοὶ G X] τοί γ' (τ', δ') mss. cetera; τοί γε G ψ 271, fortasse recte, at vid. vs. 122 et ad ξ 89. ‖ ἴσσασι X k] ἴσασι mss. cett.; cf. § 160. ‖ φοινικοπαρῄους] epitheton nonnisi loco par. redit; cf. μιλτοπάρῃος Β 637 ι 125 (μιλτηλιφής Herod. III 58).
128 ἀθηρηλοιγὸν] *palearum perniciem*, i. e. *ventilabrum*. Vox nonnisi loco par. redit

καὶ τότε δὴ γαίῃ πήξας ἐυῆρες ἐρετμὸν, 129sq.cf.ψ276sq.
ῥέξας ἱερὰ καλὰ Ποσειδάωνι Ϝάνακτι,
ἀρνειὸν ταῦρόν τε συῶν τ' ἐπιβήτορα κάπρον, 131-133 = ψ 278 sqq.
Ϝοίκαδ' ἀποστείχειν Ϝέρδειν θ' ἱερὰς ἑκατόμβας 132^{b} sq. = δ 478 sq.
ἀθανάτοισι θεοῖσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσι,
πᾶσι μάλ' ἑξείης. θάνατος δέ τοι ἐξ ἁλὸς αὐτῷ 134sq.cf.ψ281sq.
ἀβληχρὸς μάλα τοῖος ἐλεύσεται, ὅς κέ σε πέφνῃ
γήρα' ὕπο λιπαρῷ ἀρημένον· ἀμφὶ δὲ λαοὶ 136 sq.^{a} = ψ 283 sq.
ὄλβιοι ἔσσονται. τὰ δέ τοι νημερτέα Ϝείρω.'
„ὥς ἔφατ'· αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέϜειπον·
,Τειρεσίη, τὰ μὲν ἄρ ποθ' ἐπέκλωσαν θεοὶ αὐτοί.
ἀλλ' ἄγε μοι τόδε Ϝειπὲ καὶ ἀτρεκέως κατάλεξον· 140 = Κ 384
μητρὸς τήνδ' ὁράω ψυχὴν κατατεθνηυίης,
ἣ δ' ἀκέουσ' ἧσται σχεδὸν αἵματος οὐδ' ἑϜὸν υἱὸν
ἔτλη ἐς ἄντα Ϝιδεῖν οὐδὲ προτιμυθήσασθαι.
Ϝειπὲ, Ϝάναξ, πῶς κέν με ἀναγνοίη τὸν ἐόντα;'
„ὣς ἐφάμην, ὃ δέ μ' αὐτίκ' ἀμειβόμενος προσέϜειπε· 145 = δ 471

imitatur Sophocles fr. 404: ὤμοις ἀθηρόβρωτον ὄργανον φέρων. || ἀνὰ] σε (σ') ἀνὰ F^2 Z.

130 ῥέξας] ἔρξας G F.

131] *suovetaurilia* sive τριττύαν; cf. Aristoph. Plut. 820.

134 ἐξ ἁλὸς] ἔξαλος una voce Herodianus (ex Ar. sententia?), i. e. *extra mare*; cf. ἔφαλος et ἔμφυλος (Lehrs Arist.^{2} p. 129). Quale adi. si extitisset, ineptum tamen in sermone epico fuisset *mortis* epitheton. Alii vulgatae eundem sensum tribuentes praepositionem ἐξ idem quod ἔξω h. l. valere censebant coll. Λ 164, quos secuti sunt Nitzsch (coll. Ξ 130 ε 7) et Ameis-Hentze (coll. praeterea Π 668 ο 272 π 288 χ 376); sed nimis contorta videtur haec interpretandi ratio. Verba si sana sunt, vates dicit *e mari* Ulixi mortem esse venturam; cf. ε 422 (δ 448). *Radio* autem *raiae pastinacae* Ulixes a filio Telegono, cui ignotus erat, interficitur in Telegonia, quae pars fuit Cycli Epici. Quam fabulam Sophocles tractavit in *Niptris*; aliter, et satis ridicule, vaticinium interpretatus est Aeschylus in fr. 270 (quod Valckenaer Diatrib. p. 286 egregio acumine restituit), unde fluxit inanis fabella de ipsius Aeschyli morte. — Welcker putat Tiresiam dicere, Ulixi ubi domum redierit posthac mari abstinendum fore; sed licet credibile sit, hunc fuisse sensum vetusti alicuius oraculi, quod interpolator h. l. imitatus fuerit, non potest idem sine vi elici e versibus quos nunc legimus, quibus res in Telegonia narratae videntur spectari. || αὐτῷ] *ipsi tibi*, ut olim comitibus, vid. vs. 114; vHerwerden αὔτως, *sic temere, sine morbo*.

135 ἀβληχρὸς] incertae originis adiectivum praeter hunc locum (= ψ 282) nonnisi Ε 337 et Θ 178 legitur, ubi *debilem* valet. Hic estne *placida* vertendum? At parum apte *lenis mors* Ulixi promittitur, si Tiresias significat in fatis ei esse ut a filio trucidetur; verbum autem πέφνῃ, quod nonnisi de nece, quae vi infertur, usurpatur, indicio est non de morte naturali poetam horum versuum cogitasse. || τοῖος] vid. ad α 209.

136 γήρα' § 72] γήραι (γήρᾳ) mss. || ἀρημένον] cf. Σ 435.

137 Ϝείρω] vid. ad β 162.

139 ποθ' § 322] που mss. || ἐπέκλωσαν] vid. ad Ω 525.

141 ὁράω § 191] ὁρόω mss. || κατατεθνηυίης] -κυίης H^2 M X; cf. § 160.

143 ἔτλη ἐς] τλῆ εἰς Grashof.

144 πῶς κέν με] ὅππως κέ μ' Cobet.

145 αὐτίκ'] αὖτις F mss. alia; vid. loci par.

,ῥηίδιόν τι Ϝέπος Ϝερέω καὶ ἐνὶ φρεσὶ θήσω· 146 cf. h. Ap. 534
ὅν τινα μέν κ' ἐάῃς νεκύων κατατεθνηώτων
αἵματος ἄσσον ἴμεν, ὃ δέ κεν νημερτὲς ἐνίσπῃ· 148^{a} = κ 537
ᾧ δέ κ' ἐπιφθονέῃς, ὃ δέ τοι πάλιν εἶσιν ὀπίσσω.'
„ὣς φαμένη ψυχὴ μὲν ἔβη δόμον Ἄϝιδος εἴσω
Τειρεσίαο Ϝάνακτος, ἐπεὶ κατὰ θέσφατ' ἔλεξε.
αὐτὰρ ἐγὼν αὖθι 'μένον ἔμπεδον, ὄφρ' ἐπὶ μήτηρ 152 cf. 628
ἤλυθε καὶ 'πίεν αἷμα κελαινεφές· αὐτίκα δ' ἔγνω
καί μ' ὀλοφυρομένη Ϝέπεα πτερόεντα προσηύδα·
,τέκνον ἐμὸν, πῶς ἦλθες ὑπὸ ζόφον ἠερόεντα 155 cf. 57
156 ζωὸς ἐών; χαλεπὸν δὲ τάδε ζωοῖσ' ὁράεσθαι. 155^{b} = Ψ 51
ἦ νῦν δὴ Τροίηθεν ἀλώμενος ἐνθάδ' ἱκάνεις 160^{b} cf. ζ 206
νηί τε καὶ ἑτάροισι πολὺν χρόνον; οὐδέ πω ἦλθες 161^{a} cf. 113
εἰς Ἰθάκην, οὐδ' εἶδες ἐνὶ μεγάροισι γυναῖκα;'
„ὣς ἔφατ', αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέϜειπον·
,μῆτερ ἐμὴ, χρηώ με κατήγαγεν εἰς Ἀϝίδαο
ψυχῇ χρησόμενον Θηβαίου Τειρεσίαο. 165 cf. κ 492
οὐ γάρ πω σχεδὸν ἦλθον Ἀχαιίδος οὐδέ πω ἡμῆς 166 sq.^{a} = 481 sq
γῆς ἐπέβην, ἀλλ' αἰὲν ἔχων ἀλάλημαι ὀιζὺν,
ἐξ οὗ τὰ πρώτισθ' ἑπόμην Ἀγαμέμνονι δίῳ

157 μέσσῳ γὰρ μεγάλοι ποταμοὶ καὶ δϜεινὰ ῥέεθρα,
Ὠκεανὸς μὲν πρῶτα, τὸν οὔ πως ἔστι περῆσαι
πεζὸν ἐόντ', ἤν μή τις ἔχῃ ἐυϜεργέα νῆα.

157-159 Ar. — || 161 sq. Aristoph. —

146] del. PKnight. || τι Theo in Rhetor. II p. 72 Spengel] τοι mss. An *τό? || ἐνὶ H^2 K] ἐπὶ mss. cetera; vid. ad Α 55.

147 κ' ἐάῃς § 191] κεν ἐᾷς mss. || κατατεθνηώτων H^2] -θνειώτων mss. pleraque; cf. § 160.

148 ἴμεν] pro ἴμεναι suspectum, cf. § 126. || κεν vHerwerden] τοι mss. || ἐνίσπῃ(ι) F^1 O Z] ἐνίψει mss. cett., quod futurum *dicendi* sensum apud Homerum non habet, vid. ε 98 et ad Η 447 β 137; ἐνέψει tentabat PKnight.

149 ἐπιφθονέῃς T] -νέεις vel -νέοις mss. pleraque.

151] del. PKnight.

152 αὖθι § 322] αὐτοῦ mss.

156 ζωοῖσ' ὁράεσθαι § 191] ζωοῖσιν ὁρᾶσθαι mss.

157-159] pugnare cum terrae, qualem veteres poetae sibi finxerunt, imagine, insulsum autem esse versum 159, observavit Aristarchus. Emblema peperit falsa versuum 155 sq. interpretatio; non enim *quomodo* iter *difficile* perfecerit sed *cur* viam *horrendam* inierit rogat mater.

158 πρῶτα, τὸν] πρῶτα, ὃν M, πρῶτος, ὃν H^2 X. || περῆσαι] περάσσαι M^1.

159 ἐόντ'] ἰόντ' G; cf. vs. 58. || ἤν] novicium, vid. § 326; εἰ ... ἔχοι T, εἰ ... ἔχει K.

160-162] del. PKnight.

160 ἦ νῦν δὴ] ἦ δὴ νῦν W, ἤδη νῦν U. Olim quidam h. l. et ω 260 ἦ νύνδη (*nuper, modo*) legebant teste Herodiano; cf. etiam χ 29.

161 καὶ] cf. vs. 113.

162 εἶδες] pro ἔϜιδες novicium; *ηὗρες? Bentley ἢ Ϝεῖδες, Fick οὐδὲ Ϝίδες ἐν.

164 χρηώ § 190] χρειώ mss.

166 ἡμῆς § 95] ἀμῆς, ἁμῆς, ἀμμῆς mss.

167 γῆς] novicium, cf. § 58.

Ϝίλιον εἶς ἐύπωλον, ἵνα Τρώεσσι μαχοίμην. 169 cf. *Π* 576
ἀλλ' ἄγε μοι τόδε Ϝειπὲ καὶ ἀτρεκέως κατάλεξον· 170 = *K* 384
τίς νύ σε κὴρ ἐδάμασσε τανηλεγέος θανάτοιο; 171 = 398
ἦ δολιχὴ νοῦσος, ἦ' Ἄρτεμις ἰοχέαιρα
Ϝοῖσ' ἀγανοῖσι βέλεσσιν ἐποιχομένη κατέπεφνε; 173 = ε 124
Ϝειπὲ δέ μοι πατρός τε καὶ υἱέος, ὃν κατέλειπον,
ἦ ἔτι πὰρ κείνοισιν ἐμὸν γέρας, ἠέ τις ἤδη
ἀνδρῶν ἄλλος ἔχει, ἐμὲ δ' οὐκέτι φασὶ νέεσθαι.
Ϝειπὲ δέ μοι μνηστῆς ἀλόχου βουλήν τε νόον τε, 177^{b} = β 281
ἠὲ μένει παρὰ παιδὶ καὶ ἔμπεδα πάντα φυλάσσει, 178 cf. τ 525 / 178^{b} cf. β 227
ἦ ἤδη μιν ἔγημεν Ἀχαιῶν ὅς τις ἄριστος.'
„ὣς ἐφάμην, ἡ δ' αὐτίκ' ἀμείβετο πότνια μήτηρ·
,καὶ λίην κείνη γε μένει τετληότι θυμῷ 181-183 = π 37 / 181^{a} cf. α 46 [sqq.
σοῖσιν ἐνὶ μεγάροισιν· ὀιζυραὶ δέ Ϝοι αἰεὶ 182 cf. ν 337
φθίνουσιν νύκτες τε καὶ ἤματα δάκρυ χεούσῃ. 183 = ν 338 cf. *Σ* 340
σὸν δ' οὔ πώ τις ἔχει καλὸν γέρας, ἀλλὰ Ϝέκηλος
Τηλέμαχος τέμενος νέμεται καὶ δαῖτας ἐϜίσας
δαίνυται, ἅς τε ϜέϜοικε δικασπόλον ἄνδρ' ἀλεγύνειν·
πάντες γὰρ καλέουσι. πατὴρ δὲ σὸς αὐτόθι μίμνει
ἀγρόθι, οὐδὲ πόλινδε κατέρχεται. οὐδέ Ϝοι εὐναὶ
δέμνια καὶ χλαῖναι καὶ ῥήγεα σιγαλόεντα, 189 cf. τ 318 ψ 180 / 189^{b} = τ 337
ἀλλ' ὅ γε χεῖμα μὲν εὕδει ὅθι δμῶες ἐνὶ Ϝοίκῳ,
ἐν κόνι' ἄγχι πυρός, κακὰ δὲ χροΐ Ϝείματα Ϝέσται· 191^{b} cf. τ 72 ψ 115

---

172 *δολιχή*] adi. etiam ψ 243 de *tempore* est adhibitum.

173 *ἀγανοῖσι βέλεσσιν* H] *-νοῖς βελέεσσιν* mss. pleraque; cf. § 60.

174-179] del. Duentzer.

174 *ὅν*] *οὕς* Aristoph.

175 *γέρας*] *dignitas regia*; item *Υ* 182 λ 184 ο 522; vid. praeterea ad α 386.

178] in S J K W i q et in marg. H additur *κτῆσιν ἐμήν, δμῶάς τε καὶ ὑψερεφὲς μέγα δῶμα* | *εὐνήν τ' αἰδομένη πόσιος δήμοιό τε φήμην* (= τ 526 sq.); omittitur autem in K vs. 179.

180 *ἀμείβετο πότνια μήτηρ*] *ἀμειβομένη προσέειπεν* G (cf. δ 706).

181-197] del. Duentzer.

184 *γέρας*] vid. ad vs. 175.

184-187 *ἀλλὰ — καλέουσι*] discrepant quae alias in Odyssea de Telemacho dicuntur. Nam etiamsi e voce *Ϝέκηλος* efficiamus Anticleam ante procorum adventum mortuam esse, obstat tamen Telemachi aetas puerilis (cf. α 296 sq.) quominus *δικασπόλου* munere fungatur.

185 **τέμενος*] *τεμένη* mss., *τεμένεα* Ar.; at *unum τέμενος* habent reges, vid. *Z* 194 *I* 578 *M* 313 *Υ* 184, 391 ζ 293. Terminus novicius *-νη* (§ 71) videtur deberi dittographiae.

186 sq.^{a}] verba obscura.

186 *τε ϜέϜοικε* Bentley] *τ' ἐπέοικε* mss. || *δικασπόλον*] vox redit *A* 238. || *ἀλεγύνειν*] *obire*? Cf. α 374 β 139 θ 38 ν 23.

187 *καλέουσι*] *κοτέουσι* T et l. a. in Y, *ποθέουσι* i; Nitzsch *κομέουσι*.

188 **ἀγρόθι*] *ἀγρῷ* mss. metro invito, vid. § 14.

190 *ἐνὶ Ϝοίκῳ*] *κατὰ δῶμα* G; cf. vs. 353.

191 *κόνι'* § 74] *κόν(ε)ι* mss. || *Ϝέσται* § 303] *ἥσται* Zen. G H M X, *ἧστο* Ar. (quod vix credibile ducit LaRoche), *εἴσται* P, *ἧται* F^{1}, *εἶται* F^{2} T.

αὐτὰρ ἐπεί κ' ἔλθῃσι θέρος τεθαλυῖά τ' ὀπώρη,
πάντῃ Ϝοι κατὰ γουνὸν ἀλῳῆς Ϝοινοπέδοιο 193 cf. α 193
φύλλων κεκλιμένων χθαμαλαὶ βεβλήαται εὐναί.
ἔνθ' ὅ γε κεῖτ' ἀχέων, μέγα δὲ φρεσὶ πένθος ἀέξει 195 cf. *P* 139
σὸν νόστον ποθέων· χαλεπὸν δ' ἐπὶ γῆρας ἱκάνει.
οὕτω γὰρ καὶ ἐγὼν ὀλόμην καὶ πότμον ἐπέσπον·
οὔτ' ἐμέ γ' ἐν μεγάροισιν ἐύσκοπος ἰοχέαιρα
Ϝοῖσ' ἀγανοῖσι βέλεσσιν ἐποιχομένη κατέπεφνε, 199 = ε 124
οὔτε τις οὖν μοι νοῦσος ἐπήλυθεν, ἥ τε μάλιστα
τηκεδόνι στυγερῇ μελέων ἐξείλετο θυμόν·
ἀλλά με σός τε πόθος σά τε μήδεα, φαίδιμ' Ὀδυσσεῦ,
σή τ' ἀγανοφροσύνη μελιϜηδέα θυμὸν ἀπέϜρα.' 203^{b} = *K* 495
„ὣς ἔφατ'· αὐτὰρ ἐγώ γ' ἔθελον φρεσὶ μερμηρίξας
μητρὸς ἐμῆς ψυχὴν ἑλέμεν κατατεθνηυίης·
τρὶς μὲν ἐφωρμήθην ἑλέμεν τέ με θυμὸς ἄνωγε,
τρὶς δέ μοι ἐκ χειρῶν σκιῇ εἴκελον ἢ καὶ ὀνείρῳ
ἔπτατ'. ἐμοὶ δ' ἄχος ὀξὺ 'γενέσκετο κηρόθι μᾶλλον,
καί μιν φωνήσας Ϝέπεα πτερόεντα προσηύδων·
,μῆτερ ἐμή, τί νύ μ' οὐ μίμνεις ἑλέμεν μεμαῶτα,
ὄφρα καὶ ἐν ἈϜίδαο φίλω περὶ χεῖρε βαλόντε

---

192 *ἐπεί κ'* § 326] *ἐπήν* mss.

194 *κεκλιμένων*] corruptum, nam *φύλλα κεκλιμένα* sunt folia *inclinata*, vid. ad *E* 356 *Φ* 18, et cf. Theophr. Hist. Plant. III 9 § 2 et 4, ubi opponuntur folia *πεφρικότα* (*horrida*). Herodianus in Etym. M. 500,27 *κεκλαμένων*. Hartman *κεκλιμένῳ*, nos **κακχυμένων* aut **ἐκ χυμένων* (quod verbum de foliis humi sparsis sollemne), Naber *καὶ καλάμων* coll. π 47 et Plat. Rep. II 372*b*.

196 *νόστον ποθέων* Ar. G] *πότμον γοόων* mss. pleraque (cf. *Π* 857). || *δ' ἐπί*] *δέ Ϝε* Duentzer coll. ζ 169; vid. etiam *A* 29 *Δ* 321 *Θ* 103 α 218 λ 497 ω 249 et ad κ 376. Vulgatae tamen favent θ 226 τ 368.

197 sqq.] laqueo matrem Ulixis vitam finivisse, cum falsum ei nuncium de filii morte attulisset Nauplius, finxerunt posteriores ex ο 358 sqq.

198 *ἐύσκοπος*] alias (*Ω* 24 etc.) *Mercurii* est epitheton.

199 *ἀγανοῖσι βέλεσσιν*] *-νοῖς βελέεσσιν* mss. pleraque; cf. § 60.

200 *οὖν*] l. a. *αὖ*.

201 *τηκεδόνι*] † (*τήκειν* saepius).

202 *σός … πόθος*] *desiderium tui*.

202 sq. *σά — ἀγανοφροσύνη*] his verbis indicantur ea quae Anticlea desiderabat. || *μήδεα*] *κήδεα* W. || *ἀγανοφροσύνη*] vid. ad *Ω* 772.

203 *ἀπέϜρα* § 150] *ἀπηύρα* mss.

205 *ἑλέμεν* § 126] *ἑλέειν* mss. || *κατατεθνηυίης*] *-κυίης* mss. pauca; cf. § 160.

206-208 *τρὶς — ἔπτατ'*] vertit Verg. Aen. II 792-794 (= VI 700-702).

206 *ἑλέμεν* § 126] *ἑλέειν* mss. || *ἄνωγε(ν)* G F P H^{2} M X] *ἀνώγει* H^{1}. Cf. § 225.

207 *εἴκελον*] *ἴκελον* mss. nonnulla, l. a. *ἰκέλη*. Neglectum est Ϝ; Bentley *Ϝίκελον σκιῇ*.

208 *ἔπτατ'*] cf. § 216.

210 *ἑλέμεν* § 126] *ἑλέειν* mss.

211 *ἐν* § 315] *εἰν* mss. || **φίλω*] *φίλας* mss., quod cum *χεῖρε* iunctum soloecum; *φίλα* PKnight. Cf. *Θ* 378 *Λ* 48 *Φ* 432.

ἀμφοτέρω κρυεροῖο τεταρπώμεσθα γόοιο; 212^b = Ψ 10
ἦ μοι Ϝείδωλον τόδ' ἀγαυὴ Περσεφόνεια
ὤτρυν', ὄφρ' ἔτι μᾶλλον ὀδυρόμενος στεναχίζω;' 214 cf. ι 13
„ὣς ἐφάμην, ἡ δ' αὐτίκ' ἀμείβετο πότνια μήτηρ·
,ὤ μοι, τέκνον ἐμόν, πάντων πέρι κάμμορε φωτῶν, 216^b = υ 33
οὔ τί σε Περσεφόνεια Διὸς θυγάτηρ ἀπαφίσκει,
ἀλλ' αὕτη δίκη ἐστὶ βροτῶν, ὅτε τίς κε θάνησι· 218^a cf. τ 43^a ω 255^b
οὐ γὰρ ἔτι σάρκας τε καὶ ὀστέα Ϝῖνες ἔχουσι,
ἀλλὰ τὰ μέν τε πυρὸς κρατερὸν μένος αἰθομένοιο 220^b cf. Z 182
δάμνατ', ἐπεί κε πρῶτα λίπῃ λεύκ' ὀστέα θυμός, 221^b cf. M 386
ψυχὴ δ' ἠΰτ' ὄνειρος ἀποπταμένη πεπότηται.
ἀλλὰ φάοσδε τάχιστα λιλαίεο· ταῦτα δὲ πάντα
Ϝίσθ', ἵνα καὶ μετόπισθε τεῇ Ϝείπῃσθα γυναικί.'
„νῶι μὲν ὣς Ϝεπέεσσιν ἀμειβόμεθ'· αἱ δὲ γυναῖκες
ἤλυθον, — ὤτρυνεν γὰρ ἀγαυὴ Περσεφόνεια, —
ὅσσαι ἀριστήων ἄλοχοι ἔσαν ἠδὲ θύγατρες.
αἱ δ' ἀμφ' αἷμα κελαινὸν ἀϜολλέες ἠγερέθοντο· 228^b = Ψ 233
αὐτὰρ ἐγὼ 'βούλευον, ὅπως ἐρέοιμι Ϝεκάστην.
ἥδε δέ μοι κατὰ θυμὸν ἀρίστη 'φαίνετο βουλή· 230 = ι 318
σπασσάμενος τανύηκες ἄορ παχέος παρὰ μηροῦ 231 = Π 473
οὐκ εἴων πίνειν ἅμα πάσας αἷμα κελαινόν.
αἱ δὲ προμνηστῖναι ἐπήισαν ἠδὲ Ϝεκάστη
Ϝὸν γόνον ἐξαγόρευον· ἐγὼ δ' ἐρέεινον ἁπάσας.
„ἔνθ' ἦ τοι πρώτην Τυρὼ 'Ϝίδον ηὐπάτειραν,

213 ἦ μοι] sic vel ἠέ τι Bentley; ἦ τι μοι mss.; an *ἠέ τί μοι Ϝείδωλον ἀγαυή?

216 *πάντων πέρι] περὶ πάντων mss. (πάντων om. F^1); vid. υ 33.

217 ἀπαφίσκει] praesens † (aoristus extat Ι 376 etc.).

218 τίς κε G X] κέν τε F P H M, τίς τε Monro. || θάνῃσι(ν) G F^1 X] θάνωσι(ν) F^2 P H M.

219 ἔτι] de -ι producto vid. § 26.

221 δάμνατ' G X] δαμνᾷ (F) P H M cum Ar. et Ptolemaeo Ascalon.; δάμναται ὡς Crates. Cf. Ξ 199 ξ 488 Hes. Theog. 122.

222 ἀποπταμένη] cf. § 216.

223 sq.] del. Duentzer.

223 φάοσδε G H^2 X] φόωσδε mss. pleraque; cf. § 71.

232 εἴων] ἔαον? cf. ε 468. || πίνειν G F H^1 M X] πιέειν W, πινέειν P H^2; an *πινέμεν' οὐκ ἔαον?

233 προμνηστῖναι] *singulae*. Adi. incertae originis redit φ 230; oppositum est ἀγχιστῖνοι (E 141 etc.). || ἠδὲ] sic Ar., ἡ δὲ F H X^2 mss. alia (vid. ε 391 μ 168). Cf. λ 285.

234 ἐξαγόρευον G] ἐξαγόρευεν F^2 P M, ἐξερέεινεν H, ἐξερέουσα F^1. Vid. e. g. Ω 1 sq. (T 339).

235-327] heroinarum catalogum in Attica esse compositum ad Atticarum quarundam gentium originem celebrandam, putat Seeck. Simillimum fuisse *Hesiodi* catalogum apparet ex Hesiodi fr. 29, 33, 39, 151 (?) Rzach.

235 πρώτην] πρῶτον H M mss. alia. || Τυρώ] pro Τυρόα novicium, cf. § 77. || ηὐπάτειραν LMeyer] εὐπατέρειαν mss.; cf. Z 292.

ἣ 'φάτο Σαλμωνῆος ἀμύμονος ἔκγονος εἶναι,
'φῆ δὲ Κρηθῆος γυνὴ ἔμμεναι Αἰολίδαο·
ἣ ποταμοῖ' ἠράσσατ' Ἐνιπῆος θείοιο,
ὃς πολὺ κάλλιστος ποταμῶν ἐπὶ γαῖαν ἵησι, 239 cf. B 850 Φ 158
καί ῥ' ἐπ' Ἐνιπῆος 'πωλέσκετο καλὰ ῥέεθρα.
τῷ δ' ἄρα Ϝεισάμενος γαιήοχος ἐνοσίγαιος
ἐν προχοῇς ποταμοῦ παρελέξατο δινήεντος·
πορφύρεον δ' ἄρα κῦμα περιστάθη, οὔρεϊ Ϝῖσον,
κυρτωθέν, 'κρύψεν δὲ θεὸν θνητήν τε γυναῖκα.
αὐτὰρ ἐπεί ῥ' ἐτέλεσσε θεὸς φιλοτήσια Ϝέργα,
ἔν τ' ἄρα Ϝοι 'φῦ χειρὶ Ϝέπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε· 247 = Z 253
,χαῖρε, γύναι, φιλότητι· περιπλομένου δ' ἐνιαυτοῦ 248^b cf. Ψ 833 α 16
τέξεαι ἀγλαὰ τέκν', ἐπεὶ οὐκ ἀποφώλιοι εὐναὶ
ἀθανάτων· σὺ δὲ τοὺς κομέειν ἀτιταλλέμεναί τε.
ἔρχεο νῦν πρὸς δῶμα καὶ ἴσχεο μηδ' ὀνομήνῃς·
αὐτὰρ ἐγώ τεΐν εἰμι Ποσειδάων ἐνοσίχθων.'
ὣς Ϝειπὼν ὑπὸ πόντον ἐδύσετο κυμαίνοντα. 253 = δ 570
ἡ δ' ὑποκυσαμένη Πελίην 'τέκε καὶ Νηλῆα, 254^a = Z 26
τὼ κρατερὼ θεράποντε Διὸς μεγάλοι' ἐγενέσθην
ἀμφοτέρω· Πελίης μὲν ἐν εὐρυχόρῳ Ἰαωλκῷ

245 'λῦσε δὲ παρθενίην ζώνην, κατὰ δ' ὕπνον ἔχευε.

245 Zen. om., Ar. —

236 ἀμύμονος] sic Ar., alii olim ἀτασθάλου. Cf. α 29.

238 ποταμοῖ' § 59] -μοῦ mss.

239 κάλλιστος] κάλλιστον Bothe. || ἵησι] absolute usurpatum sensu *fluendi*, ut η 130.

241 ἄρα Ϝεισάμενος] ἄρ' εἰσάμενος G mss. alia. || ἐνοσίγαιος G F T] ἐννοσ. mss. cett.; cf. § 21.

242 προχοῇς] pro -ῇσι novicium, cf. § 57; προχοῇσ' G, προχοῇ F^1 T, cf. υ 65; ceteris tamen locis (P 263 ε 453) usurpatur pluralis. Ecquid *προχοῇσι ῥόου (cf. Φ 219)?

243] *curvata in montis faciem circumstetit unda | accepitque sinu vasto* Verg. Georg. IV 361, quae „ex Hesiodi γυναικῶν" (fr. Hesiod. 151 Rzach) translata esse dicit schol. Bern. (lapsu memoriae?). Vid. ad vs. 235 sqq. || περιστάθη] aor. passivi nonnisi ρ 463 redit.

244 κυρτωθέν] †, cf. κυρτός B 218 Δ 426 N 799.

245 παρθενίην] adi. redit Π 180.

246 φιλοτήσια] †, cf. φιλότης B 232 λ 248 etc.

248] cf. Gellius III 16 § 15. || περιπλομένου ... ἐνιαυτοῦ] vid. ad α 16.

249 τέξεαι Zen. M^1] τέξεις Ar. et mss. cett.; cf. T 99 Hes. Theog. 469 et § 236. || τέκν' n] τέκνα mss. cetera; sic ἐπεὶ οὐχ per synizesin (cf. § 8) esset proferendum. || ἀποφώλιοι] vid. ad ε 182; l. a. ἀνεμώλιοι a Didymo iure reiecta.

251 *ἔρχεο νῦν] νῦν δ' ἔρχευ (ἔρχεο G) mss.; cf. § 117.

252 τεΐν Nauck] τοί mss. metro invito (om. F^1), cf. § 14; Fick γε τοι.

253 ἐδύσετο § 152] -σατο mss.

254-257] H^1 hic om., habet post μ 99 (loco alieno).

255 μεγάλοι' ἐγενέσθην] μεγάλοιο γεν. mss., cf. § 59.

256 Ἰαωλκῷ] Ἰαολκῷ F H^2 X mss. alia; fortasse recte, item B 712.

'ναῖε πολύρρηνος, ὃ δ' ἄρ' ἐν Πύλῳ ἠμαθόεντι.
τοὺς δ' ἑτέρους Κρηθῆι 'τέκεν βασίλεια γυναικῶν,
Αἴσονά τ' ἠδὲ Φέρητ' Ἀμυθάονά θ' ἱππιοχάρμην.
„τὴν δὲ μετ' Ἀντιόπην 'Ϝίδον Ἀσωποῖο θύγατρα,
ἣ δὴ καὶ Διὸς ηὔχετ' ἐν ἀγκοίνῃσιν ἰαῦσαι· 261 cf. Ξ 213
καί ῥ' ἔτεκεν δύο παῖδ', Ἀμφίονά τε Ζῆθόν τε,
οἳ πρῶτοι Θήβης ἕδος ἔκτισαν ἑπταπύλοιο 263 cf. Δ 406
'πύργωσάν τ', ἐπεὶ οὐ μὲν ἀπύργωτόν γ' ἐδύναντο
ναιέμεν' εὐρύχορον Θήβην, κρατερώ περ ἐόντε.
„τὴν δὲ μετ' Ἀλκμήνην 'Ϝίδον Ἀμφιτρύωνος ἄκοιτιν,
ἥ ῥ' Ἡρακλέεα θρασυμέμνονα θυμολέοντα 267ᵇ = Ε 639
'γείνατ' ἐν ἀγκοίνῃσι Διὸς μεγάλοιο μιγεῖσα·
καὶ Μεγάρην, Κρείοντος ὑπερθύμοιο θύγατρα,
τὴν ἔχεν Ἀμφιτρύωνος υἱὸς μένος αἰὲν ἀτειρής.
„μητέρα τ' Οἰδιπόδα' ἔϜιδον, καλὴν 'Επικάστην,
ἣ μέγα Ϝέργον ἔρεξεν ἀϜιδρίῃφι νόοιο
γημαμένη ἑϜῷ υἷι, ὃ Ϝὸν πατέρ' ἐξεναρίξας
'γῆμεν· ἄφαρ δ' ἀνάπυστα θεοὶ 'θέσαν ἀνθρώποισι.
ἀλλ' ὃ μὲν ἐν Θήβῃ πολυηράτῳ ἄλγεα πάσχων
Καδμείων ἐϜάνασσε θεῶν ὀλοὰς διὰ βουλάς·
ἣ δ' ἔβη εἰς ἈϜίδαο πυλάρταο κρατεροῖο, 277 cf. Θ 367

257 πολύρρηνος] *πολύρρηνι? cf. § 83 et Β 106 Κ 216.
259 ἱππιοχάρμην] adi. redit Ω 257, cf. ἱππιοχαίτης Ζ 469.
260] unum versum post hunc intercidisse putat Nitzsch.
262 ἔτεκεν] ἔσχεν F[1].
264 sq.] insulsos versus spurios ducimus.
264 'πύργωσαν et ἀπύργωτον] †, cf. πύργος (Γ 153 etc.). || μὲν Ar.] μιν Aristoph., sic P mss. alia.
267 Ἡρακλέεα § 73] -κλῆα mss. || θρασυμέμνονα] κρατερόφρονα W mss. alia. Adi. nonnisi loco par. redit.
269 sq.] del. PKnight.
269 Μεγάρην] pendet ab 'Ϝίδον vs. 266.
270 υἱὸς] cf. § 17.
271 Οἰδιπόδα' ἔϜιδον] -δαο ἴδον mss.; cf. § 55.
272 ἔρεξεν] ἔϜερξε Fick. || ἀϜιδρίῃφι] ἀιδρ(ε)ίῃσι mss.
273 *ἑϜῷ υἷι, ὃ] ᾧ υἷι (vel υἱεῖ)· ὃ δ' mss., vitiose producto ᾧ (vid. § 14) et neglecto Ϝ pronominis Ϝόν. Ex parte secuti sumus Fickium ἑϜῷ υἷ'· ὃ δὲ Ϝὸν conicientem. Numeri vix sinunt vulgatam servari, ita recitatam: γημαμένη Ϝῷ υἷι (◡◡—)· ὃ δὲ Ϝὸν, cf. tamen § 17.
274 ἄφαρ] recte Pausanias IX 5 § 5 observat Oedipum igitur non per annos complures cum matre cohabitasse pluresve ex ea liberos suscepisse, ut est in tragicorum fabulis. || ἀνάπυστα] †, cf. ἀναφανδά γ 221 etc.; opp. ἄπυστος α 242 etc.
275 sq.] ergone post incestum detectum matrisque miserum obitum aliquot annos Thebis regnavit? cf. ψ 679. Versus del. Duentzer, vs. 274 sq. Hartman.
276 ἐϜάνασσε] ἤνασσε mss. — Verbo Ϝανάσσειν populus in *dativo* addi solet, hic igitur expectatur Καδμείοισ' ἐϜάνασσε; genitivus tamen etiam Κ 32 sq. extat.

ἁψαμένη βρόχον αἰπὺν ἀφ' ὑψηλοῖο μελάθρου,
Ϝῷ ἄχεϊ σχομένη· τῷ δ' ἄλγεα κάλλιπ' ὀπίσσω
πολλὰ μάλ', ὅσσα τε μητρὸς ἐρινύες ἐκτελέουσι. 280ᵃ cf. Τ 265
„καὶ Χλῶριν ἔϜιδον περικαλλέα, τήν ποτε Νηλεὺς
'γῆμεν ἑϜὸν διὰ κάλλος, ἐπεὶ 'πόρε μυρία Ϝέδνα, 282ᵇ = Π 190
ὁπλοτάτην κούρην Ἀμφίονος 'Ιασίδαο,
ὅς ποτ' ἐν 'Ορχομενῷ Μινυείῳ Ϝῖφι 'Ϝάνασσε·
ἣ δὲ Πύλου 'βασίλευε, 'τέκεν δέ Ϝοι ἀγλαὰ τέκνα,
Νέστορά τε Χρομίον τε Περικλύμενόν τ' ἀγέρωχον. 286ᵇ = Hes. fr 33,1
τοῖσι δ' ἐπ' ἰφθίμην Πηρὼ 'τέκε, θαῦμα βροτοῖσι,
τὴν πάντες 'μνάοντο περικτίται· οὐδέ τι Νηλεὺς
τῷ ἐδίδου, ὃς μὴ Ϝέλικας βόας εὐρυμετώπους
ἐκ Φυλάκης ἐλάσειε βίης ϜιφικλεεΈίης
ἀργαλέας. τὰς δ' οἶος ὑπέσχετο μάντις ἀμύμων
ἐξελάειν· χαλεπὴ δὲ θεοῦ κατὰ μοῖρ' ἐπέδησε
δεσμοί τ' ἀργαλέοι καὶ βουκόλοι ἀγροιῶται.
ἀλλ' ὅτε δὴ μῆνές τε καὶ ἡμέραι ἐξετελεῦντο 294 sq. = ξ 293 sq. / 294 cf. h. Ap. 349
ἂψ περιτελλομένου Ϝέτεος καὶ ἐπήλυθον ὧραι, 295 = h. Ap. 350 / 295ᵃ cf. Β 551ᵇ / 295ᵇ = β 107
296 καὶ τότε δή μιν ἔλυσε βίη Ϝιφικλεεείη.
298 „καὶ Λήδην ἔϜιδον τὴν Τυνδαρέου παράκοιτιν,
ἥ ῥ' ὑπὸ Τυνδαρέῳ κρατερόφρονε 'γείνατο παῖδε,

297 θέσφατα πάντ' εἰπόντα· Διὸς δ' ἐτελείετο βουλή. 297ᵇ = Α 5

278] vertit Verg. Aen. XII 603: *et nodum informis leti trabe nectit ab alta.* || βρόχον] vox nonnisi χ 472 redit.
282 διὰ] μετὰ G X mss. alia (absurde). || Ϝέδνα] vid. ad Π 178.
284 'Ορχομενῷ] 'Ερχομενῷ? cf. Β 511. || Μινυείῳ] -ηίῳ mss. pleraque (-ήων F Z k) neglecto Ϝ vocis Ϝῖφι; quae tamen fortasse vera est lectio, antiquior enim terminus -ήιος (cf. Λ 722) metro hic est aptior quam -εῖος (cf. Β 511).
285 ἣ δὲ Herodian.] ἠδὲ Ar. F[2] P mss. pleraque; cf. vs. 233. Bothe ὃς δὲ.
286 ἀγέρωχον] vid. ad Β 654.
287 Πηρὼ] pro -όα novicium, cf. § 77; Nauck τέκε Πηρόα, at vid. vs. 235.
288 'μνάοντο § 190 et 191] μνώοντο mss. || περικτίται] †; alias περικτίονες (Ρ 220 etc.). || οὐδέ τι] οὐδ' ἄρα Aristoph. T.
289 βόας] βοῦς H[1].
290 Ϝιφικλεεείης § 73] -κληείης mss.
291 μάντις] *Melampus*, qui animalium linguam norat; de eo vid. ο 225 sqq. Hesiod. fr. 194 Pausan. IV 36.
292 ἐξελάειν § 191] -λάαν mss. || μοῖρ' ἐπέδησε] μοῖρα πέδησε Ar. Δ 517.
294 ἐξετελεῦντο] cf. § 7 et 191; *ἐξετέλεσθεν? Fick ἐκτελέοντο, sed aoristus aptior videtur.
296 Ϝιφικλεεείη § 73] -κληείη mss.
297] del. PKnight. || εἰπόντα] neglecto Ϝ; Bentley Ϝοῖ (Ϝοὶ) Ϝειπόντα. || ἐτελείετο βουλή] ἐτέλεσσεν ἐφετμήν B W q.
298-325] suspectos habet Nitzsch, prae ceteris autem vs. 298-304; vs. 301-304 deleverat PKnight, unum vs. 301 Bekker.
298 τὴν] articulus molestus; *ἔϜιδον παράκοιτιν Τυνδαρέοιο? || Τυνδαρέου] -άρεω F mss. alia; cf. ε 518.
299 κρατερόφρονε] -φρονι M X mss. alia.

300 *Κάστορά θ' ἱππόδαμον καὶ πὺξ ἀγαθὸν Πολυδεύκεα,* 300 = Γ 237
302 *οἳ καὶ νέρθεν γῆς τιμὴν πρὸς Ζηνὸς ἔχοντες*
ἄλλοτε μὲν ζώουσ' ἑτερήμεροι, ἄλλοτε δ' αὖτε 303 cf. Σ 472
τεθνᾶσιν· τιμὴν δὲ λελόγχασ' ἶσα θεοῖσι.
305 *„τὴν δὲ μετ' Ἰφιμέδειαν Ἀλωῆος παράκοιτιν*
εἴσϝιδον, ἣ δὴ ἔφασκε Ποσειδάωνι μιγῆναι·
καί ῥ' ἔτεκεν δύο παῖδε, — μινυνθαδίω δ' ἐγενέσθην, —
Ὦτόν τ' ἀντίθεον τηλεκλειτόν τ' Ἐφιάλτην.
τοὺς δὴ μηκίστους 'θρέψε ζείδωρος ἄρουρα
310 *καὶ πολὺ καλλίστους μετά γε κλυτὸν Ὠαρίωνα·*
311 *ἐννέωροι γὰρ τοί γε καὶ ἐννεαπήχεες ἦσαν.*
313 *οἵ ῥα καὶ ἀθανάτοισιν ἀπειλεέτην ἐν Ὀλύμπῳ*
314 *φυλόπιδα στήσειν πολυάικος πολέμοιο.*

---

301 *τοὺς ἄμφω ζωοὺς κατέχει φυσίζοος αἶα·* 301 cf. Γ 243
312 *εὖρος, ἀτὰρ μῆκός γε 'γενέσθην ἐννεόργυιοι.*
315 *Ὄσσαν ἐπ' Οὐλύμπῳ 'μέμασαν θέμεν', αὐτὰρ ἐπ' Ὄσσῃ*
Πήλιον ἐνοσίφυλλον, ἵν' οὐρανὸς ἀμβατὸς εἴη.
315 sq. Ar. —

300-304] vid. ad *Γ* 237.
300 *Πολυδεύκεα*] cf. § 73; *-κην* W[1] i q.
301] vid. ad vs. 298 sqq. Semideos non norunt veteres poetae epici (vid. ad *M* 23 *λ* 602), neque loco, quem poeta horum versuum imitatur, *Γ* 243 *vivi* sub terra degere Dioscuri dicuntur. || *ἄμφω ζωούς*] *ἀμφιζώους* Nitzsch. || *φυσίζοος*] *-ζωος* F P H mss. alia; cf. § 17.
302 *καὶ νέρθεν*] *κ' ἔνερθεν* (*καὶ ἔνερθεν*?) F[1]. || *γῆς*] novicium, cf. *Ξ* 204 et § 58; vHerwerden *οἳ νέρθεν γαίης*. || *πρὸς*] *παρὰ* (i. e. *πὰρ*) F P H mss. alia.
303 *ἑτερήμεροι*] †.
304] del. Bekker. || *λελόγχασ'* Eust. 1687,16] *λελόγχασιν* mss.; vid. § 116 et ad *η* 114. || *ἶσα*] neglecto *ϝ*. Non recte *-χασι ϝῖσα* scripserit quispiam, non enim in unum eundemque versum quadrant recentioris Iadis terminus *-ᾰσι* et vetusta forma *ϝῖσος*.
305 *Ἰφιμέδειαν*] neglecto *ϝ*; *Ἀμφιμέδειαν* H[2] K, fortasse recte.
306 *ἔφασκε*] *φάσκε* mss.
308 *Ἐφιάλτην*] *Ἐπιάλτην* G[1].
309 *τοὺς* G F H[1]] *οὓς* mss. pleraque.
310 *μετά γε κλυτὸν*] *μετ' ἀγάκλυτον* l. a. (an coniectura?) apud HStephanum; cf. *Z* 436 *θ* 502 *ξ* 237 *φ* 295 *ω* 103. || *Ὠαρίωνα* PKnight] *Ὠρίωνα* mss.; vid. ad *Σ* 486.
311 *ἐννέωροι*] vid. ad *Σ* 351.
312] om. H[1]. Versus insulsus — nam *latitudinem* hominis quis indicat! — postmodo est additus, ut e viris ingentis staturae (*τετραπήχεις* enim homines praelongi dici solent) fierent monstra incredibilis molis, qualem prolem terrestri mulieri verus poeta tribuere non potuit. Eidem manui videntur deberi vs. 315 sq., quos sprevit Ar.; fortasse etiam versus 311 recentioris est originis. || *ἐννεόργυιοι*] forma suspecta, cf. § 8; *ἐννορόγυιοι* Bentley, cf. Sapph. fr. 98 *ἐπτορόγυιοι*. Vid. *Ψ* 327.
313 *ἀπειλεέτην* § 191] *-λείτην* T[2], *-λήτην* mss. cett.
315 sq.] pugnant cum vss. sqq., absurde autem Olympo, qui modo (vs. 313) sedes deorum est vocatus, iam Ossa Pelionque montes dicuntur impositi esse ut ad coelicolas fieret aditus. Lehrs Arist.[2] p. 171 sqq. locum quadamtenus defendere studuit. — Vs. 315 sq.[a] imitatur Verg. Georg. I 281 sq.
316 *ἐνοσίφυλλον* § 21] *εἰνοσ.* mss. || *ἀμβατός*] cf. *Z* 434.

317 *καί νύ κεν ἐξετέλεσσαν, εἰ ἥβης μέτρον ἵκοντο·* 317[b] cf. Λ 225
ἀλλ' ὄλεσεν Διὸς υἱὸς, ὃν ἠύκομος 'τέκε Λητὼ, 318[b] = Τ 413
ἀμφοτέρω, πρίν σφωιν ὑπὸ κροτάφοισιν ἰούλους
320 *ἀνθῆσαι πυκάσαι τε γένυς ἐυανθέι λάχνῃ.*
„Φαίδρην τε Πρόκριν τ' ἔϝιδον καλήν τ' Ἀριάδνην
κούρην Μίνωος ὀλοόφρονος, ἥν ποτε Θησεὺς
ἐκ Κρήτης εἰς γουνὸν Ἀθηνάων ἱεράων
324 *ἦγε μὲν, οὐδ' ἀπόνητο· πάρος δέ μιν Ἄρτεμις ἔκτα.* 324 cf. ρ 293
326 *Μαῖράν τε Κλυμένην τ' ἔϝιδον στυγερήν τ' Ἐριφύλην,*
ἣ χρυσὸν φίλου ἀνδρὸς ἐδέξατο τιμήεντα.
πάσας δ' οὔ κεν ἐγὼ μυθήσομαι οὐδ' ὀνομήνω, 328[b] = Β 488
ὅσσας ἡρώων ἀλόχους 'ϝίδον ἠδὲ θύγατρας·
330 *πρὶν γάρ κεν καὶ νὺξ φθῖτ' ἄμβροτος· ἀλλὰ καὶ ὥρη*
εὑδέμεν', ἢ ἐπὶ νῆα θοὴν ἐλθόντ' ἐς ἑταίρους
ἢ αὐτοῦ· πομπὴ δὲ θεοῖσ' ὕμιν τε μελήσει."

ὣς ἔφαθ'· οἳ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ· 333 sq. = ν 1 sq.
κηληθμῷ δ' ἔσχοντο κατὰ μέγαρα σκιόεντα. 333 = Γ 95
335 *τοῖσιν δ' Ἀρήτη λευκώλενος ἤρχετο μύθων·* 335 = η 233
„Φαίηκες, πῶς ὕμιν ἀνὴρ ὅδε φαίνεται εἶναι
ϝεῖδός τε μέγεθός τε ἰδὲ φρένας ἔνδον ἐϝίσας; 337 = σ 249
ξεῖνος δ' αὖτ' ἐμός ἐστι, ϝέκαστος δ' ἔμμορε τιμῆς. 337[a] = Β 58 337[b] = ξ 178 338[b] = Ο 189

---

325 *Δίῃ ἐν ἀμφιρύτῃ Διονύσου μαρτυρίῃσι.*

---

317 *εἰ*] vid. ad **X** 410.
319 sq.] del. PKnight.
319 *ἰούλους*] †.
320 *ἀνθῆσαι*] verbum h. Ap. 139 XXXIII 8 redit, cf. *ἀνήνοθε* § 135[1] (*ἄνθος* saepius). || *γένυς*] sic Ar., *γένυν* F[1] mss. alia. || *ἐυανθέι*] † (*Εὐάνθης* *ι* 197).
321-325] addubitat Nitzsch, del. Fick.
321 *Ἀριάδνην*] *Ἀριήδνην* Zen.? vid. *Σ* 592.
322] de Theseo vid. ad vs. 631.
324 *ἀπόνητο*] l. a. *ἐτέλεσσε*. Cf. *π* 120 *ρ* 293. || *ἔκτα*] *ἔσχε* Aristoph. P M.
325] del. PKnight. || *Διονύσου*] brevior nominis forma h. VI 56 XVIII 46 XXV 1, 11 redit, *Διώνυσος* legitur *Z* 132, 135 *Ξ* 325 *ω* 74 h. VI 1 XXXIII 20; cf. § 18. Praeterea vid. ad *Z* 130-141 et ad *ι* 197. || *μαρτυρίῃσι*] vox † neque huic loco apta (Hes. Op. 282 suo loco legitur); *μαργοσύνῃσι* Nitzsch (quae non extat vox apud Hom., cf. tamen *μάργος* *π* 421 etc., *μαργαίνειν* *E* 882).
326 *στυγερήν*] *καλήν* G[1] (cf. vs. 321).
328-384] del. KLKayser, vs. 333-384 Nitzsch, vs. 335-361 Kammer.
328 *οὔ κεν* § 326] *οὐκ ἂν* mss.
330 *φθῖτ'*] cf. *κ* 51 et § 120.
331 sq.] sic contrahit Fick: *εὑδέμεναι· πομπὴ δὲ — μελήσει.*
331 *εὑδέμεν'* § 125] *εὕδειν* mss. || *ἐλθόντ' ἐς* H[2]] *-ντας* G F P H[1] M X.
334 *κηληθμῷ*] hic et vs. par., vid. ad *κ* 329.
336 *ὕμιν* § 92] *ὕ(μ)μιν, ὔμμιν, ὑμῖν* mss.
338[b]] *unumquemque autem vestrum eius adventus honorat.* An **ϝεκάστης δ' ἔμμορε τιμῆς*?

τῷ μιν ἐπειγόμενοι ἀποπέμπετε μηδὲ τὰ δῶρα
οὕτω χρηίζοντι κολούετε· πολλὰ γὰρ ὕμιν
κτήματ' ἐνὶ μεγάροισι θεῶν ἰότητι κέονται."
τοῖσι δὲ καὶ μετέϝειπε γέρων ἥρως Ἐχένηος· — 342 cf. η 155
„ὦ φίλοι, οὐ μὰν ἧμιν ἀπὸ σκοποῦ οὐδ' ἀπὸ δόξης — 344ᵇ = Κ 324
μυθέεται βασίλεια περίφρων· ἀλλὰ πίθεσθε.
Ἀλκινόου δ' ἐκ τοῦδ' ἔχεται ϝέργον τε ϝέπος τε."
τὸν δ' αὖτ' Ἀλκίνοος ἀπαμείβετο ϝφώνησέν τε·
„τοῦτο μὲν οὕτω δὴ ϝέπος ἔσσεται, αἴ κεν ἐγώ γε
ζωὸς Φαιήκεσσι φιληρέτμοισι ϝανάσσω.
ξεῖνος δὲ τλήτω, μάλα περ νόστοιο χατίζων, — 350ᵇ cf. ϑ 158
ἔμπης οὖν ἐπιμεῖναι ἐς αὔριον, εἰς ὅ κε πᾶσαν
δωτίνην τελέσω. πομπὴ δ' ἄνδρεσσι μελήσει — 352ᵇ cf. Ζ 492 α 358
πᾶσι, μάλιστα δ' ἐμοί· τοῦ γὰρ κράτος ἔστ' ἐνὶ δήμῳ." — 353 cf. α 359; 353ᵃ = Ζ 493
τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς· — 354 sq. = ι 1 sq.
„Ἀλκίνοε κρεῖον, πάντων ἀριδείκετε λαῶν,
εἴ με καὶ εἰς ἐνιαυτὸν ἀνώγοιτ' αὐτόθι μίμνειν
πομπήν τ' ὀτρύνοιτε καὶ ἀγλαὰ δῶρα διδοῖτε, — [Γ 41
καί κε τὸ βουλοίμην, καί κεν πολὺ κέρδιον εἴη — 358 = υ 316 cf.; 358ᵇ cf. Η 28
πλειοτέρῃ σὺν χειρὶ φίλην εἰς πατρίδ' ἱκέσθαι·
καί κ' αἰδοιότερος καὶ φίλτερος ἀνδράσιν εἴην
πᾶσιν, ὅσοι μ' Ἰθάκηνδε ϝιδοίατο νοστήσαντα." — 361ᵇ = α 163
τὸν δ' αὖτ' Ἀλκίνοος ἀπαμείβετο ϝφώνησέν τε·
„ὦ Ὀδυσεῦ, τὸ μὲν οὔ σε ϝεϝίσκομεν εἰσοράοντες,
ἠπεροπῆ' ἔμεναι καὶ ἐπίκλοπον, οἷά τε πολλοὺς

343 ὃς δὴ Φαιήκων ἀνδρῶν προγενέστατος ἦεν. — 343 = η 156

339 μιν Kirchhoff] μή mss. || ἐπειγόμενοι] *cito*; cf. Ε 902. || τὰ] quae ϑ 439 sunt commemorata? vHerwerden τι.
340 ὕμιν § 92] ὑμῖν (ἡμῖν) vel ὔμμιν mss.
341 κέονται] cf. § 169.
343] om. P H M mss. alia. || προγενέστατος Bekker] προγενέστερος mss.; cf. η 156. || Huic versui in U subiungitur καὶ μύθοις ἐκέκαστο παλαιά τε πολλά τε εἰδώς (= η 157).
344 ἧμιν] ὔμμιν (ὑμῖν) mss. complura. Cf. § 92.
345 μυθέεται § 191] μυθεῖται mss.
346 ἔχεται] cf. Ι 102.
348 ἔπος ἔσσεται F] ἔσται ἔπος G M X, ἔστω ἔπος P, ἔσται γέρον H.
351 οὖν] νῦν Nitzsch.
353 δήμῳ] οἴκῳ G P n.
357] corruptum aut spurium ducit Nauck. || πομπήν τ' ὀτρύνοιτε] l. a. πομπὴ δ' ὀτρύνοιτο. || τ'] δ' M mss. alia. || ὀτρύνοιτε] vHerwerden ἀρτύνοιτε (cf. vs. 366). || διδοῖτε] διδῶντε P.
359 πλειοτέρῃ σὺν χειρὶ] sic Ar., -ῃσιν (an -ῃς σὺν?) χερσὶ Aristoph.
360 αἰδοιότερος] suspectum habet Nauck, ἀφνειότερος Naber.
363 σε Bentley] τί σ'. || εἰσοράοντες § 191] -ρόωντες mss.
364 *ἠπεροπῆ' ἔμεναι] ἠπεροπῆα τ' ἔμεναι n, ἠπεροπῆα τ' ἔμεν (ἔμμεν' G²) mss. cett.; cf. § 126. || ἠπεροπῆ'] †, vid. ad Γ 39. ||

βόσκει γαῖα μέλαινα πολυσπερέας ἀνθρώπους
ψεύδεά τ' ἀρτύνοντας, ὅθεν κέ τις οὐδὲ ϝίδοιτο·
σοὶ δ' ἔπι μὲν μορφὴ ϝεπέων, ἔνι δὲ φρένες ἐσθλαί·
μῦθον δ' ὡς ὅτ' ἀοιδὸς ἐπισταμένως κατέλεξας.
ἀλλ' ἄγε μοι τόδε ϝειπὲ καὶ ἀτρεκέως κατάλεξον, — 370 = Κ 384
εἴ τινας ἀντιθέων ἑτάρων ϝίδες, οἵ τεῒν αὐτῷ
ϝίλιον εἷς ἅμ' ἕποντο καὶ αὐτόθι πότμον ἐπέσπον. — 372ᵃ = Ν 717 cf. ω 117
νὺξ δ' ἥδε μάλα μακρὴ ἀθέσφατος· οὐδέ πω ὥρη
εὑδέμεν' ἐν μεγάρῳ· σὺ δέ μοι λέγε θέσκελα ϝέργα.
καί κεν ἐς Ἠόα δῖαν ἀνασχοίμην, ὅτε μοι σὺ
τλαίης ἐν μεγάρῳ τεὰ κήδεα μυθήσασθαι."
τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς· — 377 sq. = ι 1 sq.
„Ἀλκίνοε κρεῖον, πάντων ἀριδείκετε λαῶν,
ὥρη μὲν πολέων μύθων, ὥρη δὲ καὶ ὕπνου.
εἰ δ' ἔτ' ἀκουέμεναί γε λιλαίεαι, οὔ κεν ἔπειτα
τούτων σοι φθονέοιμι καὶ οἰκτρότερ' ἄλλ' ἀγορεύειν,
κήδε' ἐμῶν ἑτάρων, οἳ δὴ μετόπισθεν ὄλοντο· — 382ᵇ cf. 629
οἳ Τρώων μὲν ὑπεξέφυγον στονόεσσαν ἀυτήν,
ἐν νόστῳ δ' ἀπόλοντο κακῆς ἰότητι γυναικός.
„αὐτὰρ ἐπεὶ ψυχὰς μὲν ἀπεσκέδασ' ἄλλυδις ἄλλην
ἁγνὴ Περσεφόνεια γυναικῶν θηλυτεράων,
ἦλθε δ' ἐπὶ ψυχὴ Ἀγαμέμνονος Ἀτρεΐδαο — 387 cf. ω 20; 387ᵃ = Ψ 65
ἀχνυμένη· περὶ δ' ἄλλαι ἀγηγέραθ', ὅσσοι ἅμ' αὐτῷ — 388 sq. = ω 21 sq.

369 πάντων Ἀργείων σέο τ' αὐτοῦ κήδεα λυγρά.

ἐπίκλοπον] vid. ad φ 397. || οἷά τε] vid. ad γ 73. || πολλούς] sic Ar., πολλὰ Zen. (πολλοὺς schol., corr. LaRoche).
365 πολυσπερέας] cf. Β 804.
366 οὐδὲ ϝίδοιτο] οὐδ' δίοιτο vHerwerden.
367 μορφή] cf. ϑ 170.
369] del. Kirchhoff. || πάντων] πάντων τ' H² mss. alia. || σέο] *τεά? || Post hunc versum in T repetitur vs. 353.
371 *τεῒν] τοι ἅμ' (ἂν P). Ferri nequit iteratum ἅμα, Bentley οἵ τέ τοι αὐτῷ, Bothe versu 372 εἵποντο pro ἅμ' ἕποντο, an *εἴσω ἕποντο (vid. ad Λ 71)?
372 αὐτόθι § 322] αὐτοὶ G T, αὐτοῦ mss. cett.
373 μακρή] vid. ad μ 129-131 ρ 196.
374 εὑδέμεν' § 125] εὕδειν mss. || μεγάρῳ] -ροις (male) G X mss. alia.
375 Ἠόα § 77] Ἠὼ (Ἠῶ) mss.
376 τεὰ PKnight] τὰ σὰ mss.; vid. ad Λ 185.
379-382] imitatur Verg. Aen. II 8 sqq.
380 οὔ κεν § 326] οὐκ ἂν mss. || ἔπειτα G X] ἐγώ γε mss. pleraque.
381 ἀγορεύειν] -ρεῦσαι P mss. alia.
385 sqq.] vid. ad vs. 565-627.
385 ἄλλην Aristoph. F²] ἄλλῃ Ar. (?) et mss. cett.; vid. ad ε 369.
386 ἁγνή] αἰνὴ G T k n et l. a. apud Eust.; cf. h. Cer. 203, 338, 440.
387 ἦλθε δ'] δ' om. H mss. alia; ἤλυθ' Nauck.
388 ἀχνυμένη] -νος P¹. || ἄλλαι] ἄλλοι G. || ὅσσοι G] ὅσσαι mss. cetera; cf. ω 21. || ἅμ' αὐτῷ] ἄριστοι G.

ϝοίκῳ ἒν Αἰγίσθοιο ᾽θάνον καὶ πότμον ἐπέσπον. 389ᵇ cf. Η 52 δ 562
ἔγνω δ᾽ αἶψ᾽ ἐμὲ κεῖνος, ἐπεὶ ᾽πίεν αἷμα κελαινόν· 390ᵃ = 615 390ᵇ = 98
᾽κλαῖε δ᾽ ὅ γε λιγέως, θαλερὸν κατὰ δάκρυον εἴβων, 391 cf. κ 201 391ᵇ cf. Ω 9
πιτνὰς εἰς ἐμὲ χεῖρας ὀρέξασθαι μενεαίνων·
ἀλλ᾽ οὐ γάρ ϝ᾽ ἔτ᾽ ἔην ϝὶς ἔμπεδος οὐδ᾽ ἔτι κῖκυς, 393ᵇ sq. cf. h. Ven. 238 sq.
οἵη περ πάρος ἦσκεν ἐνὶ γναμπτοῖσι μέλεσσι. 394 cf. Λ 669
τὸν μὲν ἐγὼ ᾽δάκρυσα ϝιδὼν ἐλέησά τε θυμῷ· 395 sq. = 55 sq.
καί μιν φωνήσας ϝέπεα πτερόεντα προσηύδων·
‚Ἀτρεΐδη κύδιστε, ϝάναξ ἀνδρῶν Ἀγάμεμνον, 397 = Β 434
τίς νύ σε κὴρ ἐδάμασσε τανηλεγέος θανάτοιο; 398 = 171
ἠὲ σέ γ᾽ ἐν νήεσσι Ποσειδάων ἐδάμασσε 399-402 cf. ω 109 399 cf. 406 [sqq.
ὄρσας ἀργαλέων ἀνέμων ἀμέγαρτον ἀυτμήν; 400 = 407 cf. Ξ 254
ἠέ σ᾽ ἀνάρσιοι ἄνδρες ἐδηλήσαντ᾽ ἐπὶ χέρσου 401 cf. κ 459 λ 408
βοῦς περιταμνόμενον ἠδ᾽ οἰῶν πώεα καλά, 402 cf. Σ 528 402ᵇ cf. μ 129
ἠὲ μαχειόμενοι πτόλιος πέρι ἠδὲ γυναικῶν;‘ 403 = ω 113
„ὣς ἐφάμην, ὃ δέ μ᾽ αὐτίκ᾽ ἀμειβόμενος προσέϝειπε· 404 = δ 471
‚διογενὲς Λαερτιάδη, πολυμήχαν᾽ Ὀδυσσεῦ,
οὔτ᾽ ἐμέ γ᾽ ἐν νήεσσι Ποσειδάων ἐδάμασσε 406 cf. 399
οὔτε μ᾽ ἀνάρσιοι ἄνδρες ἐδηλήσαντ᾽ ἐπὶ χέρσου, 408 cf. κ 459 λ 402
ἀλλά μοι Αἴγισθος τεύξας θάνατόν τε μόρον τε
ἔκτα σὺν ὀλομένῃ ἀλόχῳ, ϝοῖκόνδε καλέσσας. 410 cf. ω 97
ὣς ᾽θάνον οἰκτίστῳ θανάτῳ· περὶ δ᾽ ἄλλοι ἑταῖροι
νωλεμέως ᾽κτείνοντο σύες ὣς ἀργιόδοντες,

---

407 ὄρσας ἀργαλέων ἀνέμων ἀμέγαρτον ἀυτμήν 407 = 400
411 δειπνίσσας, ὥς τίς τε κατέκτανε βοῦν ἐπὶ φάτνῃ. 411 = δ 535
399-403 Aristoph. — (cui Aristarchum assensum esse arbitratur Ludwich).

---

390 ᾽πίεν αἷμα κελαινόν] sic Ar.? videatur schol.; ἴδεν ὀφθαλμοῖσι G X mss. alia (cf. ψ 92), quod verum ducit WCKayser, alteram lectionem veterum coniecturae deberi ratus.
393 *ϝ᾽ ἔτ᾽ ἔην] οἱ ἔτ᾽ ἦν mss., οἱ ἔην Nauck; cf. § 302 et de eliso ϝοι § 13. ‖ ἔην] ἔεν? cf. § 302. ‖ κῖκυς] vox redit h. Ven. 238; vid. ad ι 515.
394 ἦσκεν] ἔσχεν mss.
398] del. Duentzer.
399 σέ γ᾽ ἐν] *σ᾽ ἐνὶ? vid. ω 109.
400 ἀργαλέων] λευγαλέων Aristoph.
402 περιταμνόμενον] *intercludentem* (ut in praeda abigantur); cf. Σ 528 ω 112 h. Merc. 74. Barnes male περιμαρνάμενον; in schol. recte confertur ι 45.
403] del. PKnight. ‖ *μαχειόμενοι πτόλιος πέρι] περὶ πτόλιος μαχούμενοι W, π. π. μαχεο(ύ)μενον mss. cetera; cf. ρ 471 et § 291. Participii forma vitiosa redit versu hinc desumto ω 113; recte tamen ibi -μενοι extat, quod hic quoque legendum esse vidit Wolf. Coll. Ι 327 Σ 265 vertatur: *vel urbem uxoresque suas defendentes.*
407] om. mss. fere omnia.
410 ὀλομένῃ § 21] οὐλ. mss.
411] del. Kirchhoff. ‖ δειπνίσσας] vid. ad δ 535.
413 νωλεμέως] νηλεέως vHerwerden.

οἵ ῥά τ᾽ ἐν ἀφνειοῖ᾽ ἀνδρὸς μέγα δυναμένοιο
ἢ γάμῳ ἢ ἐράνῳ ἢ᾽ εἰλαπίνῃ τεθαλυίῃ.
ἤδη μὲν πολέων ἀνδρῶν φόνῳ ἀντεβόλησας 416 cf. ω 87
μουνὰξ κτεινομένων καὶ ἐνὶ κρατερῇ ὑσμίνῃ·
ἀλλά κε κεῖνα μάλιστα ϝιδὼν ὀλοφύραο θυμῷ, 418 cf. ω 90
ὡς ἀμφὶ κρητῆρα τραπέζας τε πληθούσας
᾽κείμεθ᾽ ἐνὶ μεγάρῳ, δάπεδον δ᾽ ἅπαν αἵματ᾽ ἔθυε. 420ᵇ = χ 309 ω 185
οἰκτροτάτην δ᾽ ἤκουσα ϝόπα Πριάμοιο θυγατρὸς
Κασσάνδρης, τὴν ᾽κτεῖνε Κλυταιμνήστρη δολόμητις
ἀμφ᾽ ἐμοί· αὐτὰρ ἐγὼ ποτὶ γαίῃ χεῖρας ἀείρων
᾽βάλλον ἀποθνῄσκων περὶ φασγάνῳ· ἡ δὲ κυνῶπις
᾽νοσφίσατ᾽ οὐδέ μοι ἔτλη ἰόντι περ εἰς Ἀϝίδαο
χερσὶ κατ᾽ ὀφθαλμοὺς ἑλέμεν σύν τε στόμ᾽ ἐρεῖσαι.
ὣς οὐκ αἰνότερον καὶ κύντερον ἄλλο γυναικός·
οἷον δὴ καὶ κείνη ἐμήσατο ϝέργον ἀϝεικές, 429 sq.ᵃ cf. ω 199 [sq.
κουριδίῳ τεύξασα φόνον πόσι᾽. ἦ τοι ἔφην γε 429ᵇ cf. Χ 395
ἀσπάσιος παίδεσσιν ἰδὲ δμώεσσιν ἐμοῖσι
ϝοίκαδ᾽ ἐλεύσεσθαι· ἡ δ᾽ ἔξοχα λυγρὰ ϝιδυῖα
ϝοί τε κατ᾽ αἶσχος ἔχευε καὶ ἐσσομένῃσιν ὀπίσσω
θηλυτέρῃσι γυναιξί, καὶ ἥ κ᾽ εὐϝεργὸς ἔῃσι.‘ 434 = ο 422 ω 202
„ὣς ἔφατ᾽, αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέϝειπον·
‚ὢ πόποι, ἦ μάλα δὴ γόνον Ἀτρέος εὐρύϝοπα Ζεὺς

---

428 ἥ τις δὴ τοιαῦτα μετὰ φρεσὶ ϝέργα βάληται.
428 olim a multis libris afuisse testatur Didymus. ‖ 435-440 Aristoph. —, 435-442 Ar. —

---

414 sq.] corruptum esse versus 414 initium (*ϝοίκῳ ἒν?), aut post vs. 415 nonnulla intercidisse, non enim decurrere sententiam, observat Friedlaender.
414 ἀφνειοῖ᾽ § 59] ἀφνειοῦ mss. ‖ δυναμένοιο] de syllaba δυ- producta cf. § 21.
415] vid. ad α 226.
416 ἀνδρῶν φόνῳ F² M] φόνῳ ἀνδρῶν mss. pleraque. ‖ ἀντεβόλησας] sic Ar., -σα F P mss. alia, ἀντιβολήσας GHermann. Cf. ω 87.
417 μουνάξ] vid. ad θ 371.
420 αἵματ᾽ ἔθυε] -τι θῦε(ν) mss.
421 ἤκουσα] -σας Bothe (vid. ad vs. 416).
423 sq.] vitiosa; nam ποτὶ γαίῃ pro ἐπὶ γαίῃ dici non potuit. Nitzsch ποτὶ κείνῃ, nos *ποτὶ γαίῃ χεῖρας ἐρείδων | παλλόμενος ᾽θνῇσκον (cf. Χ 461).
424 ἀποθνῄσκων] comp. sermoni pedestri proprium (vid. ad Χ 432) redit μ 393 φ 33.
426 ἑλέμεν § 126] ἑλέειν mss. Verbum καθελεῖν *comprimere* valet etiam Λ 453 ω 296.
427-453] del. Duentzer.
430 φόνον πόσι᾽(ι) § 74] φόνον πόσει W q, πόσει φόνον mss. cetera.
432 λυγρὰ ϝιδυῖα] λύγρ᾽ εἰδυῖα (ἔργ᾽ εἰδυῖα F) mss. Cf. § 160.
433 ϝοί] ᾗ mss. complura.
434 ἥ] εἴ F mss. alia.
435-443] del. Nitzsch, vs. 441-443 Kayser, vs. 435-440 et 443 PKnight. Vs. 442 sq. in margine habet G.
436-439] gravi laborare morbo iure censet Hartman (Epist. crit. p. 47). An forte verba γυναικείας διὰ βουλάς spectant Aeropae,

ἐκπάγλως ἤχθηρε γυναικείας διὰ βουλὰς — 437^{a} = 560
ἐξ ἀρχῆς· Ἑλένης μὲν ἀπωλόμεθ᾽ εἵνεκα πολλοί,
σοὶ δὲ Κλυταιμνήστρη δόλον ἤρτυε τηλόθ᾽ ἐόντι.'
„ὣς ἐφάμην, ὃ δέ μ᾽ αὐτίκ᾽ ἀμειβόμενος προσέϜειπε· — 440 = δ 471
‚τῷ νῦν μή ποτε καὶ σὺ γυναικί περ ἤπιος εἶναι.
μή Ϝοι μῦθον ἅπαντα πιφαυσκέμεν᾽ ὅν κ᾽ ἐὺ Ϝείδῃς,
ἀλλὰ τὸ μὲν φάσθαι, τὸ δὲ καὶ κεκρυμμένον εἶναι.
ἀλλ᾽ οὐ σοί γ᾽, Ὀδυσεῦ, φόνος ἔσσεται ἔκ γε γυναικός·
λίην γὰρ πινυτή τε καὶ ἐν φρεσὶ μήδεα Ϝοῖδε
κούρη Ϝικαρίοιο, περίφρων Πηνελόπεια. — 446 = α 329
ἦ μέν μιν νύμφην γε νέην κατελείπομεν ἦμες
ἐρχόμενοι πόλεμόνδε· πάις δέ Ϝοι ἦν ἐπὶ μαζῷ
νήπιος, ὅς ποθι νῦν γε μετ᾽ ἀνδρῶν ἵζει ἀριθμῷ,
ὄλβιος· ἦ γὰρ τόν γε πατὴρ φίλος ὄψεται ἐλθών,
καὶ κεῖνος πατέρα προσπτύξεται, ἣ θέμις ἐστί.
ἡ δ᾽ ἐμὴ οὐδέ περ υἷος ἐνιπλησθήμεν᾽ ἄκοιτις
453 ὀφθαλμοῖσιν ἔασε· πάρος δέ με ᾽πέφνε καὶ αὐτόν.
457 ἀλλ᾽ ἄγε μοι τόδε Ϝειπὲ καὶ ἀτρεκέως κατάλεξον, — 457 = Κ 384
εἴ ποθ᾽ ἔτι ζώοντος ἀκούετε παιδὸς ἐμοῖο, — 458 cf. Ω 490; 458^{a} cf. Τ 327
ἤ ποθ᾽ ἐν Ὀρχομενῷ ἤ᾽ ἐν Πύλῳ ἠμαθόεντι
ἤ ποθι πὰρ Μενελάῳ ἐνὶ Σπάρτῃ εὐρείῃ.

454 ἄλλο δέ τοι Ϝερέω, σὺ δ᾽ ἐνὶ φρεσὶ βάλλεο σῇσι· — 454 = Α 297
κρύβδην μηδ᾽ ἀναφανδὰ φίλην εἰς πατρίδα γαῖαν
νῆα κατισχέμεναι, ἐπεὶ οὐκέτι πιστὰ γυναιξί.

454-456 olim a plerisque libris afuisse refert Didymus (in scholio ad v. 452, quod huc referendum esse vidit Dindorf).

Atrei uxoris, dolum, quo Thyestae imperium conciliavit? Obstat tamen quod vss. sequentibus Helena et Clytaemnestra nominatim indicantur.

437 *γυναικείας*] †, cf. *γύναιος* λ 521 ο 247.

439 *δόλον*] *φόνον* P. ‖ Perperam Barnes e schol. Eur. Orest. 249 addit: *ὡς δὲ Κλυταιμνήστρη, λείπουσ᾽ Ἀγαμέμνονα δῖον, | Αἰγίσθῳ παρέλεκτο καὶ εἵλετο χείρον᾽ ἀκοίτην, | ὡς Ἑλένη ᾔσχυνε λέχος ξανθοῦ Μενελάου.*

440 *αὐτίκ᾽* G] *αὖτις* F P U mss. alia; vid. loc. parall.

442 *μή* Bentley] *μηδ᾽* mss., l. a. *μηθ᾽*.

443 *τὸ — εἶναι*] de acc. c. inf. cf. § 124.

444-453] del. Baeumlein servatis vs. 454-456.

445 *ἐν* Nauck] *εὖ* mss.

447 *ἦμες* § 92] *ἡμεῖς* mss.

448 *ἦν*] Nauck *ἔσκ᾽* (*ἦσκ᾽*); vid. § 302.

449 *ποθι* § 322] *που* mss. ‖ *ἵζει*] *ἵζετ᾽* X mss. alia.

452-456] del. Kayser.

452 *δ᾽ ἐμὴ*] **δέ γέ μ᾽(ε)*? ‖ *ἐνιπλησθήμεν᾽* § 125] *-σθῆναι* mss.

457-464] del. Duentzer, cui assentimur.

458 *ποθ᾽* § 322] *που* mss. ‖ *ἐμοῖο*] *ἐμεῖο* F H mss. alia (Zen.?); vid. ad Ξ 118.

459 sq.] in margine habet F.

459 *ποθ᾽* § 322] *που* mss. ‖ *Ὀρχομενῷ*] *Ἐρχομενῷ*? vid. ad B 511. ‖ *ἠμαθόεντι*] cf. § 21.

460 *ποθι* § 322] *που* mss.

οὐ γάρ πω τέθνηκεν ἐπὶ χθονὶ δῖος Ὀρέστης.' — 461 cf. α 196
„ὣς ἔφατ᾽, αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέϜειπον· — 462sq. cf. δ 491 sq.
‚Ἀτρεΐδη, τί με ταῦτα διείρεαι; οὐδέ τι Ϝοῖδα,
ζώει ὅ γ᾽ ἢ τέθνηκε· κακὸν δ᾽ ἀνεμώλια βάζειν.' — 464 = δ 837
„νῶι μὲν ὣς Ϝεπέεσσιν ἀμειβομένω στυγεροῖσι — 465 = 81
ἕσταμεν ἀχνύμενοι, θαλερὸν κατὰ δάκρυ χέοντες. — 466 = κ 570
ἦλθε δ᾽ ἐπὶ ψυχὴ Πηληιάδα᾽ Ἀχιλῆος — 467^{a} = Ψ 65
καὶ Πατροκλέεος καὶ ἀμύμονος Ἀντιλόχοιο — 467^{b}-470 = ω 15 sqq.
Αἴαντός θ᾽, ὃς ἄριστος ἔην Ϝεῖδός τε δέμας τε — 469 cf. ϑ 116
τῶν ἄλλων Δαναῶν μετ᾽ ἀμύμονα Πηλεΐωνα. — 470 = B 674
ἔγνω δὲ ψυχή με ποδώκεος Αἰακίδαο
καί μ᾽ ὀλοφυρομένη Ϝέπεα πτερόεντα προσηύδα·
‚διογενὲς Λαερτιάδη, πολυμήχαν᾽ Ὀδυσσεῦ,
σχέτλιε, τίπτ᾽ ἔτι μεῖζον ἐνὶ φρεσὶ μήσεαι ἔργον; — 474 $sq.^{a}$ cf. h. Ap. 322 sq.
πῶς ἔτλης Ἄϝιδόσδε κατελθέμεν᾽, ἔνθα τε νεκροὶ
ἀφραδέες ναίουσι, βροτῶν Ϝείδωλα καμόντων;' — 476^{b} = Ψ 72
„ὣς ἔφατ᾽, αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέϜειπον·
‚ὦ Ἀχιλεῦ, Πηλῆος υἱέ, μέγα φέρτατ᾽ Ἀχαιῶν, — 478 = Π 21
ἦλθον Τειρεσίαο κατὰ χρέος, εἴ τινα βουλὴν
Ϝείποι, ὅπως Ἰθάκην εἰς παιπαλόεσσαν ἱκοίμην·
οὐ γάρ πω σχεδὸν ἦλθον Ἀχαιίδος οὐδέ πω ἡμῆς — 481 $sq.^{a}$ = 166 sq.
γῆς ἐπέβην, ἀλλ᾽ αἰὲν ἔχω κακά. σεῖο δ᾽, Ἀχιλλεῦ,
οὔ τις ἀνὴρ προπάροιθε μακάρτερος οὔτ᾽ ἄρ᾽ ὀπίσσω·
πρὶν μὲν γάρ σε ζωὸν ἐτίομεν ἶσα θεοῖσι
Ἀργέιοι, νῦν αὖτε μέγα κρατέεις νεκύεσσι

461 Ar. —— (nota perperam ad vs. 458 adscripta est).

461] insulsus et versui 458 repugnans iudice Ar. ‖ *πω*] *που* Ar. X n Eust.

467 *Πηληιάδα᾽* § 55] *-δεω* mss.

468 *Πατροκλέεος* § 73] *-κλῆος* mss.

469 *ἔην*] *ἔεν*? vid. § 302.

472 *μ᾽* P M U k] *ῥ᾽* mss. pleraque.

473] del. Nauck.

474 *τίπτ᾽*] *quidnam*, alias semper *cur tandem*. ‖ *ἔτι μεῖζον*] sc. quam hoc ipsum quod nunc moliris. ‖ *ἔργον*] neglecto Ϝ; Fick *ἄλλο* ex h. Apoll. 322, PKnight *μήσαο Ϝέργον* (vid. Ξ 253 et ad κ 378), sed sic comparativus *μεῖζον* non habet quo referatur.

476 *ἀφραδέες ναίουσι*] de re cf. κ 495^{b}, 521^{b} etc. ‖ *ἀφραδέες*] l. a. *ἀδρανέες* (quod adi. alias non extat apud Hom., (cf. tamen *ὀλιγοδρανέω* O 246 etc.). ‖ *καμόντων*] vid. ad Γ 278.

478] om. P, post vs. 479 habet G^{1}. ‖ *Πηλῆος* (Ar., cf. Π 21)] *Πηλέος* vel *-λέως* mss. ‖ *υἱέ*] cf. § 17.

481 *ἡμῆς* § 95] *ἁμῆς* vel *ἀμῆς* mss.

482 *γῆς*] cf. supra vs. 167 et § 58.

483 *οὐ … οὔτε*] vid. ad E 879. ‖ *προπάροιθε*] *τοπάροιθε* P. Insolita h. l. est adverbii vis *prius*, cf. § 318^{6}. ‖ *μακάρτερος* F] *-ρτατος* mss. cetera; cf. η 156 λ 343.

484 *ἶσα*] neglecto Ϝ; *ἔτιον Ϝῖσα* Bentley (sed vid. Hartman Epist. crit. p. 47).

485 *μέγα*] *μετὰ* Bentley. ‖ *νεκύεσσι*] *inter manes*; cf. M 242 π 265.

ἐνθάδ' ἐών· τῷ μή τι θανὼν ἀκαχίζε', Ἀχιλλεῦ.'
„ὣς ἐφάμην, ὃ δέ μ' αὐτίκ' ἀμειβόμενος προσέϝειπε· 487 = δ 471
‚μὴ δή μοι θάνατόν γε παραύδα, φαίδιμ' Ὀδυσσεῦ.
βουλοίμην κ' ἐπάρουρος ἐὼν θητευέμεν' ἄλλῳ,
ἀνδρὶ πάρ' ἀκλήρῳ, ᾧ μὴ βίοτος πολὺς εἴη,
ἢ πᾶσιν νεκύεσσι καταφθιμένοισι ϝανάσσειν.
ἀλλ' ἄγε μοι τοῦ παιδὸς ἀγαυοῦ μῦθον ἐνίσπε,
ἢ ἔπετ' εἰς πόλεμον πρόμος ἔμμεναι ἠὲ καὶ οὐκί.
ϝειπὲ δέ μοι Πηλῆος ἀμύμονος εἴ τι πέπυσσαι,
ἢ ἔτ' ἔχει τιμὴν πολέσιν μετὰ Μυρμιδόνεσσι,
ἤ μιν ἀτιμάζουσιν ἀν' Ἑλλάδα τε Φθίην τε, 496^{b} = I 395
οὕνεκά μιν κατὰ γῆρας ἔχει χεῖράς τε πόδας τε.
εἰ γὰρ ἐγὼν ἐπαρωγὸς ὑπ' αὐγὰς ἠελίοιο
τοῖος ἐών, οἷός ποτ' ἐνὶ Τροίῃ εὐρείῃ
'πέφνον λαὸν ἄριστον ἀμύνων Ἀργείοισι,
εἰ τοιόσδ' ἔλθοιμι μίνυνθά περ εἰς πατέρος δῶ·
τῷ κέ τεῳ στύξαιμι μένος καὶ χεῖρας ἀάπτους, 502^{b} = H 309
οἵ κεῖνον βιάονται ἐϝέργουσίν τ' ἀπὸ τιμῆς.'
„ὣς ἔφατ', αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέϝειπον·
‚ἦ τοι μὲν Πηλῆος ἀμύμονος οὔ τι πέπυσμαι,
αὐτάρ τοι παιδός γε Νεοπτολέμοιο φίλοιο
πᾶσαν ἀληθείην μυθήσομαι, ὥς με κελεύεις·
αὐτὸς γάρ μιν ἐγὼ κοίλης ἐπὶ νηὸς ἐϝίσης
ἤγαγον ἐκ Σκύρου μετ' ἐυκνήμιδας Ἀχαιούς.
ἦ τοι ὅτ' ἀμφὶ πόλιν Τρωίην φραζοίμεθα βουλάς,

---

486 *ἀκαχίζε'(ο)* H[1]] *-ζευ* mss. cett.; cf. § 117.
487 *αὐτίκ'*] *αὖτις* U; vid. loc. parall.
488 *παραύδα*] *παραύδαε*? cf. § 195.
489 *ἐπάρουρος*] †, *in terra* = *inter vivos*, *ἐπιχθόνιος* (Δ 266 etc.), cf. Apoll. lex. et Etym. M. 353,38, Verg. Aen. VI 436 *aethere in alto*. Male quidam *γεωργόν* interpretabantur olim, alii legebant *δὲ πάρουρος*, id *ἀκόλουθον* aut *φύλακα* significare fingentes. Vox *ἄρουρα terrae* sensu usurpatur Δ 174 Σ 104 etc. ‖ *θητευέμεν'*] vid. ad Φ 444.
490 *ἀκλήρῳ*] nonnisi h. Ven. 123 redit, cf. *πολύκληρος* ξ 211.
492 *τοῦ παιδὸς ἀγαυοῦ*] vid. ad T 326-327. ‖ *ἀγαυοῦ*] *-όο*? cf. § 59. ‖ *ἐνίσπε*] *ἐνίσπες* G; cf. § 246.
496 sq.] cf. Ω 488 sq.
498 *εἰ* Zen.] *οὐ* mss.; vid. α 255.
501 sq. *ἔλθοιμι ... στύξαιμι*] de optativi usu vid. ad Δ 314.
502 sq. *τεῳ ... οἵ*] constructio ad sensum; cf. δ 177.
502 *τεῳ*] *τεων* Ar., sic H[2] X mss. alia; an **τινι*? Vid. § 99. ‖ *στύξαιμι*] cf. § 239. ‖ *ἀάπτους* Ar. Zen. Herodian.] *ἀέπτους* Aristoph.
503 *βιάονται* § 191] *βιόωνται* mss.
509 *Σκύρου*] vid. ad I 668.
510 *Τρωίην*] *Τροίην* (sic Zen.) vel *Τροΐην* (sic Ar. Herodian.) mss., *Τρώων* Eust.; vid. vs. 513 et quae ad Λ 129 observavimus. ‖ *βουλάς*] *βουλὴν* F.

αἰεὶ πρῶτος ἔβαζε καὶ οὐχ ἡμάρτανε μύθων·
Νέστωρ ἀντίθεος καὶ ἐγὼ 'νικάσκομεν οἴω.
αὐτὰρ ὅτ' ἐν πεδίῳ Τρώων μαρναίμεθα χαλκῷ,
οὔ ποτ' ἐνὶ πληθυῖ ἔμεν' ἀνδρῶν οὐδ' ἐν ὁμίλῳ, 514^{a} = X 458^{b}
ἀλλὰ πολὺ προθέεσκεν, ἑϝὸν μένος οὔ τινι ϝείκων, 515 = X 459
πολλοὺς δ' ἄνδρας ἔπεφνεν ἐν αἰνῇ δηιοτῆτι. 516 cf. χ 229
πάντας δ' οὐ κεν ἐγὼ μυθήσομαι οὐδ' ὀνομήνω, 517^{b} = B 488
ὅσσον λαὸν ἔπεφνεν ἀμύνων Ἀργείοισι,
ἀλλ' οἷον τὸν Τηλεφίδην κατενήρατο χαλκῷ,
ἥρω' Εὐρύπυλον· πολλοὶ δ' ἀμφ' αὐτὸν ἑταῖροι
Κήτειοι 'κτείνοντο γυναίων εἵνεκα δώρων· 521^{b} = ο 247
κάλλιστον δὴ τόν γε 'ϝίδον μετὰ Μέμνονα δῖον.
αὐτὰρ ὅτ' εἰς ἵππον κατεβαίνομεν, ὃν 'κάμ' Ἐπειός,
Ἀργείων οἳ ἄριστοι, — ἐμοὶ δ' ἐπὶ πάντ' ἐτέταλτο, —
ἔνθ' ἄλλοι Δαναῶν ἡγήτορες ἠδὲ μέδοντες 526^{b} = Λ 816
δάκρυά τ' ὠμόργνυντο, 'τρέμον θ' ὑπὸ γυῖα ϝεκάστου·
κεῖνον δ' οὔ ποτε πάμπαν ἐγὼ 'ϝίδον ὀφθαλμοῖσι 528^{a} cf. δ 693
οὔτ' ὠχρήσαντα χρόα κάλλιμον οὔτε παρήων

---

525 ἡμὲν ἀνακλῖναι πυκινὸν λόχον ἠδ' ἐπιθεῖναι, 525 cf. E 751
525 om. Ar.

---

511 *ἡμάρτανε μύθων*] cf. Γ 215.
512 *Νέστωρ* G F H] *Νέστωρ δ'* P, *Νέστωρ τ'* W. ‖ *'νικάσκομεν*] *ν(ε)ικέσκομεν* G P et olim alii.
513 *ἐν πεδίῳ Τρώων* J] *ἀμφὶ πόλιν Τροΐην* vel *Τροίην* G F H mss. pleraque, *Τρωΐην* P, *Τρώων* D. Cf. vs. 510. ‖ *μαρναίμεθα χαλκῷ* n] *-νοίμεθα χαλκῷ* Eust., *-νοίμεθ'* (*-νύμεθ'*, *-νάμεθ'*) *Ἀχαιοί* mss. cetera.
514 *οὔ ποτ' ἐνὶ πληθυῖ*] *οὔτε ποτ' ἐς πληθὺν* G P X mss. alia (cf. Λ 490) sine sensu, nisi sequatur *ἔδυ* (ut Γ 36) vel eiusmodi aliquid. ‖ *πληθυῖ*] cf. § 75. ‖ **ἔμεν'*] *μένεν* mss.
515 *προθέεσκεν, ἑὸν* M[1] Eust.] *-σκε, τὸ ὃν* mss. cett.; vid. ad Θ 430. ‖ *οὔ τινι* § 100] *οὐδενὶ* mss.
517-522] del. Bothe.
517 *οὐ κεν* § 326] *οὐκ ἂν* mss.
519 *κατενήρατο*] comp. † (simplex E 43 etc.).
521 *Κήτειοι*] *ingentes* interpretabantur Ar. alii, a voce *κῆτος* derivantes (vid. ad Λ 99), *Mysiae* populum rectius alii intellegebant; alii *κήδειοι* (*cognati*) legebant, alii *χήτειοι*, perabsurde cum voce *γυναίων* iungentes (*feminis orbati*, cf. T 324). Vid. Strab. XIII p. 616. ‖ *γυναίων — δώρων*] quae dona poeta respexerit incertum; alii Eurypyli matrem, alii uxorem a Priamo corruptam fuisse tradunt, alii denique Priamum ei filiam despondisse. ‖ *γυναίων*] adi. nonnisi ο 247 redit, cf. *γυναικεῖος* λ 437.
522] del. Fick. ‖ *κάλλιστον δὴ τόν γε* Cobet] *κεῖνον δὴ κάλλιστον* mss., *κεῖνον κάλλιστόν γε* Bentley. Cf. Z 185 μ 258.
523-532] del. Duentzer.
525] ab Ar. in edd. omissum sed in commentariis commemoratum esse refert Did.
526 *Δαναῶν — μέδοντες*] *πάντες κατὰ δούριον ἵππον Ἀχαιοί* Ar. (?).
527 *ϝεκάστου*] *ϝέκαστος* LaRoche coll. K 390 N 18 Φ 507.
528 *ποτε πάμπαν ἐγὼ*] *ποτ' ἐγὼ πάμπαν* F.
529 *ὠχρήσαντα*] †, cf. *ὦχρος* Γ 35. ‖ *παρήων*] *παρειῶν* mss.; vid. § 56 et ad Ω 794.

δάκρυ' ὀμορξάμενον· ὃ δέ με μάλα πόλλ' ἱκέτευε 530ª cf. Σ 124
ἱππόθεν ἐξέμεναι, ξίφεος δ' ἐπεμαίετο κώπην
καὶ δόρυ χαλκοβαρές, κακὰ δὲ Τρώεσσ' ἐμενοίνα.
ἀλλ' ὅτε δὴ Πριάμοιο πόλιν διεπέρσαμεν αἰπήν, 533 cf. γ 130
μοῖραν καὶ γέρας ἐσθλὸν ἔχων ἐπὶ νηὸς ἔβαινε
ἀσκηθής, οὔτ' ἂρ βεβλημένος ὀξέι χαλκῷ
οὔτ' αὐτοσχεδίην οὐτασμένος, οἷά τε πολλὰ
γίγνεται ἐν πολέμῳ· ἐπιμὶξ δέ τε μαίνεται Ἄρης.'
„ὣς ἐφάμην· ψυχὴ δὲ ποδώκεος Αἰακίδαο
'φοίταε μακρὰ βιβᾶσα κατ' ἀσφοδελὸν λειμῶνα, 539ª cf. O 686 539ᵇ=573 ω 13 cf. h. Merc. 221, 344
γηθοσύνῃ ὅ Ϝοι υἱὸν ἔφην ἀριδείκετον εἶναι.
„αἱ δ' ἄλλαι ψυχαὶ νεκύων κατατεθνηώτων
ἕστασαν ἀχνύμεναι, εἴροντο δὲ κήδε' ἑκάστη.
οἴη δ' Αἴαντος ψυχὴ Τελαμωνιάδαο
νόσφιν ἀφειστήκει κεχολωμένη εἵνεκα νίκης,
τήν μιν ἐγὼ 'νίκησα δικαζόμενος παρὰ νηυσὶ
τεύχεσιν ἀμφ' Ἀχιλῆος· ἔθηκε δὲ πότνια μήτηρ,
παῖδες δὲ Τρώων 'δίκασαν καὶ Παλλὰς Ἀθήνη.
ὡς δὴ μὴ ὄφελον νικᾶν τοιῷδ' ἐπ' ἀέθλῳ·
549 τοίην γὰρ κεφαλὴν ἕνεκ' αὐτῶν γαῖα κατέσχε. 549ª = α 343

547 Ar. —

530 δάκρυ'] vid. ad β 81. ‖ με ... ἱκέτευε(ν) F P M] μοι (με H[1]) ἐπέτελλεν H, μοι ... ἐκέλευεν G X.
531 ἐξέμεναι G et olim alii] ἐξίμεναι mss. cetera.
532 Τρώεσσ' ἐμενοίνα] -σσι μενοίνα mss.
533 αἰπήν] cf. § 75.
536 αὐτοσχεδίην] cf. *M* 192. ‖ οἷά τε πολλὰ] vid. ad γ 73.
537 γίγνεται] γίνετ' H K; *γίγνετ' ἐνὶ πτολέμῳ? ‖ μαίνεται] μάρνεται (leg. μάρναται?) G[1].
539 'φοίταε § 191] φοίτα (ᾤχετο H K mss.). ‖ βιβᾶσα] βιβῶσα mss.; vid. ad *H* 213 *M* 277 υ 14. ‖ ἀσφοδελὸν] vox ignotae originis nonnisi locis par. redit; veteres dubitabant an κατὰ σφοδελὸν esset legendum, fuerunt etiam qui κατὰ σποδελὸν (*cinerosum!*) legerent.
540 γηθοσύνῃ Aristoph. G M] -σύνη Ar.; cf. *N* 29.
541-564] del. Duentzer.
541 κατατεθνηώτων G H[2] W] -θνειώτων mss. cett.; cf. § 160.
542 ἑκάστη] neglecto Ϝ; Bentley ἅπασαι aut κῆρα Ϝεκάστη. Sed praeterea alienum hinc est verbum *rogandi*, nimis enim audacter Doederlein κήδεα *propinquos* explicat; neque εἴροντο pro imperfecto medii verbi Ϝείρω (cf. § 306 et schol. H) potest haberi. Ingeniose Fick Ϝεῖρόν θ' ὅ Ϝε κῆδε Ϝεκάστη *singulae autem dicebant quo dolore opprimerentur*; cf. tamen *T* 302. Naber τεῖρον δέ τε κήδε' ἑκάστην coll. ο 8, ubi item ἔτειρον commendat.
544 ἀφειστήκει] ἀφεστήκει Ar. G mss. alia.
545 μιν] μὲν F P mss. alia.
547] in Parva Iliade fuse haec enarrabantur; quam tamen non esse causam cur versum cum Ar. damnemus observat Kirchhoff. Lehrs (de Arist.[2] p. 156 sqq.) vs. 547-564 ex alia recensione insertos esse suspicatur. ‖ δὲ Τρώων] δ' ἡρώων Bothe, sed vid. Aristoph. Equit. 1056 ibique schol.
548 νικᾶν τοιῷδ'] Fick νικάειν τῷδ' (cf. § 190).

552 τὸν μὲν ἐγὼ Ϝεπέεσσι προσηύδων μειλιχίοισι· 552 cf. ι 363
,Αἶαν, παῖ Τελαμῶνος ἀμύμονος, οὐκ ἄρ' ἔμελλες
οὐδὲ θανὼν λήσεσθαι ἐμοὶ χόλου εἵνεκα τευχέων
ὀλομένων; τὰ δὲ πῆμα θεοὶ 'θέσαν Ἀργείοισι·
τοῖος γάρ σφιν πύργος ἀπώλεο· σεῖο δ' Ἀχαιοὶ
Ϝῖσον Ἀχιλλῆος κεφαλῇ Πηληιάδαο
ἠχνύμεθα φθιμένοιο διαμπερές. οὐδέ τις ἄλλος
αἴτιος, ἀλλὰ Ζεὺς Δαναῶν στρατὸν αἰχμητάων
ἐκπάγλως ἤχθηρε, τεῒν δ' ἐπὶ μοῖραν ἔθηκε. 560ª = 437
ἀλλ' ἄγε δεῦρο Ϝάναξ, ἵν' ἔπος καὶ μῦθον ἀκούσῃς 560ᵇ cf. τ 592
ἡμέτερον· δάμασον δὲ μένος καὶ ἀγήνορα θυμόν.'
„ὣς ἐφάμην· ὃ δέ μ' οὔ τι ἀμείβετο, 'βῆ δὲ μετ' ἄλλας
564 ψυχὰς εἰς ἔρεβος νεκύων κατατεθνηώτων. 564 cf. 37

Αἴανθ', ὃς περὶ μὲν Ϝεῖδος, περὶ δ' ἔργ' ἐτέτυκτο 550 cf. *P* 279
τῶν ἄλλων Δαναῶν μετ' ἀμύμονα Πηλεΐωνα. 551 = *B* 674 *P* 280
ἔνθα χ' ὁμῶς προσέφη κεχολωμένος, ἤ κεν ἐγὼ τόν·
ἀλλά μοι ἤθελε θυμὸς ἐνὶ στήθεσσι φίλοισι
τῶν ἄλλων ψυχὰς Ϝιδέμεν κατατεθνηώτων.
„ἔνθ' ἤ τοι Μίνωα 'Ϝίδον Διὸς ἀγλαὸν υἱὸν
χρύσεον σκῆπτρον ἔχοντα θεμιστεύοντα νέκυσσι, 569ª cf. 91
ἥμενον· οἱ δέ μιν ἀμφὶ δίκας εἴροντο Ϝάνακτα,
ἥμενοι ἑσταότες τε κατ' εὐρυπυλὲς ἌϜιδος δῶ. 571ᵇ cf. Ψ 74
„τὸν δὲ μετ' 'Ωαρίωνα πελώριον εἰσενόησα
θῆρας ὁμοῦ Ϝέλλοντα κατ' ἀσφοδελὸν λειμῶνα, 573ᵇ = 539

565-627 Ar. —

550 sq.] del. PKnight.
550 ἔργ'(α) ἐτέτυκτο F H n] ἔργα τέτυκτο G P M. ‖ ἔργ'] neglecto Ϝ; Fick *P* 279 ἔπλετο Ϝέργα.
554 ἐμοὶ] *in me*, vid. ad vs. 102. ‖ τευχέων] de synizesi vid. § 8; *εἵνεκ' ἀέθλων?
555 ὀλομένων § 21] οὐλομένων mss.
558 ἠχνύμεθα] ἀχνύμεθα mss.
559 ἀλλὰ] i. e. ἤ, vid. φ 72.
561 sq.] del. PKnight.
561 ἔπος] neglecto Ϝ, Fick probabiliter ἀλλά, Ϝάναξ, ἄγε δεῦρο, Ϝέπος, cf. § 108.
563 οὔ τι § 100] οὐδὲν mss.
564 κατατεθνηώτων § 160] -θνειώτων mss. complura.
565-627] iure damnavit Ar.; non enim in Tartara Ulixes penetraverat, sed stabat in Oceani littore, itaque Minoem in solio iudicantem, Tityum humi prostratum, Tantalum in lacu sitientem, ceteros videre non poterat. Unde tamen ducti sint hi versus, quos per se minime comtemnendos esse Ar. sensit, incertum est; diasceuastae eos dubitanter tribuit Kirchhoff. Cum praecedentibus (inde a vs. 385) fluxisse ex alio fonte, qui ad inferos Ulixem descendisse ferret (vid. κ 564 λ 475, 486, 539, 564 sq. μ 21), statuit Seeck, ad *solis* iter subterraneum (vid. ad ε 35 μ 3, 127 sqq.) hoc mytho alludi ratus. — Vid. ad η 103-131.
565 ὁμῶς] vid. § 322. ‖ ἤ κεν] olim quosdam legisse ἤ καὶ e scholio efficit Cobet.
567 Ϝιδέμεν § 126] ἰδέειν mss. ‖ κατατεθνηώτων § 160] -θνειώτων mss. pleraque.
569 χρύσεον] synizesis novicia, cf. § 8 et 61; χρυσοῦ Bothe.
572 'Ωαρίωνα PKnight] 'Ωρίωνα mss.; vid. ad Σ 486.
573 Ϝέλλοντα § 265] εἰλεῦντα mss. ‖ ἀσφοδελὸν] vid. ad vs. 539.

τοὺς αὐτὸς κατέπεφνεν ἐν οἰοπόλοισιν ὄρεσσι   574ᵇ cf. Ω 614
χερσὶν ἔχων ῥόπαλον παγχάλκεον, αἰὲν ἀϝαγές.
„καὶ Τιτυὸν ἔϜιδον γαίης ἐρικυδέος υἱὸν
κείμενον ἐν δαπέδῳ· ὃ δ' ἐπ' ἐννέα 'κεῖτο πέλεθρα.   577ᵇ cf. Φ 407ᵃ
γῦπε δέ μιν Ϝεκάτερθε παρημένω ἧπαρ ἔκειρον
δέρτρον ἔσω δύνοντε· ὃ δ' οὐκ ἀπαμύνετο χερσί.
Λητόα γὰρ εἵλκησε Διὸς κυδρὴν παράκοιτιν   580ᵇ cf. Σ 184
Πυθῶν' ἐρχομένην διὰ καλλιχόρου Πανοπῆος.
„καὶ μὲν Τάνταλον εἰσέϜιδον χαλέπ' ἄλγε' ἔχοντα,
ἑσταότ' ἐν λίμνῃ· ἣ δὲ πρόσπλαζε γενείῳ.
'στεῦτο δὲ διψάων, πιέμεν δ' οὐκ εἶχεν ἑλέσθαι·
ὁσσάκι γὰρ κύψει' ὁ γέρων πιέμεν μενεαίνων,
τοσσάχ' ὕδωρ ἀπολέσκετ' ἀναβροχὲν, ἀμφὶ δὲ ποσσὶ
γαῖα μέλαιν' ἐφάνεσκε, κατηζήνασκε δὲ δαίμων.
δένδρεα δ' ὑψιπέτηλα κατ' ἄκρηθεν 'χέε καρπόν·   588ᵃ cf. Ν 437ᵇ
[ὄγχναι καὶ ῥοιαὶ καὶ μηλέαι ἀγλαόκαρποι   589 sq. = η 115 sq.
συκαῖ τε γλυκεραὶ καὶ ἐλαῖαι τηλεθάουσαι·]
τῶν ὁπότ' ἰθύσει' ὁ γέρων ἐπὶ χερσὶ μάσασθαι,
τὰς δ' ἄνεμος 'ρίψασκε ποτὶ νέφεα σκιόεντα.   592ᵇ = θ 374
„καὶ μὲν Σίσυφον εἰσέϜιδον κρατέρ' ἄλγε' ἔχοντα,
λᾶαν βαστάζοντα πελώριον ἀμφοτέρῃσι.
ἤ τοι ὁ μὲν σκηριπτόμενος χερσίν τε ποσίν τε
λᾶαν ἄνω ὤθεσκε ποτὶ λόφον· ἀλλ' ὅτε μέλλοι

574 οἰοπόλοισιν] vid. ad *P* 54.
575 ἀϜαγές] †.
576-579] imitatur Verg. Aen. VI 595-600.
577] cf. Φ 407.
579 δέρτρον] †, *cutem* recte interpretabatur Ar., *adipem* Antimachus Coloph., alii *rostrum*, vid. Etym. M. || δύνοντε Ahrens] -ντες mss.
580 Λητόα § 77] Λητὼ mss. || εἵλκησε Z k²] ἕλκησε, ἥλκησε, ἥλκυσε, εἵλκυσε mss. alia; ἕλκυσσε Nauck. Cf. X 62, 65, ἑλκηθμός *Z* 465, ῥυστάζειν (§ 222⁴ et 293) Ω 755 π 109 υ 319, ῥυστακτύς σ 224. || κυδρὴν] κεδνὴν n, cf. ο 26. || παράκοιτιν] nonnisi de *legitima* uxore (ut ἄλοχος, vid. ad *I* 336) dicitur alias.
581 Πυθῶν' Nauck] Πυθώδ' mss.; vid. *B* 519 *I* 405 θ 80. || καλλιχόρου] epitheton redit h. XIV 2 (nomen proprium est h. Cer. 273), cf. εὐρύχορος. De syllaba -ο- pro -ω- vid. § 18.
582 μὲν K] μὴν mss. cett.; cf. § 18. || χαλέπ'] κρατέρ' G P X mss. alia; cf. vs. 593.
583 πρόσπλαζε Spitzner] προσέπ(ε)λαζε mss.; vid. § 25, et de ipso verbo ad *M* 285.
584 'στεῦτο] *stabat*? Verbum insolite usurpari vidit Ar.; cf. Γ 83 etc. et § 170. Duentzer infeliciter δεῦτο (pro δεύετο). || διψάων] † (δίψα Λ 642 etc.); ceteris locis post στεῦται sequitur infinitivus futuri (ρ 525 aoristi). De sono ᾱ vid. § 190. || πιέμεν § 126] πιέειν mss. || δ' οὐκ] οὐδ' schol. H fortasse recte.
585 κύψει' ὁ] κύψειε? || πιέμεν § 126] πιέειν mss.
586 τοσσάχ'] vid. § 31. || ἀπολέσκετ'] ἀπόεικεν Nauck, οἴχνεσκεν Naber dubitanter. || ἀναβροχὲν G F¹ M] vid. § 154 et ad *P* 54, ἀναβροχθὲν F² H X, ἀναβρυχὲν P et l. a. apud Eust.
587 μέλαιν' ἐφάνεσκε] -να φ. mss. || κατηζήνασκε] καταζ. mss.; verbum †, cf. ἀζάνω h. Ven. 271, ἄζομαι Δ 487.
588 δ' G] θ' F P² H M, om. P¹ X. || ὑψιπέτηλα] vid. ad *N* 437. || κατ' ἄκρηθεν F M] κατὰ κρῆθεν Ar. et mss. pleraque; vid. ad Π 548.
589 sq.] vid. ad η 115-121.
590 συκαῖ] cf. § 58. || τηλεθάουσαι § 191] -θάωσαι G, -θόωσαι mss. cett.
591 ἰθύσει' ὁ] -σειε?
592 ῥίψασκε Kirchhoff] ῥίπτασκε mss.; cf. § 146. || ποτὶ] κατὰ G X mss. alia.
593 μὲν § 18] μὴν mss. || κρατέρ'] χαλέπ' P; cf. vs. 582.
594 βαστάζοντα] *gestantem*. Verbum nonnisi φ 405 redit.
595 σκηριπτόμενος] *innisus* (= ἐρειδόμενος). Incertae originis verbum redit ρ 196.
596 λόφον] *collem*, item π 471 h. Ap. 520 XVIII 6; alias in poesi epica equorum iubas (cervicem equorum Ψ 508, cervicem humanam *K* 573) vox indicat.

ἄκρον ὑπερβαλέειν, τότ' ἀπεστρέψασκε κραταιίς·
αὖτις ἔπειτα πέδονδε 'κυλίνδετο λᾶας ἀναιδής.
αὐτὰρ ὃ Ϝ' ἂψ ὤσασκε τιταινόμενος, κατὰ δ' ἱδρὼς
ἔρρεεν ἐκ μελέων, κονίη δ' ἐκ κρατὸς ὀρώρει.   599ᵇ sq.ᵃ cf. Π 109 sq.
„τὸν δὲ μετ' εἰσενόησα βίην Ἡρακλεείην,
[Ϝείδωλον· αὐτὸς δὲ μετ' ἀθανάτοισι θεοῖσι
τέρπεται ἐν θαλίῃ καὶ ἔχει καλλίσφυρον Ἥβην,
παῖδα Διὸς μεγάλοιο καὶ Ἥρης χρυσοπεδίλου.]   604 = Hes. Theog. 952
ἀμφὶ δέ μιν κλαγγὴ νεκύων ἦν οἰωνῶν ὥς,
πάντοσ' ἀτυζομένων· ὃ δ' ἐρεμνῇ νυκτὶ ϜεϜοικὼς   606ᵇ cf. Λ 47
γυμνὸν τόξον ἔχεν καὶ ἐπὶ νευρῆφιν ὀιστὸν,
δϜεινὸν παπταίνων, αἰεὶ βαλέοντι ϜεϜοικώς.
[σμερδαλέος δέ Ϝοι ἀμφὶ περὶ στήθεσσιν ἀορτὴρ
χρύσεος ἦν τελαμών, ἵνα θέσκελα Ϝέργ' ἐτέτυκτο,
ἄρκτοι τ' ἀγρότεροί τε σύες χαροποί τε λέοντες
ὑσμῖναί τε μάχαι τε φόνοι τ' ἀνδροκτασίαι τε.   612 cf. Hes. Theog. 208
μὴ τεχνησάμενος μηδ' ἄλλο τι τεχνήσαιτο,
ὃς κεῖνον τελαμῶνα ἑϜῇ ἐγκάτθετο τέχνῃ.]
ἔγνω δ' αἶψ' ἐμὲ κεῖνος, ἐπεὶ 'Ϝίδεν ὀφθαλμοῖσι,   615ᵃ = 390
καί μ' ὀλοφυρόμενος Ϝέπεα πτερόεντα προσηύδα·
‚διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
ἆ δϜειλ', ἦ τινα καὶ σὺ κακὸν μόρον ἡγηλάζεις,
ὅν περ ἐγὼν ὀχέεσκον ὑπ' αὐγὰς ἠελίοιο.
Ζηνὸς μὲν πάις ἦα Κρονίονος, αὐτὰρ ὀιζὺν

602-604 Onomacrito tribuebant veteres quidam grammatici.

597 ἀπεστρέψασκε] ἀποστρ. mss. (ἀποτρ. P). || κραταιίς Ar. Herodian. et mss. pleraque] κραταί' ἲς Ptolemaeus Ascalon. F P² duplici vitio (pro κραταίη Ϝίς). Pro adverbio habebant Ar. Herodian. coll. λικριφίς ἀμφουδίς, substantivum esse statuit Lobeck *molem* interpretatus (Nitzsch *necessitatem*). Vox nonnisi μ 124 redit.
598 ἔπειτα πέδονδε] ἐπὶ δάπεδόνδε Aristot. Rhet. III 11 (i. e. ἐπὶ Ζάπεδόνδε; cf. IGA. 401; quae lectio e male divisis literis *ΕΠΕΙΤΑ* est nata). Cf. *N* 796 h. Cer. 254. || ἀναιδής] vid. ad Δ 521.
599 *ὃ Ϝ'] ὃ T, ὅτ' P Y 1, ὃ γ' mss. cett. || ὤσασκε] ὤθεσκε W q.
600 ἐκ κρατὸς] verba obscura; *ἄσβεστος vel *ὑπὸ ποσσίν? Naber ἀμέγαρτος.
601 Ἡρακλεείην § 73] -κληείην mss.
602-604] iure damnarunt veteres. Poetae epici neque deum Herculem (cf. Σ 117 φ 26) norunt neque matronam Heben, herois autem apotheosin ab eorum arte abhorrere ostendit Nitzsch; vid. ad ε 333 sqq.
603 θαλίῃ P M] -ης mss. pleraque male (cf. § 57).
604] om. P H¹ mss. alia. || χρυσοπεδίλου] †, cf. χρύσεια πέδιλα Ω 340 sq. etc., καλλιπέδιλος h. Merc. 57.
605 ἦν] ἔεν? cf. § 302.
607 ἔχεν Duentzer] ἔχων mss.; eodem consilio Bothe vs. 608 πάπταινεν pro παπταίνων.
608 παπταίνων] vid. ad vs. 607. || βαλέοντι] similis participii futuri est usus Ψ 379.
609-614] a vicinia alieni, inepte enim in balteo describendo nunc immoratur Ulixes.
609 στήθεσσιν] -σφιν? vid. ad *M* 401.
610 Ϝέργ' ἐτέτυκτο] ἔργα τέτυκτο mss.
611 χαροποί] χαλεποί W q. Ignotae potestatis adi. redit h. Merc. 194, 569 Ven. 70 XIII 4 (nomen pr. *B* 672). Cf. Aristoph. Pac. 1065 sq.
613 sq.] l. a. ὡς (ὃς?) κείνῳ τελαμῶνι ἑὴν ἐγκάτθετο τέχνην, | μὴ — τεχνήσαιτο. Verba obscura; cum constructione confertur δ 684, ἐγκαταθέσθαι redit Ξ 219, 223 ψ 223 h. Cer. 287.
615 αἶψ' ἐμὲ G X] αὐτέ με P M, αὐτίκα F H.
617] suspectum habet Kirchhoff.
618 ἡγηλάζεις] verbum nonnisi ρ 217 redit.
620 Κρονίονος] cf. Ξ 247; *Κρονίωνος (sic F P U) ἔα πάις?

628 αὐτὰρ ἐγὼν αὖθι 'μένον ἔμπεδον, εἴ τις ἔτ' ἔλθοι 628 cf. 152
ἀνδρῶν ἡρώων, οἳ δὴ τὸ πρόσθεν ὄλοντο. 629ᵇ cf. 382
630 καί νύ κ' ἔτι προτέρους 'Ϝίδον ἀνέρας, οὓς ἔθελόν περ,
632 ἀλλὰ πρὶν ἐπὶ Ϝέθνε' ἀγείρετο μυρία νεκρῶν
Ϝηχῇ θεσπεσίῃ· ἐμὲ δὲ χλωρὸν δϜέος ᾕρει, 633 cf. 43
μή μοι Γοργείην κεφαλὴν δϜεινοῖο πελώρου 634 cf. Ε 741
635 ἐξ ῎ΑϜιδος πέμψειεν ἀγαυὴ Περσεφόνεια.
αὐτίκ' ἔπειτ' ἐπὶ νῆα κιὼν ἐκέλευον ἑταίρους 636 cf. ι 177
αὐτούς τ' ἀμβαίνειν ἀνά τε πρυμνήσια λῦσαι· 637 sq. = ι 178 sq.
οἳ δ' αἶψ' εἴσβαινον καὶ ἐπὶ κληῖσι καθῖζον.
τὴν δὲ κατ' Ὠκεανὸν ποταμὸν 'φέρε κῦμα ῥόοιο,
640 πρῶτα μὲν ἐρεσίῃ, μετέπειτα δὲ κάλλιμος οὖρος.

εἶχον ἀπειρεσίην· μάλα γὰρ πολὺ χείρονι φωτὶ
'δεδμήμην, ὃ δέ μοι χαλεποὺς ἐπετέλλετ' ἀέθλους.
καί ποτέ μ' ἐνθάδ' ἔπεμψε κύν' ἄξοντ'· οὐ γὰρ ἔτ' ἄλλον
'φράζετο τοῦδέ γέ μοι κρατερώτερον ἔμμεν' ἄεθλον.
625 τὸν μὲν ἐγὼν ἀνένεικα καὶ ἤγαγον ἐξ ᾈΑϜίδαο·
'Ἑρμείας δέ μ' ἔπεμπεν ἰδὲ γλαυκῶπις Ἀθήνη.'
„ὣς Ϝειπὼν ὃ μὲν αὖτις ἔβη δόμον ῎ΑϜιδος εἴσω·
631 Θησέα Πειρίθοόν τε, θεῶν ἐρικυδέα τέκνα·

---

621 sq.] de re cf. *Τ* 97 sqq.
621 *πολὺ*] *πὰρ* n.
622] in codice n subiunguntur versus duo a Cobeto et LaRochio sic lecti et suppleti: *Εὐρυσθεύς, τ<ῷ γ>άρ <ῥα πατὴρ> ἐκέλευσε Κρονίων | πλείστους δεδμ<ῆσθ>αι τηλεκλειτῶν τ' ἀνθρώπων*, quibus additum est scholion: *„καλῶς κεῖται τὸ τε· ἀντὶ τοῦ οὐ μόνον θῆρας ἀλλὰ καὶ ἄνδρας."*
623] de re vid. *Θ* 367 sqq.
624 *τοῦδέ γέ μοι* U] *τοῦδέ τι* (vel *τοῦδ' ἔτι*) *μοι* mss. pleraque, M *τοῦδέ τινα*. Grashof *τοῦ γέ τί μοι*; an **τοῖό γέ μοι*? ‖ *κρατερώτερον*] *χαλεπώτερον* F H M mss. alia. ‖ *ἔμμεν'* § 125] *εἶναι* mss.
626 *ἔπεμπεν* G M X] *ἔπεμψεν* mss. alia.
628 *αὖθι* § 322] *αὐτοῦ* mss.
631] versum molestum Pisistrato tribuit Hereas Megarensis teste Plutarcho Thes. c. 20. Qui postquam cum versu *Α* 265 deletus est, Thesei apud Homerum nulla fit mentio nisi λ 322, quem versum del. Nitzsch; vid. etiam *Γ* 144. ‖ *ἐρικυδέα*] *ἀριδείκετα* Plut. l. l.
634 sq.] ridiculi vocantur in scholio; cf. Ludwich Arist. I p. 173 infra.
634 *Γοργείην . . . πελώρου*] cf. *Β* 54 *Γ* 180 *Η* 222 sq.
635 *῎ΑϜιδος*] *Ἀίδεω* Ar., cf. § 55; an **πέμψει' ἐξ ᾈΑϜίδαο*?
636-μ 8] adiecit diasceuasta; vid. ad κ 482-λ 24 et λ 25 sqq.
636 *αὐτίκ' ἔπειτ'*] *αὐτὰρ ἐγὼν* Duentzer. ‖ *ἐκέλευον*] *ὤτρυνον* P; cf. μ 144.
638 *ἐπὶ κληῖσι*] vid. ad β 419. ‖ In M² X mss. aliis subiungitur *ἑξῆς δ' ἑζόμενοι πολιὴν ἅλα 'τύπτον ἐρετμοῖς* (= ι 180).
640] del. PKnight. ‖ *ἐρεσίῃ* § 21] *εἰρεσίῃ* H et l. a. apud Eust., *εἰρεσίῃ* mss. cett.

ΟΔΥΣΣΕΙΑΣ μ.

Ἀλκινόου ἀπόλογοι (ι—μ).

Τὰ περὶ Σειρήνων (vs. 1-200) *καὶ Σκύλλης καὶ Χαρύβδιος* (vs. 201-259) *καὶ τῶν Ἡλίου βοῶν* (vs. 260 sqq.).

„αὐτὰρ ἐπεὶ ποταμοῖο 'λίπε ῥόον Ὠκεανοῖο
νηῦς, ἀπὸ δ' ἵκετο κῦμα θαλάσσης εὐρυπόροιο
νῆσόν τ' Αἰαίην, ὅθι τ' Ἠόος ἠριγενείης
Ϝοικία καὶ χοροί εἰσι καὶ ἀντολαὶ Ἠελίοιο,
νῆα μὲν ἔνθ' ἐλθόντες ἐκέλσαμεν ἐν ψαμάθοισι, 5 sq. = ι 546 sq.
ἐκ δὲ καὶ αὐτοὶ ἔβημεν ἐπὶ ῥηγμῖνι θαλάσσης· 6-8 = ι 150 sqq.
ἔνθα δ' ἀποβρίξαντες ἐμείναμεν Ἠόα δῖαν.
„ἦμος δ' ἠριγένεια 'φάνη ῥοδοδάκτυλος Ἠώς,
δὴ τότ' ἐγὼν ἑτάρους προΐην εἰς δώματα Κίρκης 9 cf. ι 88

De hoc libro vid. ad initium libri κ. Diasceuastae debentur omnia quibus Ulixis ad inferos iter (vs. 17 cet.) vel Cyclopea (vs. 209 sqq.) respicitur.
3 sq.] cur sol ex Circae insula surgere, Aurora autem ibi habitare dicatur, non liquet. In scholio *πρὸς σύγκρισιν τοῦ ᾅδου* haec dici perhibentur: *cum ex tenebrosa Cimmeriorum regione, in qua ad inferos patet aditus, rediissemus in lucem*. Sed antiquissimi mythi hoc esse vestigium, *solem* enim indicari post iter subterraneum (vid. ad λ 565-627 et ad μ 129-131) *in oriente* denuo emergentem, veri est similius. Cf. ο 404.
3 *Ἠόος* § 77] *Ἠοῦς* mss.
4 *ἀντολαὶ*] †, cf. *ἀνατέλλειν* Ε 777.
5 *ἐκέλσαμεν*] *ἐρύσσαμεν* G. Vid. ad ι 148.
5-16 *ἐν ψαμάθοισι — δειπνομεν*] del. Duentzer.
6] om. G P X mss. alia. ‖ *ἔβημεν*] *βῆμεν* mss.
7] vid. ad ι 151.
9 *προΐην* F] *-ειν* mss. pleraque.

οἰσέμεναι νεκρὸν Fελπήνορα τεθνηῶτα.
φιτροὺς δ' αἶψα ταμόντες, ὅθ' ἀκροτάτη πρόεχ' ἀκτὴ,
'θάπτομεν ἀχνύμενοι, θαλερὸν κατὰ δάκρυ χέοντες. 12 cf. κ 570
αὐτὰρ ἐπεὶ νεκρός τ' ἐκάη καὶ τεύχεα νεκροῦ,
τύμβον χεύαντες καὶ ἐπὶ στήλην Fερύσαντες
'πήξαμεν ἀκροτάτῳ τύμβῳ ἐυῆρες ἐρετμόν. 15 cf. λ 77
„ἧμες μὲν τὰ Fέκαστα διείπομεν· οὐδ' ἄρα Κίρκην 16^{a} = Λ 706
ἐξ 'AFίδα' ἐλθόντες ἐλήθομεν, ἀλλὰ μάλ' ὦκα
ἦλθ' ἐντυναμένη· ἅμα δ' ἀμφίπολοι 'φέρον αὐτῇ
σῖτον καὶ κρέα πολλὰ καὶ αἴθοπα Fοῖνον ἐρυθρόν.
ἣ δ' ἐν μέσσῳ στᾶσα μετηύδα δῖα θεάων·
‚σχέτλιοι, οἳ ζώοντες ὑπήλθετε δῶμ' 'AFίδαο,
διθανέες, ὅτε τ' ἄλλοι ἅπαξ θνήσκουσ' ἄνθρωποι.
ἀλλ' ἄγετ' ἐσθίετε βρώμην καὶ πίνετε Fοῖνον 23 = κ 460
αὖθι πανημέριοι, ἅμα δ' ἠόι φαινομένηφι 24^{b} = Ι 618
πλεύσεσθ'· αὐτὰρ ἐγὼ δείξω ὁδὸν ἠδὲ Fέκαστα
σημανέω, ἵνα μή τι κακορραφίῃ ἀλεγεινῇ 26^{b} cf. Ο 16
ἢ ἁλὸς ἢ ἐπὶ γῆς ἀλγήσετε πῆμα παθόντες.'
„ὣς ἔφαθ'· ἧμιν δ' αὖτ' ἐπεπείθετο θυμὸς ἀγήνωρ. 28 = β 103
ὣς τότε μὲν πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα 29-31 = κ 183 sqq.
ἥμεθα δαινύμενοι κρέα τ' ἄσπετα καὶ μέθυ Fηδύ·
ἦμος δ' ἠέλιος κατέδυ καὶ ἐπὶ κνέφας ἦλθε,
οἳ μὲν ἐκοιμήσαντο παρὰ πρυμνήσια νηὸς, 32 cf. Α 476
ἣ δ' ἐμὲ χειρὸς ἑλοῦσα φίλων ἀπὸ νόσφιν ἑταίρων 33^{a} = ο 465

---

10 τεθνηῶτα P H^2] -θνειῶτα mss. cett., cf. § 160.
13-15] imitatus est Vergilius Aen. VI 232 sq.
13 sq.] cf. Π 456 sq.
15 ἐυῆρες ἐρετμόν] sic Ar., ἵνα σῆμα πέλοιτο Zen.
16 ἧμες § 92] ἡμεῖς mss.
17 ἐξ 'AFίδα' ἐλθόντες] haec verba, ceteraque quibus in hoc libro *Ulixis ad inferos iter* respicitur, diasceuastae deberi docuit Kirchhoff; vid. ad κ 482-λ 24 (μ 21 sq., 34 sq., 267, 268, 272, 273, 275). ‖ 'Αίδα'(ο) T] 'Αιδάω F^1 P, 'Αίδεω mss. cetera; cf. § 55.
20-28] suspectos habet Duentzer.
20 μετηύδα] προσηύδα P; μετηύδαε? cf. § 195.
21 sq. οἳ — ἄνθρωποι] diasceuastae tribuit Kirchhoff, vid. ad vs. 17.
22 *διθανέες (item WSchulze Q. E. p. 19)] δισθανέες (δισθανέες θ' G) mss., δὶς θανέες Apollonius, litteram σ abundare observans coll. δίπους et τρίπους. Adi. †. De syllaba δι- producta vid. § 21. ‖ ὅτε] vid. ad β 314. ‖ ἅπαξ] adv. nonnisi vs. 350 redit (καθάπαξ φ 349).
24 ἠόι § 77] ἠοῖ mss.
26 κακορραφίῃ] vid. ad Ο 16.
27 γῆς] novicium pro γαίης, cf. § 58. Fick ἢ γαίης, praepositionem loco insolito collocatam delens (vid. ad Β 785).
32 ἐκοιμήσαντο] κοιμ. mss.

εἶσέ τε καὶ προσέλεκτο καὶ ἐξερέεινε Fέκαστα·
αὐτὰρ ἐγὼ τῇ πάντα κατὰ μοῖραν κατέλεξα. 35 cf. κ 16
καὶ τότε δή με Fέπεσσι προσηύδα πότνια Κίρκη·
‚ταῦτα μὲν οὕτω πάντα πεπείρανται· σὺ δ' ἄκουσον,
ὥς τοι ἐγὼ Fερέω· μνήσει δέ σε καὶ θεὸς αὐτός.
Σειρῆνας μὲν πρῶτον ἀφίξεαι, αἵ ῥά τε πάντας
ἀνθρώπους θέλγουσιν, ὅ τις σφέας εἰσαφίκηται. 40 cf. π 228 υ 188
ὅς τις ἀFιδρίῃ πελάσῃ καὶ φθόγγον ἀκούσῃ 40^{b} cf. χ 415 ψ 66
Σειρήνων, τῷ δ' οὔ τι γυνὴ καὶ νήπια τέκνα
Fοίκαδε νοστήσαντι παρίσταντ' οὐδὲ γάνυνται·
ἀλλά Fε Σειρῆνες λιγυρῇ θέλγουσιν ἀοιδῇ,
ἥμεναι ἐν λειμῶνι· πολὺς δ' ἀμφ' ὀστεόφιν θὶς 45^{b} cf. π 145
ἀνδρῶν πυθομένων, περὶ δὲ ῥινοὶ μινύθουσι.
ἀλλὰ παρεξελάειν, ἐπὶ δ' οὔατ' ἀλεῖψαι ἑταίρων 47 cf. 177
κηρὸν δεψήσας μελιFηδέα, μή τις ἀκούσῃ
τῶν ἄλλων· ἀτὰρ αὐτὸς ἀκουέμεν' αἴ κ' ἐθέλῃσθα,
δησάντων σ' ἐν νηὶ θοῇ χεῖράς τε πόδας τε 50 sq. cf. 178 sq.
ὀρθὸν ἐν ἱστοπέδῃ, ἐκ δ' αὐτοῦ πείρατ' ἀνήφθω, 51 = 162
ὄφρα κε τερπόμενος Fόπ' ἀκούῃς Σειρήνοιιν.
εἰ δέ κε λίσσηαι ἑτάρους λῦσαί τε κελεύῃς, 53 sq. cf. 163 sq.

---

53 sq. Aristoph. (et Ar.?) —. Vid. vs. 163 sq.

---

34 προσέλεκτο] προσέδεκτο Naber coll. Soph. Trach. 233.
34 sq. ἐξερέεινε — κατέλεξα] diasceuastae debentur (item vs. 36?); vid. ad vs. 17.
36 με Fέπεσσι] μ' ἐπέεσσι mss. ‖ προσηύδα] -δαε? cf. § 195; ἀμείβετο W q.
37 πεπείρανται] pf. †, aor. πειρῆναι χ 175 = 192 (h. Merc. 48 vitio debetur).
38 θεὸς αὐτός] χρέος (vel δέος) αὐτό Nitzsch.
39] *trium* Sirenum nomina posteriores norant, apud Homerum *duae* sunt (vid. vs. 52 et § 52).
40 ὅτις F^2 M] ὅτι P H, ὅστις G F^1 X, ὅτε Eust.; ὅ τε Kayser. Cf. Τ 265.
41 sqq.] recte Ar. statuit advenas magico Sirenum cantu devinctos contabuisse; ipsa earum voce derepente necatos esse putabat Aristophanes. Cf. Apoll. Rh. IV 901 sq.
41 ἀFιδρίῃ] ἀιδρ(ε)ίῃ mss.
42 sq.] cf. Ε 408.
43 παρίσταντ' Ameis] παρίσταται mss., quod vitium peperit elisio neglecta, vid. § 13.
44 Fε Bentley] τε mss. ‖ θέλγουσιν] τέρπουσιν G.
45 ὀστεόφιν θὶς] ὀστεόφιν sine praepositione vix apte adhibitum est sensu genitivi (cf. § 46); θίς autem alias (Λ 34 etc.) *littus* significat apud poetam, hic *acervum*. Locum vertit Verg. Aen. V 864 sq. *scopulos . . . multorum . . . ossibus albos*.
47 παρεξελάειν § 191] -άαν mss. ‖ ἐπὶ] περὶ n. ‖ οὔατ' ἀλεῖψαι] caesura vitiosa, vid. § 3; *ἑτάρων δ' ἐπὶ οὔατ' ἀλεῖψαι vel *ἐπαλεῖψαι δ' οὔατ' ἑταίρων?
48 κηρὸν] *cerae* nonnisi h. l. et vs. 173, 175, (177 v. l.) 199 fit mentio. ‖ δεψήσας] †, cf. ἀδέψητος υ 2, 142.
51 ἱστοπέδῃ] nonnisi locis par. redit, cf. πέδη Ν 36 et ἱστοδόκη Α 434 h. Ap. 504. ‖ αὐτοῦ] αὐτόο? cf. § 59.
52 ἀκούῃς G X] -σῃς mss. cett.
53 εἰ] αἰ mss. complura.

οἵ δέ σ' ἔτι πλεόνεσσι τότ' ἐν δεσμοῖσι διδέντων. 54 cf. 196
αὐτὰρ ἐπεὶ δὴ τάς γε παρεξελάσωσιν ἑταῖροι,
ἔνθα τοι οὐκέτ' ἔπειτα διηνεκέως ἀγορεύσω, 56ᵇ = δ 836
ὁπποτέρῃ δή τοι ὁδὸς ἔσσεται, ἀλλὰ καὶ αὐτὸς
θυμῷ βουλεύειν· Ϝερέω δέ τοι ἀμφοτέρωθε.
ἔνθεν μὲν γὰρ πέτραι ἐπηρεφέες, προτὶ δ' αὐτὰς
κῦμα μέγα ῥοχθεῖ κυανώπιδος Ἀμφιτρίτης· 60ª cf. ε 402
Πλαγκτὰς δή τοι τάς γε θεοὶ μάκαρες καλέουσι.
τῇ μέν τ' οὐδὲ ποτητὰ παρέρχεται οὐδὲ πέλειαι
τρήρωνες, ταί τ' ἀμβροσίην Διὶ πατρὶ φέρουσι,
ἀλλά τε καὶ τῶν αἰὲν ἀφαιρέεται λὶς πέτρη·
ἀλλ' ἄλλην ἐνίησι πατὴρ ἐναρίθμιον εἶναι.
τῇ δ' οὔ πώ τις νηῦς ἔφυγ' ἀνδρῶν, ἥ τις ἵκηται,
ἀλλά θ' ὁμοῦ πίνακάς τε νεῶν καὶ σώματα φωτῶν
κύμαθ' ἁλὸς φορέουσι πυρός τ' ὀλοοῖο θύελλαι.
οἴῃ δὴ κείνῃ γε παρέπλω ποντοπόρος νηῦς
Ἀργὼ πᾶσι μέλουσα, παρ' Αἰήταο πλέουσα.

54 ἔτι Bentley] ἐνὶ mss. || τότ' ἐν] τότε P mss. alia; cf. vs. 164. || διδέντων Ar.] δεόντων mss.; vid. § 198.

55 ἐπεὶ F H² M X¹] ἐπὴν G P H¹ X²; cf. § 326.

57 ὁπποτέρῃ Bekker] -ρη mss. (more solito); cf. vs. 69.

59 ἔνθεν μὲν] opponitur οἳ δὲ vs. 73. || προτὶ Ar. F P H¹] ποτὶ mss. multa.

60 ῥοχθεῖ] cf. § 191; ῥοθεῖ P; ecquid *ῥοθέει? sed vid. ε 402 (et ad ε 412). || κυανώπιδος] †; cf. Neptuni epitheton κυανοχαίτης (N 563 etc.).

61] vid. ad Δ 403 sq. || Πλαγκτὰς] nomen redit ψ 327. Probabiliter Crates statuebat ab aestu quo *feriuntur* denominatas esse (Πλακτὰς igitur legens? sic F H); vid. adi. παραπλῆγας (ἠιόνας) ε 418 et ad Φ 269, Apoll. Rh. II 317 sq. 549 sqq. IV 860 sqq. 924 sqq. Alii *erraticas* interpretabantur, quibus assensus Kirchhoff ex Argonauticis fabulam repetit; Klausen intellegit *errorum causas* („*Verirrer*"), cautes quicquid propius accedit ad se attrahentes. Cf. appellativum πλαγκτός φ 363, πλαγκτοσύνη ο 343. || δή τοι] δ' ἤτοι GHermann. Cf. K 316 O 201 X 12 υ 289.

62 ποτητὰ] †, vid. ad ε 337; alias πετεηνά (Θ 247 etc.).

63 sqq.] locus permirus, de quo veterum extant hariolationes apud Athen. XI 490 (pleiadum sidus significari putant); ieiunum vocat Longinus de Subl. 9 § 14; vid. etiam Plut. Mor. 156 *f*. Kammer del. vs. 62-72, Duentzer vs. 62-65, PKnight unum vs. 65.

64 τῶν] scil. τινα. De forma novicia τάων cf. § 55. || αἰὲν] αἰεὶ mss. pleraque; cf. α 341. || ἀφαιρέεται § 191] -ρεῖται mss. || λὶς πέτρη] metrum vix integrum, cf. § 2, sententia autem non minus est impedita quam singula verba; Bentley τινα πέτρη. Vs. 79 redit πέτρη ... λίς.

66 τῇ δ'] τήνδ' H² mss. alia; cf. vs. 98. || *ἔφυγ'] φύγεν mss.

68 πυρός ... θύελλαι] locutio †; quid significet incertum.

69-72] del. PKnight; vid. ad libri κ initium. Argus mentio †.

69 κείνῃ Matthiae] κείνη mss. (more solito), l. a. κείνην; cf. vs. 57. || παρέπλω] cf. § 185.

70 μέλουσα] cf. § 270; Ar. una voce πασιμέλουσα (sic G F mss. alia), male olim quidam φασιμέλουσα, quasi *Phasidis* inesset nomen. Cf. πᾶσι ... μέλω ι 19 sq.

καί νύ κε τὴν ἔνθ' ὦκα 'βάλεν μεγάλας ποτὶ πέτρας, 71ᵇ cf. ξ 399
ἀλλ' Ἥρη παρέπεμψεν, ἐπεὶ φίλος ἦεν Ἰήσων.
οἳ δὲ δύω σκόπελοι ὃ μὲν οὐρανὸν εὐρὺν ἱκάνει
ὀξείῃ κορυφῇ, νεφέλη δέ μιν ἀμφιβέβηκε
κυανέη· τὸ μὲν οὔ ποτ' ἐρωέει, οὐδέ ποτ' αἴθρη
κείνου ἔχει κορυφὴν, οὔτ' ἐν θέρε' οὔτ' ἐν ὀπώρῃ· 76ᵇ cf. ξ 384
οὐδέ κεν ἀμβαίη βροτὸς ἀνὴρ οὐδ' ἐπιβαίη,
οὐδ' εἴ Ϝοι χεῖρές τε ἐϜείκοσι καὶ πόδες εἶεν· 78 cf. B 489
πέτρη γὰρ λίς ἐστι, περιξέστῃ ϜεϜικυῖα.
μέσσῳ δ' ἐν σκοπέλῳ ἐστὶ σπέος ἠεροϜειδὲς
πρὸς ζόφον εἰς ἔρεβος τετραμμένον, ᾗ περ ἂν ὔμες
νῆα παρὰ γλαφυρὴν ἰθύνετε, φαίδιμ' Ὀδυσσεῦ·
οὐδέ κεν ἐκ νηὸς γλαφυρῆς αἰζήιος ἀνὴρ
τόξῳ ὀιστεύσας κοῖλον σπέος εἰσαφίκοιτο.
85ª 87ᵇ ἔνθα δ' ἐνὶ Σκύλλη, δϜεινὸν κακόν· οὐδέ κέ τίς μιν

δϜεινὸν λελακυῖα·
τῆς ἤ τοι φωνὴ μὲν ὅση σκύλακος νεογιλῆς
γίγνεται, αὐτὴ δ' αὖτε πέλωρ
86-88 Ar. —

71 τὴν ἔνθ' ὦκα] καὶ τὴν κῦμα Hartman, ne 'βάλεν verbum subiecto careat.

73-105] in freto, quod Siciliam Italiamque interfluit, posteriores (inde a Thucyd. IV 24) quaesiverunt scopulos et vorticem qui hic describuntur; sed veri non est simile certum aliquem locum a poeta pingi. Vorago in extremis mundi finibus, quae mare alternis vicibus hauriens evomensque modo decrescere modo crescere faciat, etiam in fabulis Scandinavicis et Indicis commemoratur.

73 οἳ δὲ] vid. ad vs. 59. || οἳ] de nominativo vid. ad Γ 211.

75 τὸ] quasi νέφος praecederet, non νεφέλη? Sic explicatur in schol. (item schol. Thuc. II 47 § 3); an relativum ad totam quae praecedit sententiam est referendum: *id nunquam non fit?* || ἐρωέει § 14 et 191] ἐρωεῖ mss.

76 θέρε' § 71] θέρει mss.

77 βροτὸς] κλυτὸς M. || οὐδ' ἐπιβαίη Ar. X W] οὐχ' ἐπιβαίη G, οὐ καταβαίη mss. cetera.

78] del. PKnight. Etiam ante Aristarchum fuisse qui hunc versum (aut vs. 77 sq.) damnarent e schol. *B* 489 effecit Cobet; vid. tamen Ludwich Arist. I p. 220. || τε G P] γε mss. pleraque; γέ τ' Buttmann. || εἶεν P H¹] ἦεν mss. pleraque.

79 περιξέστῃ] comp. †, ξεστός passim; *περὶ, ξεστῇ?

81 ἂν] novicium pro κε, vid. § 326; ἄρ' Bothe. || ὔμες § 92] ὑμεῖς mss.

83 sq.] his verbis scopuli altitudo indicatur; spelunca enim in medio est scopulo (cf. vs. 80).

84 σπέος] λόχον G (cf. δ 277).

85ª *δϜεινὸν κακόν] ναίει κακόν mss.

85ᵇ-87ª] delevimus, Aristarchi usi observatione, fabulam e descriptione ingentis *polypi* (*octopi*) fluxisse (cf. ε 432 Hes. Oper. 524 sq.). Quali monstro marino cetera, quae hoc loco commemorantur, optime conveniunt, vox vero ei neque terrifica neque vagientis caniculae tribui potuit; infra autem vs. 245 tacita Ulixem et socios a tergo Scylla occupat. Locum peperisse videtur inepta nominis *Scyllae* interpretatio.

85ᵇ λελακυῖα] cf. § 239.

86 νεογιλῆς] νεογιλλὴς G, νεογιλλῆς F H² mss. alia, νεοπελλῆς P. Adi. ignotae significationis †.

γηθήσειε Ϝιδών, οὐδ' εἰ θεὸς ἀντιάσειε.
τῆς ἤ τοι πόδες εἰσὶ δυώδεκα πάντες ἄωροι,
Ϝὲξ δέ τέ Ϝοι δειραὶ περιμήκεες, ἐν δὲ Ϝεκάστῃ
σμερδαλέη κεφαλή, ἐν δὲ τρίστοιχοι ὀδόντες
πυκνοὶ καὶ θαμέες, πλεῖοι μέλανος θανάτοιο.
μέσση μέν τε κατὰ σπέεος κοίλοιο δέδυκε,
ἔξω δ' ἐξίσχει κεφαλὰς δϜεινοῖο βερέθρου·
αὐτόθι δ' ἰχθυάει σκόπελον περιμαιμάουσα
δελφῖνάς τε κύνας τε καὶ εἴ ποθι μεῖζον ἕλῃσι
κῆτος, ἃ μυρία βόσκει ἀγάστονος Ἀμφιτρίτη. 97b = h. Ap. 94
τῇ δ' οὔ πώ ποτε ναῦται ἀκήριοι εὐχετάονται
παρφυγέμεν σὺν νηΐ· φέρει δέ τε κρατὶ Ϝεκάστῳ
φῶτ' ἐξαρπάξασα νεὸς κυανοπρῴροιο.
τὸν δ' ἕτερον σκόπελον χθαμαλώτερον ὄψε', Ὀδυσσεῦ·
πλησίον ἀλλήλων· καί κεν διοϊστεύσειας.
τῷ δ' ἐν ἐρινεός ἐστι μέγας, φύλλοισι τεθηλώς·
τῷ δ' ὑπὸ δῖα Χάρυβδις ἀναρροιβδεῖ μέλαν ὕδωρ
δϜεινόν· μὴ σύ γε κεῖθι τύχοις, ὅτε ῥοιβδήσειε·
οὐ γάρ κε ῥύσαιτό σ' ὑπ' ἐκ κακοῦ οὐδ' ἐνοσίχθων.
ἀλλὰ μάλα Σκύλλης σκοπέλῳ πεπλημένος ὦκα
νῆα παρεξελάειν, ἐπεὶ ἦ πολὺ φέρτερόν ἐστι 109b = Λ 169
Ϝὲξ ἑτάρους ἐν νηὶ ποθήμεναι ἢ ἅμα πάντας.‘

105 τρὶς μὲν γάρ τ' ἀνίησιν ἐπ' ἤματι, τρὶς δ' ἀναροιβδεῖ
105 Callistratus —

89 *ἄωροι*] †. Ar. interpretabatur *ἀκώλους* sive *πλεκτανώδεις* (quales sunt polyporum), Crates *ἀφυλάκτους*, alii aliter, Lobeck *pendulos* (ab *ἀείρω*, cf. μ 435). Alia est origo vocis *παναώριος* Ω 540.

91 *τρίστοιχοι*] †, cf. *τριστοιχί* Κ 473.

93 *σπέεος* § 71] *σπείους* mss.

94 *ἐξίσχει*] *ἐξ ἴσχει* G P[1] mss. alia, item Eust. ‖ *βερέθρου*] l. a. *βαράθρου*; cf. Θ 14.

95 *αὐτόθι* § 322] *αὐτοῦ* mss. ‖ *ἰχθυάει* § 191] *-ᾶᾳ* mss.; de verbo vid. δ 368. ‖ *περιμαιμάουσα* § 190 et 191] *-μώωσα* mss.; comp. †, cf. *ἀναμ.* Υ 490, simplex Ε 661 etc.

96 *κύνας*] *marinos* nimirum; *xiphias* interpretatur Polybius apud Strab. I p. 24 sq.

97 *ἀγάστονος*] nonnisi vs. par. redit.

98 *τῇ*] *τὴν* Aristoph.; cf. vs. 66. ‖ *εὐχετάονται* § 191] *-τόωνται* mss.

99 *παρφυγέμεν* § 126] *-έειν* mss. ‖ *Ϝεκάστῳ*] *ἑκάστῃ* F mss. alia. ‖ Post hunc versum in H notabili errore sequuntur λ 254-257 (ubi vid.); delevit manus altera.

101 *ὄψε'* § 117] *ὄψει* mss. (*ὄψῃ* P).

102] del. Duentzer. ‖ *πλησίον*] Aristoph. *πλησίον* (? — *πλησίω* corr. Schneidewin); cf. Ζ 54. De asyndeto vid. Β 672; Bothe *πλησίοι*.

103] om. P M[1] S.

105] om. G[1]; versum cum vs. 429-441 pugnantem damnavit Callistratus; *δὶς μὲν* … *δὶς δ'* Polybius (vid. Strab. I p. 25) et Crates. Vulgatam sequuntur Verg. Aen. III 420 sqq., 566 sq., Ovid. Pont. IV 10, 27 sq. ‖ *ἐπ' ἤματι*] vid. ad Τ 229.

108 *πεπλημένος*] cf. § 298.

109 *παρεξελάειν* § 191] *-λάαν* mss.

110 *ποθήμεναι*] cf. § 195.

„ὣς ἔφατ', αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέϜειπον·
‚εἶ' ἄγε δή μοι τοῦτο, θεά, νημερτὲς ἐνίσπε, 112 cf. ψ 35
εἴ πως τὴν ὀλοὴν μὲν ὑπεκπροφύγοιμι Χάρυβδιν,
τὴν δέ κ' ἀμυναίμην, ὅτε μοι σίνοιτό γ' ἑταίρους.‘
„ὣς ἐφάμην, ἡ δ' αὐτίκ' ἀμείβετο δῖα θεάων· 115 = δ 382
‚σχέτλιε, καὶ δ' αὖ τοι πολεμήια Ϝέργα μέμηλε
καὶ πόνος; οὐδὲ θεοῖσ' ὑποϜείξεαι ἀθανάτοισι;
ἡ δέ τοι οὐ θνητή, ἀλλ' ἀθάνατον κακόν ἐστι,
δϜεινόν τ' ἀργαλέον τε καὶ ἄγριον οὐδὲ μαχητόν· 119a = ε 175
οὐδέ τις ἔστ' ἀλκή· φυγέμεν κάρτιστον ἀπ' αὐτῆς.
εἰ γὰρ δηθύνῃσθα κορυσσόμενος παρὰ πέτρῃ,
δέδϜια μή σ' ἐξαῦτις ἐφορμηθεῖσα κιχήῃ
τόσσῃσιν κεφαλῇσι, τόσους δ' ἐκ φῶτας ἕληται.
Θρινακίην δ' εἰς νῆσον ἀφίξεαι· ἔνθα δὲ πολλαὶ 127a cf. 135 τ 275
βόσκοντ' Ἠελίοιο βόες καὶ Ϝίφια μῆλα, 128 cf. λ 108
ἑπτὰ βοῶν ἀγέλαι, τόσα δ' οἰῶν πώεα καλά, 129b cf. λ 402

124 ἀλλὰ μάλα σφοδρῶς ἐλάειν, βωστρεῖν δὲ Κράταιιν,
μητέρα τῆς Σκύλλης, ἥ μιν 'τέκε πῆμα βροτοῖσι·
ἥ μιν ἔπειτ' ἀποπαύσει ἐς ὕστερον ὁρμηθῆναι.
124-126 Ar. —

111-126] del. Duentzer.

111 *ἀμειβόμενος*] *ἀτυζόμενος* X mss. alia, quod praefert Nitzsch coll. Ο 90 Χ 474 ψ 42.

112 *εἶ'* § 328] *εἰ δ'* mss. ‖ *ἐνίσπε*] *-σπες* P H[1] M; cf. § 246.

117 *πόνος*] *φόνος* T Z Eust.; vid. ad. Χ 11. ‖ *θεοῖσ' ὑποϜείξεαι* Bentley] *θεοῖσιν ὑπείξεαι* mss.; cf. Α 294.

119 *μαχητόν*] adi. verbale †.

120 *φυγέμεν* § 126] *-γέειν* mss. ‖ *ἀπ' αὐτῆς*] ieiunum; vocem *celerrime* poscit Hartman.

121 *εἰ* § 326] *ἢ* P, *ἢν* mss. cett. ‖ *παρὰ*] *ποτὶ* G.

122 *δέδϜια* § 168] *δείδω* mss. ‖ **κιχήῃ*] *κιχήσει, κιχήσῃ, κίχη(ι)σι* mss.; cf. § 122 et 208.

124 *σφοδρῶς*] adv. †, sed vid. l. a. Κ 162; adi. apud poetam non legitur. ‖ *ἐλάειν* § 191] *ἐλάαν* mss. ‖ *βωστρεῖν*] †; de sono *βω-* pro *βοη-* vid. § 192. ‖ *Κράταιιν* Herodian. G F M X] *Κραταιίν* P H, *κραταιίς* (adv.) poscit Didymus ex Ar. sententia; cf. λ 597 et vid. ad Α 99.

125] del. Nitzsch, vicinos ferri posse ratus. Apud Hesiodum (fr. 172) *Hecates* filia dicitur Scylla. ‖ *τῆς*] *τὴν* mss. complura.

127-141] del. Duentzer.

127 *Θρινακίην*] *Siciliam* intellegebant posteriores (vid. Thuc. VI 2), a tribus promunturiis ita dictam esse rati (vid. Ovid. Fast. IV 419 sq.), decepti autem inani quadam litterarum similitudine, quasi esset *Trinacria*. Insulae fabulosae nomen, cuius origo ignoratur (*θρῖναξ* est *tridens*), etiam λ 107 μ 135 τ 275 occurrit. ‖ *δὲ*] *τε* Duentzer (vid. ad Θ 48).

129-131] boum oviumque numerum (50 × 7 × 2) eundem esse atque dierum et noctium quas complectitur *annus lunaris* (dierum 354 sive quinquaginta hebdomadum) vidit Aristoteles; cf. Lucian. Astrol. 22. Cohaeret igitur haec fabula cum mytho, qui Ulixis erroribus antiquitus fuit substructus; de quo ita disputat Seeck Quellen p. 53: „der Held, „welcher auf einer Insel des fernen West„meers in den Armen der ‚Verbergerin' „verschwindet und die Unterwelt durch„schreiten muss, um von Osten her in sein „Herrschaftsgebiet zurückkehren zu kön„nen, ist kein anderer als der Sonnengott.

130 πεντήκοντα Ϝέκαστα· γόνος δ' οὐ γίγνεται αὐτῶν,
οὐδέ ποτε φθινύθουσι. θεαὶ δ' ἐπὶ ποιμένες εἰσὶ,
νύμφαι ἐυπλόκαμοι, Φαέθουσά τε Λαμπετίη τε,
ἃς ἔτεκ' Ἠελίῳ Ὑπερίονι δῖα Νέαιρα.
τὰς μὲν ἄρα θρέψασα τεκοῦσά τε πότνια μήτηρ
135 Θρινακίην εἰς νῆσον ἀπῴκισε τηλόθι ναίειν, 135ª cf. 127
μῆλα φυλασσέμεναι πατρώια καὶ Ϝέλικας βοῦς.
τὰς εἴ κ' ἀσινέας ἐάῃς νόστου τε μέδηαι, 137-139 = λ 110 sqq.
καί κεν ἔτ' εἰς Ἰθάκην κακά περ πάσχοντες ἵκοισθε·
139 εἰ δέ κε σίνηαι, τότε τοι τεκμαίρομ' ὄλεθρον.'
142 „ὣς ἔφατ', αὐτίκα δὲ χρυσόθρονος ἤλυθεν Ἠώς. 142 = κ 541
ἣ μὲν ἔπειτ' ἀνὰ νῆσον ἀπέστιχε δῖα θεάων· 143 cf. 333
αὐτὰρ ἐγὼν ἐπὶ νῆα κιὼν ὤτρυνον ἑταίρους 144 cf. κ 546 μ 206
145 αὐτούς τ' ἀμβαίνειν ἀνά τε πρυμνήσια λῦσαι. 145 sq. = ι 178 sq
146 οἳ δ' αἶψ' εἴσβαινον καὶ ἐπὶ κληῖσι καθῖζον,
148 ἧμιν δ' αὖ κατόπισθε νεὸς κυανοπρῴροιο 148-150 = λ 6 sqq.
ἴκμενον οὖρον ἵει πλησίστιον, ἐσθλὸν ἑταῖρον,
150 Κίρκη ἐυπλόκαμος, δϜεινὴ θεὸς αὐδήεσσα.
αὐτίκα δ' ὅπλα Ϝέκαστα πονησάμενοι κατὰ νῆα 151 cf. λ 9
ἥμεθα· τὴν δ' ἄνεμός τε κυβερνήτης τ' ἴθυνον. 152 = λ 10

---

140 νηί τε καὶ ἑτάροισ'· αὐτὸς δ' εἴ πέρ κεν ἀλύξῃς, 140 sq. = λ 113 sq.
ὀψὲ κακῶς νέεαι ὀλέσας ἄπο πάντας ἑταίρους.
147 ἑξῆς δ' ἑζόμενοι πολιὴν ἅλα 'τύπτον ἐρετμοῖς. 147 = ι 180

„Seine Gattin, welche die einsamen Nächte „fern dem geliebten Manne trauernd durch„wacht und ihr glänzendes Gespinnst im„mer wieder webt und zertrennt, ist der „Mond mit seiner wechselnden Scheibe. — „... Ihre Vereinigung findet am Neumonds„tage statt (τ 307), wo Sonne und Mond in „Conjunction treten. Hiermit hängt es auch „zusammen, dass Odysseus im tiefsten Win„ter, gerade um die Zeit der Sonnenwende „in sein Reich zurückkehrt" etc.; cf. ib. p. 67, et ad λ 565-627 μ 3 sq. ο 403 sq. ϱ 196.

129 οἰῶν] cf. § 74. De re cf. h. Ap. 412 et Herod. IX 93.

130 Ϝέκαστα Bekker] δ' ἕκαστα mss.

131 ἐπὶ ποιμένες H T] ἐπιποιμένες mss. pleraque (sic Ar.?); vid. ad γ 422.

133 *ἔτεκ'] τέκεν mss. || In margine X n additur: αὐτοκασιγνήτη Θέτιδος λιπαροπλοκάμοιο, quem versum genuinum ducit Buttmann.

134 sq.] del. Fick.

135 Θρινακίην] vid. ad vs. 127. || ἀπῴκισε] †, neglecto Ϝ; *ἐϜοίκισε? Sed vid. ad Δ 18.

137] vid. ad λ 110.

138 καί κεν P T W n q] ἢ τ' ἂν mss. cetera; *ἢ κεν?

140 sq.] om. F P M mss. alia. — Vid. ad λ 113 sq.

144 ὤτρυνον] ὄτρυνον mss.; cf. l. a. λ 636.

146 ἐπὶ κληῖσι] vid. ad β 419.

147] om. G F H M X mss. alia; de versu vid. ad δ 580.

148 κατόπισθε] μετόπισθε G; vid. vs. parall.

149 ἴκμενον] vid. ad Α 479.

150 αὐδήεσσα] vid. ad ε 334.

151] cf. β 430.

152 κυβερνήτης] -νῆται G^1 W. || ἴθυνον G^1 F H^1 M^1] -νεν G^2 P H^2 M^2 X. Vid. λ 10.

δὴ τότ' ἐγὼν ἑτάροισι μετηύδων ἀχνύμενος κῆρ· 153 = 270
‚ὦ φίλοι, — οὐ γὰρ χρὴ ἕνα Ϝίδμεναι οὐδὲ δύ' οἴους
155 θέσφαθ', ἅ μοι Κίρκη 'μυθήσατο, δῖα θεάων, —
ἐκϜερέω μὲν ἐγὼν, ἵνα Ϝειδότες ἠὲ θάνωμεν
ἢ καὶ ἀλευάμενοι θάνατον καὶ κῆρα φύγωμεν. 157ᵇ = Ρ 714
Σειρήνων μὲν πρῶτον ἄνωγεν θεσπεσιάων
φθόγγον ἀλεύασθαι καὶ λειμῶν' ἀνθεμόεντα.
160 οἶον ἔμ' ἤνωγεν Ϝόπ' ἀκουέμεν· ἀλλά με δεσμῷ
δήσατ' ἐν ἀργαλέῳ, ὄφρ' ἔμπεδον αὐτόθι μίμνω,
ὀρθὸν ἐν ἱστοπέδῃ, ἐκ δ' αὐτοῦ πείρατ' ἀνήφθω. 162 = 51
εἰ δέ κε λίσσωμαι ὔμας λῦσαί τε κελεύω, 163 sq. cf. 53 sq.
ὔμες δὲ πλεόνεσσι τότ' ἐν δεσμοῖσι πιέζειν.' 164 cf. 196
165 „ἦ τοι ἐγὼ τὰ Ϝέκαστα λέγων ἑτάροισ' ἐπίφαυσκον·
τόφρα δὲ καρπαλίμως ἐξίκετο νηῦς ἐυϜεργὴς
νῆσον Σειρήνοιιν· ἔπειγε γὰρ οὖρος ἀπήμων.
αὐτίκ' ἔπειτ' ἄνεμος μὲν ἐπαύσατο ἠδὲ γαλήνη 168 sq. cf. ε 391 sq.
ἔπλετο νηνεμίη, 'κοίμησε δὲ κύματα δαίμων.
170 ἀνστάντες δ' ἕταροι νεὸς ἱστία 'μηρύσαντο·
καὶ τὰ μὲν ἐν νηὶ γλαφυρῇ 'βάλον, οἳ δ' ἐπ' ἐρετμὰ
ἑζόμενοι 'λεύκαινον ὕδωρ ξεστῇσ' ἐλάτῃσι.
αὐτὰρ ἐγὼ κηροῖο μέγαν τροχὸν ὀξέι χαλκῷ

---

163 sq. (Aristoph.? et) Ar. —. Vid. vs. 53 sq.

---

153 μετηύδων] -δαον? vid. § 195. || In G H X n mss. aliis subiungitur κέκλυτέ μευ μύθων, κακά περ πάσχοντες ἑταῖροι (cf. vs. 271).

156 sq.] del. PKnight.

156 *ἐκϜερέω] ἀλλ' ἐρέω mss. neglecto Ϝ et importuno loco inserta particula ἀλλά. || θάνωμεν] θάνοιμεν X D.

157 ἢ καὶ Bekker] ἤ κεν mss.; vid. δ 546. || φύγωμεν P H^2] -γοιμεν mss. alia.

158 ἄνωγεν § 225] ἀνώγει mss.

160 ἤνωγεν § 225] ἠνώγει mss. (-γειν H^2, sic Ar.? cf. ε 112).

162 ἱστοπέδῃ] cf. vs. 51. || αὐτοῦ] αὐτόο? cf. § 59.

163 εἰ G] αἴ mss. pleraque. || λίσσωμαι G^2 H^2 T] λίσσομαι mss. pleraque metro invito. || ὔμας § 92] ὑμέας mss.

164 ὔμες § 92] ὑμεῖς mss. || δὲ] δ' ἐν G F^1 mss. alia; l. a. μ' ἐν. || τότ' ἐν] τότε M mss. alia. Cf. vs. 54. || πιέζειν] πιεζεῖν Apio male, cf. vs. 174, 196.

165-172] del. Duentzer, vs. 173 ὣς εἰπὼν κηροῖο scribens.

165 ἑτάροισ' ἐπίφαυσκον] -ροισι πίφαυσκον (πίφασκον) mss.

167 ἀπήμων] ἀμύμων H. Cf. Μ 80.

168] ipsos scilicet ventos demulcebant Sirenes, ut dicebat Hesiodus teste Eustathio. || ἠδὲ] ἡ δὲ Ar. et mss. pleraque; cf. ε 391 λ 233.

170 'μηρύσαντο] †, recte συνέστειλαν interpretatur schol.; cf. γ 11.

171 βάλον G F H] θέσαν P M X (cf. ξ 500 φ 118). || ἐπ' ἐρετμὰ] cf. adi. ἐπήρετμος β 403 et Ar. Ran. 197 κάθιζ' ἐπὶ κώπην.

172 'λεύκαινον] verbum redit Ε 502 (ὑπὸ λευκαίνονται, mss. ὑπολ.).

173 κηροῖο] cf. vs. 48.

τυτθὰ διατμήξας χερσὶ στιβαρῆσ᾽ ἐπίεζον·
αἶψα δ᾽ ἰαίνετο κηρὸς, ἐπεὶ ᾽κέλετο μεγάλη Ϝίς.
ἑξείης δ᾽ ἑτάροισιν ἐπ᾽ οὔατα πᾶσιν ἄλειψα. 177 cf. 47
οἳ δ᾽ ἐν νηί μ᾽ ἔδησαν ὁμοῦ χεῖράς τε πόδας τε 178 sq. cf. 50 sq.
ὀρθὸν ἐν ἱστοπέδῃ, ἐκ δ᾽ αὐτοῦ πείρατ᾽ ἀνῆπτον·
αὐτοὶ δ᾽ ἑζόμενοι πολιὴν ἅλα ᾽τύπτον ἐρετμοῖς. 180 cf. ι 472
ἀλλ᾽ ὅτε τόσσον ἀπῆμεν ὅσον τ᾽ ἐγέγωνε βοήσας $181 =$ ι 473
ῥίμφα διώκοντες, τὰς δ᾽ οὐκ ἔλαθ᾽ ὠκύαλος νηῦς
ἐγγύθεν ὀρνυμένη, λιγυρὴν δ᾽ ἤντυνον ἀοιδήν·
‚δεῦρ᾽ ἄγ᾽ ἰών, πολύαιν᾽ Ὀδυσεῦ, μέγα κῦδος Ἀχαιῶν, $184^{b} =$ Ι 673
νῆα κατάστησον, ἵνα νωιτέρην Ϝόπ᾽ ἀκούσῃς.
οὐ γάρ πώ τις τῇδε παρήλασε νηὶ μελαίνῃ,
πρίν γ᾽ ἧμων μελίγηρυν ἀπὸ στομάτων Ϝόπ᾽ ἀκοῦσαι·
ἀλλ᾽ ὅ γε τερψάμενος νέεται καὶ πλείονα Ϝειδώς.
Ϝίδμεν γάρ τοι πάνθ᾽, ὅσ᾽ ἐνὶ Τροίῃ εὐρείῃ
Ἀργέιοι Τρῶές τε θεῶν ἰότητ᾽ ἐμόγησαν· $190 =$ ϱ 119
Ϝίδμεν δ᾽, ὅσσα γένηται ἐπὶ χθονὶ πολυβοτείρῃ.‘
„ὣς ᾽φάσαν ἱεῖσαι Ϝόπα κάλλιμον· αὐτὰρ ἐμὸν κῆρ
ἤθελ᾽ ἀκουέμεναι, λῦσαί τ᾽ ἐκέλευον ἑταίρους
ὀφρύσι νευστάζων· οἳ δὲ προπεσόντες ἔρεσσον. $194^{b} =$ ι 490
αὐτίκα δ᾽ ἀνστάντες Περιμήδης Εὐρύλοχός τε $195^{b} =$ λ 23
πλείοσί μ᾽ ἐν δεσμοῖσι ᾽δίδεν μᾶλλόν τ᾽ ἐπίεζον. 196 cf. 54, 164

176 Ἠελίου τ᾽ αὐγὴ Ὑπεριονίδαο Ϝάνακτος.

174 στιβαρῆσ᾽ ἐπίεζον] -ρῇσι πίεζον mss. (πιέζευν Apio F^2 alia, cf. vs. 164, § 7 et 191).
175 κηρὸς] cf. vs. 48.
176] del. PKnight: non sol sed ipse Ulixes mollem reddit ceram pinsendo manuumque calore; sol autem alias apud Homerum non *filius* Hyperionis (ut h. Cer. 26) dicitur sed *ipse* vocatur Hyperion (vid. Θ 480 α 8 μ 263 etc.).
177 οὔατα] οὔασι n. || πᾶσιν] κηρὸν P; vid. ad vs. 48.
179 ἱστοπέδῃ] cf. vs. 51. || αὐτοῦ] αὐτόο? cf. § 59. || ἀνῆπτον] ἀνῆψαν F, ἀνῆφθον P, ἀνῆφθο G^1, ἀνῆπτο Bekker.
180] vid. ad δ 580.
181 ἀπῆμεν ὅ(σ)σον F M] ἀπῆν ὅσσον G P H X.
182 οὐκ ἔλαθ᾽ l] οὐ λάθεν mss. cett.
183 ἤντυνον] ἔντυνον mss.
185 νωιτέρην] redit Ο 39; cf. § 95.
186 παρήλασε νηὶ μελαίνῃ] παρέπλω ποντοπόρος νηῦς P (cf. vs. 69).
187 ἧμων § 92] ἡμέων mss. || μελίγηρυν] vid. ad Δ 437. || στομάτων] στόματος U (fortasse recte). || ἀκοῦσαι] ἀκούσῃ Y (-σει Eust.).
188 νέεται § 191] νεῖται mss.
189 πάνθ᾽, ὅσ᾽ ἐνὶ] πάντα, ὅσ᾽ ἐν Nauck.
190 ἰότητ᾽ ἐμόγησαν] ἰότητι μόγησαν mss.
191 πολυβοτείρῃ $F^1 H^1 U^1$ T] πουλυβοτείρῃ mss. cett.; cf. § 21.
192 ᾽φάσαν] ἔφαν Grashof.
193 τ᾽] δ᾽ G P X mss. alia.
195 αὐτίκα δ᾽ ἀνστάντες] αὐτίκ᾽ ἀναστάντες F, -κα δ᾽ ἀναστάντες H W k.
196 δίδεν Cobet] δέον mss.; cf. § 198. || (ἐ)πίεζον F^1 P] -ζευν mss. pleraque; vid. ad vs. 164.

αὐτὰρ ἐπεὶ δὴ τάς γε παρήλασαν οὐδ᾽ ἔτ᾽ ἔπειτα
φθόγγον Σειρήνων ἠκούομεν οὐδέ τ᾽ ἀοιδὴν,
αἶψ᾽ ἀπὸ κηρὸν ἕλοντο ἐμοὶ ἐρίηρες ἑταῖροι, $199^{b} =$ ψ 6
ὅν σφιν ἐπ᾽ οὔατ᾽ ἄλειψ᾽, ἐμέ τ᾽ ἐκ δεσμῶν ἀνέλυσαν.

„ἀλλ᾽ ὅτε δὴ τὴν νῆσον ἐλείπομεν, αὐτίκ᾽ ἔπειτα
καπνὸν καὶ μέγα κῦμ᾽ ἔϜιδον καὶ δοῦπον ἄκουσα.
τῶν δὲ δϜεισάντων ἐκ χειρῶν ἔπτατ᾽ ἐρετμὰ, 203 cf. ω 534
᾽βόμβησαν δ᾽ ἄρα πάντα κατὰ ῥόον· ἔσχετο δ᾽ αὖθι
νηῦς, ἐπεὶ οὐκέτ᾽ ἐρετμὰ προήκεα χερσὶν ἔπειγον.
αὐτὰρ ἐγὼ διὰ νηὸς ἰὼν ὤτρυνον ἑταίρους 206 cf. κ 546 μ 144
μειλιχίοισι Ϝέπεσσι παρασταδὸν ἄνδρα Ϝέκαστον· $207 =$ κ 173, 547
‚ὦ φίλοι, οὐ γάρ πώς τι κακῶν ἀδαήμονές εἰμεν·
οὐ μὲν δὴ τόδε μεῖζον ἔπι κακὸν, ἢ ὅτε Κύκλωψ
᾽Ϝέλλεν ἐνὶ σπέεϊ γλαφυρῷ κρατερῆφι βίηφι· 210 cf. ι 476
ἀλλὰ καὶ ἔνθεν ἐμῇ ἀρετῇ βουλῇ τε νόῳ τε $210^{b} =$ Φ 501
ἐκφύγομεν, καὶ τῶνδέ ποθι μνήσεσθαι ὀίω. $211^{b} =$ ν 305 π 374 cf. β 281
νῦν δ᾽ ἄγεθ᾽, ὥς κεν ἐγὼ Ϝείπω, πειθώμεθα πάντες. 213 cf. Β 139
ὗμες μὲν κώπῃσιν ἁλὸς ῥηγμῖνα βαθεῖαν

197 παρήλασαν] -λασεν G^2 F.
198 φθόγγον F^1 H] φθογγὴν F^2 P M, φθογγῆς G X. Cf. μ 41, 265. || Σειρήνων ἠκούομεν] Σειρήνοιιν (ut vs. 167) ἀκούομεν Nauck; at vid. vs. 158. || ἀοιδὴν] -δῆς U^2.
199 αἶψ᾽] ἆψ G U^1 W n; vid. ad ϑ 92. || κηρὸν] cf. vs. 48.
200 ὅν] ᾧ GCurtius, quod non necessarium videtur, cf. vs. 47 sq. || οὔατ᾽ GCurtius, cf. vs. 47, 177] ὠσὶν mss.; PKnight οὔασ᾽, vid. § 72. || τ᾽] δ᾽ U.
202 κῦμ᾽ ἔϜιδον] κῦμα ἴδον (εἶδον P) mss.
203 δὲ PKnight] δ᾽ ἄρα mss. || ἔπτατ᾽] cf. § 216.
204 βόμβησαν F H^2] βόμβησε(ν) mss. pleraque. || ἔσχετο] εἴχετο F. || αὖθι § 322] αὐτοῦ mss.
205 προήκεα] †, cf. ἀμφήκης Κ 256 etc., εὐήκης Χ 319, ταναήκης Η 77 etc., τανυήκης Π 473 etc. || ἔπειγον] ἔρεσσον n.
207] om. G^1. || μειλιχίοισι Ϝέπεσσι § 60] -οις ἐπέεσσι mss.
208] vertit Verg. Aen. I 198: *o socii, neque enim ignari sumus ante malorum.* || πώς La-Roche ad ϑ 538] πώ mss.
209-212] diasceuastae tribuit Kirchhoff.
209 τόδε] τό γε G. || ἔπι M^2] ἔπει H^1 X, ἐπεὶ F P, ἔπει (Ar.?) G H^2 M^1 (cf. Ζ 321 Η 316 Δ 483), ἔχει Zen. (i. e. *nos opprimit*). Insolite producitur ι in ἔπι, si sic dedit poeta (vid. § 19); *τόδ᾽ ἔπι μεῖζον?
210 ᾽Ϝέλλεν § 265] εἴλει mss. || σπέεϊ § 71] σπῆι mss.
211 ἀρετῇ βουλῇ] βουλῇ ἀρετῇ G.
212 καὶ — ὀίω] vertit Verg. Aen. I 203: *forsan et haec olim meminisse iuvabit.* || *τῶνδέ ποθι] που τῶνδε mss., cf. § 322. || μνήσεσθαι] scil. ἡμᾶς.
213 κεν § 326] ἂν mss.
214 ὗμες § 92] ὑμεῖς mss.

τύπτετε κληίδεσσιν ἔφ' ἥμενοι, αἴ κέ ποθι Ζεὺς   215b = Λ 128
δώῃ τόνδε γ' ὄλεθρον ὑπεκφυγέμεν καὶ ἀλύξαι·   216b = Θ 243
σοὶ δὲ, κυβερνῆθ', ὧδ' ἐπιτέλλομαι, — ἀλλ' ἐνὶ θυμῷ   217a cf. Β 802
βάλλε', ἐπεὶ νηὸς γλαφυρῆς οἰήια νωμᾷς, —
τούτου μὲν καπνοῦ καὶ κύματος ἐκτὸς ἔϜεργε
νῆα, σὺ δὲ σκοπέλοι' ἐπιμαίεο, μή σε λάθῃσι
κεῖσ' ἐξορμήσασα καὶ εἰς κακὸν ἧμε βάλησθα.'
„ὣς ἐφάμην, οἳ δ' ὦκα ἐμοῖσ' ἐπίθοντο Ϝέπεσσι.   222 = κ 178
Σκύλλην δ' οὐκέτ' ἐμυθεόμην, ἄπρηκτον ἀνίην,
μή πώς μοι δϜείσαντες ἀπολλήξειαν ἑταῖροι
ἐρεσίης, ἐντὸς δὲ πυκάζοιεν σφέας αὐτούς.
καὶ τότε δὴ Κίρκης μὲν ἐφημοσύνης ἀλεγεινῆς
'λανθανόμην, ἐπεὶ οὔ τί μ' ἄνωγεν θωρήσσεσθαι·
αὐτὰρ ἐγὼ καταδὺς κλυτὰ τεύχεα καὶ δύο δοῦρε   228 cf. Ζ 504
μάκρ' ἐν χερσὶν ἑλὼν εἰς ἴκρια νηὸς ἔβαινον
πρῴρης· ἔνθεν γάρ μιν ἐδέγμην προφανέεσθαι
Σκύλλην πετραίην, ἥ μοι 'φέρε πῆμ' ἑτάροισι.
οὐδέ πῃ ἀθρῆσαι 'δυνάμην· ἔκαμον δέ μοι ὄσσε
πάντῃ παπταίνοντι πρὸς ἠεροϜειδέα πέτρην.
„ἧμες μὲν στεινωπὸν ἀνεπλέομεν γοάοντες·
ἔνθεν γὰρ Σκύλλη, ἑτέρωθι δὲ δῖα Χάρυβδις
δϜεινὸν ἀνερροίβδησε θαλάσσης ἁλμυρὸν ὕδωρ.   236 = 431 / 236b = 240 ο 294

---

215 κληίδεσσιν ἔφ'] vid. ad β 419.
216 ὑπεκφυγέμεν § 126] ὑπεκφυγέειν mss. pleraque, ὑπεκπροφυγεῖν F H.
218 βάλλε' § 117] βάλλευ mss.
220 σκοπέλοι' § 59] -λου Ar. G X, -λων F H^2 M, -λῳ P, -λον H^1. Requiritur singularis; Scyllae enim scopulum (vid. vs. 75 sqq.) gubernatori designat.
221 κεῖσε] i. e. Charybdin versus. || ἐξορμήσασα] comp. † (ὁρμᾶν et ὁρμᾶσθαι passim). || ἧμε] ἄμμε mss.; sed requiritur ἧμας, vid. § 92.
222 ἐπίθοντο Ϝέπεσσι(ν) Nauck] ἐπέεσσι πίθοντο mss.; cf. § 60.
224 ἀπολλήξειαν] ἀπολήξειαν Ar.; cf. § 27.
225 ἐρεσίης § 21] εἰρεσίης mss.
226-233] del. Duentzer, unum vs. 231 damnaverat PKnight.
226 τότε δὴ] τότ' ἐγὼ P mss. alia.
227 ἄνωγεν § 225] ἀνώγει mss.
228 δοῦρε] δοῦρα G^1 X D; vid. ad Δ 43.
230 πρῴρης] cf. ν 84; prorae ἴκρια alias non commemorantur. || προφανέεσθαι vHerwerden coll. Θ 378 Ρ 487 Ω 232 ι 143 ν 169 ω 160] πρῶτα φανεῖσθαι mss.; de forma novicia φανεῖσθαι vid. § 147, de producta syllaba προ- § 21.
231 πετραίην] adi. †.
233 πέτρην] l. a. πόντον.
234 ἧμες § 92] ἡμεῖς mss. || μὲν] δὲ U Z. || ἀνεπλέομεν] comp. redit Δ 22 (vid. etiam v. l. γ 276); vert. *per angustum in altum mare evehebamur.* || γοάοντες § 191] γοόωντες mss.
235 γὰρ P^1 M^1] μὲν M^2, μὲν γὰρ G F H X metro invito (Σκύλλ' F P H). An *ἔιν (ἔεν) fuit olim? aegre enim desideratur verbum.

ἤ τοι ὅτ' ἐξεμέσειε, λέβης ὣς ἐν πυρὶ πολλῷ
πᾶσ' ἀνεμορμύρεσκε κυκωμένη· ὑψόσε δ' ἄχνη
ἄκροισι σκοπέλοισιν ἔπ' ἀμφοτέροισιν ἔπιπτε.
ἀλλ' ὅτ' ἀναβρόξειε θαλάσσης ἁλμυρὸν ὕδωρ,   240b = 236
πᾶσ' ἔντοσθ' ἐφάνεσκε κυκωμένη, ἀμφὶ δὲ πέτρη
δϜεινὸν ἐβεβρύχει, ὑπένερθε δὲ γαῖ' ἐφάνεσκε
ψάμμῳ κυανέη· τοὺς δὲ χλωρὸν δϜέος ᾕρει.   243b = Η 479
ἧμες μὲν πρὸς τὴν 'Ϝίδομεν δϜείσαντες ὄλεθρον·
τόφρα δέ μοι Σκύλλη κοίλης ἐκ νηὸς ἑταίρους
Ϝὲξ ἕλεθ', οἳ χερσίν τε βίηφί τε φέρτατοι ἦσαν.   246 cf. φ 373 / 246b cf. ζ 6
σκεψάμενος δ' εἰς νῆα θοὴν ἅμα καὶ μεθ' ἑταίρους
ἤδη τῶν ἐνόησα πόδας καὶ χεῖρας ὕπερθε   248b = Ε 122
ὑψόσ' ἀειρομένων· ἐμὲ δ' ἐφθέγγοντο καλεῦντες
ἐξ ὀνομακλήδην, τότε γ' ὕστατον, ἀχνύμενον κῆρ.
ὡς δ' ὅτ' ἐπὶ προβόλῳ ἁλιεὺς περιμήκεϊ ῥάβδῳ
ἰχθύσι τοῖσ' ὀλίγοισι δόλον κατὰ εἴδατα βάλλων
εἰς πόντον προΐησι βοὸς κέρας ἀγραύλοιο,   253 cf. Ω 81
ἀσπαίροντα δ' ἔπειτα λαβὼν ἔρριψε θύραζε·
ὣς οἵ γ' ἀσπαίροντες ἀείροντο προτὶ πέτρας.
αὖθι δ' ἐνὶ προθύροισι κατήσθιε κεκληγῶτας,

---

250 Callistratus —

237-243] del. Duentzer.
237 ἐξεμέσειε] vid. ad Ο 11.
238 ἀνεμορμύρεσκε P M^2 X] ἀναμορμύρεσκε mss. alia.
240 ἀναβρόξειε] videatur § 154 et ad Ρ 54.
241 πέτρη] πέτρῃ PKnight.
242 ἐβεβρύχει F P H M] βεβρύχει G^1 X. || γαῖ' ἐφάνεσκε] γαῖα φάνεσκε mss.
243 ψάμμῳ] †; alias dicitur ψάμαθος (Δ 486 etc.). || κυανέη] sic Ar. coll. Ο 538; κυανέῃ G H.
244 ἧμες § 92] ἡμεῖς mss.; an *ἦος? || τὴν] τήνδ' F mss. alia. || 'Ϝίδομεν] ἴομεν P mss. alia (absurde).
245 κοίλης G P X] γλαφυρῆς F H M.
246 Ϝὲξ] eorum nomina ex Pherecyde affert schol. ad vs. 257.
247 σκεψάμενος] cf. Π 361.
249 ὑψόσ'] l. a. ὑψόθεν (? salvo metro ita non potuit scribi; ὑψοῦ corr. Ludwich; an *ὑψόθ'? cf. Δ 455 Κ 465). || καλεῦντες] cf. § 7 et 191.
250 ἐξ ὀνομακλήδην] cf. Χ 415 et ad Ι 11. || ἀχνύμενον P] -νοι mss. cett.
251 ἐπὶ] ἐνὶ G D. || προβόλῳ] †; cf. πέτρῃ ἔπι προβλῆτι Π 407.
252] del. Fick. || ὀλίγοισι] *parvis.* Pluralis †; ESchulze ἰχθύσιν εἰναλίοισι. || εἴδατα] sic Ar., δείλατα Callistratus (ad vitandum hiatum? cf. § 15). Voce δείλατα (i. e. δελέατα) usus est Callimachus fr. 458.
253 προΐησι] προΐῃσι G vix recte, vid. § 122. || κέρας] vid. ad Ω 81.
255 προτὶ] ποτὶ mss. pleraque.
256-259] del. PKnight.
256 *αὖθι δ' ἐνὶ προθύροισι] αὐτοῦ δ' εἰνὶ θύρῃσι mss. De adv. αὖθι vid. § 322, de forma εἰνὶ § 315, de tota correctione ad ι 417. || κεκληγῶτας] -γόντας G P mss. alia, Ar. utrumque, cf. Μ 125 Π 430 ξ 30. An *-γγῶτας? cf. § 223.

χεῖρας ἐμοὶ ὀρέγοντας ἐν αἰνῇ δηιοτῆτι.
οἴκτιστον δὴ κεῖνο ἐγὼ Ϝίδον ὀφθαλμοῖσι
πάντων, ὅσσ' ἐμόγησα πόρους ἁλὸς ἐξερεείνων.

„αὐτὰρ ἐπεὶ πέτρας 'φύγομεν δϜεινήν τε Χάρυβδιν
Σκύλλην τ', αὐτίκ' ἔπειτα θεοῖ' ἐς ἀμύμονα νῆσον
ἱκόμεθ'· ἔνθα δ' ἔσαν καλαὶ βόες εὐρυμέτωποι, 262^{b} = 355
πολλὰ δὲ Ϝίφια μῆλ' Ὑπερίονος Ἠελίοιο. 263^{b} = Θ 480
δὴ τότ' ἐγὼν ἔτι πόντῳ ἰὼν ἐν νηὶ μελαίνῃ
μυκηθμόν τ' ἤκουσα βοῶν αὐλιζομενάων
οἰῶν τε βληχήν· καί μοι Ϝέπος ἔμπεσε θυμῷ
μάντιος ἀλαόο Θηβαίου Τειρεσίαο 267 cf. κ 492^{b} sq.^{a} / 267^{b}-269 = 272
Κίρκης τ' Αἰαίης, οἵ μοι μάλα πόλλ' ἐπέτελλον 268^{b} cf. Ζ 207 sqq.
νῆσον ἀλεύασθαι τερψιμβρότου Ἠελίοιο.
δὴ τότ' ἐγὼν ἑτάροισι μετηύδων ἀχνύμενος κῆρ· 270 = 153
,κέκλυτέ μοι μύθων, κακά περ πάσχοντες ἑταῖροι, 271 = κ 189
ὄφρ' ὕμιν Ϝείπω μαντήια Τειρεσίαο 272^{b}-274 = 267 sqq.
Κίρκης τ' Αἰαίης, οἵ μοι μάλα πόλλ' ἐπέτελλον
νῆσον ἀλεύασθαι τερψιμβρότου Ἠελίοιο·

---

258 ἐγὼ Cram. Epimer.] ἐμοῖς mss. male, vid. § 60.

259 πόρους ἁλὸς] i. e. ὑγρὰ κέλευθα. || ἐξερεείνων] ἐξαλεείνων G.

260 sqq.] nova nunc causa affertur deorum in Ulixem irae. Hactenus favebat ei Iuppiter, stomachabatur solus Neptunus: nunc Solis precibus motus dicitur Iuppiter ut perderet Ulixis comites.

261 θεοῖ' § 59] θεοῦ mss.

262 δ'] τ' Duentzer (vid. ad Θ 48).

264-269] del. Duentzer, vs. 264-318 Niese.

264 ἔτι G P X] ἐνὶ F H M. || πόντῳ ἰὼν F H] πόντῳ ἐὼν G P M X. Cf. ι 388 λ 58; Naber ποντοπορῶν.

265 μυκηθμόν Eust.] -θμοῦ mss.; cf. vs. 41 et 198. Vox nonnisi Σ 575 redit, cf. μυκάομαι Ε 749 κ 413 etc. || αὐλιζομενάων] vid. ad χ 470.

266 οἰῶν] cf. § 74. || βληχήν] †, verbum apud Hom. non extat.

267] diasceuastae tribuit Kirchhoff, vid. ad vs. 17; cum versu 272 suspectus Kaysero; Duentzer del. vs. 268 sq. et 273 sq. || ἀλαόο] ἀλαοῦ mss.; vid. ad κ 493.

268] a diasceuasta mutatum, olim autem lectum fuisse Κίρκης Αἰαίης, ἥ μοι μάλα πόλλ' ἐπέτελλε statuit Kirchhoff; item vs. 273. Vid. ad vs. 17. || οἵ ... ἐπέτελλον H^2] ἥ ... ἐπέτελλε G F P H^1 M X.

269 τερψιμβρότου] φαεσιμβρότου U W; adiectivum τερψίμβροτος redit μ 274 (ubi vid.) et h. Ap. 411, φαεσίμβροτος extat Ω 785 κ 138, 191.

270 μετηύδων] -δαον? vid. § 195.

271 *μοι] μευ mss.; vid. § 92 et ad Α 37.

272 ὔμιν § 92] ὔμμιν vel ὑμῖν mss. || μαντήια Τειρεσίαο] Tiresiae nomen diasceuastae debetur; vid. ad vs. 17. Vox μαντήια † (μάντις, μαντεύομαι passim, μαντείη h. Merc. 472. 533, 547, 556).

273] vid. ad vs. 268. || οἵ ... ἐπέτελλον P H^2] ἥ ... ἐπέτελλε G F H^1 M X.

274 τερψιμβρότου] φαεσιμβρότου U W; vid. vs. 269.

ἔνθα γὰρ αἰνότατον κακὸν ἔμμεναι ἦμιν ἔφασκον.
ἀλλὰ παρ' ἐκ τὴν νῆσον ἐλαύνετε νῆα μέλαιναν.'
„ὣς ἐφάμην, τοῖσιν δὲ κατεκλάσθη φίλον ἦτορ· 277 = κ 198
αὐτίκα δ' Εὐρύλοχος στυγερῷ μ' ἠμείβετο μύθῳ·
,σχέτλιός ἐσσ', Ὀδυσεῦ· περί τοι μένος, οὐδέ τι γυῖα 279^{a} cf. Κ 164
κάμνεις· ἦ ῥά νυ σοί γε σιδήρεα πάντα τέτυκται·
ὅς ῥ' ἑτάρους καμάτῳ ϜεϜαδηκότας ἠδὲ καὶ ὕπνῳ 281 cf. Κ 98
οὐκ ἐάεις γαίης ἐπιβήμεναι, ἔνθα κεν αὖτε
νήσῳ ἐν ἀμφιρύτῃ λαερὸν τετυκοίμεθα δόρπον, 283^{a} = α 50, 198
ἀλλ' αὔτως διὰ νύκτα θοὴν ἀλαλῆσθαι ἄνωγας, 283^{b} = ξ 408
νήσου ἀποπλαγχθέντας, ἐν ἠεροϜειδέι πόντῳ.
ἐκ νυκτῶν δ' ἄνεμοι χαλεποί, δηλήματα νηῶν,
γίγνονται· πῇ κέν τις ὑπεκφύγοι αἰπὺν ὄλεθρον, 287^{b} = Ζ 57
εἴ πως ἐξαπίνης ἔλθοι ἀνέμοιο θύελλα, 288^{b} cf. ε 317
ἢ Νότου ἢ Ζεφύροιο δυσαέος; οἵ τε μάλιστα
νῆα διαρραίουσι, θεῶν ἀϜέκητι Ϝανάκτων.
ἀλλ' ἦ τοι νῦν μὲν πειθώμεθα νυκτὶ μελαίνῃ 291 = Θ 502
δόρπον θ' ὁπλισόμεσθα θοῇ παρὰ νηὶ μένοντες· 292^{a} cf. Θ 503
ἠῶθεν δ' ἀναβάντες ἐνήσομεν εὐρέι πόντῳ.' 293 cf. 401
„ὣς ἔφατ' Εὐρύλοχος, ἐπὶ δ' ἤνεον ἄλλοι ἑταῖροι. 293^{b} = β 295 / 294 = 352
καὶ τότε δὴ 'γίγνωσκον ὃ δὴ κακὰ 'μήδετο δαίμων, 295 cf. γ 166
καί μιν φωνήσας Ϝέπεα πτερόεντα προσηύδων·
,Εὐρύλοχ', ἦ μάλα δή με βιάζεσθ' οἶον ἐόντα.
ἀλλ' ἄγε νῦν μοι πάντες ὀμόσσατε καρτερὸν ὅρκον, 298 = σ 55 / 298^{b} cf. Τ 127
εἴ κέ τιν' ἠὲ βοῶν ἀγέλην ἢ πῶυ μέγ' οἰῶν 299^{b} = Ο 323

---

275 ἦμιν § 92] ἄμμιν mss. || ἔφασκον] ἔφασκεν G^1, ἔφησαν P H^2 mss. alia. Ipsum poetam dedisse singularem, diasceuastam vero pluralem, observat Kirchhoff; vid. ad vs. 17.

276 παρὲκ Bekker] παρὲξ mss.

278 μ'] om. F M X mss. alia.

279 ἐσσ' § 302] εἷς mss.

281 ϜεϜαδηκότας] ἀδηκότας mss.; videatur ad Κ 98.

282 ἐάεις § 191] ἐάᾳς mss.

283 *λαερὸν] λαρὸν mss.; vid. ad Ρ 572.

284 αὔτως] οὕτως Zen. || διὰ] ἀνὰ G X.

286 ἐκ] *per* an *post* (ut Ν 493)? Ambigunt scholia. || δηλήματα] vox nonnisi h. Ap. 364 redit, cf. δηλέομαι Α 156 etc., δηλήμων Ω 33 etc.

288 εἴ § 326] ἦν mss. || ἔλθοι P M] ἔλθῃ mss. alia.

289 sq.] del. Hartman.

290 δια(ρ)ραίουσι Ar. G] -σουσι mss. cett.; vid. ad ε 179. || θεῶν ... Ϝανάκτων] φίλων ... ἑταίρων Zen. Locutio θεοὶ Ϝάνακτες †. || ἀϜέκητι] ἰότητι F (cf. η 214).

297 βιάζεσθ' οἶον Zen.] βιάζετε οἶον M, βιάζετε (-ζεται P, -ζεαι G) μοῦνον Ar. et mss. cett.; act. non redit, medium legitur Χ 229 ι 410 (pass. Α 576 etc.).

298 νῦν] δή G F H^1.

299 οἰῶν] cf. § 74.

εὕρωμεν, μή πού τις ἀτασθαλίῃσι κακῇσι
ἢ βοῦν ἠέ τι μῆλον ἀποκτάνῃ· ἀλλὰ ϝέκηλοι
ἐσθίετε βρώμην τὴν ἀθανάτη ’πόρε Κίρκη.‘
„ὣς ἐφάμην, οἳ δ’ αὐτίκ’ ἐπώμνυον ὡς ἐκέλευον. 303 sq. cf. κ 345 sq.
αὐτὰρ ἐπεί ῥ’ ὄμοσάν τε ’τελεύτησάν τε τὸν ὅρκον, 304 = ο 438 σ 59 cf. Ξ 280
’στήσαμεν ἐν λιμένι γλαφυρῷ ἐυϝεργέα νῆα
ἄγχ’ ὕδατος γλυκεροῖο, καὶ ἐξαπέβησαν ἑταῖροι
νηὸς, ἔπειτα δὲ δόρπον ἐπισταμένως ’τετύκοντο.
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον εἷντο, 308 = Α 469
μνησάμενοι δὴ ἔπειτα φίλους ἔκλαιον ἑταίρους,
οὓς ἔφαγε Σκύλλη γλαφυρῆς ἐκ νηὸς ἑλοῦσα·
κλαιόντεσσι δὲ τοῖσιν ἐπήλυθε ϝήδυμος ὕπνος. 311^{b} = δ 793
ἦμος δὲ τρίχα νυκτὸς ἔην, μετὰ δ’ ἄστρ’ ἐβεβήκει, 312 cf. ξ 483
ὦρσεν ἔπι ζαὴν ἄνεμον νεφεληγερέτα Ζεὺς 313 cf. ι 67
λαίλαπι θεσπεσίῃ, σὺν δὲ νεφέεσσ’ ἐκάλυψε 314 sq. = ι 68 sq.
γαῖαν ὁμοῦ καὶ πόντον· ὀρώρεε δ’ οὐρανόθεν νύξ.
ἦμος δ’ ἠριγένεια ’φάνη ῥοδοδάκτυλος Ἠὼς, 316 = Α 477
νῆα μὲν ὡρμίσαμεν, κοῖλον σπέος εἲς ϝερύσαντες·
ἔνθα δ’ ἔσαν νυμφέων καλοὶ χοροὶ ἠδὲ θόωκοι.
καὶ τότ’ ἐγὼν ἀγορὴν θέμενος μετὰ μῦθον ἔϝειπον· 319 cf. ι 171
‚ὦ φίλοι, ἐν γὰρ νηὶ θοῇ βρῶσίς τε πόσις τε 320 cf. κ 176
ἔστιν, τῶν δὲ βοῶν ἀπεχώμεθα, μή τι πάθωμεν·
δϝεινοῦ γὰρ θεοῦ αἵδε βόες καὶ ϝίφια μῆλα, 322^{b} cf. λ 108
Ἠελίοι’, ὃς πάντ’ ἐφορᾷ καὶ πάντ’ ἐπακούει.‘ 323 = λ 109

---

303 ἐπώμνυον K Z l] ἀπώμνυον mss. pleraque; vid. ad β 377. De termino -νον cf. § 145.
308 εἷντο] ἕντο mss.
309 δὴ ἔπειτα] cf. § 9.
311 ἐπήλυθε ϝήδυμος § 41] -θεν ἥδυμος G P, -θε νήδυμος mss. pleraque.
312] cf. Κ 252 sq. || τρίχα νυκτὸς ἔην] *tertia pars noctis erat*; item ξ 483. Ceteris locis (Β 655 θ 506 ι 157) τρίχα *tripartito, tripliciter* significat. || ἔην] ἔεν? vid. § 302. || ἄστρ’ ἐβεβήκει] ἄστρα βεβήκει mss.
313 ὦρσεν] sic Ar., ὦρσε δ’ F M. || ζαὴν] forma metaplasta (an corrupta?) pro ζαέα; cf. Μ 157 ε 368 et δυσαήων (?) ν 99. Aristarchus ζαῆν, quod Herodianus et alii ex ζαῆναι elisum esse putabant. Vid. § 73 et ad β 421.
314 νεφέεσσ’ ἐκάλυψε] -σσι κάλυψε mss.
315 ὀρώρεε — νύξ] mire dictum; nondum enim illuxerat (vid. vs. 312 et 316). || ὀρώρεε § 110] -ρει mss.
317 ὡρμίσαμεν] ἑλκύσαμεν P.
318] cf. ν 103 sqq.; versum del. Fick. || δ’] τ’ Duentzer (vid. ad Θ 48). || νυμφέων] novicium, vid. § 56; *ἔνθα δὲ νυμφάων καλοὶ χόροι? In H^2 K^1 extat νυμφάων.
319 μῦθον] πᾶσιν G mss. alia; cf. ι 171.
321 τῶν] novicium pro τάων (cf. § 56). abundat autem ἔστιν; eleganter Fick μήλων τῶνδε βοῶν τ’.
323 Ἠελίοι’ § 59] -λίου mss.

„ὣς ἐφάμην· τοῖσιν δ’ ἐπεπείθετο θυμὸς ἀγήνωρ. 324 = κ 550
μῆνα δὲ πάντ’ ἄλληκτος ἄει Νότος, οὐδέ τις ἄλλος
’γίγνετ’ ἔπειτ’ ἀνέμων εἰ μὴ Εὖρός τε Νότος τε.
οἳ δ’ ἦος μὲν σῖτον ἔχον καὶ ϝοῖνον ἐρυθρὸν,
τόφρα βοῶν ἀπέχοντο λιλαιόμενοι βιότοιο. 328^{b} = ω 536
ἀλλ’ ὅτε δὴ νηὸς ἒξ ἔφθιτο ἤια πάντα
καὶ δ’ ἄγρην ἐφέπεσκον ἀλητεύοντες ἀνάγκῃ,
ἰχθῦς ὄρνιθάς τε, φίλας ὅ τι χεῖρας ἵκοιτο,
γναμπτοῖσ’ ἀγκίστροισιν, — ἔτειρε δὲ γαστέρα λιμός, — 332 = δ 369
δὴ τότ’ ἐγὼν ἀνὰ νῆσον ἀπέστιχον, ὄφρα θεοῖσι 333 cf. 143
εὐξαίμην, εἴ τίς μοι ὁδὸν φήνειε νέεσθαι.
ἀλλ’ ὅτε δὴ διὰ νήσου ἰὼν ἤλυξα ἑταίρους,
χεῖρας νιψάμενος, ὅθ’ ἐπὶ σκέπας ἦν ἀνέμοιο, 336^{a} = β 261
ἠραόμην πάντεσσι θεοῖσ’ οἳ Ὄλυμπον ἔχουσι· 336^{b} cf. ζ 210 337^{b} cf. Ε 404
οἳ δ’ ἄρα μοι γλυκὺν ὕπνον ἐπὶ βλεφάροισιν ἔχευαν. 338^{b} cf. υ 54
Εὐρύλοχος δ’ ἑτάροισι κακῆς ἐξήρχετο βουλῆς·
‚κέκλυτέ μοι μύθων, κακά περ πάσχοντες ἑταῖροι. 340 = κ 189
πάντες μὲν στυγεροὶ θάνατοι δϝειλοῖσι βροτοῖσι,
λιμῷ δ’ οἴκτιστον θανέμεν καὶ πότμον ἐπισπεῖν. 342^{b} = δ 562
ἀλλ’ ἄγετ’, Ἠελίοιο βοῶν ἐλάσαντες ἀρίστας 343 cf. 353
ῥέξομεν ἀθανάτοισι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσι. 344 cf. δ 479
εἰ δέ κεν εἰς Ἰθάκην ἀφικώμεθα, πατρίδα γαῖαν,
αἶψά κεν Ἠελίῳ Ὑπερίονι πίονα νηὸν
τεύξομεν, ἐν δέ κε θεῖμεν ἀγάλματα πολλὰ καὶ ἐσθλά.
εἰ δὲ χολωσάμενός τι βοῶν ὀρθοκραιράων 348^{b} = Θ 231

---

325 ἄει H^2 M l n^1 et l. a. apud Eust.] ἄη mss. cett.; cf. ε 478.
327 ἦος § 323] εἷως (ἕως) mss.
329 ἔφθιτο] *ἐφθίατ’? || ἤια] vid. ad ε 266.
330-352] del. Niese.
330 δ’] δὴ mss.; cf. § 8 et 25. || ἐφέπεσκον] ἐφέποντο F.
331 φίλας] φίλας θ’ F mss. alia.
332] del. Bekker, h. l. ridiculum ratus; sed iure defendit Nitzsch, Eustathium secutus. Hodie quoque aves marinas saepe per ludum hamis captari, sed sapore esse tam rancido ut nisi ab esurientibus hominibus devorari nequeant, observavit ABreusing. || ἀγκίστροισιν] vid. ad δ 369. || δὲ] vid. ad δ 369.
335-337] del. Duentzer.
335 ἤλυξα ἑταίρους] hiatus vitiosus; Bentley ἑτάρους ἤλυξα aut ἤλυσκον ἑταίρους.
336 ἦν] ἦσκ’? cf. § 302.
337 ἠραόμην § 191] ἠρώμην mss.
339-365] aptius poeta haec potuit narrare quam Ulixes; videatur ad libri κ initium.
340 *μοι] μευ mss.; vid. § 92 et ad Α 37.
341 στυγεροὶ θάνατοι] θάνατοι στυγεροὶ G D.
342 θανέμεν § 126] θανέειν mss.
344 τοὶ — ἔχουσι] τελεέσσας ἑκατόμβας U.
345 ἀφικώμεθα Thiersch] -κοίμεθα mss.
347 θεῖμεν] expectatur subiunctivus; *πολλὰ ἀγάλματα θήομεν ἐσθλά?
348 ὀρθοκραιράων] vid. ad Σ 3.

νῆ' ἐθέλῃ ὀλέσαι, ἐπὶ δ' ἕσπωνται θεοὶ ἄλλοι, 349^{b} cf. Δ 63
βούλομ' ἅπαξ πρὸς κῦμα χανὼν ἀπὸ θυμὸν ὀλέσσαι,
ἢ δϝηθὰ στρεύγεσθαι ἐὼν ἐν νήσῳ ἐρήμῃ.‘ 351^{a} = Ο 512
„ὣς ἔφατ' Εὐρύλοχος, ἐπὶ δ' ᾔνεον ἄλλοι ἑταῖροι. 352 = 294
αὐτίκα δ' Ἠελίοιο βοῶν ἐλάσαντες ἀρίστας 353 cf. 343
ἐγγύθεν, — οὐ γὰρ τῆλε νεὸς κυανοπρῴροιο
'βοσκέσκονθ' ἕλικες καλαὶ βόες εὐρυμέτωποι, — 355^{b} = 262
τὰς δὲ περίστησάν τε καὶ ηὐχετάοντο θεοῖσι, 356^{a} cf. Β 410
φύλλα δρεψάμενοι τέρενα δρυὸς ὑψικόμοιο·
οὐ γὰρ ἔχον κρῖ λευκὸν ἐυσσέλμοἰ ἐπὶ νηός.
αὐτὰρ ἐπεί ῥ' ηὔξαντο καὶ ἔσφαξαν καὶ ἔδειραν, 359^{a} = Α 458 / 359^{b} = Α 459
μηρούς τ' ἐξέταμον κατά τε κνίσῃ ἐκάλυψαν 360sq. = Α 460sq.
δίπτυχα ποιήσαντες, ἐπ' αὐτῶν δ' ὠμοθέτησαν.
οὐδ' εἶχον μέθυ λεῖψαι ἐπ' αἰθομένοισ' ἱεροῖσι, 362^{b} = Α 775
ἀλλ' ὕδατι σπένδοντες ἐπώπταον ἔγκατα πάντα.
αὐτὰρ ἐπεὶ κατὰ μῆρ' ἐκάη καὶ σπλάγχν' ἐπάσαντο, 364sq. = Α 464sq.
'μίστυλλόν τ' ἄρα τ' ἄλλα καὶ ἀμφ' ὀβελοῖσιν ἔπειραν.
„καὶ τότε μοι βλεφάρων ἐξ ἔσσυτο ϝήδυμος ὕπνος·
'βῆν δ' ἴμεναι ἐπὶ νῆα θοὴν καὶ θῖνα θαλάσσης. 367 = κ 407
ἀλλ' ὅτε δὴ σχεδὸν ἦα κιὼν νεὸς ἀμφιϝελίσσης, 368 = κ 156
καὶ τότε με κνίσης ἀμφήλυθε ϝηδὺς ἀυτμή·
οἰμώξας δὲ θεοῖσι μέγ' ἀθανάτοισ' ἐγέγωνον· 370 cf. Χ 34^{b}
‚Ζεῦ πάτερ ἠδ' ἄλλοι μάκαρες θεοὶ αἰὲν ἐόντες, 371 = ε 7

349 ἐθέλῃ] ἐθέλῃσ' W. ‖ ἕσπωνται G^{2} M] ἕ(σ)πονται mss. cetera. Cf. § 247.
350 sq.] similes sunt sententiae Ο 511 sq. π 106 sq. φ 154 sqq.
350 ἅπαξ] cf. μ 22.
351 στρεύγεσθαι] στρέγγεσθαι N K, vid. ad Ο 512. ‖ ἐὼν] ἰὼν G^{1}. ‖ ἐν νήσῳ ἐρήμῃ] ἐς νῆσον ἐρήμην G.
355 ἕλικες] neglecto ϝ. PKnight βόσκοντο ϝέλικες; an *'βοσκέσκονθ' ἕλει (vid. Υ 221 ξ 474)?
356 περίστησάν τε Bekker] -σαντο mss.; vitium recurrit Β 410; vid. Α 433 α 112. ‖ ηὐχετάοντο § 191] εὐχετόωντο mss.
357 φύλλα G M X] φύλλα δὲ F P H. ‖ δρεψάμενοι] l. a. δ' ἐρεψάμενοι (φυλλάδ' ἐρεψάμενοι Bothe; cf. Aesch. Agam. 79); vid. ad Υ 234. Verbum nonnisi h. Cer. 426, 430 redit, cf. δρέπανον vel -νη σ 368 Σ 551.
358 ἐυσσέλμοἰ § 59] -λμου mss.
363] del. Duentzer. ‖ ἐπώπταον § 191] -πτων mss. Comp. † (simplex Α 466 etc.).
365 τ' ἄλλα] cf. § 9. ‖ In F subiungitur ὤπτησάν τε περιφραδέως ἐρύσαντό τε πάντα (= Α 466).
366-396] del. Niese.
366 ϝήδυμος § 41] νήδυμος mss.
367 ἴμεναι § 125] ἰέναι mss.
369 με] μοι mss. pleraque. Cf. ζ 122. ‖ ϝηδὺς] ἡδεῖ' (i. e. ϝηδέ') schol. Φ 363 non male, vid. ad δ 442 et § 53 et 75; θερμὸς Aristonicus (Ar.?) ad Σ 222 δ 442, 709, idque legitur h. Merc. 110 Hes. Theog. 696 (cf. § 53). An *θῆλυς? vid. ε 467 ζ 122. Barnes ϝηδὺς ἀυτμήν (cf. Ψ 765 γ 289).
370 μέγ' Bekker] μετ' mss. ‖ ἀθανάτοισ' ἐγέγωνον] -τοισι γεγώνευν mss.; de termino -ον pro -ευν vid. § 260.

ἦ με μάλ' εἰς ἀάτην 'κοιμήσατε νηλέι ὕπνῳ·
οἳ δ' ἕταροι μέγα ϝέργον ἐμητίσαντο μένοντες.‘
„ὠκέα δ' Ἠελίῳ Ὑπερίονι ἄγγελος ἦλθε
Λαμπετίη τανύπεπλος, ὃ ϝοι βόας ἔκταμεν ἦμες.
αὐτίκα δ' ἀθανάτοισι μετηύδα χωόμενος κῆρ·
‚Ζεῦ πάτερ ἠδ' ἄλλοι μάκαρες θεοὶ αἰὲν ἐόντες, 377 = ε 7
τῖσαι δὴ ἑτάρους Λαερτιάδα' Ὀδυσῆος,
οἵ μοι βοῦς ἔκτειναν ὑπέρβιον, ᾗσιν ἐγώ γε
'χαίρεσκον μὲν ἰὼν εἰς οὐρανὸν ἀστερόεντα, 380^{b}sq. cf. λ 17sq.
ἠδ' ὁπότ' ἂψ ἐπὶ γαῖαν ἀπ' οὐρανόθεν προτραποίμην.
εἰ δέ μοι οὐ τίσουσι βοῶν ἐπιϝεικέ' ἀμοιβὴν,
δύσομαι εἰς Ἀϝίδαο ἵν' ἐν νεκύεσσι φαείνω.‘
„τόν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
‚Ἠέλι', ἦ τοι μὲν σὺ μετ' ἀθανάτοισι φάεινε
καὶ θνητοῖσι βροτοῖσιν ἐπὶ ζείδωρον ἄρουραν· 386 = γ 3
τῶν δέ κ' ἐγὼ τάχα νῆα θοὴν ἀργῆτι κεραυνῷ 387^{b} = ε 131
τυτθὰ βαλὼν κεάσαιμι μέσῳ ἐνὶ ϝοίνοπι πόντῳ.‘ 388 cf. ε 132
„ταῦτα δ' ἐγὼν ἤκουσα Καλυψόος ἠυκόμοιο·
ἣ δ' ἔφη Ἑρμείαο διακτόρου αὐτὴ ἀκοῦσαι.
„αὐτὰρ ἐπεί ῥ' ἐπὶ νῆα κατήλυθον ἠδὲ θάλασσαν, 391 = β 407
'νείκεον ἄλλοθεν ἄλλον ἐπισταδὸν, οὐδέ τι μῆχος 392^{b}sq.^{a} cf. Β 342 sq.
εὑρέμεναι 'δυνάμεσθα· βόες δ' ἀπετέθνασαν ἤδη.

374-390 Ar. —

372 ἀάτην] ἄτην mss. (ὕπνον P).
374-390] damnavit Ar., cum intellegeret in narratione Ulixis ferri haec non posse. Sed probabilius Kirchhoff statuit poetam, cui libri κ et μ debentur, suo nomine haec omnia narrasse, diascenastam vero in 1^{am} personam conversa tribuisse Ulixi suos casus referenti; vid. ad initium libri κ. Ipsi diasceuastae debentur insulsi versus 389 sq.
374] Soli, qui ipse cuncta videt, nuncia quid opus fuerit, rogatur in scholiis; responderi potest talium demum ministrarum opera, qualis est Lampetia, effici ut Solem nihil lateat. ‖ ὠκέα] fem. sing., cf. § 75; ὦκα F, l. a. ὠκύς.
375 ἔκταμεν ἦμες § 92] ἔκταμεν ἡμεῖς Ar. F H, ἔκταν(ον) ἕταιροι G P M X n.
376 μετηύδα] -δαε? cf. § 195. ‖ χωόμενος κῆρ] πᾶσι θεοῖσι G.
378 Λαερτιάδα' § 55] -δεω mss.
379 *μοι] μευ mss. (με G^{2}); μεο scribi sinit metrum (cf. § 92), sed genitivus hinc alienus; vid. ad Ξ 118 Ω 486.
382 sq.] imitatur Aristoph. Nub. 584 sqq.
382 οὐ] vid. ad Γ 289.
383 ἵν' Hartman] καὶ mss., quod ferri nequit nisi additur κε; Cobet Ἀϝίδεω (Ἄϝιδος, cf. § 55) καί κ' coll. Α 184 Ξ 235 Π 129 ρ 418; vid. § 108. Cf. praeterea Ω 213 φ 135.
386 θνητοῖσι βροτοῖσιν] vid. ad γ 3.
388 τυτθὰ] τριχθὰ Zen.
389 sq.] vid. ad vs. 374-390.
389 Καλυψόος § 77] -ψοῦς mss.
390 αὐτὴ] αὐτοῦ F mss. alia.
392 ἄλλον] ἄλλος F.
393 ἀπετέθνασαν H^{3} X] ἀποτ. mss. pleraque; *ἄρα 'τέθνασαν? vid. ad Χ 432.

τοῖσιν δ᾽ αὐτίκ᾽ ἔπειτα θεοὶ τέραα προέφαινον·
εἷρπον μὲν ῥινοί, κρέα δ᾽ ἀμφ᾽ ὀβελοῖσ᾽ ἐμεμύκει,
ὀπταλέα τε καὶ ὠμά· βοῶν δ᾽ ὣς ᾽γίγνετο φωνή.
ϝεξῆμαρ μὲν ἔπειτα ἐμοὶ ἐρίηρες ἑταῖροι 397 = ξ 249
᾽δαίνυντ᾽ Ἠελίοιο βοῶν ἐλάσαντες ἀρίστας· 397ᵇ = Ψ 6
ἀλλ᾽ ὅτε θ᾽ ἕβδομον ἦμαρ ἐπὶ Ζεὺς ᾽θῆκε Κρονίων, 399 = ο 477
καὶ τότ᾽ ἔπειτ᾽ ἄνεμος μὲν ἐπαύσατο λαίλαπι θύων, 400ᵃ = ε 391, 400ᵇ = 426
ἦμες δ᾽ αἶψ᾽ ἀναβάντες ἐνήκαμεν εὐρέι πόντῳ, 401 cf. 293
ἱστὸν στησάμενοι ἀνά θ᾽ ἱστία λεύκ᾽ ἐρύσαντες. 402 cf. Α 480 ι 77
„ἀλλ᾽ ὅτε δὴ τὴν νῆσον ἐλείπομεν οὐδέ τις ἄλλη 403 cf. ξ 301
᾽φαίνετο γαιάων, ἀλλ᾽ οὐρανὸς ἠδὲ θάλασσα, 404-406 = ξ 302 sqq.
δὴ τότε κυανέην νεφέλην ἔστησε Κρονίων
νηὸς ὕπερ γλαφυρῆς, ἤχλυσε δὲ πόντος ὑπ᾽ αὐτῆς. 406ᵇ cf. Η 64
ἣ δ᾽ ἔθε᾽ οὐ μάλα πολλὸν ἐπὶ χρόνον· αἶψα γὰρ ἦλθε
κεκληγὼς Ζέφυρος μεγάλῃ σὺν λαίλαπι θύων.
ἱστοῦ δὲ προτόνους ἔρρηξ᾽ ἀνέμοιο θύελλα
ἀμφοτέρους, ἱστὸς δ᾽ ὀπίσω ᾽πέσεν, ὅπλα τε πάντα
εἰς ἄντλον κατέχυνθ᾽· ὃ δ᾽ ἄρα πρυμνῇ ἐνὶ νηὶ
᾽πλῆξε κυβερνήταο κάρη, σὺν δ᾽ ὀστέ᾽ ἄραξε 412ᵇ sq. = Μ 384 sq.
πάντ᾽ ἄμυδις κεφαλῆς· ὃ δ᾽ ἄρ᾽ ἀρνευτῆρι ϝεϝοικὼς
κάππεσ᾽ ἀπ᾽ ἰκριόφιν, ᾽λίπε δ᾽ ὀστέα θυμὸς ἀγήνωρ. 414 cf. Μ 386, 414ᵇ cf. Υ 406
Ζεὺς δ᾽ ἄμυδις ᾽βρόντησε καὶ ἔμβαλε νηὶ κεραυνόν. 415-419 = ξ 305 sqq.
ἣ δ᾽ ἐϝελίχθη πᾶσα Διὸς πληγεῖσα κεραυνῷ, 416ᵇ cf. Ο 117
ἐν δὲ θεείου ᾽πλῆτο· ᾽πέσον δ᾽ ἐκ νηὸς ἑταῖροι.
οἳ δὲ κορώνῃσιν ϝίκελοι περὶ νῆα μέλαιναν

394-396] del. Duentzer.
394 *τέραα*] cf. § 72. ‖ *προέφαινον*] *προύφ.* mss.
396] cf. Eur. Troad. 440, Propert. IV 11, 29, Herod. IX 120.
398 *ἐλάσαντες*] *ἐλόωντες* P X mss. alia.
399] cf. *B* 134. ‖ *θ᾽* n] *δ᾽* F, *δή* G, *ἄρ* U², om. P X; Nauck *ἦμος δ᾽* aut *αὐτὰρ ὅθ᾽*. ‖ *θῆκε*] *ἧκε* Cobet.
401 *ἦμες* § 92] *ἡμεῖς* mss.
402-406] imitatur Verg. Aen. III 192-195 et V 8-11.
402 *ἐρύσαντες*] neglecto ϝ; vid. ad ι 77.
406 *ἤχλυσε*] †, sed vid. ad *H* 64. ‖ *ποντος*] *πόντον* F¹.
407 *ἔθε᾽* W q] *ἔθει* mss. cett., cf. § 191.
408 *κεκληγὼς*] *-*γγὼς*? vid. § 223.
410 *ἱστὸς*] *αὐτὸς* Duentzer.
411 *ἄντλον*] *sentinam*; redit vox ο 479. ‖ *κατέχυνθ᾽· ὃ δ᾽ ἄρα*] -*ντο· ὃ δὲ* Nauck.
412 *κυβερνήταο κάρη* Fick] -*τεω κεφαλὴν* mss.; cf. § 55.
413 *ἄμυδις*] sic Ar. et mss. pleraque, *ἅμυδις* alia; item vs. 415.
413 sq. *ὃ δ᾽ — κάππεσ᾽*] cf. Verg. Aen. I 115 sq. ‖ *ἀρνευτῆρι*] cf. *M* 385.
415 *ἄμυδις*] vid. ad vs. 413.
416 *ἐϝελίχθη* § 41] *ἐλελίχθη* mss.; vid. ad ε 132 et *Α* 530.
417 *ἐν*] *ἐκ* M.
418 *κορώνῃσιν*] cf. ε 66.

κύμασιν ἐμφορέοντο, θεὸς δ᾽ ἀποήνυτο νόστον.
„αὐτὰρ ἐγὼ διὰ νηὸς ἐφοίταον, ὄφρ᾽ ἀπὸ τοίχους
᾽λῦσε κλύδων τρόπιος, τὴν δὲ ψιλὴν ᾽φέρε κῦμα·
ἓκ δέ ϝοι ἱστὸν ἄραξε ποτὶ τρόπιν, αὐτὰρ ἐπ᾽ αὐτῷ
ἐπίτονος ᾽βέβλητο, βοὸς ῥινοῖο τετευχώς.
τῷ ῥ᾽ ἄμφω συνέϝεργον ὁμοῦ τρόπιν ἠδὲ καὶ ἱστόν,
ἑζόμενος δ᾽ ἐπὶ τοῖς ᾽φερόμην ὀλοοῖσ᾽ ἀνέμοισι. 425ᵃ cf. 444, 425ᵇ = ι 82
„ἔνθ᾽ ἦ τοι Ζέφυρος μὲν ἐπαύσατο λαίλαπι θύων, 426ᵇ = 400
ἦλθε δ᾽ ἐπὶ Νότος ὦκα φέρων ἐμῷ ἄλγεα θυμῷ,
ὄφρ᾽ ἔτι τὴν ὀλοὴν ἀναμετρήσαιμι Χάρυβδιν.
παννύχιος ᾽φερόμην, ἅμα δ᾽ ἠελίῳ ἀνιόντι 429ᵇ cf. Σ 136
ἦλθον ἐπὶ Σκύλλης σκόπελον δϝεινήν τε Χάρυβδιν.
ἣ μὲν ἀνερροίβδησε θαλάσσης ἁλμυρὸν ὕδωρ· 431 cf. 236
αὐτὰρ ἐγὼ ποτὶ μακρὸν ἐρινεὸν ὑψόσ᾽ ἀερθεὶς
τῷ προσφὺς ἐχόμην ὡς νυκτερίς, οὐδέ πῃ εἶχον
οὔτε στηρίξαι ποσὶν ἔμπεδον οὔτ᾽ ἐπιβῆναι·
ῥίζαι γὰρ ϝεκὰς εἶχον, ἀπήωροι δ᾽ ἔσαν ὄζοι
μακροί τε μεγάλοι τε, κατεσκίαον δὲ Χάρυβδιν.
νωλεμέως δ᾽ ἐχόμην, ὄφρ᾽ ἐξεμέσειεν ὀπίσσω 437ᵃ cf. ι 435
ἱστὸν καὶ τρόπιν αὖτις· ἐϝελδομένῳ δέ μοι ἦλθον
ὄψ᾽· ἦμος δ᾽ ἐπὶ δόρπον ἀνὴρ ἀγορῆθεν ἀνέστη

439-441 damnarunt quidam (in his Ar.? cf. Ludwich Aristarch. I p. 598).

419 *ἀποήνυτο*] -*αίνυτο* mss.
420-448] del. Kammer; nos vs. 426-446 spurios ducimus.
420 *ἐφοίταον* § 191] -*των* mss.
421 *κλύδων*] †, cf. *κλύζω* *Ξ* 392 etc.
422 *ἄραξε*] sic Ar., *ἔαξε* G H² n, sic Zen. (an *ἔηξε*? cf. *N* 166, 257). — Subiectum est *κλύδων*. ‖ *ποτὶ*] *περὶ* P.
423 *ἐπίτονος*] cf. § 21. Vox †, cf. *πρότονοι* vs. 409 alibi. Qualis rudens significetur incertum est. ‖ *᾽βέβλητο, βοὸς ῥινοῖο τετευχώς*] *τετάνυστο βοὸς ἶφι κταμένοιο* (cf. *Γ* 375 ψ 201) Athen. XIV 632*e*. ‖ *τετευχώς*] cf. § 236; vHerwerden *ῥινοῦ νεοτευχές*.
425 *τοῖς*] novicium pro *τοῖσι*, vid § 60 et vs. 444; **τῷ* (nempe *ἱστῷ*)? an **τοῖσι δ᾽ ἐφεζόμενος*?
428 *τὴν — Χάρυβδιν*] cf. γ 179. ‖ *ἀναμετρήσαιμι*] comp. †, vid. ad *Γ* 315. ‖ *Χάρυβδιν*] *θάλασσαν* Apoll. lex., fortasse recte.
429 sq.] del. Duentzer.
429 *ἀνιόντι*] *καταδύντι* F (cf. π 366).
432 *ἀερθεὶς*] *ἀέρθην* F.
435 sq.] del. PKnight.
435 *εἶχον* G] *ἦσαν* mss. pleraque. ‖ *ἀπήωροι*] †, cf. *συνήοροι* θ 99 (et *ἄωροι* μ 89?). Bothe *ἀπηόριοι*, quoniam longus sonus -*ω*- suspectus est.
436 *κατεσκίαον*] comp. †, simplex *Φ* 232 β 388 etc.
437 *ἐξεμέσειεν*] vid. ad *O* 11.
438 *ἦλθον* M] *ἦλθεν* mss. pleraque.
439-441] cum vs. 105 pugnare viderunt veteres.
439 *ὄψ᾽· ἦμος δ᾽*] *ἦμος δ᾽ ὄψ᾽* Ameis, particulam enim *ἦμος* versum aperire solere. ‖ *ἀγορῆθεν*] non *fori* sed *agri* expectatur mentio (cf. *Α* 86 *Π* 779 etc.), versus autem 440 molestus est. Videantur quae ad vs. 420-448 observavimus.

κρίνων νείκεα πολλὰ δικαζομένων αἰζηῶν,
τῆμος δὴ τά γε δοῦρα Χαρύβδιος ἐξεφαένθη.
ἧκα δ' ἐγὼ καθύπερθε πόδας καὶ χεῖρε φέρεσθαι,
μέσσῳ δ' ἐνδούπησα παρ' ἐκ περιμήκεα δοῦρα,
ἑζόμενος δ' ἐπὶ τοῖσι διήρεσα χερσὶν ἐμῇσι. 444ª cf. 425
Σκύλλην δ' οὐκέτ' ἔασε πατὴρ ἀνδρῶν τε θεῶν τε
εἰσϜιδέμεν· οὐ γάρ κεν ὑπέκφυγον αἰπὺν ὄλεθρον. 446ᵇ = ι 286
„ἔνθεν δ' ἐννῆμαρ 'φερόμην, δεκάτῃ δέ με νυκτὶ 447 cf. η 253
νῆσον ἐς Ὠγυγίην 'πέλασαν θεοί, ἔνθα Καλυψὼ 448 sq.ª = η 254 sq.
ναίει ἐυπλόκαμος, δϜεινὴ θεὸς αὐδήεσσα, 449 cf. κ 136
ἥ μ' ἐφίλει τ' ἐκόμει τε. τί τοι τάδε μυθολογεύω; 450ª cf. η 256
ἤδη γάρ τοι χθιζὸς ἐμυθεόμην ἐνὶ Ϝοίκῳ,
σοί τε καὶ ἰφθίμῃ ἀλόχῳ· ἐχθρὸν δέ μοί ἐστι
αὖτις ἀριζήλως ϜεϜρημένα μυθολογεύειν."

445 sq. Ar. —

441 *τά γε*] *τάδε* Ar. X. || *ἐξεφαένθη* § 280] -*φαάνθη* mss.; an **ἐξεφάενθεν*?

443 *μέσσῳ*] scil. *in medio gurgite.* || *ἐνδούπησα*] comp. nonnisi ο 479 redit, ubi vid.; simplex extat Δ 504 etc. || *παρὲκ* Bekker] *παρὲξ* mss.; cf. vs. 276.

444 *χερσὶν ἐμῇσι*] *χερσὶ φίλῃσιν* Nauck coll. Σ 27 Ψ 99 ε 482.

445 sq.] iure notabat Aristarchus, Charybdin enim trananti Ulixi a Scylla, etiamsi apparuisset, periculum nullum erat metuendum. Sed cum toto loco aut abiciendi sunt hi versus aut tolerandi; videatur ad vs. 420-448.

446 *εἰσϜιδέμεν* § 126] *εἰσιδέειν* mss.

447-453] diasceuastae tribuit Kirchhoff; del. KLKayser, vs. 452 sq. PKnight.

449 *αὐδήεσσα*] vid. ad ε 334.

450 *τοι τάδε μυθολογεύω*] *μὲ χρὴ μυθολογεύειν* G[1]. || *μυθολογεύω*] nonnisi vs. 453 redit (*μυθέομαι* saepius).

399 ξανθὰς] cf. vs. 431; *nigri* capilli Ulixi tribuuntur ζ 231 (?) π 176. Quae ut concilientur, perperam in scholiis ad π 175 noster locus redditur: *flavi rarique tibi fient capilli*; nam concedendum est aut diversas manus argui hac discrepantia, aut unius poetae negligentiam. Hoc tamen veri dissimile, quoniam heroem suum perpetuo ante mentis oculos habet poeta qui quidem illo nomine dignus sit. Nitzsch Ϝούλας (vel καλὰς vel πάσας, Sagenpoes. p. 183); cf. ζ 231 ψ 158. || ὀλέω § 147] ὀλέσω mss. || λαῖφος] *pannum*, quod ῥάκος dicitur vs. 434. Vox redit υ 206 h. Ap. 406 (ubi *velum* significat, ut apud posteros) Merc. 152 XVIII 23.
400 στυγέῃσι ... ἄνθρωπος] vox ἄνθρωπος molesta; l. a. apud Eust. στυγέῃ τις ... ἄνθρωπον (neglecto Ϝ participii Ϝιδών), unde Nitzsch στυγέῃσι ... ἄνθρωπον, sed recepto accusativo omitti nequit pronomen.
401 κνυζώσω] *fuscos reddam*? Ignotae originis verbum nonnisi vs. 433 redit.
402 sq.] del. Duentzer.
402 κεν § 326] ἂν mss. || φανήῃς § 122] φανείης mss.
404-428] del. KLKayser.
405 ἐπίουρος] vid. ad γ 422. || ὁμῶς] ὅμως D W mss. alia non recte, vid. § 322. || δέ τοι] δ' ἔτῃ Bergk (neglecto Ϝ), ne post ὁμῶς desit comparatio. || ἤπια Ϝοῖδε] vid. ad Ε 326.

παῖδά τε σὸν φιλέει καὶ ἐχέφρονα Πηνελόπειαν.
δήεις τόν γε σύεσσι παρήμενον· αἳ δὲ νέμονται
πὰρ Κόρακος πέτρῃ ἐπί τε κρήνῃ Ἀρεθούσῃ,
ἔσθουσαι βάλανον μενοϝεικέα καὶ μέλαν ὕδωρ
πίνουσαι, τά θ' ὕεσσι τρέφει τεθαλυῖαν ἀλοιφήν.
ἔνθα μένειν καὶ πάντα παρήμενος ἐξερέεσθαι,
ὄφρα κ' ἐγὼν ἔλθω Σπάρτην εἰς καλλιγύναικα
Τηλέμαχον καλέουσα, τεὸν φίλον υἱὸν, 'Οδυσσεῦ,
ὅς τοι ἐς εὐρύχορον Λακεδαίμονα πὰρ Μενέλαον
ᾤχετο πευσόμενος μετὰ σὸν κλέος, εἴ ποθ' ἔτ' εἴης."
τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις 'Οδυσσεύς·
„τίπτε τ' ἄρ' οὔ ϝοι ἔϝειπες, ἐνὶ φρεσὶ πάντα ϝιδυῖα;
ἦ ἵνα που καὶ κεῖνος ἀλώμενος ἄλγεα πάσχῃ
πόντον ἔπ' ἀτρύγετον, βίοτον δέ ϝοι ἄλλοι ἔδωσι;"
τὸν δ' ἠμείβετ' ἔπειτα θεὰ γλαυκῶπις Ἀθήνη·
„μὴ δή τοι κεῖνός γε λίην ἐνθύμιος ἔστω.
αὐτή μιν 'πόμπευον, ἵνα κλέος ἐσθλὸν ἄροιτο 422^b = E 3
κεῖσ' ἐλθών· ἀτὰρ οὔ τιν' ἔχει πόνον, ἀλλὰ ϝέκηλος
ἧσται ἐν Ἀτρεΐδαο δόμοις, παρὰ δ' ἄσπετα κεῖται.
ἦ μέν μιν λοχάουσι νέοι σὺν νηὶ μελαίνῃ   425 cf. ο 28 [sqq.
ϝιέμενοι κτεῖναι, πρὶν πατρίδα γαῖαν ἱκέσθαι·   426-428 = ο 30; 426 = δ 823

407-410] del. Duentzer.

408 *Κόρακος*] nomen non redit; *κόρακος* Lobeck, vid. ad Λ 99. De loco quo habitabat Eumaeus cf. ξ 399, 533 ω 150. ‖ *Ἀρεθούσῃ*] etiam hoc nomen aliunde ignotum; Didymus octo fontes enumeraverat quibus inditum erat hoc nomen, quod primitus fuit participium verbo *ἄρδειν* cognatum (cf. *ῥαθάμιγγες* et vid. Herodian. *π. μον. λέξ.* p. 13 Dind.)., vid. ad Λ 99. Crates legebat *κρήνης μελανύδρου* teste schol. Theocr. I 117.

409 *μέλαν*] aquae epitheton perpetuum esse videtur; sunt tamen qui fontem *umbrosum* indicari putent. *Turbidam* aquam, porcis adamatam scilicet, ridicule interpretatur Aelian. Hist. Anim. V 45.

412-428] addidit diasceuasta qui *itineris Telemachi* partem posteriorem inseruit *ultioni Ulixis*; vid. ad α 88 sqq.; del. Duentzer, vs. 425-428 Kammer.

412 *ὄφρα κ'* § 326] *ὄφρ' ἂν* mss.

414 *πὰρ*] *πρὸς* G F P mss. alia.

415 *μετὰ σὸν κλέος*] vid. ad Λ 227 et α 283. ‖ *εἴ* G F] *ἤ* vel *ἤν* mss. multa; cf. § 327. ‖ *ποθ'* § 322] *που* mss. ‖ *εἴης*] Thiersch *εἴῃς*, cf. § 109 et 302.

417 *τ' ἄρ*] *γὰρ* mss. complura; cf. Σ 182. ‖ *πάντα ϝιδυῖα* § 160] *πάντ' εἰδυῖα* mss.

418 *καὶ κεῖνος*] *κἀκεῖνος* mss. multa; cf. § 9 et 97.

419 *ϝοι*] *μοι* Plut. Mor. 22 e, *τοι* G. ‖ *ἔδωσι*] *ἔδουσι(ν)* mss. pleraque.

421 *ἐνθύμιος*] †; cf. *καταθύμιος* K 383 P 201 χ 392, *ἀποθύμιος* Ξ 261.

422 *'πόμπευον*] † pro *ἔπεμπον*; cf. *πομπῆες* γ 325 etc.

423 *πόνον*] l. a. *μόρον*.

424 *δόμοις*] novicium pro *δόμοισι*, vid. § 60 et ad Λ 132.

425 *λοχάουσι* § 191] *λοχόωσι* mss.

426 *κτεῖναι*] *κτάμεναι*?

ἀλλὰ τά γ' οὐκ ὀίω· πρὶν καί τινα γαῖα καθέξει 427^b cf. Π 629
ἀνδρῶν μνηστήρων, οἵ τοι βίοτον κατέδουσι."   428 = 396
ὣς ἄρα μιν φαμένη ῥάβδῳ ἐπεμάσσατ' Ἀθήνη· 429^b = π 172
'κάρψεν μὲν χρόα καλὸν ἐνὶ γναμπτοῖσι μέλεσσι,   430 sq. cf. 398 sq.
ξανθὰς δ' ἐκ κεφαλῆς ὄλεσε τρίχας, ἀμφὶ δὲ δέρμα 430^b = Λ 669
πάντεσσιν μελέεσσι παλαιοῦ 'θῆκε γέροντος,
'κνύζωσεν δέ ϝοι ὄσσε πάρος περικαλλέ' ἐόντε.   433 cf. 401
ἀμφὶ δέ μιν ῥάκος ἄλλο κακὸν 'βάλεν ἠδὲ χιτῶνα,   434 cf. ξ 342
ῥωγαλέα ῥυπόεντα, κακῷ μεμορυγμένα καπνῷ.
ἀμφὶ δέ μιν μέγα δέρμα ταχείης 'ϝέσσ' ἐλάφοιο
ψιλόν· ἔδωκε δέ ϝοι σκῆπτρον καὶ ἀϝεικέα πήρην
πυκνὰ ῥωγαλέην· ἐν δὲ στρόφος ἦεν ἀορτήρ.   438 = ρ 198 σ 109
τώ γ' ὣς βουλεύσαντε διέτμαγεν. ἡ μὲν ἔπειτα   439 = Λ 531
εἰς Λακεδαίμονα δῖαν ἔβη μετὰ παῖδ' 'Οδυσῆος.

427 *καθέξει*] l. a. *παρέξει*, absurde.

428] om. H Eust., fortasse recte, cf. Π 629; sed vid. ad vs. 412-428.

430 *κάρψεν μὲν* Bekker] *κάρψε μέν οἱ* (om. *οἱ* k) mss.; GHermann *κάρψεν ϝοι*, Fick *κάρψ' ἄρα ϝοι*, nisi spurius sit versus. An *'κάρψε δέ ϝοι* (cf. ε 234)? vid. tamen vs. 398. De verbo *κάρψαι* vid. ad vs. 398.

431 *ξανθὰς*] vid. ad vs. 399.

433 *'κνύζωσεν*] vid. ad vs. 401.

434 *κακὸν 'βάλεν*] *βάλεν κακὸν* H, *κακὸν* om. F, *βάλεν* om. G^1.

435 *ῥυπόεντα* F T^2 Eust.] *ῥυπώεντα* U, *ῥυπόωντα* mss. cett.; vid. ad ζ 87. ‖ *μεμορυγμένα*] *-χμένα* M^1 mss. alia et l. a. apud Eust., fortasse recte; cf. § 37. Verbum †, cognatum videtur *μολύνειν* (quod apud Homerum non extat).

437 *ἔδωκε* PKnight] *δῶκε* mss.

438 *πυκνᾶ*] vid. § 26 et ad E 858. ‖ *στρόφος*] *funis*; vox nonnisi vss. parall. redit.

439 *διέτμαγεν*] *-γον* mss. complura; cf. Π 354.

440] diasceuastae debetur, vid. ad vs. 412-428; vetus poeta dixerat *ἂψ εἰς μακρὸν Ὄλυμπον ἔβη μετὰ δαίμονας ἄλλους* vel huiusmodi aliquid.

ΟΔΥΣΣΕΙΑΣ ξ.

Ὀδυσσέως πρὸς Εὔμαιον ὁμιλία.

αὐτὰρ ὃ ἐκ λιμένος προσέβη τρηχεῖαν ἀταρπὸν
χῶρον ἀν' ὑλήεντα δι' ἄκριας, ᾗ Ϝοι Ἀθήνη 2ᵃ = Κ 362
'πέφραδε δῖον ὑφορβόν, ὃ Ϝοι βιότοιο μάλιστα
'κήδετο Ϝοικήων, οὓς 'κτήσατο δῖος Ὀδυσσεύς.
τὸν δ' ἄρ' ἐνὶ προδόμῳ ηὗρ' ἥμενον, ἔνθα Ϝοι αὐλὴ
ὑψηλὴ 'δέδμητο περισκέπτῳ ἐνὶ χώρῳ 6 cf. α 426; 6ᵃ = ι 185
καλή τε μεγάλη τε, περίδρομος· ἥν ῥα συβώτης
αὐτὸς ἐδείμαθ' ὕεσσιν ἀποιχομένοιο Ϝάνακτος 8ᵇ sq. = 450 sq.
νόσφιν δεσποίνης καὶ Λαέρταο γέροντος
ῥυτοῖσιν λάεσσι καὶ ἐθρίγκωσεν ἀχέρδῳ. 10ᵃ = ζ 267
σταυροὺς δ' ἐκτὸς ἔλασσε διαμπερὲς ἔνθα καὶ ἔνθα
πυκνοὺς καὶ θαμέας, τὸ μέλαν δρυὸς ἀμφικεάσσας.

1-7] simplicem huius loci dictionem orationi solutae similem laudat Dion. Halic. in fine libelli de comp. verb.

1 ὅ] ὅ γ' M et Dion. Halic. l. l.; an ὅς? vid. § 15.

5 sqq.] cum Eumaei chorte cf. ι 185 sq.

6 *περισκέπτῳ ἐνὶ χώρῳ*] sic Did., vid. Etym. M. 664,46 sqq.; *κατωρυχέεσσι λίθοισι* G² n (cf. ι 185) et l. a. apud Eust. Vert. *loco edito et aperto*, vid. ad α 425 sq.

8 *ἐδείμαθ' ὕεσσιν*] *δείμαθ' ὕεσσιν* mss. pleraque, *δείματο οἴεσσιν* M, *δείματο οἶος* Zen. F¹ vitio metrico; cf. vs. 450.

10 *ῥυτοῖσιν*] vid. ad ζ 267. ‖ *ἐθρίγκωσεν ἀχέρδῳ*] *cinxerat vepribus*. Utraque vox †, cum priore cf. *θριγκός* η 87 ρ 267 (*θριγκίον* π 165?).

12 *θαμέας*] *μεγάλους* G X D et l. a. apud Eust. (cf. *Μ* 57). ‖ *μέλαν δρυός*] sic Ar., *corticem* interpretatus; sed de arborum *medulla* loqui videtur poeta. Crates *μελάνδρυον*, *densam frondem* intellegens; sic accepisse videtur Aeschylus, teste versu quem afferunt schol. et Eust.: *κρεμαστὰ τόξα πίτυος ἐκ μελανδρύου* (fr. 249). ‖ *ἀμφικεάσσας*] comp.† (simplex *Π* 317 etc.).

ἔντοσθεν δ' αὐλῆς συφεοὺς δύο καὶ δέκ' ἐποίει
πλησίον ἀλλήλων, εὐνὰς συσίν· ἐν δὲ Ϝεκάστῳ
πεντήκοντα σύες χαμαιευνάδες ἐρχατόωντο,
θήλειαι τοκάδες· τοὶ δ' ἄρσενες ἐκτὸς ἴαυον
πολλὸν παυρότεροι· τοὺς γὰρ 'μινύθεσκον ἔδοντες
ἀντίθεοι μνηστῆρες, ἐπεὶ προΐαλλε συβώτης
19 αἰεὶ ζατρεφέων σιάλων τὸν ἄριστον ἁπάντων.
21 πὰρ δὲ κύνες θήρεσσι ϜεϜοικότες αἰὲν ἴαυον
τέσσαρες, οὓς ἔθρεψε συβώτης ὄρχαμος ἀνδρῶν·
αὐτὸς δ' ἀμφὶ πόδεσσιν ἑϜοῖσ' ἀράρισκε πέδιλα
τάμνων δέρμα βόειον ἐυχροές· οἳ δὲ δὴ ἄλλοι
ᾤχοντ' ἄλλυδις ἄλλος ἅμ' ἀγρομένοισι σύεσσι,
οἱ τρεῖς· τὸν δὲ τέταρτον ἀποπροέηκε πόλινδε
σῦν ἀγέμεν μνηστῆρσιν ὑπερφιάλοισιν ἀνάγκῃ,
ὄφρ' ἱερεύσαντες κρεάων κορεσαίατο θυμόν.
ἐξαπίνης δ' Ὀδυσῆα 'Ϝίδον κύνες ὑλακόμωροι.
οἳ μὲν κεκληγῶτες ἐπέδραμον· αὐτὰρ Ὀδυσσεὺς
ἕζετο κερδοσύνῃ, σκῆπτρον δέ Ϝοι ἔκπεσε χειρός.

---

20 *οἳ δὲ τριηκόσιοί τε καὶ ἑξήκοντ' ἐπέλοντο.*

20 Zen. — ‖ 22 Callistratus —

---

13 *δέκ' ἐποίει*] *δέκα ποίει* mss.

15 *πεντήκοντα*] vid. ad *Θ* 563. ‖ *χαμαιευνάδες*] cf. κ 243. ‖ *ἐρχατόωντο*] formam manifesto vitiosam mutare noluimus in *εἰρχατάοντο* (§ 191); **εἵρχατο νυκτός*? nam de noctis tantum tempore loqui poetam ex vs. 16, 25 sq. ν 407 sq. patet et per se intellegitur. Ingeniose IMHoogvliet *'Ϝέρχατο πεντήκοντα σύες χαμαιευνάδες ἐντός* (cf. *Ρ* 354 ι 221 ξ 73 et § 230), pro *aoristi* forma habens ('Ϝ)*έρχατο*. Imperfectum tamen vel iterativum expectaveris potius, quapropter dubitamus an praestet **εἰργνύατ' ἐντός* vel *αἰεί* (cf. κ 238).

16 *τοκάδες*] †, *scrofae*.

20] versum, quocum cf. μ 129 sq., iure damnavit Zen. (de versu 22 hoc dici Porson suspicatur), pugnat enim cum vs. 17, nisi forte pro *οἳ* fuit *πρίν*. ‖ *ἑξήκοντ' ἐπέλοντο*] *-κοντα π.* mss. ‖ *ἑξήκοντ'*] neglecto Ϝ.

21 *αἰέν*] *ἐκτός* G² T n Eust. (cf. vs. 16).

24 *τάμνων*] *τέμνων* mss. complura. ‖ *ἐυχροές*] *εὔχροον* H² L W mss. alia. Adi. †; *bene tinctum?* an *firmum, densum?* ‖ *ἄλλοι*] suspectum. Expectatur vox *ministros* significans, ingrata autem est repetitio *ἄλλοι ... ἄλλος*.

26-28] cum versu 22 del. Hartman, item vs. 434-436, ubi vid.

26 *ἀποπροέηκε*] *ἐπὶ πρ.* P non recte.

27 *ἀγέμεν*] cf. § 126.

28 *κρεάων* § 72] *κρειῶν* mss. ‖ *θυμόν*] *θυμούς* L W, *θυμῷ* H¹ non male; cf. tamen θ 98.

29 *ὑλακόμωροι*] adi. redit π 4; vid. ad *Β* 692.

30 *κεκληγῶτες* l. a. in H] *-γόντες* mss. (*-γότες* G), Ar. utrumque; **-γγῶτες*? cf. *Μ* 125 *Π* 430 μ 256 et § 223.

31 *σκῆπτρον — χειρός*] nimis similia haec exitui versus 34. Et quid significant? Si clavam consulto deiecit Ulixes, ne canibus minari videretur, non *ἔκπεσε* dicendum est, sed *ἔκβαλε*, quod est in G X (cf. δ 508); recipi tamen id nequit propter pronomen Ϝοι. Accedit quod nihil prodest Ulixi callidum illud consilium. Quapropter Hartman versum delet, praecedentem sic refingens:

ἔνθα κε Ϝῷ πὰρ σταθμῷ ἀϜεικέλιον ’πάθεν ἄλγος·
ἀλλὰ συβώτης ὦκα ποσὶ κραιπνοῖσι μετασπὼν 33^b = Ρ 190
ἔσσυτ’ ἀνὰ πρόθυρον, σκῦτος δέ Ϝοι ἔκπεσε χειρός.
τοὺς μὲν ὁμοκλήσας ’σεῦεν κύνας ἄλλυδις ἄλλον
πυκνῇσιν λιθάδεσσιν, ὃ δὲ προσέϜειπε Ϝάνακτα· 36^a cf. ψ 193
„ὦ γέρον, ἦ ὀλίγου σε κύνες διεδηλήσαντο
ἐξαπίνης, καί κέν μοι ἐλεγχείην κατέχευας. 38^b cf. Ψ 408
καὶ δέ μοι ἄλλα θεοὶ ’δόσαν ἄλγεά τε στοναχάς τε·
ἀντιθέοιο Ϝάνακτος ὀδυρόμενος καὶ ἀχεύων 40^b cf. Ι 612
ἧμαι, ἄλλοισιν δὲ σύας σιάλους ἀτιτάλλω
ἔδμεναι· αὐτὰρ κεῖνος ἐϜελδόμενός ποθ’ ἐδωδῆς
πλάζετ’ ἐπ’ ἀλλοθρόων ἀνδρῶν δῆμόν τε πόλιν τε,
εἴ ποθ’ ἔτι ζώει καὶ ὁρᾷ φάος ἠελίοιο. 44 = δ 833
ἀλλ’ ἕπεο, κλισίηνδ’ ἴομεν, γέρον, ὄφρα καὶ αὐτὸς
σίτου καὶ Ϝοίνοιο κορεσσάμενος κατὰ θυμὸν
Ϝείπῃς, ὁππόθεν ἐσσὶ καὶ ὁππόσα κήδε’ ἀνέτλης.“
ὣς Ϝειπὼν κλισίηνδ’ ἡγήσατο δῖος ὑφορβός·
εἷσε δέ Ϝ’ εἰσαγαγὼν, ῥῶπας δ’ ὑπέχευε δασείας,
ἐστόρεσεν δ’ ἐπὶ δέρμα ἰονθάδος ἀγρίου αἰγὸς,
αὐτοῦ ἐνεύναιον, μέγα καὶ δασύ. ’χαῖρε δ’ Ὀδυσσεὺς,
ὅττι μιν ὣς ὑπέδεκτο, Ϝέπος τ’ ἔφατ’ ἔκ τ’ ὀνόμαζε·
„Ζεύς τοι δοίη, ξεῖνε, καὶ ἀθάνατοι θεοὶ ἄλλοι, 53 sq.^{a} = σ 112 sq.

δϜεινά τε κεκληγῶτες ἐπέδραμον ἄνδρα Ϝιδόντες. Pro κερδοσύνῃ Velthuis tentavit (εἴχετο?) ταρβοσύνῃ (vid. σ 342), sic vero nimis timidus fingitur Ulixes.

32 πὰρ] παρὰ metro invito F P H X mss. alia.

33 ποσὶ κραιπνοῖσι] παρίστατο οἱ G vitiose.

34 σκῦτος] † pro ῥινός, cf. σκυτοτόμος Η 221.

35 ἄλλον] sic Ar., ἄλλῃ G F P H^1 mss. alia; vid. ad ι 369.

36 λιθάδεσσιν] nonnisi ψ 193 redit (ubi vid.). ‖ ὃ δὲ] vid. ad Α 191.

37 ὀλίγου] adverbii loco usurpatum †; τάχα (vel μάλα) κεν Nitzsch. ‖ διεδηλήσαντο] comp. † (simplex Α 156 etc.).

39-44] del. Duentzer, vs. 40-44 Fick.

40 ἀντιθέοιο criticus apud Nauckium] ἀντιθέου γὰρ mss.; Cobet ἀντιθέου τε: „*et alia mihi mala di dederunt et regis mei vicem doleo.*" — Τ 345 δ 100, locis similibus, legitur accusativus, genitivus tamen recte habet.

41 ἧμαι, ἄλλοισιν] hiatus vitiosus, vid. § 14 et ad Ε 685.

42] coll. vs. 81 coniecimus *ἔδμεν’, ἀτὰρ κεῖνός γε (vid. Ω 490 α 46 ϑ 209 ν 421). ‖ κεῖνος] κεῖνος που G^1, ἐκεῖνος M; cf. § 97. ‖ ποθ’ § 322] που mss.

44 ποθ’ § 322] που mss.

45 ἴομεν] αὐτοῦ F.

49 *εἷσε δέ Ϝ’] εἷσεν δ’ mss.; vid. ad Ι 200 ζ 8 κ 233. Fick εἷσε δέ τ’. ‖ ῥῶπας] vid. ad κ 166 et cum toto versu cf. π 47. ‖ ὑπέχευε] ἐπέχευε M J k. ‖ δασείας] adi. nonnisi vs. 51 redit; cf. δασύμαλλος ι 425.

50 ἰονθάδος] †, vox ignota (ut ἴξαλος Δ 105, πρόκες ρ 295, κεμάς Κ 361).

51 αὐτοῦ ἐνεύναιον] *in quo ipse cubare solebat*; cf. π 35. ‖ δασύ] cf. vs. 49.

52 ὑπέδεκτο] ὑπεδέξατο F^1.

ὅττι μάλιστ’ ἐθέλεις, ὅτι με πρόφρων ὑπέδεξο.“ 54^b cf. Ι 480
τὸν δ’ ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
„ξεῖν’, οὔ μοι θέμις ἔστ’, οὐδ’ εἰ κακίων σέθεν ἔλθοι,
ξεῖνον ἀτιμάσσαι· πρὸς γὰρ Διός εἰσιν ἅπαντες 57^b sq. = ζ 207 sq.
ξεῖνοί τε πτωχοί τε. δόσις δ’ ὀλίγη τε φίλη τε
γίγνεται ἡμετέρη· ἣ γὰρ δμώων δίκη ἐστὶ
αἰεὶ δεδϜιότων, ὅτ’ ἐπικρατέωσι Ϝάνακτες
οἱ νέοι. ἦ γὰρ τοῦ γε θεοὶ κατὰ νόστον ἔδησαν,
ὅς κεν ἔμ’ ἐνδυκέως ἐφίλει καὶ κτῆσιν ὄπασσε,
64 Ϝοῖκόν τε κληρόν τε πολυμνήστην τε γυναῖκα·
63 οἷά τε Ϝῷ Ϝοικῆι Ϝάναξ εὔθυμος ἔδωκε,
ὅς Ϝοι πολλὰ κάμῃσι, θεὸς δ’ ἐπὶ Ϝέργον ἀέξῃ, 65 sq. cf. ο 372
ὡς καὶ ἐμοὶ τόδε Ϝέργον ἀέξεται, ᾧ ἐπιμίμνω·
τῷ κέ με πόλλ’ ὤνησε Ϝάναξ, εἰ αὐτόθ’ ἐγήρα.
ἀλλ’ ὄλεθ’· ὡς ὤφειλ’ Ἑλένης ἀπὸ φῦλον ὀλέσθαι
πρόχνυ, ἐπεὶ πολλῶν ἀνδρῶν ὑπὸ γούνατ’ ἔλυσε. 69^b cf. Ο 291
καὶ γὰρ κεῖνος ἔβη Ἀγαμέμνονος εἵνεκα τιμῆς 70^b = 117
Ϝίλιον εἰς εὔπωλον, ἵνα Τρώεσσι μάχοιτο.“ 71 = Π 576
ὣς Ϝειπὼν ζωστῆρι θοῶς συνέϜεργε χιτῶνα,
’βῆ δ’ ἴμεν’ εἰς συφεοὺς, ὅθι Ϝέθνεα εἴρχατο χοίρων.
ἔνθεν ἑλὼν δύ’ ἔνεικε καὶ ἀμφοτέρους ἱέρευσε,
ηὗσέ τ’ ἐμίστυλλέν τε καὶ ἀμφ’ ὀβελοῖσιν ἔπειρε. 75 cf. Α 465
ὀπτήσας δ’ ἄρα πάντα φέρων παρέθηκ’ Ὀδυσῆι
θέρμ’ αὐτοῖσ’ ὀβελοῖσιν, ὃ δ’ ἄλφιτα λεύκ’ ἐπάλυνε· 77^b = Α 640
ἐν δ’ ἄρα κισσυβίῳ ’κίρνη μελιϜηδέα Ϝοῖνον. 78 sq.^{a} = π 52 sq.

57 ἀτιμάσσαι Nauck] ἀτιμῆσαι mss.

58 τε...τε] cf. Α 167.

60 ἐπικρατέωσι] -ουσιν G F P mss. alia.

61 οἱ] articulus molestus.

62 ὄπασσε] ὄπαζεν M^1.

63 sq.] inverso ordine collocavit Wolf.

63 εὔθυμος] †.

65 ἐπὶ Ϝέργον] εὔμορφον Aristarcho tribuitur in schol., vix recte; unde Bekker efficit vs. 64 εὔμορφόν τε γυναῖκα fuisse lectionem Aristarcheam, Ludwich vero suspicatur e vocis πολυμνήστην glossemate „δι’ εὐμορφίαν" corruptum esse illud εὔμορφον et scholio Didymeo male affixum. ‖ ἀέξῃ] sic Ar., -ξει G F X mss. alia.

67 εἰ αὐτόθ’] hiatus vitiosus, vid. § 14 et Ο 16; *εἰ Ϝοίκοθ’? Elisum extat Ϝοίκοθι τ 237.

68 ὤφειλ’ U^2] ὤφε(λ)λ’ aut ὄφελ’ mss. cetera; cf. § 273. LaRoche ὄφελεν.

69] post vs. 70 habet F^1, del. PKnight. ‖ πρόχνυ, ἐπεὶ] hiatus notabilis; vid. § 15.

70 κεῖνος] ἐκεῖνος F D; vid. § 97.

72 συνέϜεργε] l. a. ἐπέεργε.

73 εἴρχατο § 230] ἔρχατο mss. ‖ χοίρων] †, *porcellorum*; cf. χοίρε(ι)ος vs. 81, et de re vid. vs. 15 sq.

75 ηὗσέ τ’] εὗσέ τ(ε) A, εὗσεν mss. pleraque.

77 ὃ δ’] vid. ad Α 191. ‖ λεύκ’ ἐπάλυνε(ν)] λευκὰ πάλυνεν mss. cetera.

78 κισσυβίῳ] *mulctro*, quod craterae vice

αὐτὸς δ' ἀντίον ἷζεν, ἐποτρύνων δὲ προσηύδα· 79ª = *I* 218
„ἔσθιε νῦν, ὦ ξεῖνε, τά τε δμώεσσι πάρεστι,
χοίρε'· ἀτὰρ σιάλους γε σύας μνηστῆρες ἔδουσι,
οὐκ ὄπιδα φρονέοντες ἐνὶ φρεσὶν οὐδ' ἐλεητύν.
καὶ μὲν δυσμενέες καὶ ἀνάρσιοι, οἵ τ' ἐπὶ γαίης
βήωσ' ἀλλοτρίης καί σφι Ζεὺς ληίδα δώῃ,
πλησάμενοι δέ τε νῆας ἔβαν Ϝοῖκόνδε νέεσθαι, 87ᵇ = *Ψ* 229
καὶ μὲν τοῖσ' ὄπιδος κρατερὸν δϜέος ἐν φρεσὶ πίπτει.
οἵδε δέ τοι Ϝίσσασι — θεοῦ δέ τιν' ἔκλυον αὐδὴν —
κείνου λυγρὸν ὄλεθρον, ὅ τ' οὐκ ἐθέλουσι δικαίως 90ª = γ 93
μνάεσθ' οὐδὲ νέεσθαι ἐπὶ σφέτερ', ἀλλὰ Ϝέκηλοι
κτήματα δαρδάπτουσιν ὑπέρβιον, οὐδ' ἔπι φειδώ. 92 = π 315
ὅσσαι γὰρ νύκτες τε καὶ ἡμέραι ἐκ *Διὸς* εἰσὶ,
οὔ ποθ' ἓν ἱρεύουσ' ἱερήιον οὐδὲ δύ' οἴω·
Ϝοῖνον δὲ φθινύθουσιν ὑπέρβιον ἐξαφύοντες.
ἦ γάρ Ϝοι ζωή γ' ἦν ἄσπετος· οὔ τινι τόσση
ἀνδρῶν ἡρώων, οὔτ' ἠπείροιο μελαίνης 97ᵇ sq.ª = φ 109
οὔτ' αὐτῆς Ἰθάκης· οὐδὲ ξυνεϜείκοσι φωτῶν

83 οὐ μὲν σχέτλια Ϝέργα θεοὶ μάκαρες φιλέουσι,
ἀλλὰ δίκην τίουσι καὶ αἴσιμα Ϝέργ' ἀνθρώπων.

nunc fungitur; vid. ad ι 346. || 'κίρνη [κίρνα X L W q, cf. § 195.

81 *χοίρε'*] vid. vs. 73 et de adiectivi forma § 61.

82 *φρονέοντες*] l. a. *τρομέοντες* (cf. υ 215 *K* 10). || *ἐλεητύν*] vox redit ϱ 451; vid. ad ε 191.

83 sq.] sententiam hinc alienam del. Friedländer.

83 *φιλέουσι*] *ποθέουσιν* G.

85-92] del. Duentzer.

86 **βήωσ' ἀλλοτρίης*] *ἀλλοτρίης βῶσιν* mss.; vid. *δώῃ* in fine versus et § 122. || *δώῃ*] *δῶκεν* G non male, cf. tamen *P* 230.

87 sq.] ordine inverso collocat Hartman.

87 *νέεσθαι*] *ἕκαστος* G F² X.

89 *οἵδε δέ τοι* M n] *οἵδε δέ τι* mss. pleraque; *οἵδε δὲ καί τι* Barnes, *οἱ δ' ἤδη τι* WCKayser, *οἵδε δέ τοί τι* Kirchhoff, quae lectio sententia fortasse commendatur, non poscitur metro, nam *Ϝί(σ)σασι* primam syllabam in thesi producit etiam ϑ 559 sq. λ 122, 124(?) ψ 269, 271(?) ω 188; videatur § 160 et ad λ 124. || *οἵδε*] *proci.* || *αὐδὴν*] de accusativo videatur ad δ 831.

90 *δικαίως*] adv. †.

91 *μνάεσθ'* Fick] *μνᾶσθαι* mss. hiatu vitioso; vid. § 14, 190, 191.

92 *κτήματα*] *χρήματα* Apoll. lex. || *οὐδ' ἔπι*] *οὐδέ τι* G².

93 *ἐκ Διὸς*] vid. *B* 134.

94 *ἱρεύουσ'*] *ἱερεύουσ'* mss., cf. τ 198. || *οἴω*] *οἶα* G F P mss. multa (omnia?). Cf. *Ω* 473; pluralis extat γ 424 μ 154 π 245.

95 *ὑπέρβιον*] l. a. *ἀκήριον* sine sensu (cf. *Φ* 466); *intactum* (vid. ϱ 532) aut *merum* (*ἄκρητον*) videtur significare voluisse huius lectionis auctor. || *ἐξαφύοντες*] comp. †, item *-αφύειν* pro *-αφύσσειν* (simplex *ἀφύσσειν* passim). Coniecimus **ἐξαρύοντες*, qua tamen stirpe poeta alias non utitur, *-αφύοντες* autem congruit cum aoristi forma *ἤφυσα* (*N* 508 etc., vid. § 224).

96-108] suspecti Duentzero, praesertim vs. 103-108.

96 *Ϝοι*] *τοῦ* mss. nonnulla. || *ἦν*] *ἔεν*? vid. § 302.

ἔστ' ἄφενος τοσσοῦτον· ἐγὼ δέ κέ τοι καταλέξω.
δώδεκ' ἐν ἠπείρῳ ἀγέλαι, τόσα πώεα μήλων, 100ᵇ sq. = *Λ* 678 sq.
τόσσα συῶν συβόσια, τόσ' αἰπόλια πλατέ' αἰγῶν
βόσκουσι ξεῖνοί τε καὶ αὐτοῦ βώτορες ἄνδρες·
ἐνθάδε δ' αἰπόλια πλατέ' αἰγῶν ἕνδεκα πάντα
ἐσχατιῇ βόσκοντ', ἐπὶ δ' ἀνέρες ἐσθλοὶ ὄρονται. 104ᵇ cf. *Ψ* 112 γ 471
τῶν αἰεί σφι Ϝέκαστος ἐπ' ἤματι μῆλον ἀγίνει,
ζατρεφέων αἰγῶν ὅς τις φαίνηται ἄριστος.
αὐτὰρ ἐγὼ σῦς τάσδε φυλάσσω τε ῥύομαί τε, 107ᵇ cf. ο 35
καί σφι συῶν τὸν ἄριστον ἐὺ κρίνας ἀποπέμπω.“
ὣς 'φάθ'· ὃ δ' ἐνδυκέως κρέα τ' ἤσθιε 'πῖνέ τε Ϝοῖνον
ἁρπαλέως ἀκέων, κακὰ δὲ μνηστῆρσ' ἐφύτευε.
αὐτὰρ ἐπεὶ 'δείπνησε καὶ ἤραρε θυμὸν ἐδωδῇ, 111 = ε 95
καί Ϝοι πλησάμενος 'δῶκε σκύφον, ᾧ περ ἔπινε,
Ϝοίνου ἐνίπλειον· ὃ δ' ἐδέξατο, 'χαῖρε δὲ θυμῷ, 113ᵇ = ϑ 483
καί μιν φωνήσας Ϝέπεα πτερόεντα προσηύδα·
„ὦ φίλε, τίς τ' ἄρ σε 'πρίατο κτεάτεσσιν ἑϜοῖσι, 115ᵇ = α 430
ὧδε μάλ' ἀφνειὸς καὶ καρτερὸς, ὡς ἀγορεύεις;
φῂς δ' αὐτὸν φθίσθαι Ἀγαμέμνονος εἵνεκα τιμῆς. 117ᵇ = 70
Ϝειπέ μοι, αἴ κέ ποθι γνώω τοιοῦτον ἐόντα.
Ζεὺς γάρ που τό γε Ϝοῖδε καὶ ἀθάνατοι θεοὶ ἄλλοι, 119 cf. *Γ* 308
εἴ κέ μιν ἀγγείλαιμι Ϝιδών· ἐπὶ πολλὰ δ' ἀλήθην.“

100 *ἐν ἠπείρῳ*] vid. ad υ 210. || *μήλων* Strab. X p. 453] *οἰῶν* mss.; vid. ad vs. parall.

101 *συβόσια*] cf. *Λ* 679.

102 *αὐτοῦ*] *ipsius*; in G est *αὐτοί*.

103 *δ'* Grashof] *τ'* mss.

104 *ἐσχατιῇ*] *-ήν* Ar. (sic i). || *ὄρονται*] cf. *Ψ* 112 γ 471 et § 284; *δρῶνται* F, vHerwerden *ἕπονται* coll. ο 397 ω 338.

105 *ἐπ' ἤματι*] vid. ad *T* 229. || *ἀγίνει*] *ἀγινεῖ* mss.; vid. ad *Σ* 493.

109 *ὃ δ'*] nempe *Ulixes*.

110 *μνηστῆρσ' ἐφύτευε*] *-ρσι φύτευεν* mss.

112 sq.] Eumaeus poculum, unde Ulixes bibit (an: unde ipse Eumaeus bibere solebat?) denuo ad oram usque e cratera replet (vs. 78). Perperam Eustathius p. 1751,50 Ulixem nunc Eumaeo poculum offerre contendit, in parenthesi collocans verba *ὃ δ' ἐδέξατο, 'χαῖρε δὲ θυμῷ*; neque recte cum Theocrito (I 143, cf. ibidem 27 sqq.) pro uno eodemque vase habet *τὸ κισσύβιον* et *τὸ σκύφον*: illud *craterae* vice fungitur, hoc *poculi*. Ad Eumaeum verbum *'δῶκε* optimo iure rettulit Asclepiades Myrleanus apud Athenaeum XI 498 *f*.

112 *καί Ϝοι πλησάμενος*] *πλησάμενος δ' ἄρα οἱ* Aristophani et Aristarcho tribuit Athen. XI 498 *f*, „cui diffido" (Ludwich). || *σκύφον*] sic Ar. secundum Athen. l. l., Aristophanes et mss. pleraque *σκύφος*; utramque lectionem commemorant scholia. Vox †; hoc quoque vasculum, ut *κισσύβιον* (vs. 78), e rusticorum esse supellectile recte observavit Asclepiades Myrl. apud Athen. l. l. et 477 *a*, *b*.

115 *τ' ἄρ* (*τάρ*) Cobet] *γάρ* mss.

116] del. Duentzer.

119 *τό γε*] *τόδε* G F X n mss. alia.

120 *ἀγγείλαιμι*] *ἀγγείλωμι* proponitur apud Nauckium. Cf. *Λ* 792.

τὸν δ' ἠμείβετ' ἔπειτα συβώτης ὄρχαμος ἀνδρῶν·
„ὦ γέρον, οὔ τις κεῖνον ἀνὴρ ἀλαλημένος ἐλθὼν 122b = ν 333
ἀγγέλλων πείσειε γυναῖκά τε καὶ φίλον υἱόν·
ἀλλ' ἄλλως κομιδῆς κεχρημένοι ἄνδρες ἀλῆται
ψεύδοντ' οὐδ' ἐθέλουσιν ἀληθέα μυθήσασθαι.
ὃς δέ κ' ἀλητεύων Ἰθάκης εἰς δῆμον ἵκηται,
ἐλθὼν εἰς δέσποιναν ἐμὴν ἀπατήλια βάζει·
ἡ δ' ἐὺ δεξαμένη φιλέει καὶ ἕκαστα μεταλλᾷ,
καί Ϝοι ὀδυρομένῃ βλεφάρων ἄπο δάκρυα πίπτει,
ἣ θέμις ἐστὶ γυναικὸς, ἐπεὶ πόσις ἄλλοθ' ὄληται.
αἶψά κε καὶ σὺ, γεραιὲ, Ϝέπος παρατεκτήναιο,
εἴ τίς τοι χλαῖνάν τε χιτῶνά τε Ϝείματα δοίη.
τοῦ δ' ἤδη μέλλουσι κύνες ταχέες τ' οἰωνοὶ
ῥινὸν ἀπ' ὀστεόφιν Ϝερύσαι, ψυχὴ δὲ λέλοιπε·
ἢ τόν γ' ἐν πόντῳ 'φάγον ἰχθύες, ὀστέα δ' αὐτοῦ 135a cf. ω 291
κεῖατ' ἐπ' ἠπείρου ψαμάθῳ ϜεϜλυμένα πολλῇ.
ὣς ὃ μὲν ἔνθ' ἀπόλωλε, φίλοισι δὲ κήδε' ὀπίσσω 137a cf. δ 511
πᾶσιν, ἐμοὶ δὲ μάλιστα, τετεύχαται· οὐ γὰρ ἔτ' ἄλλον
ἤπιον ὧδε Ϝάνακτα κιχήσομαι, ὁππόσ' ἐπέλθω,
οὐδ' εἴ κεν πατρὸς καὶ μητέρος αὖτις ἵκωμαι
Ϝοῖκον, ὅθι πρῶτον 'γενόμην καί μ' ἔτρεφον αὐτοί.
οὐδέ νυ τῶν ἔτι τόσσον ὀδύρομαι, ἱέμενός περ 142 cf. Χ 424 δ 104
ὀφθαλμοῖσι Ϝιδέσθαι ἐὼν ἐν πατρίδι γαίῃ·
ἀλλά μ' Ὀδυσσῆος πόθος αἴνυται οἰχομένοιο.
τὸν μὲν ἐγὼν, ὦ ξεῖνε, καὶ οὐ παρεόντ' ὀνομάζειν

132 Diocles —

122 οὔ] *εἴ, ut sit optantis exclamatio? male enim abest κεν, cf. *K* 246; vHerwerden οὔ κέν τις τὸν, Hartman οὔ κεν κεῖνον. ‖ ἐλθὼν] ἐλθεῖν proponitur apud Nauckium; at vid. ν 333 φ 327.

124 ἀλλ'] ἄλλ' Kirchhoff. ‖ ἄλλως] vid. ad Ψ 144.

126-130] del. Duentzer.

126 δέ κ'] δ' ἂν Eust.; vid. § 326.

127 ἀπατήλια] vox redit vs. 157 et 288; cf. ἀπατηλός *Δ* 526 h. VII 13.

128 ἕκαστα] neglecto Ϝ. Fick τ' ἐρέει τε Ϝέκαστα. Cf. ο 377.

130 ἐπεὶ G Z k] ἐπὴν mss. cett.; cf. § 326.

131 γεραιὲ] ξεῖνε G.

134 Ϝερύσαι] sic (ἐρύσαι) Ar. recte; male ἐρύειν G F^2 U; vert. *dudum discerpserunt, opinor.*

135 αὐτοῦ] novicium; cf. § 98.

136 κεῖατ'] κεῖτ' G P, κεῖται mss. cett. ‖ ϜεϜλυμένα § 265] εἰλυμένα mss.

140-143] del. Fick.

142 νυ] τι G M mss. alia, οὐδ' ἄρα l. a. ‖ ἱέμενος H] ἀχνύμενος mss. pleraque (ut locis par.), „quod praeferrem si vs. 143 abesset" (LaRoche). Participii ἱέμενος (§ 201) neglectum est Ϝ, sed si legimus ἀχνύμενος, incommodus est infinitivus Ϝιδέσθαι (alienus hinc est *B* 290).

αἰδέομαι, περὶ γάρ μ' ἐφίλει καὶ ἐκήδετο θυμῷ·
ἀλλά μιν ἠθεῖον καλέω καὶ νόσφιν ἐόντα."
τὸν δ' αὖτε προσέϜειπε πολύτλας δῖος Ὀδυσσεύς·
„ὦ φίλ', ἐπεὶ δὴ πάμπαν ἀναίνεαι οὐδ' ἔτι φῆσθα
κεῖνον ἐλεύσεσθαι, θυμὸς δέ τοι αἰὲν ἄπιστος· 150 cf. ψ 72
ἀλλ' ἐγὼ οὐκ αὔτως μυθήσομαι, ἀλλὰ σὺν ὅρκῳ,
ὡς νέεται Ὀδυσεύς. εὐαγγέλιον δέ μοι ἔστω
153 αὐτίκ', ἐπεί κεν κεῖνος ἰὼν ἐϜὰ δώμαθ' ἵκηται·
155 πρὶν δέ κε, καὶ μάλα περ κεχρημένος, οὔ τι δεχοίμην."
165 τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·

154 Ϝέσσαι με χλαῖνάν τε χιτῶνά τε, Ϝείματα καλά. 154 cf. π 79
156 ἐχθρὸς γάρ μοι κεῖνος ὁμῶς ἈϜίδαο πύλῃσι 156 = Ι 312
γίγνεται, ὃς πενίῃ Ϝείκων ἀπατήλια βάζῃ.
Ϝίστω νῦν Ζεὺς πρῶτα θεῶν ξενίη τε τράπεζα 158 sq. = ρ 155 sq. υ 230 [sq.
ἱστίη τ' Ὀδυσῆος ἀμύμονος, ἣν ἀφικάνω· 158a = Τ 258 τ 303
160 ἦ μέν τοι τάδε πάντα τελέσσεται ὡς ἀγορεύω· 159-162 = τ 304 sqq.
τοῦδ' αὐτοῦ λυκάβαντος ἐλεύσεται ἐνθάδ' Ὀδυσσεύς· 161b = π 204 τ 585
τοῦ μὲν φθίνοντος μηνὸς τοῦ δ' ἱσταμένοιο
Ϝοίκαδε νοστήσει καὶ τίσεται, ὅς τις ἐκείνου 163a cf. ο 177
ἐνθάδ' ἀτιμάζει ἄλοχον καὶ φαίδιμον υἱόν.
159 et 162-164 Ar. —

146 ἐκήδετο] κήδετο mss.

147] del. Fick.

149 sq. φῆσθα | κεῖνον] κεῖνον | φῆσθα P.

152 νέεται § 191] νεῖται mss. ‖ εὐαγγέλιον] vox nonnisi vs. 166 redit.

153 αὐτίκ'] vHerwerden αὖτις (i. e. ὕστερον, ut *Δ* 140 *Γ* 440); cf. v. l. δ 471, 554, ι 272, 368. ‖ ἐϜὰ PKnight] τὰ ἃ mss.; vid. ad Θ 430.

154] om. mss. pleraque, habent M^2 X D U^2 L.

156 sq.] del. PKnight, vs. 158-164 Kirchhoff, vs. 154-164 Fick; sed vs. 155 non habet quod vituperes. Iusiurandum hinc alienum propter Eumaei verba vs. 171 *mittamus iusiurandum istud* (i. e. *noli iurare*); Ulixis autem, qui agnosci nondum vult, non est tam accurate indicare tempus reditus. Sed his deletis versum 392 recte habere vix iure statuit Kirchhoff; discrimine illo diversas manus argui putat Seeck.

157 πενίῃ] †, cf. πενιχρός γ 348, πένομαι *Δ* 318 etc. ‖ ἀπατήλια] cf. vs. 127. ‖ *βάζῃ] βάζει mss.; cf. *Ι* 313.

158 θεῶν — τράπεζα] ἐρίγδουπος πόσις Ἥρης G (cf. ϑ 465).

159 ἱστίη] ἑστίη F; vid. ad γ 234. Vox nonnisi vss. parallelis redit; de producta syllaba -ι- vid. § 54.

160 τοι] δὴ G X, l. a. τῇ (i. e. οὕτως), item τ 305. ‖ τελέσσεται vHerwerden] τελεῖται (cf. § 286) mss.; requiritur futurum.

161 τοῦδ' αὐτοῦ λυκάβαντος] de genitivi usu novicio vid. η 118. ‖ αὐτοῦ] novicius pronominis usus, vid. § 98; αὖ τοῦ Herodianus. ‖ λυκάβαντος] *anni? an mensis?* Vox ignota, quae nonnisi vs. parall. redit, a stirpibus λυκ- (*lux*), vid. ad *Δ* 101, et βα-(βαίνειν) ducta videtur, cf. Macrob. Saturn. I 17 § 39. Veteres perquam absurde a voce λύκος repetebant, lupos scilicet fluvium tranantes alterum alterius caudam mordicus tenere, sic continuam seriem efficientes, qualis est dierum. Nihilo melius Apoll. lex. repetit ἀπὸ τοῦ λυγέως (i. e. σκοτεινῶς, *clanculum*) βαίνειν.

162] om. P Y^1.

163 νοστήσει] -σας F P H M (cf. ϑ 252). ‖ τις] κεν M U^2 n mss. alia. ‖ ἐκείνου] novicium pro κείνου, vid. § 97.

164 φαίδιμον] νήπιον L W n.

„ὦ γέρον, οὔτ' ἄρ' ἐγὼν εὐαγγέλιον τόδε τίσω
οὔτ' Ὀδυσεὺς ἔτι Ϝοῖκον ἐλεύσεται. ἀλλὰ Ϝέκηλος — 167a = τ 313
πῖνε, καὶ ἄλλα παρ' ἒκ μεμνώμεθα, μηδέ με τούτων
μίμνησκ'· ἦ γὰρ θυμὸς ἐνὶ στήθεσσιν ἐμοῖσι
ἄχνυται, ὁππότε τις μνήσῃ κεδνοῖο Ϝάνακτος.
ἀλλ' ἦ τοι ὅρκον μὲν ἐάσομεν, αὐτὰρ Ὀδυσσεὺς
ἔλθοι, ὅπως μιν ἐγώ γ' ἐθέλω καὶ Πηνελόπεια
Λαέρτης θ' ὁ γέρων καὶ Τηλέμαχος θεοϜειδής.
νῦν αὖ παιδὸς ἄλαστον ὀδύρομαι, ὃν 'τέκ' Ὀδυσσεύς,
Τηλεμάχου. τὸν ἐπεὶ 'θρέψαν θεοὶ ἔρνεϊ Ϝῖσον,
καί μιν ἔφην ἔσσεσθαι ἐν ἀνδράσιν οὔ τι χέρηα
πατρὸς ἑϜοῖο φίλοιο, δέμας καὶ Ϝεῖδος ἀγητόν· — 177b cf. X 370 Ω 376
τὸν δέ τις ἀθανάτων 'βλάψε φρένας ἔνδον ἐϜίσας — 178b = λ 337
ἠέ τις ἀνθρώπων. ὃ δ' ἔβη μετὰ πατρὸς ἀκουὴν — 179b sq.a = δ 701 sq.
εἰς Πύλον ἠγαθέην· τὸν δὲ μνηστῆρες ἀγαυοὶ
Ϝοίκαδ' ἰόντα λοχῶσιν, ὅπως ἀπὸ φῦλον ὄληται
νώνυμον ἐξ Ἰθάκης Ἀρκεσσίου ἀντιθέοιο.
ἀλλ' ἦ τοι κεῖνον μὲν ἐάσομεν, ἤ κε Ϝαλώῃ, — 183 cf. I 701
ἤ κε φύγῃ καί κέν Ϝοι ὑπέρσχῃ χεῖρα Κρονίων.
ἀλλ' ἄγε μοι σύ, γεραιέ, τέ' αὐτοῦ κήδε' ἐνίσπε,
καί μοι τοῦτ' ἀγόρευσον ἐτήτυμον, ὄφρ' ἐὺ Ϝείδω· — 186 sq. = ω 297 sq. 186 = α 174
τίς πόθεν ἔσσ' ἀνδρῶν; πόθι τοι πόλις ἠδὲ τοκῆες; — 187-190 = α 170 sqq.
ὁπποίης τ' ἐπὶ νηὸς ἀφίκεο; πῶς δέ σε ναῦται

174-184 Ar. —? (in M singulis versibus appictus est obelus, in H signum 8).

166 εὐαγγέλιον] cf. vs. 152.

168 παρ' ἒκ] παρὲξ mss. ‖ μεμνώμεθα] forma novicia; μναώμεθα Fick. ‖ με] τι F.

169 sq. θυμὸς ... ἄχνυται] θυμὸν ... ἄχνυμαι F P H X mss. alia. ‖ στήθεσσιν ἐμοῖσι] -σσι φίλοισι Nauck.

171-173] suspecti Nauckio; vid. ad vs. 174-184.

171 ὅρκον] κεῖνον Zen.; vid. vs. 183.

173 θ' ὁ] τε?

174-184] addidit diasceuasta, cui etiam vs. 171-173 tribuit Kirchhoff, cum vs. 167 pugnare ratus; sed ipsi poetae hos deberi iure statuisse videtur Seeck.

175] cf. P 53 Σ 56, 437. ‖ ἔρνεϊ Ϝῖσον] οὐρανίωνες l. a. in G (cf. η 242).

176 χέρηα] χέρεια Ar. (sic Y?), χερείω mss.; vid. Δ 400 et § 85 et 87.

177 δέμας L W Eust.] φρένας mss. pleraque; cf. vs. 178. ‖ Ϝεῖδος] ἦθος L W.

178 τὸν] sic Ar., τοῦ G H[2] M[2] X mss. alia. ‖ 'βλάψε] κλέψε F[1] (vid. Ξ 217).

179 ἀκουὴν] vid. ad β 308.

180 ἠγαθέην] vid. ad β 308.

182 Ἀρκεσσίου] Ἀρκεσίου L W, Ἀρκεισίου mss. pleraque. Vid. ad δ 755.

183 Ϝαλώῃ] ἁλώῃ (-ώη) mss., cf. ο 300.

184 φύγῃ ... ὑπέρσχῃ] φύγοι ... ὑπέρσχοι G[1] mss. alia.

185 τέ' Nauck] τὰ σ' mss., σέ'(ο) PKnight; vid. ad Α 185. ‖ ἐνίσπε] -σπες G[1] P H; vid. § 246.

187 ἔσσ' § 302] εἰς mss.

188-190] hinc in librum α transsumtos esse annotavit Ar.

188 ὁπποίης] vid. ad α 171. ‖ τ' L W] δ' mss. pleraque.

ἤγαγον εἰς Ἰθάκην; τίνες ἔμμεναι ηὐχετάοντο;
οὐ μὲν γάρ τί σε πεζὸν ὀίομαι ἐνθάδ' ἱκέσθαι."
τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
„τοιγὰρ ἐγώ τοι ταῦτα μάλ' ἀτρεκέως ἀγορεύσω. — 192 = α 179
εἴη μὲν νῦν νῶιν ἐπὶ χρόνον ἠμὲν ἐδωδὴ
ἠδὲ μέθυ γλυκερὸν κλισίης ἔντοσθεν ἐοῦσι,
δαίνυσθαι ἀκέοντ', ἄλλοι δ' ἐπὶ Ϝέργον ἕποιεν· — 195a cf. β 311
ῥηιδίως κεν ἔπειτα καὶ εἰς ἐνιαυτὸν ἅπαντα
οὔ τι διαπρήξαιμι λέγων ἐμὰ κήδεα θυμοῦ,
ὅσσα γε δὴ ξύμπαντα θεῶν ἰότητ' ἐμόγησα. — 198 = η 214
„ἐκ μὲν Κρητάων γένος εὔχομαι εὐρειάων, — 199 cf. π 62
ἀνέρος ἀφνειοῖο πάις· πολλοὶ δὲ καὶ ἄλλοι
υἷες ἐνὶ μεγάρῳ ἠμὲν 'τράφον ἠδ' ἐγένοντο
γνήσιοι ἐξ ἀλόχοι'· ἐμὲ δ' ὠνητὴ 'τέκε μήτηρ
παλλακίς, ἀλλά με Ϝῖσον ἰθαιγενέεσσιν ἔτιε
Κάστωρ Ὑλακίδης, τοῦ ἐγὼ γένος εὔχομαι εἶναι,
ὃς τότ' ἐνὶ Κρήτεσσι θεὸς ὣς 'τίετο δήμῳ — 205b = Δ 58
ὄλβῳ τε πλούτῳ τε καὶ υἱάσι κυδαλίμοισι. — 206 cf. Ω 546
ἀλλ' ἦ τοι τὸν κῆρες ἔβαν θανάτοιο φέρουσαι — 207b = B 302
εἰς ἈϜίδαο δόμους· τοὶ δὲ ζωὴν ἐδάσαντο
παῖδες ὑπέρθυμοι καὶ ἐπὶ κλήρους ἐβάλοντο,
αὐτὰρ ἐμοὶ μάλα παῦρ' ἔδοσαν καὶ Ϝοικί' ἔνειμαν.
ἠγαγόμην δὲ γυναῖκα πολυκλήρων ἀνθρώπων

189 ηὐχετάοντο § 191] εὐχετόωντο (-νται) mss.

192 ταῦτα] ξεῖνε G.

194 ἔντοσθεν ἐοῦσι] *ἔντοσθε μένουσι?

195 ἀκέοντ'] Ar. F ἀκέοντε plene (cf. § 13). ‖ [illegible]ν] ἔργα F H[1] M n. ‖ ἕποιεν] τράποιντο n[illegible] et l. a. apud Eust., male, vid. § 119.

198 ἰότητ' ἐμόγησα] -τι μόγησα mss.

199] verba corrupta; pluralem Κρητάων ... εὐρειάων non tuentur loci ad γ 278 allati (vid. ξ 252 τ 172), pro εὔχομαι autem expectatur ἐστί μοι (item ἐστί Ϝοι π 62).

201 υἷες ἐνὶ] υἱέες ἐν F P H mss. alia. Cf. § 78. ‖ τράφον Buttmann] τράφεν mss.; vid. § 252.

202 ἀλόχοι' § 59] -χου mss. pleraque, -χων G mss. alia. ‖ ὠνητή] adi. † (verbum ὠνεῖσθαι apud Hom. non extat); cf. ὦνος pretium Φ 41 etc., ἀπριάτην Α 99 ξ 317 h. Cer. 132.

203 Ϝῖσον] ἶσα P. ‖ ἰθαιγενέεσσιν F] ἰθαγ. mss. multa. Adi. †; cf. νοθαγενής Eur. Androm. 912, 942 Ion. 592. Forma ἰθαι- redit in nomine Ἰθαιμένης Π 586. ‖ ἔτιε] ἐτίμα mss.; cf. § 165.

204 Κάστωρ] teste Callistrato in schol. liber ἐκ τοῦ Μουσείου habebat Κάστωρ (? — Ἄκτωρ coni. Duentzer, Κάτωρ Bekker; verum tradi in scholio, in *aliis* autem libris olim lectum fuisse Μάστωρ aut Κάστορος, putat MSchmidt). ‖ Ὑλακίδης] Φυλακίδης Duentzer. ‖ γένος] l. a. πάις. PKnight γόνος.

205 τότ'] ποτ' F P H[1] mss. alia.

206 κυδαλίμοισι] l. a. ἠνδαλίμοισι (leg. ἰνδ. aut εἰδ., ut ω 279).

208 τοὶ] ἐπὶ G.

209 ἐπὶ] ἐνὶ Duentzer coll. Ψ 352.

210 παῦρ' ἔδοσαν] παῦρα δόσαν mss. pleraque.

211 πολυκλήρων] †, opp. ἄκληρος λ 490 h.

εἵνεκ' ἐμῆς ἀρετῆς, ἐπεὶ οὐκ ἀποφώλιος ἦα
οὐδὲ φυγοπτόλεμος· νῦν δ' ἤδη πάντα λέλοιπε,
ἀλλ' ἔμπης καλάμην γέ σ' ὀίομαι εἰσοράοντα 214[b] sq.[a] = *P* 687 sq.
γιγνώσκειν· ἦ γάρ με δύη ἔχει ἤλιθα πολλή.
ἦ μὲν δὴ θάρσος μοι Ἄρης τ' ἔδοσαν καὶ Ἀθήνη
καὶ ῥηξηνορίην· ὁπότε κρίνοιμι λόχονδε
ἄνδρας ἀριστῆας, κακὰ δυσμενέεσσι φυτεύων,
οὔ ποτέ μοι θάνατον προτιώσσετο θυμὸς ἀγήνωρ,
ἀλλὰ πολὺ πρώτιστ' ἐπιάλμενος ἔγχε' ἕλεσκον
ἀνδρῶν δυσμενέων ὅ τέ μοι ϝείξειε πόδεσσι.
τοῖος ἔα πτολέμῳ· ϝέργον δέ μοι οὐ φίλον ἦσκε
οὐδ' οἰκωφελίη, ἥ τε τρέφει ἀγλαὰ τέκνα,
ἀλλά μοι αἰεὶ νῆες ἐπήρετμοι φίλαι ἦσαν
καὶ πόλεμοι καὶ ἄκοντες ἐὺ ξεστοὶ καὶ ὀιστοί,
λυγρὰ, τά τ' ἄλλοισίν γε καταρριγηλὰ πέλονται.
αὐτὰρ ἐμοὶ τὰ φίλ' ἦσκε, τά που θεὸς ἐν φρέσ' ἔθηκε·
ἄλλος γάρ τ' ἄλλοισιν ἀνὴρ ἐπιτέρπεται ἔργοις.
„πρὶν μὲν γὰρ Τροίης ἐπιβήμεναι υἷας Ἀχαιῶν
εἰνάκις ἀνδράσιν ἦρξα καὶ ὠκυπόροισι νέεσσι

Ven. 123. Cf. *πολυκτήμων E* 613, *πολυπάμων Δ* 433.

212 *ἀποφώλιος*] cf. *ε* 182.

213 *φυγοπτόλεμος*] †; **φυγεπτόλεμος*? Opp. *μενεπτόλεμος B* 740 etc. (*μενεδήιος, μενεχάρμης*).

214 *καλάμην*] vox nonnisi *T* 222 redit, utrobique per metaphoram adhibita. Ex *stipula* agnoscitur arista. Comparationem laudat Aristot. Rhet. III 10; cf. *-σταχύεσθαι* de armentis crescentibus dictum *υ* 212. ‖ *γέ σ'*] *σε* Nauck. ‖ *εἰσοράοντα* § 191] *-ρόωντα* mss.

215 *δύη*] *aerumnae*. Vox redit (*X* 61 l. a.) *ξ* 338 *σ* 53, 81; cf. *δυάω υ* 195, *δυήπαθος* h. Merc. 486, vid. etiam ad *ζ* 201. ‖ *ἤλιθα*] vid. ad *ι* 483.

216 *μοι*] om. G[1], ante *θάρσος* collocavit G[2].

217 *ῥηξηνορίην*] † (sed vid. l. a. vs. 223); cf. *ῥηξήνωρ H* 228 etc.

219 *προτιώσσετο*] *-όσσετο* mss.

220 **πρώτιστ' ἐπιάλμενος*] *πρώτιστος* (*πρότερος* F) *ἐπάλμενος* mss. ‖ *ἔγχε'* § 71] *ἔγχει* mss. ‖ *ἕλεσκον*] *ὅλεσκον* H (cf. *T* 135).

221 *ὅ—πόδεσσι*] verba obscura; vulgo vertitur: *quicunque me pedibus fugiebat*; cur autem praesertim fugientes a se interfectos iactat Ulixes? Ernesti coll. *ξ* 262 sic explicat: *quicunque pedibus fretus mecum concurrebat*. Bothe pro *μοι* coniecit *μή*.

222 *ἔα* LMeyer] *ἔα ἐν, ἔ' ἐν, ἔον ἐν, ἔην* mss. ‖ *πτολέμῳ*] *πολ.* mss. ‖ *ἦσκε*] *ἔσκεν* (*ἦεν*) mss.

223] del. PKnight. ‖ *οἰκωφελίη*] neglecto ϝ; Apoll. lex. *οὐ ῥηξηνορίη* (*ἢ ῥηξηνορίη*? cf. vs. 217). Vox †, cf. *ϝοῖκον ὀφέλλειν ξ* 233 *ο* 21.

226 *καταρριγηλὰ*] †, cf. *ῥιγεδανός T* 325 (*ῥίγιον, ῥιγῆσαι*).

227 sq.] del. PKnight, unum vs. 228 Fick.

227 *ἦσκε*] *ἔσκε* mss. ‖ *φρέσ' ἔθηκε*] *φρεσὶ θῆκε* mss.

228] cf. Archilochi fr. 35 in schol. allatum *ὡς ἄλλος ἄλλῳ καρδίην ἰαίνεται*, Eur. fr. 564 *ἀλλ' ἄλλος ἄλλοις μᾶλλον ἥδεται τρόποις*, Verg. Ecl. II 65 *trahit sua quemque voluptas*. ‖ *ἔργοις*] novicium pro *ϝέργοισιν*; cf. § 60.

230 *εἰνάκις*] adv. †.

ἄνδρας ἐς ἀλλοδαποὺς, καί μοι μάλα 'τύγχανε πολλά.
τῶν ἐξῃρεόμην μενοϝεικέα, πολλὰ δ' ὀπίσσω
'λάγχανον· αἶψα δὲ ϝοῖκος ὀφέλλετο, καί ῥα ἔπειτα
δϝεινός τ' αἰδοῖός τε μετὰ Κρήτεσσ' ἐτετύγμην.
ἀλλ' ὅτε δὴ τήν γε στυγερὴν ὁδὸν εὐρύϝοπα Ζεὺς 235 cf. *γ* 288
ἐφράσαθ', ἣ πολλῶν ἀνδρῶν ὑπὸ γούνατ' ἔλυσε, 236 cf. *E* 176
δὴ τότ' ἔμ' ἤνωγον καὶ ἀγακλυτὸν Ἰδομενῆα
νήεσσ' ἡγήσασθ' εἰς Ϝίλιον· οὐδέ τι μῆχος
ἦεν ἀνήνασθαι, χαλεπὴ δ' ἔχε δήμοο φῆμις.
ἔνθα μὲν εἰνάϝετες 'πολεμίζομεν υἷες Ἀχαιῶν·
τῷ δεκάτῳ δὲ πόλιν Πριάμου πέρσαντες ἔβημεν 241 cf. *ε* 107
ϝοίκαδε σὺν νήεσσι, θεὸς δ' ἐκέδασσεν Ἀχαιούς. 242 cf. *γ* 131
„αὐτὰρ ἐμοὶ δϝειλῷ κάκ' ἐμήδετο μητίετα Ζεύς·
μῆνα γὰρ οἶον ἔμεινα τεταρπόμενος τεκέεσσι
κουριδίῃ τ' ἀλόχῳ καὶ κτήμασιν· αὐτὰρ ἔπειτα
Αἴγυπτόνδε με θυμὸς ἄνωγεν ναυτίλλεσθαι
νῆας ἐὺ στείλαντα σὺν ἀντιθέοισ' ἑτάροισι.
ἐννέα νῆας 'στεῖλα, θοῶς δ' ἐσαγείρετο λαός.
ϝεξῆμαρ μὲν ἔπειτα ἐμοὶ ἐρίηρες ἑταῖροι 249 = *μ* 397
'δαίνυντ'· αὐτὰρ ἐγὼν ἱερήια πολλὰ παρεῖχον
ῥεζέμεναί τε θεοῖσ' αὐτοῖσί τε δαῖτα πένεσθαι.
ἑβδομάτῃ δ' ἀναβάντες ἀπὸ Κρήτης εὐρείης
ἐπλέομεν Βορέῃ ἀνέμῳ ἀκραέι καλῷ 253 cf. 299
ῥηιδίως, ὡς εἴ τε κατὰ ῥόον· οὐδέ τις οὖν μοι
νηῶν 'πημάνθη, ἀλλ' ἀσκηθέες καὶ ἄνουσοι
ἥμεθα, τὰς δ' ἄνεμός τε κυβερνῆταί τ' ἴθυνον. 256 = *ι* 78

---

231 *πολλά* P] *πάντα* G F M X.

232 *ἐξῃρεόμην* § 191] *ἐξῃρεύμην* vel *ἐξαιρεύμην* mss.

233 *ϝοῖκος ὀφέλλετο*] vid. ad vs. 223. ‖ *ῥα ἔπειτα*] hiatus vitiosus; *σφιν ἔπειτα* Zen. (in cod. H versui 231 adscripta legitur Zenodoti haec lectio); *δὴ ἔπειτα* PKnight.

234 *Κρήτεσσ' ἐτετύγμην*] *-σσι τετύγμην* (*τετάγμην* F[1] P H[1] alia) mss.

235 *τήν γε* F] *τήνδε* mss. pleraque.

238 *νήεσσ'*] *νήεσιν* F non recte; cf. § 64. ‖ *ἡγήσασθ'* Bekker] *ἡγήσασθαι* (*-σεσθαι*) mss.

239 *δήμοο* § 2 et 59] *δήμου* mss.; Barnes *δήμου δ' ἔχε φῆμις*, CGMueller *δήμου ἔχε φῆμις*.

241] vid. ad *B* 134.

242] del. Kirchhoff.

243 *κάκ' ἐμήδετο*] *κακὰ μ.* mss. ‖ *μητίετα*] *εὐρύοπα* M.

246 *ἄνωγεν* § 225] *ἀνώγει* mss. ‖ *ναυτίλλεσθαι*] vid. ad *δ* 672.

248 *ἐσαγείρετο* Ar. i] *-ρατο* mss. cett.

251] del. PKnight. ‖ *ῥεζέμεναί τε θεοῖσ'* Nauck] *θεοῖσίν τε ῥέζειν* (*ῥέξειν* P H X) mss.; cf. § 8. An **δαίμοσί τε ῥέζειν*? Cf. *Z* 115.

253 *ἀκραέι*] vid. ad *β* 421.

255 *ἀσκηθέες*] synizesis novicia, cf. § 8 et 73; *ἀσκεθέες* G P H[1] (?) M U[2] Eust. fortasse recte, cf. *ξέρον ε* 402, inscr. Collitz. n⁰ 3840[110] et § 18. ‖ *ἄνουσοι*] † (*νοῦσος Α* 10 etc.).

πεμπταῖοι δ' Αἴγυπτον ἐυρρείτην ἱκόμεσθα. 259-272 = ϱ 428 [sqq.
ἔνθ' ἦ τοι μὲν ἐγὼ 'κελόμην ἐρίηρας ἑταίρους 259 sq. cf. ι 193 sq.
αὐτόθι πὰρ νήεσσι μένειν νῆάς τε ῥύεσθαι,
ὀπτῆρας δὲ κατὰ σκοπιὰς ὤτρυνα νέεσθαι.
οἳ δ' ὕβρι Ϝείξαντες, ἐφεσπόμενοι μένεϊ σφῷ, 262^b = ω 183
αἶψα μάλ' Αἰγυπτίων ἀνδρῶν περικαλλέας ἀγροὺς
'πόρθεον, ἐκ δὲ γυναῖκας ἄγον καὶ νήπια τέκνα,
αὐτούς τ' ἔκτεινον· τάχα δ' εἰς πόλιν ἵκετ' ἀυτή.
οἳ δὲ βοῆς ἀίοντες ἅμ' ἠόι φαινομένηφι 266^b = I 682
ἦλθον· 'πλῆτο δὲ πᾶν πεδίον πεζῶν τε καὶ ἵππων
χαλκοῦ τ' ἀστεροπῆς. ἐν δὲ Ζεὺς τερπικέραυνος 268^a = ϱ 437 cf. Λ 83
φύζαν ἐμοῖσ' ἑτάροισι κακὴν ἔβαλ', οὐδέ τις ἔτλη
στήμεν' ἐναντίβιον· περὶ γὰρ κακὰ πάντοθεν ἔστη. 270^a = Φ 266
ἔνθ' ἥμων πολλοὺς μὲν ἀπέκτανον ὀξέι χαλκῷ,
τοὺς δ' ἄναγον ζῳούς, σφίσι Ϝεργάζεσθαι ἀνάγκῃ.
αὐτὰρ ἐμοὶ Ζεὺς αὐτὸς ἐνὶ φρεσὶ τοῦτο νόημα
'ποίησ' — ὡς ὄφελον θανέμεν καὶ πότμον ἐπισπεῖν 274 cf. ε 308 274^b = δ 562
αὐτόθ' ἐν Αἰγύπτῳ, ἔτι γάρ νύ με πῆμ' ὑπέδεκτο· —
αὐτίκ' ἀπὸ κρατὸς κυνέην εὔτυκτον ἔθηκα
καὶ σάκος ὤμοιιν, δόρυ δ' ἔκβαλον ἔκτοσε χειρός·
αὐτὰρ ἐγὼ βασιλῆος ἐναντίον ἤλυθον ἵππων 278^b cf. O 454

258 'στῆσα δ' ἐν Αἰγύπτῳ ποταμῷ νέας ἀμφιϜελίσσας. 258 = ϱ 427

257 πεμπταῖοι] †.

258] e libro ϱ adiectum del. Kirchhoff. || 'στῆσα δ' ἐν] στήσαμεν H^2 (cf. l. a. ϱ 427).

260 αὐτόθι § 322] αὐτοῦ mss.; an *αὖθι παρὰ (παρὰ U i)? || νήεσσι] *νηῦσίν τε? vid. ι 194. || νῆάς τε ῥύεσθαι PKnight] καὶ νῆας ἔρυσθαι mss.; cf. ι 194.

261 ὀπτῆρας] nonnisi loco parall. redit, cf. ὀπωπητήρ h. Merc. 15, διοπτήρ K 562, διοπτεύω K 451, ἐποπτεύω π 140. || νέεσθαι] vid. ad Φ 48.

262 ὕβρι] sic aut ὕβρει mss., utrumque novicium pro ὕβριι, cf. § 74; *ὕβριι δ' οἳ? || ἐφεσπόμενοι § 247] ἐπισπόμενοι mss.

263 Αἰγυπτίων] cf. § 28.

266 ἠόι § 77] ἠοῖ mss.

268 τ' ἀστεροπῆς] τε στεροπῆς mss.; vid. ad T 363. || τερπικέραυνος] vid. § 251.

269 *ἔβαλ'] βάλεν mss.

270 στήμεν'] μεῖναι mss., cui verbo ἐναντίβιον alias non iungitur (vid. tamen N 106): ϱ 439 autem in mss. στῆναι extat, idque hic restituendum intellexit Ellendt. An *στήμεναι ἀντίβιον (item Φ 266 ϱ 439)? In F est ἐναντίον, in P^1 ἐναντιόνβιον, videtur igitur ἐναντίον esse glossema, ἀντίβιον autem vera lectio.

271 ἥμων § 92] ἡμέων mss.

272 ἄναγον] ἄγον F, ἄγαγον X D Z, quod praefert Ernesti (ad ϱ 441), de praeda enim, quae vi abducitur, ἀνάγειν alias non dici. Eadem est varietas σ 89.

273 φρεσὶ τοῦτο P H] φρεσὶν ὧδε G F^2 M X, φρεσὶ τόδε F^1.

274 θανέμεν § 126] θανέειν mss.

275 αὐτόθ' § 322] αὐτοῦ mss.

277 ἔκτοσε] adv. † neque huic loco aptum; ἔκτοθι M mss. alia.

278 ἐναντίον] -ος D, cf. O 454. || ἵππων] ἵππῳ M non recte; cf. O 454. Naber ὦκα. —

καὶ 'κύσα γούναθ' ἑλών· ὃ δ' ἐρύσατο καί μ' ἐλέησε,
εἰς δίφρον δέ μ' ἕσας ἄγε Ϝοίκαδε δάκρυ χέοντα. 280^a cf. N 657
ἦ μέν μοι μάλα πολλοὶ ἐπήισσον μελίῃσι
Ϝιέμενοι κτεῖναι· δὴ γὰρ 'κεχολώατο λίην· 282^b = π 425
ἀλλ' ἀπὸ κεῖνος ἔρυκε, Διὸς δ' ὠπίζετο μῆνιν 283^b cf. ε 146
ξεινίου, ὅς τε μάλιστα νεμεσσάεται κακὰ Ϝέργα.
„ἔνθα μὲν ἑπτάϜετες 'μένον αὐτόθι, πολλὰ δ' ἄγειρα
χρήματ' ἀν' Αἰγυπτίους ἄνδρας· 'δίδοσαν γὰρ ἅπαντες.
ἀλλ' ὅτε δή μοι ἐπιπλόμενον Ϝέτος ὄγδοον ἦλθε, 287 = η 261
δὴ τότε Φοίνιξ ἦλθεν ἀνὴρ ἀπατήλια Ϝειδώς,
τρώκτης, ὃς δὴ πολλὰ κάκ' ἀνθρώπους ἐϜεϜόργει·
ὅς μ' ἄγε παρπεπιθὼν Ϝῇσι φρεσίν, ὄφρ' ἱκόμεσθα
Φοινίκην, ὅθι τοῦ γε δόμοι καὶ κτήματ' ἔκειτο.
ἔνθα παρ' αὐτῷ ἔμεινα τελεσφόρον εἰς ἐνιαυτόν· 292^b = δ 86
ἀλλ' ὅτε δὴ μῆνές τε καὶ ἡμέραι ἐξετελεῦντο 293 sq. = λ 294 sq.
ἂψ περιτελλομένου Ϝέτεος καὶ ἐπήλυθον ὧραι,
εἰς Λιβύην μ' ἐπὶ νηὸς ἐφείσατο ποντοπόροιο
ψεύδεα βουλεύσας, ἵνα Ϝοι σὺν φόρτον ἄγοιμι,
κεῖθι δέ μ' ὡς περάσειε καὶ ἄσπετον ὦνον ἕλοιτο.
τῷ ἑπόμην ἐπὶ νηός, ὀιόμενός περ, ἀνάγκῃ.
ἣ δ' ἔθεεν Βορέῃ ἀνέμῳ ἀκραέι καλῷ 299 cf. 253

Etiam Λ 534 ψ 89 adiectivo ἐναντίος genitivus sic adiungitur.

279 ἐλέησε] ἐσάωσεν G n Eust. (ut K 44 O 290 χ 372). Cf. δ 364 (λ 55 χ 312).

280 δέ μ' ἕσας] liber Aeolicus (qui etiam ad ξ 331 σ 98 commemoratur) habebat δ' ἀνέσας, non male, quod compositum extat N 657 Ξ 209. Verbi simplicis participium certum est κ 361.

281-284] suspecti Duentzero.

282 κτεῖναι] κτάμεναι?

283 μῆνιν] μῆτιν L q.

284] del. PKnight. || νεμεσσάεται § 191] -ᾶται mss.

286 χρήματ'] l. a. κτήματ' (cf. vs. 385). || Αἰγυπτίους] cf. § 28. || ἅπαντες] -ντα D Z.

287 *μοι ἐπιπλόμενον Ϝέτος ὄγδοον] ὄγδοόν μοι ἐπιπλόμενον ἔτος mss., vid. ad η 261. || ἐπιπλόμενον] cf. vs. parall.

288 ἦλθεν] ἦεν Bothe. || ἀπατήλια cf. vs. 127.

289 τρώκτης] vox redit ο 416, cf. τρώγειν ζ 90. || ἀνθρώπους ἐϜεϜόργει] -πους ἐεώργει G^1, mss. cetera -πους vel -ποισι(ν) ἐώργει. Dativus defendi nequit nisi legatur ὃς κακὰ πολλὰ ἐν ἀνθρώποισ' ἐϜεϜόργει (dissimilis est Ξ 261); de verbi forma vid. § 224.

291 ἔκειτο] ἔασιν n.

292 ἔμεινα] μεῖνα mss.

293 ἐξετελεῦντο] vid. ad λ 294.

295 ἐφείσατο Zen.] ἐφέσσατο Rhianus, ἐέ(σ)σατο vel ἐί(σ)σατο mss.; cf. § 220. Suspicamur Rhiani lectionem fuisse ἀ φ ίσσατο, Aristarchum vero ἐφέσσατο dedisse; cf. ν 274. Grashof coniecit ἐς Λιβύην ἐπὶ νηός ἔμ' εἴσατο.

296 φόρτον] vox nonnisi θ 163 redit; vid. ad ε 250.

297 περάσειε F] -σησι mss. fere omnia. || ἕλοιτο] *acciperet*? insolite dictum, vid. tamen ο 367; ἄροιτο F^2 (cf. M 435 h. Merc. 264, 364).

299 ἀκραέι] εὐκραέι U^2 L W q vitiose; vid. ad β 421.

μέσσον ὑπὲρ Κρήτης· Ζεὺς δέ σφισι 'μήδετ' ὄλεθρον.
ἀλλ' ὅτε δὴ Κρήτην μὲν ἐλείπομεν οὐδέ τις ἄλλη 301 cf. μ 403
'φαίνετο γαιάων, ἀλλ' οὐρανὸς ἠδὲ θάλασσα, 302-304 = μ 404 sqq.
δὴ τότε κυανέην νεφέλην ἔστησε Κρονίων
νηὸς ὕπερ γλαφυρῆς, ἤχλυσε δὲ πόντος ὑπ' αὐτῆς.
Ζεὺς δ' ἄμυδις 'βρόντησε καὶ ἔμβαλε νηὶ κεραυνόν· 305-309 = μ 415 sqq.
ἡ δ' ἐϝελίχθη πᾶσα Διὸς πληγεῖσα κεραυνῷ,
ἐν δὲ θεείου 'πλῆτο· 'πέσον δ' ἐκ νηὸς ἅπαντες.
οἳ δὲ κορώνῃσιν ϝίκελοι περὶ νῆα μέλαιναν
κύμασιν ἐμφορέοντο· θεὸς δ' ἀποῄνυτο νόστον.
αὐτὰρ ἐμοὶ Ζεὺς αὐτὸς ἔχοντί περ ἄλγεα θυμῷ
ἱστὸν ἀμαιμάκετον νηὸς κυανοπρῴροιο
ἐν χείρεσσιν ἔθηκεν, ὅπως ἔτι πῆμα φύγοιμι.
τῷ ῥα περιπλεχθεὶς 'φερόμην ὀλοοῖσ' ἀνέμοισι. 313b = ι 82
„ἐννῆμαρ 'φερόμην, δεκάτῃ δέ με νυκτὶ μελαίνῃ 314 = η 253
γαίῃ Θεσπρωτῶν 'πέλασεν μέγα κῦμα κυλίνδον.
ἔνθα με Θεσπρωτῶν βασιλεὺς ἐκομίσσατο Φείδων
ἥρως ἀπριάτην· τοῦ γὰρ φίλος υἱὸς ἐπελθὼν
αἴθρῳ καὶ καμάτῳ δεδμημένον ἦγεν ἐς οἶκον, 318a cf. ζ 2
χειρὸς ἀναστήσας, ὄφρ' ἵκετο δώματα πατρός·
ἀμφὶ δέ με χλαῖνάν τε χιτῶνά τε ϝεῖματ' ἔϝεσσε. 320 = κ 542
ἔνθ' 'Οδυσῆος ἐγὼ 'πυθόμην· κεῖνος γὰρ ἔφασκε
ξεινίσαι ἠδὲ φιλῆσαι ἰόντ' εἰς πατρίδα γαῖαν·

---

300 μέσσον] *per medium mare?* cf. πέλαγος μέσον γ 174. || ὑπὲρ] ὑπ' ἐκ Y l (ὑπὲ P). || δέ σφισι] δέ σφι(ν) F P M U, γάρ σφισι H[2] mss. alia.

301 Κρήτην μὲν] τὴν νῆσον X mss. alia.

304 ὕπερ] ὑπ' ἐκ Y. || γλαφυρῆς] κεφαλῆς F. || πόντος] πόντον F[1] P; vid. ad μ 406.

306 ἐϝελίχθη § 41] ἐλελίχθη mss.; vid. ad ε 132 et Λ 530.

308 κορώνῃσιν] cf. ε 66.

309 ἐμφορέοντο] ἐφορ. F P M X. || ἀποῄνυτο] ἀποαίνυτο mss.

311 ἀμαιμάκετον] cf. Ζ 179.

315 'πέλασεν] ἔλασεν G[1], κόμισεν mss. alia.

317-319] del. Fick.

317 ἀπριάτην] -δην Rhianus, -της Crates. Cf. Α 99.

318 αἴθρῳ] sic Zen. Aristoph. Ar., *frigus intellegentes*, cf. schol. Apoll. Rh. IV 765; *coeli intemperiem*, cui οἱ ἐν ὑπαίθρῳ degentes expositi sunt, probabilius interpretatur vHerwerden. Vox †, alii olim λύθρῳ, i. e. *cruore* vel *pulvere*, vid. Ζ 268 (= χ 402 ψ 48) Λ 169 Υ 503; quod hinc alienum esse observat Apoll. lex. s. v. αἴθρῳ. || οἶκον] neglecto ϝ. Nauck ἦγε δόμονδε, item ρ 84; Fick dubitanter (vid. ad vs. 317-319) εἰς δόμον ἦγε (in textu) vel ἦγέ με ϝοῖκον (in annot.).

319 sq.] del. Duentzer; verba ὄφρ' — πατρός post ἦγεν ἐς οἶκον abundant.

319 χειρὸς] sc. ἑλών, item Ω 515.

320 ϝεῖματ' ἔϝεσσε] εἷμα ἕεσσεν H, εἵματα ἕσσεν mss. cetera.

321 κεῖνος] κεῖνον vHerwerden dubitanter. Grashof κεῖνος δέ ἑ φάσκεν aut κεῖνος γάρ ἔφη μιν.

καί μοι κτήματ' ἔδειξεν, ὅσα ξυναγείρατ' 'Οδυσσεύς, 323 = τ 293
χαλκόν τε χρυσόν τε πολύκμητόν τε σίδηρον. 324 cf. Ζ 48
καί νύ κεν εἰς δεκάτην γενεὴν ἕτερόν γ' ἔτι βόσκοι, 325-328 = τ 294 sqq.
ὅσσα ϝοι ἐν μεγάρῳ κειμήλια 'κεῖτο ϝάνακτος.
τὸν δ' εἰς Δωδώνην 'φάτο βήμεναι, ὄφρα θεοῖο
ἐκ δρυὸς ὑψικόμοιο Διὸς βουλὴν ἐπακούσαι,
ὅππως νοστήσει' 'Ιθάκης εἰς πίονα δῆμον 329 cf. σ 148 τ 298
ἤδη δϝὴν ἀπεών, ἢ' ἀμφαδὸν ἠὲ κρυφηδόν. 330 = τ 299
ὤμοσε δὲ πρὸς ἔμ' αὐτόν, ἀποσπένδων ἐνὶ ϝοίκῳ, 331 cf. τ 288
νῆα κατειρῦσθαι καὶ ἐπαρτέας ἔμμεν' ἑταίρους, 332-335 = τ 289 sqq.
οἳ δή μιν πέμψουσι φίλην εἰς πατρίδα γαῖαν. 332 cf. θ 151 / 333 cf. ε 37
„ἀλλ' ἐμὲ πρὶν ἀπέπεμψε· 'τύχησε γὰρ ἐρχομένη νηῦς
ἀνδρῶν Θεσπρωτῶν εἰς Δουλίχιον πολύπυρον.
ἔνθ' ὅ γέ μ' ἤνωγεν πέμψαι βασιλῆι Ἀκάστῳ
ἐνδυκέως· τοῖσιν δὲ κακὴ φρεσὶ 'ϝάνδανε βουλὴ
ἀμφ' ἐμοί, ὄφρ' ἔτι πάγχυ δύης ἐπὶ πῆμα γενοίμην.
ἀλλ' ὅτε γαίης πολλὸν ἀπέπλω ποντοπόρος νηῦς,
αὐτίκα δούλιον ἦμαρ ἐμοὶ περιμηχανάοντο·
ἐκ μέν με χλαῖνάν τε χιτῶνά τε ϝεῖματ' ἔδυσαν,
ἀμφὶ δέ με ῥάκος ἄλλο κακὸν 'βάλον ἠδὲ χιτῶνα, 342 cf. ν 434

323-326] suspectos habet Fick.

324 χαλκὸν ... χρυσὸν] χρυσὸν ... χαλκὸν G (fortasse recte). || πολύκμητόν τε σίδηρον] ἅλις ἐσθῆτά θ' ὑφαντήν n Eust. (= ν 136 π 231).

326 ὅσσα] τόσσα F X Eust., et sic olim mss. „omnia" teste Didymo. Cf. ρ 160 τ 295. || μεγάρῳ G] -ροις mss. cett.; cf. § 60 et Ζ 91.

328 ἐπακούσαι Aristoph.] -σῃ Ar., mss. utrumque; cf. τ 297.

329 νοστήσει' Thiersch] -σει H[2] M, -σῃ mss. pleraque; cf. σ 148 τ 298 et § 113. Parum probabiliter Duentzer ὅππως νοστήσειε φίλην ἐς πατρίδα γαῖαν coll. τ 298, nam eodem iure illic conici potest νοστήσει 'Ιθάκης εἰς πίονα δῆμον, futurum enim utrobique optime se habet.

331 ἀποσπένδων] sic Ar., ἐπισπένδων liber Aeolicus (cf. vs. 280). Vid. γ 394.

332 κατειρῦσθαι] neglecto ϝ; *τε ϝεϝρῦσθαι? vid. § 293 et ad θ 151. || ἐπαρτέας] cf. θ 151.

334 ἀλλ' ἐμὲ] ἀλλά με P H.

335 πολύπυρον] πολύμηλον K et l. a. in schol. (cf. Β 605 alibi), quod insolitum insulae est epitheton; πολύπυρος vero Dulichium dicitur etiam π 396 τ 292.

336] *tum illos iussit me ad Dulichii regem Acastum deducere.* || ἤνωγεν § 225] ἠνώγει mss.

337 'ϝάνδανε] ἥνδανε mss.

338 δύης ἐπὶ πῆμα γενοίμην] *in miseram calamitatem inciderem?* Sic Ar.; Aristophanes δύῃ ἔπι πῆμα γένηται (i. e. *praeter dolorem etiam calamitatem paterer?*). Verba contorta, quibuscum frustra confertur πῆμα κακοῖο γ 152; vHerwerden ὄφρ' ἄρα πάγχυ δύῃσ' ἔτι πημαινοίμην. Pluralem δύῃσ' (δύῃς ἔπι) legisse scholii scriptorem putat Clarke. De voce δύη vid. ξ 215.

340] om. P. || δούλιον] adi. novicium, vid. ad Γ 409. || περιμηχανάοντο § 191] -νόωντο mss.; de verbo vid. η 200.

342 δέ με H[2] n mss. alia] δ' ἐμὲ G, δέ μιν H[1], δέ μοι mss. pleraque.

ῥωγαλέα, τὰ καὶ αὐτὸς ἐν ὀφθαλμοῖσιν ὅρηαι.
Ϝεσπέριοι δ' Ἰθάκης ἐυδηέλου ἔργ' ἀφίκοντο·
ἔνθ' ἐμὲ μὲν κατέδησαν ἐυσσέλμῳ ἐνὶ νηὶ
ὅπλῳ ἐυστρεφέι στερεῶς, αὐτοὶ δ' ἀποβάντες
ἐσσυμένως παρὰ θῖνα θαλάσσης δόρπον ἕλοντο.
αὐτὰρ ἐμοὶ δεσμὸν μὲν ἀνέγναμψαν θεοὶ αὐτοὶ
ῥηιδίως· κεφαλῇ δὲ κατὰ ῥάκος ἀμφικαλύψας,
ξεστὸν ἐφόλκαιον καταβὰς ἐπέλασσα θαλάσσῃ
στῆθος, ἔπειτα δὲ χερσὶ διήρεσα ἀμφοτέρῃσι
νηχόμενος· μάλα δ' ὦκα θύρηφ' ἔα ἀμφὶς ἐκείνων.
ἔνθ' ἀναβὰς, ὅθι τε δρίος ἦν πολυανθέος ὕλης,
'κείμην πεπτηώς· οἳ δὲ μεγάλα στενάχοντες
'φοίταον. ἀλλ' — οὐ γάρ σφιν ἐφαίνετο κέρδιον εἶναι
μαίεσθαι προτέρω — τοὶ μὲν πάλιν αὖτις ἔβαινον
νηὸς ἔπι γλαφυρῆς· ἐμὲ δ' ἔκρυψαν θεοὶ αὐτοὶ
ῥηιδίως, καί με σταθμῷ ἐπέλασσαν ἄγοντες
ἀνδρὸς ἐπισταμένοι'· ἔτι γάρ νύ μοι αἶσα βιῶναι."
  τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
„ἆ δϜειλὲ ξείνων, ἦ μοι μάλα θυμὸν ὄρινας   361 sq. cf. ο 486 sq.
ταῦτα Ϝέκαστα λέγων, ὅσα δὴ 'πάθες ἠδ' ὅσ' ἀλήθης·
ἀλλὰ τά γ' οὐ κατὰ κόσμον, ὀίομαι, — οὐδέ με πείσεις, —
Ϝειπὼν ἀμφ' Ὀδυσῆι. τί σε χρὴ τοῖον ἐόντα
μαψιδίως ψεύδεσθαι; ἐγὼ δ' ἐὺ Ϝοῖδα καὶ αὐτὸς
νόστον ἐμοῖο Ϝάνακτος, ὅ τ' ἤχθετο πᾶσι θεοῖσι

343 ῥωγαλέα] -λέον Rhianus n. ‖ ὅρηαι] indicativi forma notabilis; cf. § 195.
344 ἐυδηέλου] εὐδειέλου mss.; vid. ad β 167. ‖ ἔργ'] neglecto Ϝ; -λα Ϝέργ' PKnight.
349 κεφαλῇ] -λὴν Aristoph. M[2]. ‖ κατὰ] κακὸν Bekker, cf. vs. 342.
350 ἐφόλκαιον] †; *gubernaculum* aut *scapham* interpretantur veteres. ‖ ἐπέλασσα] ἐκάλυψα G.
352 θύρηφ'] θύρηθ' mss. pleraque, item Apoll. lex.; quae forma apud Hom. alias non redit, in schol. autem (et Hesych.) perperam explicatur θύρηθεν. Vid. ι 238 χ 220 et ad ρ 530. Voss coniecit θύρηθεν F. ‖ ἀμφὶς] cf. § 316. ‖ ἐκείνων] novicium pro κείνων, cf. § 97.
353 δρίος] †, *fruticetum* (vid. l. a. ζ 106): PKnight δρύμον (vid. Λ 118 κ 150, 197, 251). ‖ ἦν] vid. § 302; *τ' ἤσκε δρίος? ‖ πολυανθέος] adi. nonnisi h. XVIII 17 redit; πολυβενθέος Y (quod *maris* est epitheton Α 432 δ 406 etc.).
354 μεγάλα] μάλα H X. ‖ στενάχοντες] suspectum; *μεγάλ' ἀϜϜιϜάχοντες? vid. Β 316.
355 'φοίταον § 191] φοίτων mss. ‖ οὐ γὰρ] ἐπεὶ οὐ Eust.
359 ἐπισταμένοι' § 59] -νου mss.; ἔμ' αἰδομένου vHerwerden. ‖ νύ μοι] *μ' ἦν (ἔστι?) In X D non μοι sed μ' legitur.
361 ἆ] ὦ H.
363 τά γ'] τάδ' mss. complura.
366 ὅ τ'] ὅς G, ὅδ' mss. alia.

πάγχυ μάλ', ὅττι μιν οὔ τι μετὰ Τρώεσσ' ἐδάμασσαν
ἠὲ φίλων ἐν χερσὶν, ἐπεὶ πόλεμον 'τολύπευσε.   368-371 = α 238 sqq.
τῷ κέν Ϝοι τύμβον μὲν ἐποίησαν Παναχαιοὶ,
ἠδέ κε καὶ Ϝῷ παιδὶ μέγα κλέος ἤρετ' ὀπίσσω·
νῦν δέ μιν ἀκλεέως ἅρπυιαι ἀνηρέψαντο.
αὐτὰρ ἐγὼ παρ' ὕεσσιν ἀπότροπος· οὐδὲ πόλινδε
ἔρχομαι, εἰ μή πού τι περίφρων Πηνελόπεια
ἐλθέμεν' ὀτρύνῃσιν, ὅτ' ἀγγελίη ποθὲν ἔλθῃ.
ἀλλ' οἳ μὲν τὰ Ϝέκαστα παρήμενοι ἐξερέουσι,
ἠμὲν οἳ ἄχνυνται δϜὴν οἰχομένοιο Ϝάνακτος,   376[b] = σ 313 υ 216
ἠδ' οἳ χαίρουσιν βίοτον νήποινον ἔδοντες·
ἀλλ' ἐμοὶ οὐ φίλον ἐστὶ μεταλλῆσαι καὶ ἐρέσθαι,   378 cf. γ 69
ἐξ οὗ δή μ' Αἰτωλὸς ἀνὴρ ἐξήπαφε μύθῳ,
ὅς ῥ' ἄνδρα κτείνας, πολλὴν ἐπὶ γαῖαν ἀληθεὶς,
ἦλθεν ἐμὸν πρὸς σταθμόν· ἐγὼ δέ μιν ἀμφαγάπαζον.
'φῆ δέ μιν ἐν Κρήτεσσι παρ' Ἰδομενῆι Ϝιδέσθαι
νῆας ἀκειόμενον, τάς Ϝοι ξυνέϜαξαν ἄελλαι·
καὶ 'φάτ' ἐλεύσεσθαι ἤ' εἰς θέρος ἢ ἐς ὀπώρην   384[b] cf. μ 76
πολλὰ χρήματ' ἄγοντα σὺν ἀντιθέοισ' ἑτάροισι.
καὶ σὺ, γέρον πολυπενθὲς, ἐπεί σέ μοι ἤγαγε δαίμων,
μήτε τί μοι ψεύδεσσι χαρίζεο μήτε τι θέλγε·
οὐ γὰρ τούνεκ' ἐγώ σ' αἰδέσσομαι οὐδὲ φιλήσω,
ἀλλὰ Δία ξένιον δϜείσας αὐτόν τ' ἐλεαίρων."
  τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
„ἦ μάλα τίς τοι θυμὸς ἐνὶ στήθεσσιν ἄπιστος,
οἷόν σ' οὐδ' ὀμόσας περ ἐπήγαγον οὐδέ σε πείθω.

367-371] del. Kammer.
367 Τρώεσσ' ἐδάμασσαν X] -σσι δ. mss. cett.
369 sq.] om. G F[1] P H[1] U Eust.; servandi sunt propter voculas νῦν δέ vs. 371.
370 ἤρετ' § 284] ἤρατ' mss.
371 ἀκλεέως § 73] ἀκλειῶς mss. ‖ ἅρπυιαι] vid. ad Π 150. ‖ ἀνηρέψαντο Doederlein] ἀνηρείψαντο mss.; vid. ad Υ 234 α 241.
372 389] del. Duentzer.
372 ἀπότροπος] † (ἀποτρέπομαι Κ 200 etc.); cf. ἐπίστροφος α 177.
373 εἰ μή πού τι] item β 71. Nitzsch (ad ι 178) pro μή coniecit καί.
374 ἔλθῃ] ἔλθοι mss. pleraque. Cf. β 54.
379 μ'] om. M.
381 ἦλθεν] ἤλυθ' U. ‖ ἐμὸν πρὸς σταθμόν U n Eust.] ἐμὰ πρὸς δώματ' mss. pleraque. Cf. π 66. Platt ἐμὸν πρὸς δῶμα.
383 ἀκειόμενον] cf. § 286. ‖ ξυνέϜαξαν ἄελλαι] συνέαξεν ἄελλα L W.
385 χρήματ'] κτήματ' G mss. alia (cf. vs. 286).
386 καὶ] ὡς Bothe. ‖ πολυπενθὲς] vid. ad λ 39.
388 αἰδέσσομαι] αἰδήσομαι G F P H[1] U[1] n mss. alia; cf. § 289.
389] del. PKnight. ‖ ἐλεαίρων] ἐλεήσας F.
392] vid. ad vs. 156 sq.

ἀλλ' ἄγε νῦν ῥήτρην ποιησόμεθ'· αὐτὰρ ὕπερθε
μάρτυροι ἀμφοτέροισι θεοί, τοὶ Ὄλυμπον ἔχουσι. 394ᵇ = σ 180 cf. E 404
εἰ μέν κεν νοστήσῃ ἄναξ τεὸς εἰς τόδε δῶμα,
ϝέσσας με χλαῖνάν τε χιτῶνά τε ϝείματα πέμψαι 396 cf. π 79 ρ 550, 557 φ 339
Δουλίχιόνδ' ἴμεναι, ὅθι μοι φίλον ἔπλετο θυμῷ·
εἰ δέ κε μὴ ἔλθῃσι ϝάναξ τεὸς, ὡς ἀγορεύω,
δμῶας ἐπισσεύας βαλέμεν μεγάλης κατὰ πέτρης, 399ᵇ cf. μ 71
ὄφρα καὶ ἄλλος πτωχὸς ἀλεύεται ἠπεροπεύειν."
τὸν δ' ἀπαμειβόμενος προσεφώνεε δῖος ὑφορβός·
„ξεῖν', οὕτω γάρ κέν μοι ἐυκλείη τ' ἀρετή τε
εἴη ἐπ' ἀνθρώπους, ἅμα τ' αὐτίκα καὶ μετέπειτα,
ὅς σ' ἐπεὶ εἰς κλισίην ἄγαγον καὶ ξείνι' ἔδωκα,
αὖτις δὲ κτείναιμι φίλον τ' ἀπὸ θυμὸν ἑλοίμην·
πρόφρων κεν δὴ ἔπειτα Δία Κρονίων' ἀλιτοίμην.
νῦν δ' ὥρη δόρποιο· τάχιστά μοι ἔνδον ἑταῖροι
εἶεν, ἵν' ἐν κλισίῃ λαερὸν τετυκοίμεθα δόρπον." 408ᵇ = μ 283

ὣς οἳ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον·
ἀγχίμολον δὲ σύες τε καὶ ἀνέρες ἦλθον ὑφορβοί.
τὰς μὲν ἄρα 'ϝέρξαν κατὰ ϝήθεα κοιμηθῆναι,
κλαγγὴ δ' ἄσπετος ὦρτο συῶν αὐλιζομενάων.
αὐτὰρ ὃ ϝοῖσ' ἑτάροισιν ἐκέκλετο δῖος ὑφορβός·
„ἄξεθ' ὑῶν τὸν ἄριστον, ἵνα ξείνῳ ἱερεύσω 414 cf. ω 215
τηλεδαπῷ, πρὸς δ' αὐτοὶ ὀνησόμεθ', οἵ περ ὀιζὺν
δϝὴν ἔχομεν πάσχοντες ὑῶν ἕνεκ' ἀργιοδόντων·
ἄλλοι δ' ἡμέτερον κάματον νήποινον ἔδουσι."
ὣς ἄρα φωνήσας 'κέασε ξύλα νηλέι χαλκῷ·

393 νῦν] δὴ M. ‖ ῥήτρην] †, *pactionem*; vid. ad Φ 445. ‖ ὕπερθε] ὄπισθε(ν) mss. pleraque; vid. Lehrs Arist.³ p. 366. Verum videtur *ἐπίστων, cf. Δ 338 α 273 B 301.

395 μέν κεν νοστήσῃ] εἴ κεν νοστήσειεν G, Cobet εἰ μὲν νοστήσειε, Fick εἰ μέν κεν ἔλθῃσι (coll. vs. 398). ‖ ἄναξ] neglecto ϝ.

396 ϝείματα] οἴκαδε n.

397 ἴμεναι § 125] ἰέναι mss.

399 βαλέμεν § 126] βαλέειν mss. ‖ πέτρης] vid. ad ν 408.

400 ἀλεύεται] vid. ad Ψ 340.

403 μετέπειτα] μετόπισθε(ν) X mss. alia.

405 αὖτις] αὐτὸς Duentzer. ‖ δὲ] *δή?

406 Κρονίων' ἀλιτοίμην H² X mss. alia] Κρονίωνα λιτοίμην pleraque male, vid. § 220 et ad Π 47; in schol. utraque lectio commemoratur. Accusativum adsciscit verbum ἀλιτέσθαι Ω 570 alibi; vid. ad T 265.

408 *λαερὸν] λαρὸν mss.; vid. ad P 572. ‖ τετυκοίμεθα] -κώμεθα P, fortasse recte.

412 ὦρτο] ἦλθε P. ‖ αὐλιζομενάων] vid. ad χ 470.

414 τὸν] articulus molestus; *ὄχ'?

οἳ δ' ὗν εἰσῆγον μάλα πίονα πεντεϝέτηρον.
τὸν μὲν ἔπειτ' ἔστησαν ἐπ' ἐσχάρῃ· οὐδὲ συβώτης
'λήθετ' ἄρ' ἀθανάτων, — φρεσὶ γὰρ 'κέχρητ' ἀγαθῇσι, — 421ᵇ = γ 266
ἀλλ' ὅ γ' ἀπαρχόμενος κεφαλῆς τρίχας ἐν πύρ' ἔβαλλε 422 cf. γ 446
ἀργιόδοντος ὑός, καὶ ἐπηύχετο πᾶσι θεοῖσι· 423ᵇ = υ 238 φ 203
'κόψε δ' ἀνασχόμενος σχίζῃ δρυός, ἣν 'λίπε κείων.
τὸν δ' ἔλιπε ψυχή· τοὶ δ' ἔσφαξάν τε καὶ ηὗσαν.
αἶψα δέ μιν διέχευαν· ὃ δ' ὠμοθετεῖτο συβώτης, 427ᵃ cf. γ 456
πάντων ἀρχόμενος μελέων, εἰς πίονα δημόν·
καὶ τὰ μὲν ἐν πύρ' ἔβαλλε παλύνας ἀλφίτου ἀκτὴν,
'μίστυλλον δ' ἄρα τ' ἄλλα καὶ ἀμφ' ὀβελοῖσιν ἔπειραν, 430 sq. = Α 465 sq.
ὤπτησάν τε περιφραδέως, 'ϝερύσαντό τε πάντα,
'βάλλον δ' ἐν ἐλεοῖσιν ἀϝολλέα. ἂν δὲ συβώτης
ἵστατο δαιτρεύσων· περὶ γὰρ φρεσὶν αἴσιμ' ἐϝείδει.
καὶ τὰ μὲν ἔπταχα πάντα διεμμοιρᾶτο δαΐζων·
τὴν μὲν ἴαν νύμφῃσι καὶ Ἑρμῇ Μαιάδος υἷι
'θῆκεν ἐπευξάμενος, τὰς δ' ἄλλας 'νεῖμε ϝεκάστῳ.
νώτοισιν δ' Ὀδυσῆα διηνεκέεσσ' ἐγέραιρε 437 cf. H 321

424 νοστῆσαι Ὀδυσῆα πολύφρονα ϝόνδε δόμονδε. 424 = α 83 υ 239 φ 204

419 εἰσῆγον] εἰσήγαγον P D, εἰσάγαγον X mss. alia. ‖ πεντεϝέτηρον] πενταέτηρον mss.

422] cf. Γ 273. ‖ πύρ' ἔβαλλε] πυρὶ βάλλε mss.

423 ἐπηύχετο] ἐπεύξατο U, cf. υ 238.

424] del. Kirchhoff.

425] cf. Dionys. Halic. Antiq. VII 72 § 16 (p. 479 Sylb.). ‖ ἀνασχόμενος] vid. ad Γ 362. ‖ κείων] †, quam breviorem formam esse verbi κεάζειν (vid. ad δ 1) apparet e vs. 418; veteres aut sic explicabant aut pro καίων dictum esse putabant. Fick σχίζῃ ἣν λεῖπε κεάων.

428 πάντων Ar.] πάντοθεν olim mss. „deteriora", nunc omnia.

429] om. G¹. ‖ πύρ' ἔβαλλε] πυρὶ βάλλε mss. ‖ ἀκτὴν P] ἀκτῆς F² (-τη F¹), ἀκτῇ mss. cetera. Cf. Σ 560 ξ 77; ceteris locis (Λ 640 etc.) est ἐπὶ . . . ἄλφιτα . . . παλύνειν.

430 δ' PCauer] τ' mss. ‖ τ' ἄλλα] vid. § 9.

432-533] del. PKnight, qui ab Athenocle (vid. ad vs. 503-506) hos omnes damnatos esse sibi persuaserat, ab Eustathio p. 1769,11 in errorem adductus.

432 ἐν] εἰν mss.; vid. § 315. ‖ ἐλεοῖσιν] cf. I 215.

433-436] Fick ita contraxit: ἵστατο δαιτρεύσων <καὶ μοῖραν> 'νεῖμε ϝεκάστῳ.

433 δαιτρεύσων] -τρεύων G¹ P U. ‖ φρεσὶν] σφίσιν U. Cf. β 231. ‖ αἴσιμ' ἐϝείδει] αἴσιμα ᾔδει (ᾔδη) mss.

434 ἔπταχα] †. ‖ διεμμοιρᾶτο] †; cf. § 27 et 271.

435 ἴαν] sc. μοῖραν, quae vox e verbo διεμμοιρᾶτο est supplenda, ut βουλήν e verbo βουλεύσομεν B 379. ‖ Ἑρμῇ] novicium pro Ἑρμείᾳ, cf. § 58. Fick Ἑρμείᾳ υἷι Μαίης coll. λ 273 (de syllaba υἱ- correpta vid. § 17), nisi spurius sit versus (vid. ad vs. 433-436); Menrad Ἑρμείᾳ Διὸς υἷι coll. θ 335. Cum vulgata concinit Simonid. Amorg. fr. 20 in schol. allatum. *Maiae* nomen nonnisi in hymnis redit (vid. tamen ad α 38). ‖ υἷι] υἱεῖ mss. multa.

436 ἐπευξάμενος] l. a. ἐπαρξάμενος. ‖ ϝεκάστῳ] ἑκάστοις X Z Eust. male (plur. pro sing. et -οις pro -οισι, vid. § 60).

437 δ' Ὀδυσῆα] δὲ ϝάνακτα Fick. ‖ διηνε-

ἀργιόδοντος ὑός· 'κύδαινε δὲ θυμὸν ἄνακτος·
καί μιν φωνήσας προσέφη πολύμητις 'Οδυσσεύς·
„αἴθ' οὕτως, Εὔμαιε, φίλος Διὶ πατρὶ γένοιο   440 sq.^{a} = ο 341 sq
ὡς ἐμοί, ὅττι με τοῖον ἐόντ' ἀγαθοῖσι γεραίρεις.“
τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
„ἔσθιε, δαιμόνιε ξείνων, καὶ τέρπεο τοῖσι,
οἷα πάρεστι· θεὸς δὲ τὸ μὲν δώσει, τὸ δ' ἐάσει,
ὅττι κε Ϝῷ θυμῷ ἐθέλῃ· δύναται γὰρ ἅπαντα.“
ἦ ῥα, καὶ ἄργματ' ἔθυσε θεοῖσ' αἰειγενέτῃσι·
σπείσας δ' αἴθοπα Ϝοῖνον 'Οδυσσῆι πτολιπόρθῳ
ἐν χείρεσσιν ἔθηκεν· ὃ δ' ἕζετο Ϝῇ παρὰ μοίρῃ.
σῖτον δέ σφιν ἔνειμε Μεσαύλιος, ὅν ῥα συβώτης
αὐτὸς 'κτήσατο μοῦνος ἀποιχομένοιο Ϝάνακτος, 450^b sq. = 8 sq.
νόσφιν δεσποίνης καὶ Λαέρταο γέροντος·
πὰρ δ' ἄρα μιν Ταφίων 'πρίατο κτεάτεσσιν ἑϜοῖσι. 452^b = α 430
οἳ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.   453 sq. = Ι 91 sq.
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον εἷντο,
σῖτον μέν σφιν ἀφεῖλε Μεσαύλιος, οἳ δ' ἐπὶ κοῖτον,
σίτου καὶ κρεάων κεκορημένοι, ἐσσεύοντο.
νὺξ δ' ἄρ' ἐπῆλθε κακὴ σκοτομήνιος· ὗε δ' ἄρα Ζεὺς 457^b = Μ 25
πάννυχος, αὐτὰρ ἄει Ζέφυρος μέγας αἰὲν ἔφυδρος.
τοῖς δ' 'Οδυσεὺς μετέϜειπε συβώτεω πειρητίζων,   459 cf. ο 304

κίεσσ' ἐγέραιρε] -εσσι γ. mss. De sententia vid. ad *Η* 321 et δ 65 sq.

438 'κύδαινε] ἥνδανε (aperto vitio) X Z k. De verbo κυδαίνειν vid. ad *Ε* 448. || ἄνακτος] neglecto Ϝ; cf. vs. 450. Dawes θυμὸν δ' ἴαινε, cf. *Ψ* 598 *Ω* 119 ζ 156 etc.; Fick κύδαινε δὲ κῆρ 'Οδυσῆος coll. ρ 216, nisi spurius sit versus.

439 προσέφη — 'Οδυσσεύς] ἔπεα πτερόεντα προσηύδα F^1.

443 *τοῖσι] τοῖσδε mss., cf. § 60.

446 ἄργματ' ἔθυσε] ἄργματα θῦσε mss. — Vox ἄργματα †, vid. ἀπάρχομαι *Τ* 254 γ 446 ξ 422 et ad *Γ* 273. Significatur pars victimae quam primitiarum loco vs. 435 seposuit Eumaeus.

449 σφιν ἔνειμε] σφ' ἐπένειμε G.

450-452] sic in unum contraxit Fick: αὐτὸς πὰρ Ταφίων πρίατο κτεάτεσσιν ἑϜοῖσι.

450 μοῦνος Nauck] οἶος mss. hiatu vitioso (vid. l. a. vs. 8).

451] om. k l, del. Kirchhoff.

454 εἷντο] ἕντο mss.

455-458] del. Duentzer.

455 κοῖτον] κοίτην F (vid. ad τ 341).

456 κρεάων § 72] κρειῶν mss.

457 δ' ἄρ' G F M U] γὰρ mss. multa. || σκοτομήνιος] † (σκότος *Δ* 461 etc.); *interlunium?* Vid. ξ 162 τ 307 et ad υ 156. Alii de luna nubibus obducta accipiunt (vid. ι 143).

458 ἄει F] ἄη mss. cetera; vid. § 197. || ἔφυδρος] †.

459] novicia sunt τοῖς (§ 60) et συβώτεω (§ 55). Pro posteriore vocabulo Fick scripsit συφορβόο; prior versus pars fortasse olim fuit *τοῖσι δ' (Hartman καὶ τότ') 'Οδυσσεὺς 'Ϝεῖπε.

εἴ πώς Ϝοι ἐκδὺς χλαῖναν πόροι ἤ τιν' ἑταίρων
ἄλλον ἐποτρύνειεν, ἐπεί Ϝεο 'κήδετο λίην·
„κέκλυθι νῦν, Εὔμαιε καὶ ἄλλοι πάντες ἑταῖροι·   462 = ο 307
εὐξάμενός τι Ϝέπος Ϝερέω· Ϝοῖνος γὰρ ἀνώγει
ἠλεός, ὅς τ' ἐφέηκε πολύφρονά περ μάλ' ἀεῖσαι   464 cf. Σ 108
καί θ' ἁπαλὸν γελάσαι καί τ' ὀρχήσασθ' ἀνέηκε,
καί τι Ϝέπος προέηκεν, ὅ πέρ τ' ἄρρητον ἄμεινον.
ἀλλ' ἐπεὶ οὖν τὸ πρῶτον ἀνέκραγον, οὐκ ἐπικεύσω.
εἴθ' ὣς ἡβάοιμι βίη τέ μοι ἔμπεδος εἴη,   468 = Η 157
ὡς ὅθ' ὑπὸ Τροίην λόχον ἤγομεν ἀρτύναντες·
ἡγείσθην δ' 'Οδυσεύς τε καὶ Ἀτρεΐδης Μενέλαος,
τοῖσι δ' ἅμα τρίτος ἦρχον ἐγών· αὐτοὶ γὰρ ἄνωγον.
ἀλλ' ὅτε δή ῥ' ἱκόμεσθα ποτὶ πτόλιν αἰπύ τε τεῖχος, 472^b cf. Χ 327
ἧμες μὲν περὶ Ϝάστυ κατὰ ῥωπήια πυκνὰ,
ἂν δόνακας καὶ ἕλος, ὑπὸ τεύχεσι πεπτηῶτες
'κείμεθα· νὺξ δ' ἄρ' ἐπῆλθε κακὴ Βορέαο πεσόντος,
πηγυλίς, αὐτὰρ ὕπερθε χιὼν 'γένετ' ἠύτε λάχνη,
ψυχρή, καὶ σακέεσσι περιτρέφετο κρύσταλλος.
ἔνθ' ἄλλοι πάντες χλαίνας ἔχον ἠδὲ χιτῶνας,
ηὗδον δ' εὔκηλοι, σάκεσιν ϜεϜλυμένοι ὤμους·

460 Ϝοι ἐκδὺς] hiatus durior (cf. § 14); *Ϝοι χλαῖναν ἐκδὺς?

461 λίην] βουλήν M.

462-506 et 508] del. Nitzsch.

462 κέκλυθι] κέκλυτε Eust.

463-466] cf. φ 293 sq.

463 ἀνώγει] cf. § 225.

465 ὀρχήσασθ' ἀνέηκε] -σασθαι ἀνῆκε(ν) mss.

466 προέηκεν] sic Ar., Aristoph. παρέθηκεν (? — προέθηκεν Bekker), idque praefert Didymus; ἐφέηκεν i. || ἄρρητον] †, vid. ad Φ 445.

467 ἀνέκραγον] ἀνέκραγεν D, ἐνέκραγον l. Verbum † (stirps κραγ- in Hom. non redit).

468] om. P. || ἡβάοιμι § 191] ἡβώοιμι mss. De optativo vid. ad *Δ* 314.

469 Τροίην] Τροίη(ι) F n Strab. XIII p. 599.

471 ἦρχον] ἦγον G^1, ἤι' Nauck. || ἄνωγον] cf. § 225.

472 ποτὶ] ὑπὸ IHVoss.

473 ἧμες § 92] ἡμεῖς mss. || περὶ D U n] προτὶ G P H^1, ποτὶ H^2 X, παρὰ F M.

474 τεύχεσι] sic, non τείχεσι, Ar.

475 δ' ἄρ'] γὰρ M mss. alia non male.

476 πηγυλίς] †, *glacialis* (πήγνυμι passim, παχνόω *Ρ* 112). || ὕπερθε] ἔπειτα F. In P omissa sunt verba κακὴ — ὕπερθε, in exemplari igitur, unde descriptus est, fuit ὕπερθε, librarii autem oculi aberrarunt a verbo ἐπῆλθε ad simillimam vocem ὕπερθε; recentior manus in margine supplevit κακὴ Β. π. π. α. ἔπειτα. || λάχνη Naber] πάχνη mss., quae vox neque redit apud Hom. (vid. tamen παχνόεται *Ρ* 112), neque huic comparationi est apta; λάχνη legitur *Β* 219 *Κ* 134 λ 320.

477 ψυχρή] adi. languet, l. a. λεπτή, hinc Naber ψεδνή (vid. *Β* 219). || περιτρέφετο] -στρέφετο male H X n mss. alia. Vid. ad *Ε* 903. || κρύσταλλος] vox redit *Χ* 152.

478 ἔνθ' ἄλλοι] ἔνθ' ἄλλοι μὲν F^2 P H M X mss. alia metro invito, fortasse fuit l. a. ἔνθ' οἳ μὲν aut ἄλλοι μὲν, Grashof ἔνθ' ἄλλοι μὲν πάντες ἔχον χλαίνας μάλα πυκνάς.

479 ϜεϜλυμένοι § 265] εἰλυμένοι mss.

αὐτὰρ ἐγὼ χλαῖναν μὲν ἰὼν ἑτάροισιν ἔλειπον
ἀφραδίῃ, ἐπεὶ οὐκ ἐφάμην ῥιγωσέμεν᾽ ἔμπης,
ἀλλ᾽ ἑπόμην σάκος οἶον ἔχων καὶ ζῶμα φαεινόν.
ἀλλ᾽ ὅτε δὴ τρίχα νυκτὸς ἔην, μετὰ δ᾽ ἄστρ᾽ ἐβεβήκει, 483 cf. μ 312
καὶ τότ᾽ ἐγὼν Ὀδυσῆα προσηύδων ἐγγὺς ἐόντα
ἀγκῶνι νύξας — ὃ δ᾽ ἄρ᾽ ἐμμαπέως ὑπάκουσε —· 485ᵇ = h. Ven. 181
‚διογενὲς Λαερτιάδη, πολυμήχαν᾽ Ὀδυσσεῦ,
οὔ τοι ἔτι ζωοῖσι μετέσσομαι, ἀλλά με χεῖμα
δάμναται· οὐ γὰρ ἔχω χλαῖναν. παρά μ᾽ ἤπαφε δαίμων
οἰοχίτων᾽ ἴμεναι· νῦν δ᾽ οὐκέτι φυκτὰ πέλονται.‘ 489ᵇ cf. Π 128
ὣς ἐφάμην· ὃ δ᾽ ἔπειτα νόον ᾽σχέθε τόνδ᾽ ἐνὶ θυμῷ,
οἷος κεῖνος ἔην βουλευέμεν᾽ ἠδὲ μάχεσθαι· 491ᵃ = β 272
φθεγξάμενος δ᾽ ὀλίγῃ Ϝοπί με πρὸς μῦθον ἔϜειπε·
‚σίγαε νῦν, μή τίς σε᾽ Ἀχαιῶν ἄλλος ἀκούσῃ.‘ 493 cf. Ξ 90
ἦ, καὶ ἐπ᾽ ἀγκῶνος κεφαλὴν ᾽σχέθε ᾽Ϝεῖπέ τε μῦθον·
‚κλῦτε, φίλοι· θεῖός μοι ἐνύπνιον ἦλθεν ὄνειρος. 495 = B 56
λίην γὰρ νηῶν Ϝεκὰς ἤλθομεν· ἀλλά τις εἴη
Ϝειπέμεν᾽ Ἀτρεΐδῃ Ἀγαμέμνονι ποιμένι λαῶν,
εἰ πλέονας παρὰ ναῦφιν ἐποτρύνειε νέεσθαι.‘
ὣς ἔφατ᾽· ὦρτο δ᾽ ἔπειτα Θόας Ἀνδραίμονος υἱὸς

495 Ar. —

481 ἀφραδίῃ D U² mss. alia] -δίῃσ᾽ G, -δίης M n, -δέως F P H X¹. ‖ ῥιγωσέμεν᾽] †, vid. ad ι 472.
482 ζῶμα] *subligaculum*, ut Ψ 683; vid. ad Δ 187.
483] vid. ad μ 312. ‖ ἔην] ἔεν? vid. § 302. ‖ ἄστρ᾽ ἐβεβήκει] ἄστρα β. mss.
484 προσηύδων] -δαον? cf. § 195.
485 ἐμμαπέως] adv. redit E 836 Υ 284 (?), 442 (?) h. Ven. 181, significare *celeriter* docet contextus. ‖ ὑπάκουσε] ἀνόρουσε F¹, cf. E 836.
486 διογενὲς] cf. § 21.
488 ἤπαφε] ἤλασε Callistratus.
489 οἰοχίτων᾽] †, *sola tunica indutum* (sine pallio); cf. μονόπεπλος (*solo peplo amictus*) Eur. Hec. 933, μονοχίτων [Aristotel.] Rep. Athen. c. 25 Athen. XIII 589 *f*. Simile est compositum οἰοπόλος N 473 etc. (vid. ad P 54). ‖ ἴμεναι Callistratus] ἔ(μ)μεναι mss. (cum Ar.).
490 ᾽σχέθε] l. a. σχέτο. Cf. Δ 309 γ 124.
491 οἷος . . . βουλευέμεν᾽ ἠδὲ μάχεσθαι] vid. ad γ 272. ‖ κεῖνος G] ἐκεῖνος mss. cett.; cf. § 97. ‖ ἔην] ἔεν? Vid. § 302. ‖ βουλευέμεν᾽ ἠδὲ μάχεσθαι] τελέσαι ἔργον τε ἔπος τε l. a. apud Eust.
493 σίγαε § 191] σίγα mss. ‖ *σε᾽] σε Y. σευ mss. cetera.
494 ᾽σχέθε] θέτο F P H M X, utrumque parum apte, non enim cubito sed palmae imponitur caput. Cf. K 80.
495] damnavit Ar., inepte enim fingi obdormivisse militem in insidiis collocatum; adiectum autem esse versum ab aliquo qui vim particulae γάρ vs. 496 non agnosceret (vid. ad κ 189). Non tamen sic nude poni potuisse partic ılam γάρ observat Hartman. ‖ ἐνύπνιον] vid. ad B 56.
496 νηῶν] νηὸς G.
497 Ϝειπέμεν᾽ § 125] εἰπεῖν mss.
498 νέεσθαι] vid. ad Φ 48.

500 καρπαλίμως, ἀπὸ δὲ χλαῖναν ᾽βάλε φοινικόεσσαν,
᾽βῆ δὲ θέειν ἐπὶ νῆας. ἐγὼ δ᾽ ἐνὶ Ϝείματι κείνου 501ᵃ = Ξ 354
502 ᾽κείμην ἀσπάσιος· ᾽φάε δὲ χρυσόθρονος Ἠώς.“
507 τὸν δ᾽ ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
„ὦ γέρον, αἶνος μήν τοι ἀμύμων, ὃν κατέλεξας,
οὐδέ τί πω παρὰ μοῖραν ἔπος νηκερδὲς ἔϜειπες·
510 τῷ οὐ Ϝεσθῆτος δευήσεαι οὐδέ τε᾽ ἄλλου, 510 cf. ζ 192
ὧν τε ϜέϜοιχ᾽ ἱκέτην ταλαπείριον ἀντιάσαντα, 511 = ζ 193
νῦν· ἀτὰρ ἠῶθέν γε τεὰ ῥάκεα δνοπαλίξεις.
οὐ γὰρ πολλαὶ χλαῖναι ἐπημοιβοί τε χιτῶνες
514 ἐνθάδε Ϝέννυσθαι, μία δ᾽ οἴη φωτὶ Ϝεκάστῳ.“
518 ὣς Ϝειπὼν ἀνόρουσε, ᾽τίθει δ᾽ ἄρα Ϝοι πυρὸς ἐγγὺς
εὐνήν, ἐν δ᾽ ὀίων τε καὶ αἰγῶν δέρματ᾽ ἔβαλλε.
520 ἔνθ᾽ Ὀδυσεὺς κατέλεκτ᾽· ἐπὶ δὲ χλαῖναν ᾽βάλεν αὐτῷ
πυκνὴν καὶ μεγάλην, ἥ Ϝοι παρεκέσκετ᾽ ἀμοιβάς,

503 ὣς νῦν ἡβάοιμι βίη τέ μοι ἔμπεδος εἴη· 503 cf. H 157
δοίη κέν τις χλαῖναν ἐνὶ σταθμοῖσι συφορβῶν,
505 ἀμφότερον, φιλότητι καὶ αἰδόι φωτὸς ἐῆος.
νῦν δέ μ᾽ ἀτιμάζουσι κακὰ χροῒ Ϝείματ᾽ ἔχοντα. 506ᵇ = ψ 95 ω 156
515 αὐτὰρ ἐπεί κ᾽ ἔλθῃσιν Ὀδυσσῆος φίλος υἱός, 515 = ο 337
αὐτός τοι χλαῖνάν τε χιτῶνά τε Ϝείματα δώσει, 516 cf. ο 338
πέμψει δ᾽ ὅππῃ σε κραδίη θυμός τε κελεύει. 517 = ο 339
503-506 Athenocles et Ar. —

500 ᾽βάλε] θέτο G D U L W (cf. μ 171 φ 118). ‖ φοινικόεσσαν] vid. § 18 et ad K 133 Ψ 717.
501 δὲ θέειν] δ᾽ ἰέναι F (cf. β 298).
502 ἀσπάσιος Cobet] ἀσπασίως mss. Vid. ad Σ 270. ‖ ᾽φάε] cf. § 280. In F est φάεθε δὲ.
503-506] apertis his precibus narratiunculae subiectis venustum locum corrumpi post alios vidit Ar.; Kirchhoff tamen dubitat an ipsius poetae hoc sit vitium.
503 ἡβάοιμι § 191] ἡβώοιμι mss.
504 τις] superscriptum est μοι in F, τίς μοι metro invito P H X D L W.
505 αἰδόι § 77] αἰδοῖ mss.
508 αἶνος] *narratio, fabula ethica*; sic Aristarchum accepisse e schol. ad vs. 503 apparet, vid. etiam Apoll. lex. s. v. et ad Ψ 652. ‖ μήν § 18] μέν mss.
509] om. U¹, del. Fick. ‖ παρὰ] παρ᾽ P, πὰρ H X. De praepositionis vi cf. N 787. ‖ ἔπος] neglecto Ϝ; *οὐδὲ παρὰ (vel οὐδ᾽ ἄρα πὰρ) μοῖράν τι? ‖ ἔϜειπες] ἔνισπες F M.
510 οὐ] οὔτ᾽ mss. ‖ *οὐδέ] οὔτε mss. ‖ τε᾽ § 99] τευ mss.
511 τε ϜέϜοιχ᾽ Bentley] ἐπέοιχ᾽ mss.
512 τεὰ (PKnight)] τὰ σὰ mss.; vid. ad A 185. ‖ δνοπαλίξεις] *quaties*? vid. ad Δ 472.
513 ἐπημοιβοί] vox redit M 456, vid. ad θ 249.
515-517] om. G F¹ P H M¹ X mss. alia; genuinos ducit Seeck.
515 ἐπεί κ᾽ § 326] ἐπὴν mss.
516 αὐτός τοι . . . δώσει] κεῖνός σε . . . ἕσσει L W q.
519 ὀίων (οἰῶν mss.) . . . αἰγῶν] αἰγῶν . . . οἰῶν F M.
521 μεγάλην] μαλακὴν F M. ‖ παρεκέσκετ᾽] παρεχέσκετ᾽ (sensu παρεῖχε τὰς ἀμείψεις) F² H² X i et olim alii, quae lectio in scholio (ab Aristonico?) iure reicitur. De forma -εκέσκετο vid. § 146 et φ 41. Grashof πάρεκ ἔσκεν. ‖ ἀμοιβάς] †; vid. ad θ 249.

Ϝέννυσθαι ὅτε τις χειμὼν ἔκπαγλος ὄροιτο.
ὣς ὃ μὲν ἔνθ' Ὀδυσεὺς 'κοιμήσατο, τοὶ δὲ παρ' αὐτὸν
ἄνδρες ἐκοιμήσαντο νεηνίαι. οὐδὲ συβώτῃ
'Ϝάνδανεν αὐτόθι κοῖτος, ὑῶν ἄπο κοιμηθῆναι,
ἀλλ' ὅ γ' ἄρ' ἔξω ἰὼν ὡπλίζετο· 'χαῖρε δ' Ὀδυσσεὺς,
ὅττι ῥά Ϝοι βιότου περὶ 'κήδετο νόσφιν ἐόντος.
πρῶτον μὲν ξίφος ὀξὺ περὶ στιβαρῷ 'βάλετ' ὤμῳ,
ἀμφὶ δὲ χλαῖναν ἐϜέσσατ' ἀλεξάνεμον, μάλα πυκνὴν,
ἂν δὲ νάκην ἕλετ' αἰγὸς ἐυτρεφέος μεγάλοιο,
εἵλετο δ' ὀξὺν ἄκοντα, κυνῶν ἀλκτῆρα καὶ ἀνδρῶν. 531 cf. φ 340
'βῆ δ' ἴμεναι κείων, ὅθι περ σύες ἀργιόδοντες
πέτρῃ ὕπο γλαφυρῇ ηὗδον, Βορέα' ὑπ' ἰωγῇ.

---

522 Ϝέννυσθαι] εἵνυσθαι Rhianus Aristoph. (cf. Ψ 135).
524 ἐκοιμήσαντο] κοιμ. mss.
525 'Ϝάνδανεν] ἥνδανεν (ἧνδ.) mss.
526 ὡπλίζετο] κατελέξατο L W, καταρέξατο F.
527 ἐόντος] vid. ad ζ 157.
528 περὶ] sic etiam h. VI 5; alias perpetuo ἀμφὶ. ‖ στιβαρῷ ... ὤμῳ Fick] στιβαροῖς ... ὤμοις mss. (-ροὺς ... ὤμους F[1]); vid. § 60. Pluralis recte legitur Β 45 Λ 29, singularis extat β 3 δ 308 υ 125, vid. etiam Ε 400. Vitium redit ο 61 h. VI 5.
529 ἀλεξάνεμον] †, cf. ἀνεμοσκεπής Π 224.
530 νάκην] †, *vellus*; νάκος dicitur Theocr. V 2 et a Simonide in Etym. M. 597,16; cf. ibid. 101,30.
533 πέτρῃ] vid. ad ν 408. ‖ Βορέα'(ο) L W] -εω mss. cett.; cf. § 56. ‖ ὑπ' ἰωγῇ] sic Ar., ὑπὸ σκέπῃ interpretatus; ὑπ' ἰωγῆς B L W Y[1] q. Vox †, sed vid. ad ε 404; vHerwerden ἀπ' ἰωῆς, simul tamen versum damnans.

ΟΔΥΣΣΕΙΑΣ ο.

Τηλεμάχου πρὸς Εὔμαιον ἄφιξις.

ἡ δ' εἰς εὐρύχορον Λακεδαίμονα Παλλὰς Ἀθήνη
ᾤχετ', Ὀδυσσῆος μεγαθύμου φαίδιμον υἱὸν
νόστου ὑπομνήσουσα καὶ ὀτρυνέουσα νέεσθαι.
ηὗρε δὲ Τηλέμαχον καὶ Νέστορος ἀγλαὸν υἱὸν 4 cf. δ 21
εὕδοντ' ἐν προδόμῳ Μενελάου κυδαλίμοιο·
ἤ τοι Νεστορίδην μαλακῷ δεδμημένον ὕπνῳ, 6[b] cf. Κ 2
Τηλέμαχον δ' οὐχ ὕπνος ἔχε γλυκὺς, ἀλλ' ἐνὶ θυμῷ
νύκτα δι' ἀμβροσίην μελεδήματα πατρὸς ἔγειρε. 8[a] = Κ 41
ἄγχι δέ Ϝ' ἱσταμένη προσέφη γλαυκῶπις Ἀθήνη· 9 = Β 172
„Τηλέμαχ', οὐκέτι καλὰ δόμων ἄπο τῆλ' ἀλάλησαι, 10[b] cf. γ 313
κτήματά τε προλιπὼν ἄνδρας τ' ἐν σοῖσι δόμοισι 11-13 = γ 314 sqq.
οὕτω ὑπερφιάλους· μή τοι κατὰ πάντα φάγωσι
κτήματα δασσάμενοι, σὺ δὲ τηϋσίην ὁδὸν ἔλθῃς.

Telemachi itineris partem posteriorem (vid. ad α 88 sqq. δ 613 sqq.) huic loco inseruit diasceuasta. Poeta, qui *Ulixis ultionem* fecit, Telemachum alia ratione, quam hodie ignoramus, e matris aedibus deduxerat ad domum Eumaei, ut ibi patri suo occurreret. Versus 1-74 Kirchhoff tribuit ipsi diasceuastae, qui multa praeterea in posteriore libri parte aut mutavit aut addidit.
2) μεγαθύμου] -μοο? cf. § 59.
5 εὕδοντ'] pro duali numero recte habuit Ar., qui fortasse εὕδοντε plene scripsit. De verbi vi vid. Λ 611 Β 2.
6] om. P.
7 ἔχε] ἕλε P.
8 πατρὸς] θυμὸς G (cf. υ 56). ‖ ἔγειρε] ἄγειρεν X (quod in scholii parte priore redditur ἤθροιζε). Vulgatam schol. interpretatur *curae eum e somno excitabant*, sed vertendum videtur *curas mente volvebat*, nisi verum est *ἔτειρε vel potius *ἔτειρον coll. Ο 61 α 342 η 218; item Naber, Nauck ἔγεσκεν (cf. δ 650).
9 *ἄγχι δέ Ϝ'] ἀγχοῦ δ' mss.; cf. § 318.
10 οὐκέτι] οὐ μὲν Apoll. lex. ‖ τῆλ'] δὴν F male, cf. § 42.
13 κτήματα] χρήματα G P H X mss. alia (cf. ν 203). ‖ τηϋσίην] vid. ad γ 316.

ἀλλ' ὄτρυνε τάχιστα βοὴν ἀγαθὸν Μενέλαον 14 cf. γ 317
πεμπέμεν', ὄφρ' ἔτι Ϝοίκοι ἀμύμονα μητέρα τέτμῃς.
ἤδη γάρ Ϝε πατήρ τε κασιγνητοί τε κέλονται
Εὐρυμάχῳ γήμασθαι· ὃ γὰρ περιβάλλει ἅπαντας
μνηστῆρας δώροισι καὶ ἐξώφελλεν ἔϜεδνα.
μή νύ τι σεῖ' ἀϜέκητι δόμων ἒκ κτῆμα φέρηται.
Ϝοῖσθα γὰρ οἷος θυμὸς ἐνὶ στήθεσσι γυναικός·
κείνου βούλεται οἶκον ὀφελλέμεν', ὅς κεν ὀπυίῃ,
παίδων δὲ προτέρων καὶ κουριδίοιο φίλοιο
οὐκέτι μέμνηται τεθνηότος οὐδὲ μεταλλᾷ.
ἀλλὰ σύ γ' ἐλθὼν αὐτὸς ἐπιτρέψειας ἕκαστα,
δμῳάων ἥ τίς τοι ἀρίστη φαίνεται εἶναι,
εἰς ὅ κέ τοι φήνωσι θεοὶ κυδρὴν παράκοιτιν.
ἄλλο δέ τοί τι Ϝέπος Ϝερέω, σὺ δὲ σύνθεο θυμῷ.
μνηστήρων σ' ἐπιτηδὲς ἀριστῆες λοχάουσι 28 cf. ν 425
ἐν πορθμῷ Ἰθάκης τε Σάμοιό τε παιπαλοέσσης, 29 = δ 671
Ϝιέμενοι κτεῖναι πρὶν πατρίδα γαῖαν ἱκέσθαι· 30 = ν 426
33 ἀλλὰ Ϝεκὰς νήσων ἀπέχειν εὐϜεργέα νῆα,
νυκτὶ δ' ὁμῶς πλείειν· πέμψει δέ τοι οὖρον ὄπισθε 34[b] cf. ε 167
ἀθανάτων ὅς τίς σε φυλάσσει τε ῥύεταί τε. 35[b] cf. ξ 107
αὐτὰρ ἐπεί κε πρῶτ' ἀκτὴν Ἰθάκης ἀφίκηαι,

---

31 ἀλλὰ τά γ' οὐκ ὀίω· πρὶν καί τινα γαῖα καθέξει
ἀνδρῶν μνηστήρων, οἵ τοι βίοτον κατέδουσι. 31 sq. = ν 427 sq.

19 Aristoph. (et Ar.?) —— ‖ 24-26 nonnulli —— ‖ 31 sq. Dionysius ——

14-26] del. Duentzer.
16 Ϝε (ἑ) Bothe] τε aut ῥα mss. (om. U).
17 περιβάλλει] recte in schol. confertur ψ 276.
18 ἐξώφελλεν] comp. † (simplex Α 510 etc.).
19 σεῖ' § 92] σεῦ (σε Y) mss. ‖ κτῆμα] singularis †.
20-42] del. Kammer.
21 οἶκον ὀφελλέμεν'] vid. ad ξ 223. ‖ οἶκον] neglecto Ϝ; PKnight κείνοο Ϝοῖκον βούλετ'. ‖ ὀφελλέμεν' § 125] -ειν mss. ‖ κεν] τις P. ‖ ὀπυίῃ] -οι mss. pleraque.
22 κουριδίοιο] ceteris locis (Α 114 etc.) est adi. λ 580. Adi. κυδρή alias *dearum* est epitheton (Σ 184 λ 580 h. Cer. 66, 179, 293 h. XI 4 XXVII 1). Masculinum h. Merc. 461 (de Mercurio).
23 τεθνηότος] cf. § 160.
24 ἐλθὼν αὐτὸς] αὐτὸς ἰὼν U. ‖ ἕκαστα] neglecto Ϝ.
26 κυδρὴν] κυδνὴν (leg. κεδνὴν) H^2 Y^2 i; cf.
27] mss. complura om. τι, et pro δὲ σύνθεο in M est δ' ἐνὶ φρεσὶ βάλλεο; „videtur altera lectio fuisse ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσι" (LaRoche; cf. Α 297 etc.).
28 ἐπιτηδὲς] redit Α 142; suspectum critico apud Nauckium. ‖ λοχάουσι § 191] -όωσιν mss.
29 πορθμῷ] cf. δ 671. ‖ Σάμοιο] vid. ad α 246.
30 κτεῖναι] κτάμεναι?
33 ἀπέχειν] l. a. ἀπέχευ, male, cf. § 117; medium hinc alienum.
36 *ἐπεί κε πρῶτ'] ἐπὴν πρώτην mss.; cf. § 326. Seber ἐπὴν πρῶτον.

νῆα μὲν εἰς πόλιν ὀτρῦναι καὶ πάντας ἑταίρους,
38 αὐτὸς δὲ πρώτιστα συβώτην εἰσαφικέσθαι. 38 = ν 404
ἔνθα δὲ νύκτ' ἀέσαι· τὸν δ' ὀτρῦναι πόλιν εἴσω
ἀγγελίην Ϝερέοντα περίφρονι Πηνελοπείῃ, 41 = π 329
οὕνεκά Ϝοι σάος ἐσσὶ καὶ ἐκ Πύλου εἰλήλουθας." 41[b] sq. cf. π 130 sq.
ἣ μὲν ἄρ' ὣς Ϝειποῦσ' ἀπέβη πρὸς μακρὸν Ὄλυμπον· 43[b] = Ω 468
44 αὐτὰρ ὃ Νεστορίδην ἐκ Ϝηδέος ὕπνου ἔγειρε·
46 „ἐγρέο, Νεστορίδη Πεισίστρατε, μώνυχας ἵππους
ζεῦξον ὑφ' ἅρματ' ἄγων, ὄφρα πρήσσωμεν ὁδοῖο." 47 cf. γ 476
τὸν δ' αὖ Νεστορίδης Πεισίστρατος ἀντίον ηὔδα· 48 = δ 155
„Τηλέμαχ', οὔ πως ἔστιν ἐπειγομένους περ ὁδοῖο 49[b] cf. α 309
νύκτα διὰ δνοφερὴν ἐλάειν· τάχα δ' ἔσσεται ἠώς.
ἀλλὰ μέν', εἰς ὅ κε δῶρα φέρων ἐπιδίφρια θήῃ 51 cf. 75
ἥρως Ἀτρεΐδης, δουρὶ κλειτὸς Μενέλαος,
καὶ μύθοισ' ἀγανοῖσι παραυδήσας ἀποπέμψῃ.
τοῦ γάρ τε ξεῖνος μιμνήσκεται ἤματα πάντα
ἀνδρὸς ξεινοδόκοιο, ὅ κεν φιλότητα παράσχῃ." 55 cf. Γ 354
ὣς ἔφατ', αὐτίκα δὲ χρυσόθρονος ἤλυθεν Ἠώς· 56 = κ 541
ἀγχίμολον δέ σφ' ἦλθε βοὴν ἀγαθὸς Μενέλαος
ἀνστὰς ἐξ εὐνῆς Ἑλένης πάρα καλλικόμοιο.

---

39 ὅς τοι ὑῶν ἐπίουρος, ὁμῶς δέ τοι ἤπια Ϝοῖδε. 39 = ν 405
45 λὰξ ποδὶ κινήσας καί μιν πρὸς μῦθον ἔϜειπε· 45[a] = Κ 158
45 Ar. ——

---

37 ὀτρῦναι] l. a. ὄτρυνε, vid. ad vs. 40.
39] del. vHerwerden; nihil h. l. valet ὁμῶς. ‖ ἐπίουρος] vid. ad γ 422. ‖ ἤπια Ϝοῖδε] vid. ad Ε 326.
40 ὀτρῦναι] ὄτρυνε k et Apoll. lex., vid. ad vs. 37.
41 Ϝερέοντα] vid. Β 49 κ 245 et ad ν 94.
42 σάος § 62] σῶς mss.
43-55] del. FMeister.
43 πρὸς μακρὸν Ὄλυμπον] γλαυκῶπις Ἀθήνη M.
44 ἐκ] ἐξ mss. ‖ In Z k subiungitur ἀγχοῦ δ' ἱστάμενος προσέφη Τηλέμαχος θεοειδής, quem versum in margine addit U et post versum 45 in margine X.
45] ex Iliade inepte translatum esse iure statuit Ar.; cur — et quomodo — Telemachus pede excitet comitem in lecto dormientem nemo dicere potest (vid. A. Gell. XIV 6), absurdius autem hoc videtur vitium quam quod diasceuastae cum Kirchhoffio tribuamus.
46 ἐγρέο] ἄγρει Hartman coll. υ 149. ‖ μώνυχας] in Odyssea non redit (in Iliade frequens).
47 πρήσσωμεν] vid. ad Α 483. ‖ ὁδοῖο] vid. ad Β 785.
49 ἐπειγομένους] l. a. -μενον.
50 διὰ δνοφερὴν] δι' ὀρφναίην est Κ 83, 276, 386, ι 143 h. Merc. 578, sed cf. ν 269. ‖ ἐλάειν § 191] ἐλάαν mss. ‖ ἔσσεται] εἴσεται Cobet coll. vs. 56; sed vid. § 308.
51 ἐπιδίφρια] vox redit vs. 75, cf. ἐπιδιφριάς Κ 475; ἐπιδίφρια τιθέναι est *currui imponere*. ‖ θήῃ § 122] θείῃ mss.
55 *ξεινοδόκοιο, ὅ] ξεινοδόκου, ὅς mss.; cf. § 59.
58 καλλικόμοιο] adi. Ι 449 redit, alias est ἠύκομος (vid. praesertim Ν 766).

τὸν δ' ὡς οὖν ἐνόησεν Ὀδυσσῆος φίλος υἱὸς, 59^{a} = Γ 21
60 σπερχόμενός ῥα χιτῶνα περὶ χροῒ σιγαλόεντα
'δῦνεν καὶ μέγα φᾶρος ἐπὶ στιβαροῖς 'βάλετ' ὤμοις
62 ἥρως, 'βῆ δὲ θύραζε, παριστάμενος δὲ προσηύδα·
64 „Ἀτρεΐδη Μενέλαε διοτρεφὲς, ὄρχαμε λαῶν, 64 = Ρ 12
65 ἤδη νῦν μ' ἀπόπεμπε φίλην εἰς πατρίδα γαῖαν·
ἤδη γάρ μοι θυμὸς ἐϜέλδεται οἴκαδ' ἱκέσθαι.“
τὸν δ' ἠμείβετ' ἔπειτα βοὴν ἀγαθὸς Μενέλαος·
„Τηλέμαχ', οὔ τί σ' ἐγώ γε πολὺν χρόνον ἐνθάδ' ἐρύξω 68 cf. δ 594
Ϝιέμενον νόστοιο· νεμεσσάομαι δὲ καὶ ἄλλῳ
70 ἀνδρὶ ξεινοδόκῳ, ὅς κ' ἔξοχα μὲν φιλέησι, 70^{b} sq.^{a} cf. δ 692
ἔξοχα δ' ἐχθαίρησιν· ἀμείνονα δ' αἴσιμα πάντα. 71^{b} = η 310
Ϝῖσόν τοι κακόν ἐσθ', ὅς τ' οὐκ ἐθέλοντα νέεσθαι
73 ξεῖνον ἐποτρύνῃ καὶ ὃς ἐσσυμένον κατερύκῃ. 73^{b} cf. Ζ 518
75 ἀλλὰ μέν', εἰς ὅ κε δῶρα φέρων ἐπιδίφρια θήω 75 cf. 51
καλὰ, σὺ δ' ὀφθαλμοῖσι Ϝίδῃς, Ϝείπω δὲ γυναιξὶ
δεῖπνον ἐνὶ μεγάρῳ τετυκεῖν Ϝάλις ἔνδον ἐόντων· — 77 = 94
ἀμφότερον, κῦδός τε καὶ ἀγλαΐη καὶ ὄνειαρ,

63 Τηλέμαχος φίλος υἱὸς Ὀδυσσῆος θείοιο· 63 = 554 ρ 3 υ 283 φ 432 cf. γ 398
74 χρὴ ξεῖνον παρεόντα φιλεῖν, ἐθέλοντα δὲ πέμπειν.
74 Ar. — || 78-85 Ar. —

59 τὸν δ' ὡς οὖν ἐνόησεν] hemistichion in Odyssea non redit, in Iliade frequens.
61 'δῦνεν] *'δύσετο? cf. § 30. || ἐπὶ] vix recte pro ἀμφί de vestimento humeris iniecto hoc uno loco adhibetur. In P metro invito est περί. || στιβαροῖς ... ὤμοις] novicium pro -οισι, vid. § 60 et ad ξ 528.
62 δὲ προσηύδα] δ' ἔπος ηὔδα G.
63] om. mss. pleraque, habent M L W n q et in margine F²; propter versum 59 melius abest.
66 del. PKnight. || οἴκαδ'] neglecto Ϝ; Nauck ἀπονέεσθαι (vid. Β 113 etc.).
69 sq.] in Plut. vit. Hom. c. 151 sic affertur: καὶ δ' ἄλλῳ νεμεσῶ ὅς κ' ἔξοχα μὲν φιλέῃσιν (cf. Ψ 494 ζ 286).
69 νεμεσσάομαι § 191] -σσῶμαι mss.
71 ἐχθαίρῃσιν] vix sanum, nam *odii* mentio hinc aliena. || ἀμείνονα § 85] ἀμείνω mss.
72-74] del. Bekker, ipsi diasceuastae tribuit Kirchhoff. Vs. 72 sq. in hac vicinia ferri posse videntur; versum 74 vero olim in multis libris defuisse dicit Didymus; Hesiodeum potius videri quam Homericum; si tamen servetur, post vs. 71 collocandum esse.
72 ἐσθ', ὅς τ'] *ἐστιν (sic P), ὅς.
73 ἐποτρύνῃ ... κατερύκῃ] -νει ... -κει mss. multa.
75 sqq.] hunc locum, quo *Telemachi iter* ad finem perducitur, olim versui δ 612 subiunctum fuisse censet Kirchhoff; vid. ad libri ο initium.
75 ἐπιδίφρια] cf. vs. 51. || θήω § 122] θείω mss.
77 μεγάρῳ Nauck] -ροις mss.; cf. § 60.
78-92] del. Fick in vs. 93 scribens ἦ καί.
78 ἀμφότερον] non recte adhibitum esse putabat Ar.; sed κῦδός τε καὶ ἀγλαΐη (*honor decusque*) coniunctim videntur opponi τῷ ὀνείατι (*utilitati*): „*coenatum discedere est* καλὸν καὶ ἀγαθόν“. Cf. ξ 505.

δειπνήσαντ' ἴμεναι πολλὴν ἐπ' ἀπείρονα γαῖαν· —
80 εἰ δ' ἐθέλεις τραφθήμεν' ἀν' Ἑλλάδα καὶ μέσον Ἄργος, 80^{b} cf. α 344
ὄφρα τοι αὐτὸς ἕπωμαι, ὑποζεύξω δέ τοι ἵππους,
Ϝάστεα δ' ἀνθρώπων ἡγήσομαι· οὐδέ τις ἧμας
αὔτως ἀππέμψει, δώσει δέ τι ἕν γε φέρεσθαι,
ἠέ τινα τριπόδων εὐχάλκων ἠὲ λεβήτων
85 ἠὲ δύ' ἡμιόνους ἠὲ χρύσειον ἄλεισον.“ 85^{b} cf. Δ 774
τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα· 86 sq. = δ 290 sq.
„Ἀτρεΐδη Μενέλαε διοτρεφὲς, ὄρχαμε λαῶν,
βούλομαι ἤδη νεῖσθαι ἐφ' ἡμέτερ'· οὐ γὰρ ὄπισθε
οὖρον ἰὼν κατέλειπον ἐπὶ κτεάτεσσιν ἐμοῖσι·
90 μὴ πατέρ' ἀντίθεον διζήμενος αὐτὸς ὄλωμαι,
ἤ τί μοι ἐκ μεγάρων κειμήλιον ἐσθλὸν ὄληται.“
αὐτὰρ ἐπεὶ τό γ' ἄκουσε βοὴν ἀγαθὸς Μενέλαος,
αὐτίκα Ϝῇ ἀλόχῳ ἠδὲ δμῳῆσ' ἐκέλευσε
94 δεῖπνον ἐνὶ μεγάρῳ τετυκεῖν Ϝάλις ἔνδον ἐόντων. 94 = 77
99 αὐτὸς δ' εἰς θάλαμον κατεβήσετο κηώεντα, 99 = Ω 191
100 οὐκ οἶος· ἅμα τῷ γ' Ἑλένη 'κίε καὶ Μεγαπένθης. 100^{a} cf. Β 745
ἀλλ' ὅτε δή ῥ' ἵκονθ' ὅθι Ϝοι κειμήλι' ἔκειτο, 101^{a} cf. Γ 264 Δ 210

95 ἀγχίμολον δέ Ϝοι ἦλθε Βοηθοΐδης Ἐτεωνεὺς
ἀνστὰς ἐξ εὐνῆς, ἐπεὶ οὐ πολὺ 'ναῖεν ἀπ' αὐτοῦ·
τὸν πῦρ κῆαι ἄνωγε βοὴν ἀγαθὸς Μενέλαος
ὀπτῆσαί τε κρεῶν· ὃ δ' ἄρ' οὐκ ἀπίθησεν ἀκούσας. 98^{b} = Θ 319
91 Aristoph. (et Ar.?) —

79 *δειπνήσαντ' ἴμεναι] δειπνήσαντας (-ντες G) ἴμεν mss.; cf. § 125. De solo Telemacho loquitur Menelaus. || πολλὴν] languet; cf. tamen Ο 80 sq. β 364 δ 268 ξ 380 ε 284.
80 τραφθήμεν' § 125] τραφθῆναι mss. pleraque, l. a. τέρφθητι (τράφθητι?). || Ἑλλάδα] novicius nominis usus, de quo vid. ad Ι 447 α 344, diasceuastae tribuendus; notavit Ar.
81 ὄφρα] simili modo post εἰ δ' ἐθέλεις est adhibitum Ζ 150 Υ 213 Φ 487.
82 ἧμας § 92] ἡμέας mss.
83 ἀππέμψει Ar. Apoll. lex.] ἀμπέμψει vel ἀποπέμψει mss.; vid. § 10. IHVoss metro invito αὔτω ἀπōπέμψει (cf. v. l. Σ 198). || τι] τε P Y¹, τοι Y² l.
88 νεῖσθαι] novicium pro νέεσθαι; Nauck βούλομαι ἀπονέεσθαι (cf. vs. 66).
89 ἐπὶ κτεάτεσσιν] ἐνὶ μεγάροισιν P.
90 sq.] del. Duentzer.
93 αὐτίκα Bentley] αὐτίκ' ἄρ' mss. || δμῳῆσ' ἐκέλευσε] -ῇσι κέλευσε mss.
94] del. Fick. || μεγάρῳ Nauck] -ροισ(ι) mss.; cf. § 60.
95-98] versus insulsos delevimus. De *Eteoneo* vid. δ 22 sqq.; versum 96 defendit Aristonicus (fuerunt igitur qui damnarent), ministrum enim liberum fuisse Eteoneum, non servum.
97 κῆαι] κεῖαι mss. multa.
98 κρεῶν] novicium pro κρεάων; cf. § 72. Nauck κρέας, Fick κρέα, Barnes ὀπτῆσαι κρεάων.
99 κατεβήσετο] -σατο mss. multa. || κηώεντα] vid. ad Γ 382.
101 ἵκονθ' ὅθι Ϝοι GHermann] ἵκανον ὅθι P H X, ἵκαν' ὅθι οἱ F D n, ἵκανον ὅθι οἱ G M U. Pronomen οἱ genuinum videtur (cf.

Ἀτρεΐδης μὲν ἔπειτα δέπας ’λάβεν ἀμφικύπελλον,
υἱὸν δὲ κρητῆρα φέρειν Μεγαπένθε’ ἄνωγε
ἀργύρεον. Ἑλένη δὲ παρίστατο φωριαμοῖσι, 104a = 123
ἔνθα ϝ’ ἔσαν πέπλοι παμποίκιλοι, οὓς ἔκαμ’ αὐτή· 105 cf. Z 289
τῶν ἕν’ ἀειραμένη Ἑλένη ’φέρε, δῖα γυναικῶν, 106 cf. Z 293
ὃς κάλλιστος ἔην ποικίλμασιν ἠδὲ μέγιστος, 107 sq. = Z 294 sq.
ἀστὴρ δ’ ὣς ἀπέλαμπεν· ἔκειτο δὲ νείατος ἄλλων.
’βὰν δ’ ἴμεναι προτέρω διὰ δώματα, ἧος ἵκοντο
Τηλέμαχον· τὸν δὲ προσέφη ξανθὸς Μενέλαος·
„Τηλέμαχ’, ἦ τοι νόστον, ὅπως φρεσὶ σῇσι μενοινᾷς,
ὥς τοι Ζεὺς τελέσειεν, ἐρίγδουπος πόσις Ἥρης.
δώρων δ’, ὅσσ’ ἐν ἐμῷ ϝοίκῳ κειμήλια κεῖται,
δώσω ὃ κάλλιστον καὶ τιμηέστατόν ἐστι.“ 113 sq. = δ 613 sq.
ὣς ϝειπών ϝ’ ἐν χέρσ’ ἐτίθει δέπας ἀμφικύπελλον
ἥρως Ἀτρεΐδης· ὃ δ’ ἄρα κρητῆρα φαεινὸν 120 cf. γ 51 120a = Α 446
’θῆκ’ αὐτοῦ προπάροιθε φέρων κρατερὸς Μεγαπένθης,
ἀργύρεον. Ἑλένη δὲ παρίστατο καλλιπάρῃος 123a = 104

115 δώσω τοι κρητῆρα τετυγμένον· ἀργύρεος δὲ
ἔστιν ἅπας, χρυσῷ δ’ ἐπὶ χείλεα κεκράανται·
ϝέργον δ’ Ἡφαίστοιο· ’πόρεν δέ ϝε Φαίδιμος ἥρως
Σιδονίων βασιλεύς, ὅθ’ ἑϝὸς δόμος ἀμφεκάλυψε
κεῖσέ με νοστήσαντα· τεῒν δ’ ἐθέλω τόδ’ ὀπάσσαι. 115-119 = δ 615 sqq.

λ 340 sq. ξ 326 τ 295 φ 9 χ 109), verbi autem necessarius est pluralis propter versum 102 sq. Criticus apud Nauckium ἶκον, quae forma non reperitur in Homericis; ἴκοντο extat Γ 264 π 335. ‖ κειμήλι’ ἔκειτο] -λια κεῖτο mss.

104 φωριαμοῖσι] *arcis* (κιβωτοῖς, cf. χηλοί Π 221 etc.). Vox redit Ω 228, vid. etiam l. a. Z 288.

105 ἔνθα ϝ’(οι) ἔσαν vGendt] ἔνθα οἱ ἔσαν M, ἔνθ’ ἔσαν οἱ mss. cetera; cf. Z 289. Thiersch ἔνθα δ’ ἔσαν. ‖ οὓς ἔκαμ’ αὐτή] quando facere potuisset fuere qui rogarent (vid. schol.); hinc nata videtur l. a. ἔργα γυναικῶν DZk (ut Z 289). ‖ *ἔκαμ’] κάμεν mss.

106-108] del. Duentzer.

107 ἔην] ἔεν? vid. § 302.

109 ἴμεναι U] ἰέναι mss. cett.; cf. § 125. ‖ δώματα Eust.] δώματος mss., quae locutio in Hom. non redit, διὰ δώματα vero vel διὰ δῶμα solemne est, hic autem requiritur accusativus; cf. Α 600 δ 24,679 ζ 50 χ 495 (plur.), η 139 κ 546 π 276 ρ 479 σ 153, 341 (sing.) et vid. § 15 et 316. ‖ ἧος § 323] εἵως vel ἕως mss.

111 ὅπως φρεσὶ σῇσι] ἐνὶ φρεσὶν ὡς σύ P.

113-119] om. P, in margine habet H[2] excepto vs. 114, quem etiam F[1] X omittunt. Ludwich totum locum spurium (e δ repetitum) ducit; Duentzer del. vs. 115-119, servavit vs. 113 sq.; quem secuti sumus.

113 δώρων] δῶρον G M[1] U[1], δῶρα (δὲ) H[3] X; cf. δ 613.

118 ὅθ’ ἑϝὸς] cf. δ 618.

119 νοστήσαντα] cf. δ 619.

120 *ϝ’(οι)] addidimus; cf. § 13. ‖ χέρσ’ ἐτίθει] χερσὶ τίθει mss., l. a. χειρὶ τίθει (sic Ar.? vid. Α 585 et ad γ 51). Quoniam non de pleno poculo nunc sermo est (ut in versu simillimo ν 57), pluralis recte habet, item vs. 130.

πέπλον ἔχουσ’ ἐν χερσὶ ϝέπος τ’ ἔφατ’ ἔκ τ’ ὀνόμαζε·
„δῶρόν τοι καὶ ἐγώ, τέκνον φίλε, τοῦτο δίδωμι,
μνῆμ’ Ἑλένης χειρῶν, πολυηράτου εἰς γάμου ὥρην
σῇ ἀλόχῳ φορέειν· τῆος δὲ φίλῃ παρὰ μητρὶ
κείσθω ἐνὶ μεγάρῳ. σὺ δέ μοι χαίρων ἀφίκοιο
ϝοῖκον ἐὺ κτίμενον καὶ σὴν εἰς πατρίδα γαῖαν.“ 129 = δ 476
ὣς ϝειποῦσ’ ἐν χέρσ’ ἐτίθει, ὃ δ’ ἐδέξατο χαίρων· 130 cf. Α 446
καὶ τὰ μὲν εἰς πείρινθα ’τίθει Πεισίστρατος ἥρως
δεξάμενος, καὶ πάντα ἑϝῷ ’θηήσατο θυμῷ.
τοὺς δ’ ἦγε πρὸς δῶμα κάρη ξανθὸς Μενέλαος·
ἑζέσθην δ’ ἄρ’ ἔπειτα κατὰ κλισμούς τε θρόνους τε. 134 cf. α 145
χέρνιβα δ’ ἀμφίπολος προχόῳ ἐπέχευε φέρουσα 135-138 = α 136 sqq.
καλῇ χρυσείῃ ὑπὲρ ἀργυρέοιο λέβητος,
νίψασθαι· παρὰ δὲ ξεστὴν ἐτάνυσσε τράπεζαν.
σῖτον δ’ αἰδοίη ταμίη παρέθηκε φέρουσα·
πὰρ δὲ Βοηθοΐδης κρέ’ ἐδαίετο καὶ ’νέμε μοίρας·
’ϝοινοχόει δ’ υἱὸς Μενελάου κυδαλίμοιο.
οἱ δ’ ἐπ’ ὀνείαθ’ ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον. 142 sq. = Ι 91 sq.
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον εἷντο,
δὴ τότε Τηλέμαχος καὶ Νέστορος ἀγλαὸς υἱὸς 144 cf. δ 21
ἵππους τ’ ἐζεύγνυντ’ ἀνά θ’ ἅρματα ποικίλ’ ἔβαινον· 145 sq. = γ 492 sq.
ἐκ δ’ ἔλασαν προθύροιο καὶ αἰθούσης ἐριδούπου.
τοὺς δὲ μετ’ Ἀτρεΐδης ἔκιε ξανθὸς Μενέλαος,
ϝοῖνον ἔχων ἐν χειρὶ μελίφρονα δεξιτερῆφι 148 cf. Ω 284
χρυσέῳ ἐν δέπαϊ, ὄφρα λείψαντε κιοίτην· 149 sq.a = Ω 285 sq.

139 εἴδατα πόλλ’ ἐπιθεῖσα, χαριζομένη παρεόντων· 139 = α 140

124 χερσὶ] χειρὶ H X.

125] τῇ νῦν, καί σοι τοῦτο, τέκος, κειμήλιον ἔστω Macrob. Saturn. V 6 § 2; cf. Ψ 618. — Locum expressit Verg. Aen. III 486: *accipe et haec, manuum tibi quae monumenta mearum | sint, puer.* ‖ τέκνον φίλε] φίλε τέκνον L W; cf. X 84.

127 τῆος § 323] τείως mss. ‖ δὲ φίλῃ] caesura vitiosa, vid. § 8.

128 κείσθω] κεῖσθαι Ar. G F.

130 χέρσ’ ἐτίθει] χερσὶ τίθει mss., l. a. χειρὶ τίθει, cf. vs. 120 et 124.

131 πείρινθα] cf. Ω 190.

133 κάρη ξανθὸς] ceteris locis (Γ 284 etc.) abest κάρη.

135-139] del. Fick.

139] om. mss. pleraque, habent F U L W n q. Vid. ad α 139 sq.

140 κρέ’ ἐδαίετο] κρέα δ. mss.

141 οἰνοχόει Ar. G[1] M[2] U[1]] ᾠνοχόει mss. cett.; cf. Α 598.

143] in marg. habet F. ‖ εἷντο] ἕντο mss.

144 δὴ G] καὶ mss. pleraque.

145 τ’] om. P mss. alia.

149 χρυσέῳ ἐν δέπαϊ] ἐν δέπαϊ χρυσέῳ G F U (cf. σ 121 υ 261).

'στῆ δ' ἵππων προπάροιθε, δεδισκόμενος δὲ προσηύδα·
„χαίρετον, ὦ κούρω, καὶ Νέστορι ποιμένι λαῶν
Ϝειπέμεν'· ἦ γὰρ ἐμοί γε πατὴρ ὣς ἤπιος ἦεν,
ἧος ἐνὶ Τροίῃ 'πολεμίζομεν υἷες Ἀχαιῶν."
τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
„καὶ λίην κείνῳ γε, διοτρεφές, ὡς ἀγορεύεις,
πάντα τάδ' ἐλθόντες καταλέξομεν· αἲ γὰρ ἐγὼν ὣς
νοστήσας Ἰθάκηνδε, κιχεὶς Ὀδυσῆ' ἐνὶ Ϝοίκῳ,
Ϝείποιμ', ὡς παρὰ σεῖο τυχὼν φιλότητος ἁπάσης
ἔρχομαι, αὐτὰρ ἄγω κειμήλια πολλὰ καὶ ἐσθλά."
ὣς ἄρα Ϝοι Ϝειπόντι ἐπέπτατο δεξιὸς ὄρνις,
αἰετὸς ἀργὴν χῆνα φέρων ὀνύχεσσι πέλωρον
ἥμερον ἐξ αὐλῆς· οἳ δ' ἰύζοντες ἕποντο
ἀνέρες ἠδὲ γυναῖκες, ὃ δέ σφισιν ἐγγύθεν ἐλθὼν
δεξιὸς ἤιξε πρόσθ' ἵππων. οἳ δὲ Ϝιδόντες
'γήθησαν, καὶ πᾶσιν ἐνὶ φρεσὶ θυμὸς ἰάνθη.
τοῖσι δὲ Νεστορίδης Πεισίστρατος ἤρχετο μύθων·
„φράζεο δή, Μενέλαε διοτρεφές, ὄρχαμε λαῶν,
ἢ νῶιν τόδ' ἔφηνε θεὸς τέρας ἠὲ σοὶ αὐτῷ."
ὣς 'φάτ'· ἐμερμήριξε δ' Ἄρηι φίλος Μενέλαος,
ὅππως Ϝοι κατὰ μοῖραν ὑποκρίναιτο νοήσας.
τὸν δ' Ἑλένη τανύπεπλος ὑποφθαμένη 'φάτο μῦθον·
„κλῦτέ μοι· αὐτὰρ ἐγὼ μαντεύσομαι, ὥς μ' ἐνὶ θυμῷ
ἀθάνατοι βάλλουσι καὶ ὡς τελέεσθαι ὀίω.
ὡς ὅδε χῆν' ἥρπαξ' ἀτιταλλομένην ἐνὶ Ϝοίκῳ

152 cf. γ 314
152ᵇ cf. β 47
153 = γ 315
155ᵃ cf. α 46
159 cf. ρ 527 τ 272
159ᵇ = I 330
160 = N 821
161ᵇ = M 202
164 cf. Ω 320
165 = Ω 321
172ᵇ sq. = α 200 sq.

150 δεδισκόμενος] neglecto Ϝ (δεδϜ.), cf. § 139. Criticus apud Nauckium δὲ πάροιθ' ἵππων, at vid. locus parall.
152 Ϝειπέμεν' § 125] εἰπεῖν Ar. mss., alii olim εἴπετον.
153 ἧος § 323] εἵως (ἕως) mss. pleraque, ὁππότ' G.
156-158 ὥς ... ὡς] cf. Θ 538.
157 κιχεὶς § 208] κιχὼν G U Z, κιὼν Ar. et mss. pleraque (cf. γ 125 χ 479 ω 220), qua lectione recepta Ὀδυσῆ' pro dativo esset habendum, ut ε 398 γ 85, vid. schol. (Ὀδυσῆι habent H X k, Ὀδυσεῖ Eust.); sed languet κιών.
158] de optativo vid. ad Δ 314.
159 ἄγω] ἔχω X U (ἐγὼ P M).
160 ἐπέπτατο] cf. § 216.
161 πέλωρον] Nauck πέλωρος, quoniam *ingens robur et terrifica species* aptius aquilae quam anseri tribuuntur; obstant tamen versus par. M 202, 220.
162 ἥμερον] †, cf. ἡμερίς ε 69. ‖ ἰύζοντες] cf. P 66.
163 σφισιν] σφιν mss. multa.
167 δή] νῦν G D Z k.
168 ἢ] εἰ F H² M X n mss. alia; cf. § 327.
169 'φάτ'· ἐμερμήριξε] φάτο· μ. mss.
172 μοι schol. Δ 462] μευ (i. e. με', vid. § 92) mss.; vid. ad E 115 β 262. ‖ μαντεύσομαι] sic Ar.; l. a. μυθήσομαι; cf. ψ 251. ‖ *μ'(οι)] adiecimus; cf. I 459 et § 13.
173 τελέεσθαι] τετέλεσθαι X² D U Z k.

ἐλθὼν ἐξ ὄρεος, ὅθι Ϝοι γενεή τε τόκος τε,
ὣς Ὀδυσεὺς κακὰ πολλὰ παθὼν καὶ πόλλ' ἐπαληθεὶς
Ϝοίκαδε νοστήσει καὶ τίσεται· ἠὲ καὶ ἤδη
Ϝοίκοι, ἀτὰρ μνηστῆρσι κακὸν πάντεσσι φυτεύει."
τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
„οὕτω νῦν Ζεὺς θείη, ἐρίγδουπος πόσις Ἥρης·
τῷ κέν τοι καὶ κεῖθι θεῷ ὣς εὐχεταοίμην."
ἦ, καὶ ἐφ' ἵπποιιν μάστιγ' ἔβαλ'· οἳ δὲ μάλ' ὦκα
ἤιξαν πεδίονδε διὰ πτόλιος μεμαῶτες.
οἳ δὲ πανημέριοι 'σεῖον ζυγὸν ἀμφὶς ἔχοντες.
'δύσετό τ' ἠέλιος 'σκιάοντό τε πᾶσαι ἀγυιαί·
εἰς Φηρὰς δ' ἵκοντο Διοκλέεος ποτὶ δῶμα,
υἱέος Ὀρσιλόχοιο, τὸν Ἀλφειὸς 'τέκε παῖδα.
ἔνθα δὲ νύκτ' ἄεσαν, ὃ δ' ἄρα ξεινήι' ἔδωκε.
ἦμος δ' ἠριγένεια 'φάνη ῥοδοδάκτυλος Ἠώς,
ἵππους τ' ἐζεύγνυντ' ἀνὰ θ' ἅρματα ποικίλ' ἔβαινον·
ἐκ δ' ἔλασαν προθύροιο καὶ αἰθούσης ἐριδούπου.
αἶψα δ' ἔπειθ' ἵκοντο Πύλοι' αἰπὺ πτολίεθρον·
καὶ τότε Τηλέμαχος προσεφώνεε Νέστορος υἱόν·
„Νεστορίδη, πῶς κέν μοι ὑποσχόμενος τελέσειας
μῦθον ἐμόν; ξεῖνοι δὲ διαμπερὲς εὐχόμεθ' εἶναι
ἐκ πατέρων φιλότητος, ἀτὰρ καὶ ὁμήλικές εἰμεν,
ἥδε δ' ὁδὸς καὶ μᾶλλον ὁμοφροσύνησ' ἐνέηκε.
μή με παρ' ἐξ ἄγε νῆα, διοτρεφές, ἀλλὰ λίπ' αὖθι,
μή μ' ὁ γέρων ἀϜέκοντα κατάσχῃ Ϝῷ ἐνὶ Ϝοίκῳ

175ᵇ cf. H 128
176ᵇ = δ 81
177ᵃ cf. ξ 163
178 cf. ρ 159
180 = ϑ 465
181 = ϑ 467
184-191 = γ 486 sqq.
195 cf. 203
199 cf. κ 266

192 'μάστιξεν δ' ἐλάειν, τὼ δ' οὐκ ἀϜέκοντ' ἐπετέσθην. 192 = γ 494

176 ἐπαληθεὶς] ἔτ' ἀληθεὶς X D U² k.
178] suspicionem movet verbum post Ϝοῖκοι omissum; Nauck οἴκοι ἐών, Bothe ἥκει, μνηστήρεσσι κ. π. φυτεύων.
181 καὶ κεῖθι Ar. G F] κἀκεῖθι mss. pleraque; cf. § 9. ‖ εὐχεταοίμην § 191] -τοῴμην mss.
182 μάστιγ' ἔβαλ'· οἳ PKnight] μάστιν βάλε(ν)· τοὶ mss. Cf. Ψ 500.
185 'σκιάοντο § 191] σκιόωντο mss.
186 Φηρὰς] sic Ar. (alii olim δὲ Φερὰς? cf. vs. 297). ‖ Διοκλέεος § 73] Διοκλῆος mss. (Βαθυκλῆος P, cf. Π 594).
187 Ὀρσιλόχοιο L W] Ὀρτυλόχοιο X D Z, Ὀρτιλόχοιο mss. pleraque (sic Zen.?), vid. E 542 γ 489.
188 *δ' ἄρα ξεινήι' ἔδωκε] δὲ τοῖς πὰρ ξείνια θῆκεν mss.; vid. locus par.
191] del. Bothe.
192] vid. ad γ 494. ‖ 'μάστιξεν] -ξαν G. ‖ ἐλάειν § 191] ἐλάαν mss. ‖ ἀέκοντε i] ἄκοντε mss. cett.
193 Πύλοι' § 59] Πύλου mss.
198 ὁμοφροσύνησ' ἐνέηκε] -νῃσιν ἐνῆκε n, -νῃσιν ἐνήσει mss. cett. (ὀνήσει L W). ‖ ὁμοφροσύνησ'] vid. ad X 263.
199 αὖθι § 322] αὐτοῦ mss.
200 μ' ὁ] με? ‖ κατάσχῃ] κατίσχῃ G

ϝιέμενος φιλέειν· χρηὼ δέ με θᾶσσον ἱκέσθαι.“
ὣς ’φάτο· Νεστορίδης δὲ ἑϝῷ συμφράσσατο θυμῷ,
ὅππως ϝοι κατὰ μοῖραν ὑποσχόμενος τελέσειε. 203 cf. 195
ὧδε δέ ϝοι φρονέοντι ’δοάσσατο κέρδιον εἶναι· 204 = Ν 458
’στρέψ’ ἵππους ἐπὶ νῆα θοὴν καὶ θῖνα θαλάσσης· 205^{b} = δ 779
νηὶ δ’ ἐνὶ πρυμνῇ ἐξήνυτο κάλλιμα δῶρα, 206^{b} sq. cf. ϑ 439 sq.
ϝεσθῆτα χρυσόν τε, τά ϝοι Μενέλαος ἔδωκε,
καί μιν ἐποτρύνων ϝέπεα πτερόεντα προσηύδα· 208 cf. Ν 94
„σπουδῇ νῦν ἀνάβαινε κέλευέ τε πάντας ἑταίρους,
πρὶν ἐμὲ ϝοίκαδ’ ἱκέσθαι ἀπαγγεῖλαί τε γέροντι.
εὖ γὰρ ἐγὼ τόδε ϝοῖδα κατὰ φρένα καὶ κατὰ θυμόν· 211 = Δ 163
οἷος κείνοο θυμὸς ὑπέρβιος, οὔ σε μεθήσει, 212^{a} = Σ 262
ἀλλ’ αὐτὸς καλέων δεῦρ’ ἵξεται, οὐδέ ϝε φημὶ
ἂψ ἴμεναι κενεόν· μάλα γὰρ κεχολώσεται ἔμπης.“
ὣς ἄρα φωνήσας ἔλασεν καλλίτριχας ἵππους 215 cf. Λ 531
ἂψ Πυλίων εἰς ϝάστυ, θοῶς δ’ ἄρα δώμαθ’ ἵκανε.

Τηλέμαχος δ’ ἑτάροισιν ἐποτρύνων ἐκέλευσε· 217 = β 422
„ἐγκοσμεῖτε τὰ τεύχε’, ἑταῖροι, νηὶ μελαίνῃ,
αὐτοί τ’ ἀμβαίνωμεν, ἵνα πρήσσωμεν ὁδοῖο.“ 219^{b} sq.^{a} = Ω 264 [sq.
ὣς ἔφαθ’· οἳ δ’ ἄρα τοῦ μάλα μὲν ’κλύον ἠδ’ ἐπίθοντο, 220 = Η 379
αἶψα δ’ ἄρ’ εἴσβαινον καὶ ἐπὶ κληῖσι καθῖζον. 221 cf. ι 103
ἦ τοι ὃ μὲν τὰ ’πονεῖτο καὶ ηὔχετο, ’θῦε δ’ Ἀθήνῃ
νηὶ πάρα πρυμνῇ· σχεδόθεν δέ ϝοι ἤλυθεν ἀνὴρ

201] del. vHerwerden. ‖ *χρηὼ δέ με] ἐμὲ δὲ χρεὼ (χρεὼν M) mss.; PKnight ἐμὲ δὲ χρή; cf. § 8.
202 δὲ criticus apud Nauckium] δ’ ἄρ’ mss.
202 sq. συμφράσσατο … τελέσειε] -σαο … -σειας G.
205] de verborum structura vid. ad Π 656.
206 ἐξήνυτο] ἐξαίνυτο mss.
208 ἐποτρύνων] φωνήσας n.
209 τε] δὲ P H mss. alia.
212 κείνοο § 59] κείνου Ar. Ο 94, ἐκείνου mss.; cf. § 97.
213 ἵξεται G F] εἴσεται mss. cetera, vid. § 201 et 308 et cf. Ζ 367 Λ 182 δ 515 κ 276. ‖ ϝε] σε G F H M U L W n mss. alia.
214 ἴμεναι § 125] ἰέναι mss.
215 ἔλασεν] ἵμασε(ν) F M U n fortasse recte, vid. Λ 531 ε 380 (Λ 280 etc.).
217-221] del. Duentzer.
217 ἐποτρύνων G[1] P H M] -νας mss. multa; cf. β 422.
218 ἐγκοσμεῖτε] comp. †, vid. ad η 232; *τεύχεα νῦν κοσμῆσαι? ‖ τεύχε’] vid. ad δ 784. ‖ ἑταῖροι, νηὶ μελαίνῃ] ἐμοὶ ἐρίηρες ἑταῖροι P (cf. ι 172).
219 πρήσσωμεν] vid. ad Λ 483. ‖ ὁδοῖο] vid. ad Β 785.
221-286] del. Kammer, vs. 226-256 Nitzsch; Melampodis certe historia, de qua vid. Hesiod. fr. 168, postea inserta esse videtur.
221 ἐπὶ κληῖσι] vid. ad β 419.
222 ηὔχετο G] εὔχετο mss. cett.

τηλεδαπός, φεύγων ἐξ Ἄργεος ἄνδρα κατακτάς,
μάντις· ἀτὰρ γενεήν γε Μελάμποδος ἔκγονος ἦεν,
ὃς πρὶν μέν ποτ’ ἔναιε Πύλῳ ἔνι, μητέρι μήλων,
ἀφνειὸς Πυλίοισι μέγ’ ἔξοχα δώματα ναίων·
δὴ τότε γ’ ἄλλων δῆμον ἀφίκετο πατρίδα φεύγων
Νηλέα τε μεγάθυμον ἀγαυότατον ζωόντων,
ὅς ϝοι χρήματα πολλὰ τελεσφόρον εἰς ἐνιαυτὸν 230^{b} = δ 86
εἶχε βίῃ· ὃ δὲ τῆος ἐνὶ μεγάρῳ Φυλάκοιο
δεσμῷ ἓν ἀργαλέῳ ’δέδετο κρατέρ’ ἄλγεα πάσχων
εἵνεκα Νηλῆος κούρης ἀάτης τε βαρείης,
τήν ϝοι ἐνὶ φρέσ’ ἔθηκε θεὰ δασπλῆτις ἐρινύς.
ἀλλ’ ὃ μὲν ἔκφυγε κῆρα καὶ ἤλασε βοῦς ἐριμύκους
εἰς Πύλον ἐκ Φυλάκης καὶ ἐτίσατο ϝέργον ἀϝεικὲς
ἀντίθεον Νηλῆα, κασιγνήτῳ δὲ γυναῖκα
ἠγάγετο πρὸς δώμαθ’· ὃ δ’ ἄλλων ἵκετο δῆμον, 238^{a} cf. Π 190
Ἄργος ἓς ἱππόβοτον· τόθι γάρ νύ ϝοι αἴσιμον ἦεν
ναιέμεναι πολλοῖσι ϝανάσσοντ’ Ἀργείοισι.
ἔνθα δ’ ἔγημε γυναῖκα καὶ ὑψερεφὲς ’θέτο δῶμα,
’γείνατο δ’ Ἀντιφάτην καὶ Μάντιον, υἷε κραταιώ.
Ἀντιφάτης μὲν ἔτικτεν Ὀικλέεα μεγάθυμον,
αὐτὰρ Ὀικλήης λαοσσόον Ἀμφιάραον,
ὃν περὶ κῆρ’ ἐφίλει Ζεύς τ’ αἰγίοχος καὶ Ἀπόλλων
παντοίην φιλότητ’· οὐδ’ ἵκετο γήραος οὐδὸν,

225 Μελάμποδος] vid. ad λ 291.
226-255] del. Nitzsch.
227 μέγ’ ἔξοχα] cf. Β 480 φ 266. ‖ μέγ’] l. a. (Ar.?) μέτ’, i. e. *inter Pylios* (de metro vid. ad Λ 53).
228 δὴ τότε] vid. ad ν 92. ‖ ἄλλων] sic recte Eust. coll. vs. 238, vid. etiam Ω 481; ἄλλον F P X U[2] mss. alia. Cf. Ζ 225 π 382 υ 219.
231 τῆος] τέως μὲν mss., cf. § 322; μὲν del. PKnight. ‖ μεγάρῳ Nauck] -ροις mss.; cf. § 60. ‖ Φυλάκοιο] l. a. Ἰφίκλοιο.
233 Νηλῆος κούρης] de Nelei filia Pero vid. λ 287 sqq. ‖ ἀάτης] ἄτης mss.
234 ἐνὶ F U] ἐπὶ mss. cetera; vid. Λ 55. ‖ φρέσ’ ἔθηκε] φρεσὶ θῆκε mss. ‖ δασπλῆτις] vox † ignotae originis et potestatis (hinc sumsit Theocr. II 14); l. a. δυσπλῆτις, quam scholion interpretatur δυσπροσπέλαστος.
238 ὃ δ’] vid. ad Λ 191. ‖ ἄλλων ἵκετο] l. a. ἄλλον ἀφίκετο (cf. Ω 481) metro invito; vid. § 3 et ad vs. 228.
239 τόθι] adv. redit h. Ap. 244 h. XVIII 25; l. a. ὅθι, fortasse recte, vid. Κ 127 Μ 344 Ψ 9 (Ψ 854 Υ 77).
243 ἔτικτεν] τίκτεν G U. ‖ Ὀικλέεα § 73] -κλῆα mss.
244-248] del. PKnight.
244 Ὀικλήης] Ὀικλείης mss, l. a. apud Didymum Ὀικλῆς (? — Ὀικλήης ed. Flor.); cf. § 73. ‖ Ἀμφιάραον Ar.] -ρηον Zen., sic mss. pleraque h. l. et vs. 253; cf. § 5.
245 sq. ὃν … παντοίην] τὸν (sic n) … παντοίῃ Plat. Axioch. 368 *a*.
245 κῆρ’ ἐφίλει] κῆρι φ. mss. ‖ Ἀπόλλων] Ἀθήνη G P (vid. Θ 287).
246 οὐδ’] *nec tamen*; non recte *itaque non* intellegunt Plat. Axioch. l. l. et Plutarch. Mor. 111 *b*. ‖ γήραος οὐδὸν] vid. ad Χ 60.

ἀλλ' ὄλετ' ἐν Θήβησι γυναίων εἵνεκα δώρων· 247ᵇ = λ 521
τοῦ δ' υἷες ἐγένοντ' Ἀλκμάων Ἀμφίλοχός τε.
Μάντιος αὖ 'τέκετο Πολυφείδεά τε Κλεῖτόν τε.
ἀλλ' ἤ τοι Κλεῖτον χρυσόθρονος ἥρπασεν Ἠὼς
κάλλεος εἵνεκα ϝοῖο, ἵν' ἀθανάτοισι μετείη. 251 = Υ 235
αὐτὰρ ὑπέρθυμον Πολυφείδεα μάντιν Ἀπόλλων
'θῆκε βροτῶν ὄχ' ἄριστον, ἐπεὶ 'θάνεν Ἀμφιάραος·
ὅς ῥ' Ὑπερησίηνδ' ἀπενάσσατο πατρὶ χολωθείς, 254ᵇ cf. Β 629
ἔνθ' ὅ γε ναιετάων 'μαντεύετο πᾶσι βροτοῖσι.
τοῦ μὲν ἄρ' υἱὸς ἐπῆλθε, Θεοκλύμενος δ' ὄνομ' ἦεν,
ὃς τότε Τηλεμάχου πέλας ἵστατο· τὸν δ' ἐκίχανε
σπένδοντ' εὐχόμενόν τε θοῇ παρὰ νηὶ μελαίνῃ,
καί μιν φωνήσας ϝέπεα πτερόεντα προσηύδα· 259 = ν 227
„ὦ φίλ', ἐπεί σε θύοντα κιχάνω τῷδ' ἐνὶ χώρῳ, 260 cf. ν 228
λίσσομ' ὑπὲρ θυέων καὶ δαίμονος, αὐτὰρ ἔπειτα
σῆς τ' αὐτοῦ κεφαλῆς καὶ ἑταίρων, οἵ τοι ἕπονται·
ϝειπέ μοι εἰρομένῳ νημερτέα μηδ' ἐπικεύσῃς· 263ᵃ = ω 114 cf. [ω 474
τίς πόθεν ἔσσ' ἀνδρῶν; πόθι τοι πόλις ἠδὲ τοκῆες;“ 264 = α 170
τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα· 265 sq. = π 112 sq.
„τοιγὰρ ἐγώ τοι, ξεῖνε, μάλ' ἀτρεκέως ἀγορεύσω. 266 = α 214
ἐξ Ἰθάκης γένος εἰμί, πατὴρ δέ μοί ἐστιν Ὀδυσσεύς,
εἴ ποτ' ἔην· νῦν δ' ἤδη ἀπέφθιτο λυγρῷ ὀλέθρῳ.
τοὔνεκα νῦν ἑτάρους τε λαβὼν καὶ νῆα μέλαιναν
ἦλθον πευσόμενος πατρὸς δϝὴν οἰχομένοιο.“ 270 cf. α 281
τὸν δ' αὖτε προσέϝειπε Θεοκλύμενος θεοϝειδής·
„οὕτω τοι καὶ ἐγὼν ἐκ πατρίδος ἄνδρα κατακτὰς
ἔμφυλον — πολλοὶ δὲ κασίγνητοί τε ϝέται τε 273ᵇ = Π 456
Ἄργος ἀν' ἱππόβοτον, μέγα δὲ κρατέουσιν Ἀχαιῶν —

251 Ar. —

247 γυναίων] vid. ad λ 521.
248 υἷες § 78] υἱεῖς mss.
253 Ἀμφιάραος] -ρηος mss. pleraque, vid. ad vs. 244.
254 sq.] cum vs. 251 del. PKnight.
254 Ὑπερησίηνδ'] -σίην F D.
256 τοῦ] scil. Μελάμποδος, vid. vs. 225.
261 αὐτὰρ ἔπειτα] ἠδὲ τοκήων XDZk non male, cf. Χ 338, 345 (Γ 140 Ο 663 ο 382).
263 ἐπικεύσῃς] aor. in -σα †, alias (π 168 σ 171) μηδ' ἐπίκευθε.
264 ἔσσ' § 302] εἰς mss.
266 ἀγορεύσω] καταλέξω P (cf. α 206).
268 εἴ ποτ' ἔην] vid. ad Γ 180. || ἔην] ἔεν? vid. § 302. || λυγρῷ ὀλέθρῳ] λυγρὸν ὄλεθρον libri „meliores" apud Didymum; vid. ι 303 et ad γ 87.
272 τοι] δὴ H².
273 ἔμφυλον] †.

τῶν ὑπαλευάμενος θάνατον καὶ κῆρα μέλαιναν
φεύγω, ἐπεί νύ μοι αἶσα κατ' ἀνθρώπους ἀλαλῆσθαι.
ἀλλά με νηὸς ἔφεσσαι, ἐπεί σε φυγὼν ἱκέτευσα,
μή με κατακτείνωσι· διωκέμεναι γὰρ ὀίω.“
τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
„οὐ μὲν δή σ' ἐθέλοντά γ' ἀπώσω νηὸς ἐϝίσης,
ἀλλ' ἕπε'· αὐτὰρ κεῖθι φιλήσεαι, οἷά κ' ἔχωμεν.“
ὣς ἄρα φωνήσας ϝοι ἐδέξατο χάλκεον ἔγχος, 282 = π 40
καὶ τό γ' ἐπ' ἰκριόφιν 'τάνυσεν νεὸς ἀμφιϝελίσσης·
ἂν δὲ καὶ αὐτὸς νηὸς ἐβήσετο ποντοπόροιο, 284 sq. cf. β 416 sq.
ἐν πρύμνῃ δ' ἄρ' ἔπειτα καθέζετο, πὰρ δὲ ϝοὶ αὐτῷ
εἷσε Θεοκλύμενον· τοὶ δὲ πρυμνήσι' ἔλυσαν. 286ᵇ = β 418
Τηλέμαχος δ' ἑτάροισιν ἐποτρύνων ἐκέλευσε 287 = β 422
ὅπλων ἅπτεσθαι, τοὶ δ' ἐσσυμένως ἐπίθοντο· 288 cf. β 423
ἱστὸν δ' ἐλάτινον κοίλης ἔντοσθε μεσόδμης 289-291 = β 424 sqq.
'στῆσαν ἀείραντες, κατὰ δὲ προτόνοισιν ἔδησαν,
εἷλκον δ' ἱστία λευκὰ ἐϋ στρεπτοῖσι βοεῦσι.
τοῖσιν δ' ἴκμενον οὖρον ἵει γλαυκῶπις Ἀθήνη, 292 = β 420
λάβρον ἐπαιγίζοντα δι' αἰθέρος, ὄφρα τάχιστα
294 νηῦς ἀνύσειε θέουσα θαλάσσης ἁλμυρὸν ὕδωρ. 294ᵇ = μ 236
296 'δύσετό τ' ἠέλιος 'σκιάοντό τε πᾶσαι ἀγυιαί· 296 = β 388
ἡ δὲ Φεὰς ἐπέβαλλεν ἐπειγομένη Διὸς οὔρῳ 297 cf. h. Ap. 427
ἠδὲ παρ' Ἦλιδα δῖαν, ὅθι κρατέουσιν Ἐπειοί. 298 = h. Ap. 426 cf. ν 275

295 'βὰν δὲ παρὰ Κρουνοὺς καὶ Χαλκίδα καλλιρέεθρον. 295 cf. h. Ap. 425

275 sq.] del. Duentzer.
275 τῶν ... θάνατον] cf. νοῦσον Διός ι 411. || ὑπαλευάμενος] -όμενος P U²; comp. †, vid. ad Ο 180.
277 ἔφεσσαι] cf. § 220. || φυγὼν] πρῶτον G (cf. ρ 573).
280 ἐθέλοντά γ'] γ' om. P; Barnes ἀέκοντά γ', Nauck ἐθέλων γε vel δή σε ἑκών γε, sed hoc significaret *invitus te repellam.*
281 ἕπε' § 117] ἕπευ mss.
282 ϝοι] vid. ad Α 596.
284 ἐβήσετο] -σατο P M mss. alia.
285] νηὶ δ' ἐνὶ πρυμνῇ κατ' ἄρ' ἕζετο, ἄγχι δ' ἄρ' αὐτοῦ n. || καθέζετο] παρέζετο F.
287 ἐποτρύνων F n²] -νας mss. pleraque; vid. vs. 217 et β 422.
289 ἐλάτινον § 21] εἰλάτινον mss. || μεσόδμης] -δνης G. De voce vid. ad τ 37.
291 εἷλκον] ἕλκον mss.
292 ἴκμενον] vid. ad Α 479.
293 ἐπαιγίζοντα] sic Ar., ἐπαΐσσοντα Aristophanes. Cf. Β 148.
295] e codice Mori se supplevisse dicit Barnes; in ceteris mss. non legitur, sed affertur a Strabone VIII p. 350 et X p. 447 (hic Χαλκίδα πετρήεσσαν); memoriae errore Strabonem hunc locum cum h. Ap. vs. 425 miscuisse putat Kirchhoff. || καλλιρέεθρον] vid. ad κ 107.
296 'σκιάοντο § 191] σκιόωντο mss.
297 Φεὰς Ar. (teste Ariston. Η 135) Strab. VIII p. 350] Φερὰς mss. || ἐπέβαλλεν] cf. Ζ 68. || ἐπειγομένη] ἀγαλλομένη Strab. l. l. et h. Ap. 427.
298-300] del. Duentzer, vs. 299 sq. Hartman, unum vs. 300 Kammer.

ἔνθεν δ' αὖ νήσοισιν ἐπιπροέηκε θοῇσι 299^b cf. *P* 708
ὁρμαίνων, ἤ κεν θάνατον φύγῃ ἤ κε Ϝαλώῃ. 300^a cf. δ 789

———

τὼ δ' αὖτ' ἐν κλισίῃ Ὀδυσεὺς καὶ δῖος ὑφορβὸς 301 = π 1
'δορπεέτην· παρὰ δέ σφιν ἐδόρπεον ἀνέρες ἄλλοι.
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον εἶντο, 303 = *A* 469
τοῖσ' Ὀδυσεὺς μετέϜειπε συβώτεω πειρητίζων, 304 cf ξ 459
ἤ μιν ἔτ' ἐνδυκέως φιλέοι μεῖναί τε κελεύοι
αὐτόθ' ἐνὶ σταθμῷ ἤ' ὀτρύνειε πόλινδε·
„κέκλυθι νῦν, Εὔμαιε καὶ ἄλλοι πάντες ἑταῖροι· 307 = ξ 462
ἠῶθεν προτὶ Ϝάστυ λιλαίομαι ἀπονέεσθαι
πτωχεύσων, ἵνα μή σε κατατρύχω καὶ ἑταίρους. 309^b cf. π 84
ἀλλά μοι εὖ ὑποθέσθαι ἅμ' ἡγεμόν' ἐσθλὸν ὀπάσσας,
ὅς κέ με κεῖσ' ἀγάγῃ· κατὰ δὲ πτόλιν αὐτὸς ἀνάγκῃ
πλάγξομαι, αἴ κέν τις κοτύλην καὶ πυρνὸν ὀρέξῃ. 312^b cf. ϱ 12^a
καί κ' ἐλθὼν πρὸς δώματ' Ὀδυσσῆος θείοιο 313 cf. ϱ 230
ἀγγελίην Ϝείποιμι περίφρονι Πηνελοπείῃ,
καί κε μνηστήρεσσιν ὑπερφιάλοισι μιγείην.
εἴ μοι δεῖπνον δοῖεν ὀνείατα μυρί' ἔχοντες,
αἶψά κ' ἐὺ δράοιμι μετὰ σφίσιν ὅττι θέλοιεν.

299 *ἐπιπροέηκε*] scil. Telemachus. ‖ *θοῇσι*] mirum *insularum* epitheton (versu parallelo est *navium*); *acutas* interpretantur veteres coll. *θοῶσαι* ι 327, vid. Strabo VIII p. 351 X p. 459 et Plut. Vit. Hom. 21; item Buttmann, pro nomine proprio habens (vid. ad *A* 99).

300 *ἤ κεν*] *εἴ κεν* H^2 mss. alia; cf. § 327. ‖ *φύγῃ* Y] *-οι* mss. cett. ‖ *Ϝαλώῃ*] *ἀλοίη* i, *ἁλῴη* (*ἀλώῃ*) mss. multa; cf. ξ 183.

301 *κλισίῃ*] *κλισίῃσ'* (sic) G^1 M D, *-ῃς* (*-ῃς*) H^1 mss. alia. Cf. ξ 45, 48, 194, 408; varietas redit π 1.

302 *'δορπεέτην* § 191] *-είτην* mss.

303 *εἶντο*] *ἕντο* mss.

304 *τοῖς* F] *τοῖς δ'* mss. cetera; cf. ξ 459. ‖ *συβώτεω*] forma novicia, vid. § 55; *συφορβόο* Fick versu parall.

305 *ἤ* P M] *εἴ* mss. cetera; cf. § 327.

306 *αὐτόθ'* § 322] *αὐτοῦ* (*αὐτῷ*) mss.

307 *νῦν*] *νῦν μ'* H^2, *δὴ* W.

308 *ἀπονέεσθαι*] cf. § 21.

309 *πτωχεύσων*] *πτωχεύων* G^1 P.

310 *εὖ* P H^1 D U^2] *εὖ θ'* G F H^2 U^1. ‖ **ὑποθέσθαι ἅμ' ... ὀπάσσας*] *ὑπόθευ* (*-θου* G) *καὶ ἅμ'* (l. a. *μ'*) ... *ὄπασσον* mss.; cf. *A* 788, in vulgata novicium est *-θευ* (vid. § 117).

312 *κοτύλην*] vox redit *X* 494 ϱ 12 (et alio sensu *E* 306 sq.); pro *potu* dicitur, ut *χοῖνιξ* pro *cibo* τ 28. ‖ *πυρνὸν* Etym. M. 697,46] *πύρνον* (immo *πῦρνον*) mss., *panem* (*offam*) *triticeum*; vox ϱ 12, 362 redit, cf. *ἄρτος* ϱ 343 σ 120.

314 *περίφρονι*] *δαΐφρονι* Eust.; cf. vs. 356.

316 sq.] del. Duentzer.

317 *κ' ἐὺ*] *κεν εὖ* mss. ‖ *δράοιμι* § 190 et 191] *δρώοιμι* mss. Verbum †, *παραδρ.* vs. 324, *ὑποδρ.* vs. 333; cf. *δραίνω* *K* 96, *ὀλιγοδρανέω* *O* 246 etc., *δρηστήρ -ειρα* π 248 etc. (vid. ad ο 330), *δρηστοσύνη* ο 321. ‖ *ὅττι θέλοιεν* F P H] *ὅττ' ἐθέλοιεν* G M X n mss. alia male; fortasse verum est *ὅσσ' ἐθέλοιεν*, quam lectionem Aristarcho iure tribuit Lehrs. Cf. *A* 277, 554.

ἐκ γάρ τοι Ϝερέω, σὺ δὲ σύνθεο καί με' ἄκουσον· 318 = ω 265 cf. *Z* 334
Ἑρμείαο Ϝέκητι διακτόρου, ὅς ῥά τε πάντων
ἀνθρώπων Ϝέργοισι χάριν καὶ κῦδος ὀπάζει,
δρηστοσύνῃ οὔ κέν μοι ἐρίσσειε βροτὸς ἄλλος,
πῦρ τ' ἐὺ νηῆσαι διά τε ξύλα δανὰ κεάσσαι
δαιτρεῦσαί τε καὶ ὀπτῆσαι καὶ Ϝοινοχοῆσαι,
οἷά τε τοῖσ' ἀγαθοῖσι παραδράουσι χέρηες."
τὸν δὲ μέγ' ὀχθήσας προσέφης, Εὔμαιε συβῶτα· 325^a cf. *H* 454
„ὤ μοι, ξεῖνε, τίη τοι ἐνὶ φρεσὶ τοῦτο νόημα 326 sq.^{a} cf. β 363 sq.
ἔπλετο; ἦ σύ γε πάγχυ λιλαίεαι αὐτόθ' ὀλέσθαι;
εἰ δὴ μνηστήρων ἐθέλεις καταδύμεν' ὅμιλον,
τῶν ὕβρις τε βίη τε σιδήρεον οὐρανὸν ἵκει. 329 = ϱ 565
κείνων οὐ τοιοίδε ὑποδρηστῆρες ἔασι,
ἀλλὰ νέοι, χλαίνας ἐὺ Ϝειμένοι ἠδὲ χιτῶνας,
αἰεὶ δὲ λιπαροὶ κεφαλὰς καὶ καλὰ πρόσωπα,
οἵ σφιν ὑποδράουσιν· ἐύξεστοι δὲ τράπεζαι 333^b sq.^{a} = ι 8 sq.
σίτου καὶ κρεάων καὶ Ϝοίνου βεβρίθασι.
ἀλλὰ μέν'· οὐ γάρ τίς τοι ἀνιάεται παρεόντι,
οὔτ' ἐγὼ οὔτε τις ἄλλος ἑταίρων, οἵ μοι ἔασι.
αὐτὰρ ἐπεί κ' ἔλθῃσιν Ὀδυσσῆος φίλος υἱός, 337 = ξ 515
κεῖνός σε χλαῖνάν τε χιτῶνά τε Ϝείματα Ϝέσσει, 338 cf. ξ 516
πέμψει δ' ὅππῃ σε κραδίη θυμός τε κελεύει." 339 = ξ 517
τὸν δ' ἠμείβετ' ἔπειτα πολύτλας δῖος Ὀδυσσεύς·
„αἴθ' οὕτως, Εὔμαιε, φίλος Διὶ πατρὶ γένοιο 341 sq.^{a} = ξ 440 sq.

318 *με'* § 92] *μευ* mss.

321 *δρηστοσύνῃ*] †, Ahrens *δρησμοσύνῃ*, cf. *δρησμοσύνη* (?) h. Cer. 477; vid. ad ο 317. ‖ *οὔ κέν* § 326] *οὐκ ἄν* mss.

322] cf. Ar. Pac. 1134. ‖ *δανὰ*] †, *arida*; *πολλὰ* G X mss. alia. Adi. a stirpe *δα-* (§ 176) ductum, cf. *κάγκᾰνος* (ad Φ 364) a radice *κα*.

324 *τοῖς*] articulus molestus. ‖ *παραδράουσι* § 190 et 191] *-ώωσι* mss.; comp. †, vid. ad vs. 317; vHerwerden *ὑποδρ.* coll. vs. 330 et 333. ‖ *χέρηες*] cf. § 87.

328 *εἰ δὴ*] vid. ad *A* 61. ‖ *καταδύμεν'* § 125] *-δῦναι* mss.

329 *σιδήρεον*] insolitum h. l. et ϱ 565 epitheton coeli, quod *aeneum* dici solet (vid. E 504 *P* 425 γ 2); **σιδηρέη*? Cf. *P* 424 sq. *σιδήρειος δ' ὀρυμαγδὸς χάλκεον οὐρανὸν ἷκε*, et *μένος*, *ἦτορ σιδήρεον*, *κραδίη σιδηρέη*, *θυμὸς σιδήρεος* (X 357 Ψ 177 Ω 205 δ 293 etc.).

330 **κείνων οὐ τοιοίδε ὑποδρηστῆρες ἔασι*] *οὔ τοι τοιοίδ' εἰσὶν ὑποδρηστῆρες ἐκείνων* mss.; novicium est *ἐκείνων* (§ 97). ‖ *ὑποδρηστῆρες*] comp. †, cf. *ὑποδμώς* δ 386; simplex *δρηστήρ* legitur π 248 σ 76 υ 160, *δρήστειρα* κ 349 τ 345. Vid. ad ο 317.

332-334] del. Duentzer.

332 *καλὰ πρόσωπα*] opponuntur senis faciei rugosae et morosae.

333 *ὑποδράουσιν* § 190 et 191] *-ώωσιν* mss.; comp. †. Vid. ad vs. 317.

334 *κρεάων* § 2 et 72] *κρειῶν* mss. ‖ *καὶ* PKnight] *ἠδ'* mss. ‖ *Ϝοίνου*] *Ϝοίνοο*? vid. § 59.

335 *ἀνιάεται* § 191] *ἀνιᾶται* mss.

337 *ἐπεί κ'* § 326] *ἐπὴν* mss.

ὡς ἐμοί, ὅττι μ' ἔπαυσας ἄλης καὶ ὀιζύος αἰνῆς.
πλαγκτοσύνης δ' οὐκ ἔστι κακώτερον ἄλλο βροτοῖσι·
ἀλλ' ἕνεκ' ὀλομένης γαστρὸς κακὰ κήδε' ἔχουσι
ἀνέρες, ὅν τιν' ἵκηται ἄλη καὶ πῆμα καὶ ἄλγος.
νῦν δ' ἐπεὶ ἰσχανάεις μεῖναί τέ με κεῖνον ἄνωγας,
Ϝείπ' ἄγε μοι περὶ μητρὸς Ὀδυσσῆος θείοιο
πατρός θ', ὃν κατέλειπεν ἰὼν ἐπὶ γήραος οὐδῷ,
ἤ ποθ' ἔτι ζώουσιν ὑπ' αὐγὰς ἠελίοιο,
ἦ ἤδη τεθνᾶσι καὶ ἐν ἈϜίδαο δόμοισι." 350 cf. X 52
τὸν δ' αὖτε προσέϜειπε συβώτης ὄρχαμος ἀνδρῶν· 351 = 389 π 36
„τοιγὰρ ἐγώ τοι, ξεῖνε, μάλ' ἀτρεκέως ἀγορεύσω. 352 = α 214
Λαέρτης μὲν ἔτι ζώει, Διὶ δ' εὔχεται αἰεὶ
θυμὸν ἀπὸ μελέων φθίσθαι Ϝοῖσ' ἐν μεγάροισι·
ἐκπάγλως γὰρ παιδὸς ὀδύρεται οἰχομένοιο
κουριδίης τ' ἀλόχοιο δαΐφρονος, ἥ Ϝε μάλιστα
ἤκαχ' ἀποφθιμένη καὶ ἐν ὠμῷ γήρα' ἔθηκε.
ἣ δ' ἄχεϊ Ϝοῦ παιδὸς ἀπέφθιτο κυδαλίμοιο,
λευγαλέῳ θανάτῳ· ὣς μὴ θάνοι, ὅς τις ἐμοί γε
ἐνθάδε ναιετάων φίλος εἴη καὶ φίλα Ϝέρδοι.
ὄφρα μὲν οὖν δὴ κείνη ἔην ἀχέουσά περ ἔμπης,
τόφρα τί μοι φίλον ἦσκε μεταλλῆσαι καὶ ἐρέσθαι, 362 cf. γ 69
οὕνεκά μ' αὐτὴ 'θρέψεν ἅμα Κτιμένῃ τανυπέπλῳ
θυγατέρ' ἰφθίμῃ, τὴν ὁπλοτάτην 'τέκε παίδων· 364ᵃ = κ 106
τῇ ὁμοῦ ἐτρεφόμην, ὀλίγον δέ τί μ' ἦσσον ἔτιε.
αὐτὰρ ἐπεί ῥ' ἥβην πολυήρατον ἱκόμεθ' ἄμφω,

343-345] del. Bekker; PKnight deleverat vs. 345, quem om. F, in margine habent G U.
343 πλαγκτοσύνης] †, vid. ad μ 61. ‖ δ'] om. P.
344 ὀλομένης § 21] οὐλ. mss. ‖ κήδε' G¹ F M U n] μήδε' G² P H X.
345 ὅν] ὧν G² P H¹ M¹. ‖ τιν'] κεν Eust.
346 ἰσχανάεις § 191] -νάᾳς mss.
348 γήραος οὐδῷ] vid. ad X 60.
349 ἤ § 327] εἰ mss. ‖ ποθ' § 322] που mss.
350 ἐν § 315] εἰν mss.
354 Ϝοῖσ' ἐν μεγάροισι] l. a. μεγάροισιν ἑοῖσιν.
356 δαΐφρονος] de *muliere* dictum nonnisi h. Cer. 360 redit, vHerwerden περίφρονος coll. l. a. vs. 314.
357 ἐν] om. X Eust. ‖ ὠμῷ] *senectutis* epitheton †, alias (Δ 35 etc.) *carnium*. Alio sensu ὠμογέρων dicitur Ψ 791. ‖ γήρα' ἔθηκε] γήραϊ θῆκεν mss. (δῶκεν Eust. omisso ἐν).
359] ipsamne sibi mortem conscivisse significat poeta? vid. ad λ 197.
361 ἔην] ἔεν? vid. § 19 et 302.
362 ἦσκε] ἴσκε mss.
363 'θρέψεν] ἔθρεψεν H² X mss. alia. ‖ Κτιμένῃ] cf. κ 441.
364 θυγατέρ'] § 13. Male Apoll. lex. θυγατρί, 'Ιφθίμη (nomin.); vid. δ 797 et ad Δ 99. ‖ παίδων] aut omnes praeter Ulixem *puellae* fuerunt, aut cum π 119 (id quod putat Volkmann) pugnat hic versus.
365 ἔτιε] ἐτίμα mss.; cf. § 165.

τὴν μὲν ἔπειτα Σάμηνδ' ἔδοσαν καὶ μυρί' ἕλοντο·
αὐτὰρ ἐμὲ χλαῖνάν τε χιτῶνά τε Ϝείματα κείνη
καλὰ μάλ' ἀμφιϜέσασα ποσίν θ' ὑποδήματα δοῦσα
ἀγρόνδε προΐαλλε· 'φίλει δέ με κηρόθι μᾶλλον.
νῦν δ' ἤδη τούτων ἐπιδεύομαι· ἀλλά μοι αὐτῷ
Ϝέργον ἀέξουσιν μάκαρες θεοί, ᾧ ἐπιμίμνω· 372 cf. ξ 65 sq.
τῶν ἔφαγόν τ' ἔπιόν τε καὶ αἰδοίοισιν ἔδωκα.
ἐκ δ' ἄρα δεσποίνης οὐ μείλιχον ἔστιν ἀκοῦσαι
οὐ Ϝέπος οὐδέ τι Ϝέργον, ἐπεὶ κακὸν ἔμπεσε Ϝοίκῳ, 375ᵇ cf. β 45
ἄνδρες ὑπερφίαλοι· μέγα δὲ δμῶες χατέουσι
ἀντία δεσποίνης φάσθαι καὶ ἕκαστα πυθέσθαι
καὶ φαγέμεν πιέμεν τε, ἔπειτα δὲ καί τι φέρεσθαι
ἀγρόνδ', οἷά τε θυμὸν αἰεὶ δμώεσσιν ἰαίνει."
τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
383 „ἀλλ' ἄγε μοι τόδε Ϝειπὲ καὶ ἀτρεκέως κατάλεξον, 383 = K 384
ἠὲ διεπράθετο πτόλις ἀνδρῶν εὐρυάγυια,
ᾗ ἔν ἐναιετάεσκε πατὴρ καὶ πότνια μήτηρ,
ἦ σέ γε μουνωθέντα παρ' οἴεσιν ἢ παρὰ βουσὶ
387 ἄνδρες δυσμενέες νηυσὶν 'λάβον ἠδ' ἐπέρασσαν."

381 ὦ πόποι, ὡς ἄρα τυτθὸς ἐών, Εὔμαιε συβῶτα,
πολλὸν ἀπεπλάγχθης σῆς πατρίδος ἠδὲ τοκήων.

367 ἕλοντο] vid. ad ξ 297.
368 εἵματα κείνη J] εἵματ' ἐκείνη mss. cett.; cf. § 97.
369 θ' G F D k] δ' mss. cetera. ‖ ὑποδήματα] vox redit σ 361, alias (B 44 etc.) est πέδιλα; ecquid *πόδεσσι δὲ δοῦσα πέδιλα? cf. π 80.
371-379] del. PKnight, unum vs. 373 Duentzer; huic assentitur Hartman, e ludicro poemate desumtum ratus.
373 αἰδοίοισιν] alii de *supplicibus* dictum accipiebant (vid. ε 447 η 165, 181 ι 271), alii versum interpretabantur *hinc edi bibi amavi* (cf. N 568); his assensi sunt Scaliger Ernesti Cobet (Mnemos. 1874 p. 169), supplices hoc adiectivo sic potuisse designari iure negantes. Alteram tamen sententiam in illa tempora minime quadrare et ab epico sermone alienam esse vere observarunt Clarke vHerwerden (Revue de Phil. 1879 p. 75); quapropter Naber (Mnemos. 1884 p. 206) probabiliter coniecit αἰτίζουσιν. vid. τ 76; postea (Mnemos. 1891 p. 321) ἀλλοδαποῖσιν coll. ρ 485.
375 οὐ ... οὐδέ criticus apud Nauckium] οὔτ' ... οὔτε mss.
377 ἕκαστα] neglecto Ϝ; *ἐρέειν τε Ϝέκαστα? vid. ξ 128.
378 φαγέμεν πιέμεν] cf. § 126.
379 αἰεὶ δμώεσσιν] ἐνὶ στήθεσσιν M X D Z k. ‖ αἰεὶ F¹ U, cf. § 17 et 324] ἀεὶ mss. cetera.
380 492] a diasceuasta non fictos esse suspicatur Fick sed ita mutatos ut in primam personam converteret quae priscus poeta suo nomine de Ulixe narrasset.
381 sq.] del. Friedlaender.
385 ἔν ἐναιετάεσκε] ἔνι ναιετάεσκε (P X U) vel -τάασκε (G F H) mss.; cf. § 191.
386 ἦ σέ γε] ἠέ σε G, fortasse recte. ‖ μουνωθέντα] verbum redit π 117, cf. οἰόω Z 1 Δ 401 (470?). ‖ οἴεσιν] corruptum, cf. § 64 et 74.

τὸν δ' αὖτε προσέϜειπε συβώτης ὄρχαμος ἀνδρῶν· 389 = 351
„ξεῖν', ἐπεὶ ἂρ δὴ ταῦτά μ' ἀνείρεαι ἠδὲ μεταλλᾷς, 390 = α 231
σιγῇ νῦν ξυνίει καὶ τέρπεο πῖνέ τε Ϝοῖνον
ἥμενος. αἵδε δὲ νύκτες ἀθέσφατοι· ἔστι μὲν εὕδειν,
ἔστι δὲ τερπομένοισιν ἀκουέμεν· οὐδέ τί σε χρὴ,
πρὶν ὥρη, καταλέχθαι· ἀνίη καὶ πολὺς ὕπνος.
τῶν δ' ἄλλων ὅν τε κραδίη καὶ θυμὸς ἀνώγῃ, 395 cf. ϑ 204
εὑδέτω ἐξελθών, ἅμα δ' ἠόι φαινομένηφι 396[b] = Ι 618
δειπνήσας ἅμ' ὕεσσι Ϝανακτορίῃσιν ἑπέσθω.
νῶι δ' ἐνὶ κλισίῃ πίνοντέ τε δαινυμένω τε
κήδεσιν ἀλλήλων τερπώμεθα λευγαλέοισι,
μναομένω· μετὰ γάρ τε καὶ ἄλγεσι τέρπεται ἀνήρ.
τοῦτο δέ τοι Ϝερέω, ὅ μ' ἀνείρεαι ἠδὲ μεταλλᾷς· 402 = Γ 177
„νῆσός τις Συρίη κικλήσκεται, εἴ ποθ' ἀκούεις,
Ὀρτυγίης καθύπερθεν, ὅθι τροπαὶ ἠελίοιο,
οὔ τι περιπληθὴς λίην τόσον, ἀλλ' ἀγαθὴ μὲν,

388 τοῦδ' ἀνδρὸς πρὸς δώμαθ', ὃ δ' ἄξιον ὦνον ἔδωκε. 388 = 429; 388[b] cf. Φ 41
401 ὅς τις δὴ μάλα πολλὰ πάθῃ καὶ πόλλ' ἐπαληθῇ. 401[b] cf. δ 81

388] del. Friedlaender.
393 ἀκουέμεν'] ἀκούειν Ar. coll. εὕδειν vs. 392. Vid. *Τ* 79 et § 125.
394 πρὶν ὥρη] sc. ἔῃ. Vid. ad *Α* 547.
395-402] del. Duentzer.
395 ὅν τε U²] ὅτινα F², ὅντινα mss. cetera metro invito; vid. ad ϑ 204. || καὶ θυμὸς ἀνώγῃ] θυμός τε κελεύει U n (ut versu parall.). || ἀνώγῃ LaRoche] ἀνώγει mss.; cf. *Η* 74.
396 ἠόι § 77] ἠοῖ mss.
397 Ϝανακτορίῃσιν] Ar. intellegebat *herilibus*, Aristophanes male ὧν ἕκαστος ἦρχεν (*quibus singuli famuli praesunt*). Adi. † (nisi vitium subest); h. Ap. 234 (et Apoll. Rh. I 839) est substantivum (*moderamen*).
400 μναομένω § 190 et 191] μνωομένω mss., l. a. μεμνομένω. || μετὰ] adv. (*postea*), ut ψ 133 φ 231; l. a. μέγα. Cf. Eur. fr. 131 ὡς ἡδύ τοι σωθέντα μεμνῆσθαι πόνων, Senec. Herc. fur. 656 *quae fuit durum pati | meminisse dulce est*. Item Verg. Aen. I 203.
401] delevimus; etiam versum 400 nunc damnat Hartman. Apud Aristotel. Rhet. I 11 sic affertur: μνήμενος (μνώμενος?), ὅς τις πολλὰ πάθῃ καὶ πολλὰ ἐόργῃ. || ἐπαληθῇ] forma novicia, cf. § 122.
403 Συρίη] *Syrum* insulam, quae *Delo* (*Ortygiae*) ab *occidente* est, intellegebat Ar.; cf. Strabo X p. 487. Sed fabulosam regionem describi patet, cuius nomen fortasse finxit poeta (an *Syriam* cogitavit?). Diasceuastam hanc narratiunculam ipsum excogitasse putat Kirchhoff (vid. quae ad initium libri ο observavimus), probabilius Fick aliunde desumsisse arbitratur. || ποθ' § 322] που mss.
404 Ὀρτυγίης] *Delum* significari putabat Ar. (vid. ad vs. 403), quae insula etiam ε 123 intellegi potest, non potest h. Ap. 16; *Rhenaeam* designari censet Strabo I p. 10, quae opinio in ε 123 et h. Ap. 16 non male quadrat; IHVoss Ortygiam *Siculam* (i. e. Syracusarum partem antiquissimam) intellegit. De nominis origine vid. Preller Myth.⁴ I p. 297. || τροπαὶ] †, l. a. τροφαὶ et στροφαί (apud Hesych. s. v. Ὀρτυγίη). Poeta quo sensu vocem accipi voluerit dubium (vid. ad μ 3 sq., 129 sqq.); apud posteros *solstitium* significat.
405 περιπληθὴς] †. || ἀλλ' ἀγαθὴ μὲν] particula μέν iure offensus Hartman ἀλλὰ μάλ' ἐσθλή.

εὔβοτος εὔμηλος Ϝοινοπληθὴς πολύπυρος.
πείνη δ' οὔ ποτε δῆμον ἐσέρχεται, οὐδέ τις ἄλλη
νοῦσος ἐπὶ στυγερὴ πέλεται δϜειλοῖσι βροτοῖσι·
ἀλλ' ὅτε γηράσκωσι πόλιν κάτα φῦλ' ἀνθρώπων,
ἐλθὼν ἀργυρότοξος Ἀπόλλων Ἀρτέμιδι ξὺν 410[b] = h. Ap. 165
Ϝοῖσ' ἀγανοῖσι βέλεσσιν ἐποιχόμενος κατέπεφνε. 411 cf. Ω 759
ἔνθα δύω πόλιες, δίχα δέ σφισι πάντα δέδασται·
τῇσιν δ' ἀμφοτέρῃσι πατὴρ ἐμὸς ἐμβασίλευε
Κτήσιος Ὀρμενίδης, ἐπιϜείκελος ἀθανάτοισι.
„ἔνθα δὲ Φοίνικες ναυσικλυτοὶ ἤλυθον ἄνδρες,
τρῶκται, μυρί' ἄγοντες ἀθύρματα νηὶ μελαίνῃ.
ἦσκε δὲ πατρὸς ἐμοῖο γυνὴ Φοίνισσ' ἐνὶ Ϝοίκῳ,
καλή τε μεγάλη τε καὶ ἀγλαὰ Ϝέργα Ϝιδυῖα· 418 = ν 289
τὴν δ' ἄρα Φοίνικες πολυπαίπαλοι ἠπερόπευον.
πλυνούσῃ τις πρῶτ' ἐμίγη κοίλῃ παρὰ νηὶ
εὐνῇ καὶ φιλότητι, τά τε φρένας ἠπεροπεύει
θηλυτέρῃσι γυναιξί, καὶ ἥ κ' ἐυϜεργὸς ἔῃσι. 422 = λ 434
εἰρώτα δὴ ἔπειτα, τίς εἴη καὶ πόθεν ἔλθοι· 423 cf. ρ 368
ἡ δὲ μάλ' αὐτίκα πατρὸς ἐπέφραδεν ὑψερεφὲς δῶ· 424 = κ 111
‚ἐκ μὲν Σιδῶνος πολυχάλκοι' εὔχομαι εἶναι,
κούρη δ' εἴμ' Ἀρύβαντος ἐγὼ ῥυδὸν ἀφνειοῖο·
ἀλλά μ' ἀνήρπαξαν Τάφιοι ληίστορες ἄνδρες
ἀγρόθεν ἐρχομένην, 'πέρασαν δέ με δεῦρ' ἀγαγόντες
τοῦδ' ἀνδρὸς πρὸς δώμαθ', ὃ δ' ἄξιον ὦνον ἔδωκε.' 429 = 388

406 εὔβοτος] †. || εὔμηλος] redit h. Ap. 54. || Ϝοινοπληθὴς] †.
407 sqq.] cf. *aurei aevi* descriptio Hes. Oper. 90 sqq. 112 sqq.
407 πείνη] †, cf. πεινάω *Γ* 25 etc. || ἐσέρχεται] ἐπέρχεται U Apoll. de coni. 228,1.
408 ἐπὶ ... πέλεται] vid. ad η 261.
409 γηράσκωσι] -ουσι G P X D.
411 ἀγανοῖσι βέλεσσιν M U] -νοις βελέεσσιν mss. pleraque; cf. § 60.
412 δύω πόλιες] δύο P D Z, πτόλιες X U Z.
413 ἐμβασίλευε] (ἐ)βασίλευε mss. complura, ἡγεμόνευε P; de verbo vid. *Β* 572 β 47.
416 τρῶκται] cf. ξ 289. || ἀθύρματα] vid. ad *Ο* 363.
417 ἦσκε] ἔσκε mss.
418 Ϝέργα Ϝιδυῖα § 160] ἔργ' εἰδυῖα mss.
419 πολυπαίπαλοι] †, vox ignota; alienum hinc videtur παιπαλόεις *Μ* 168 *Ν* 17 etc., sed cf. παιπάλη Attice de *veteratore* dictum (Ar. Nub. 260 etc.).
420 πρῶτ' ἐμίγη] πρῶτα μίγη mss. || νηὶ] νηὶ μελαίνῃ P¹ Y (cf. γ 365); fortasse fuit l. a. μίγη παρὰ νηὶ μελαίνῃ.
422] suspectus Duentzero.
423 εἰρώτα F P] ἠρώτα mss. multa. Cf. δ 251. || δὴ ἔπειτα] δήπειτα mss., cf. *Ο* 163. || εἴη ... ἔλθοι] de optativo vid. § 109.
425 πολυχάλκοι' § 59] -λκου mss.; an -λκοο?
426 ῥυδὸν] †; recte scholia interpretantur χύδην.
427 ληίστορες] †, alias ληιστῆρες (γ 73 etc.).

„τὴν δ' αὖτε προσέϜειπεν ἀνὴρ ὃς ἐμίσγετο λάθρῃ·
‚ἦ ῥά κε νῦν πάλιν αὖτις ἅμ' ἥμιν Ϝοίκαδ' ἕποιο,
ὄφρα Ϝίδῃς πατρὸς καὶ μητέρος ὑψερεφὲς δῶ
αὐτούς τ'; ἦ γὰρ ἔτ' εἰσὶ καὶ ἀφνειοὶ καλέονται.'
„τὸν δ' αὖτε προσέϜειπε γυνὴ καὶ ἀμείβετο μύθῳ· 434ᵇ = Ω 200
‚εἴη κεν καὶ τοῦτ', εἴ μοι ἐθέλοιτέ γε ναῦται 435ᵃ cf. Ω 56
ὅρκῳ πιστωθήμεν' ἀπήμονα Ϝοίκαδ' ἀπάξειν.'
„ὣς ἔφαθ'· οἳ δ' ἄρα πάντες ἐπώμνυον, ὡς ἐκέλευε. 437 sq. cf. κ 345 [sq.
αὐτὰρ ἐπεί ῥ' ὄμοσάν τε 'τελεύτησάν τε τὸν ὅρκον, 438 = μ 304
τοῖσ' αὖτις μετέϜειπε γυνὴ καὶ ἀμείβετο μύθῳ· 439ᵇ = Ω 200
‚σιγῇ νῦν· μή τίς με προσαυδάτω Ϝεπέεσσι
ὑμετέρων ἑτάρων, ξυμβλήμενος ἢ ἐν ἀγυιῇ
ἤ ποθ' ἐπὶ κρήνῃ· μή τις ποτὶ δῶμα γέροντι
ἐλθὼν ἐκϜείπῃ, ὃ δ' ὀισσάμενος καταδήσῃ
δεσμῷ ἓν ἀργαλέῳ, ὗμιν δ' ἐπιφράσσετ' ὄλεθρον.
ἀλλ' ἔχετ' ἐν φρεσὶ μῦθον, ἐπείγετε δ' ὦνον ὀδαίων.
ἀλλ' ὅτε κεν δὴ νηῦς πλείη βιότοιο γένηται,
ἀγγελίη μοι ἔπειτα θοῶς εἰς δώμαθ' ἱκέσθω·
οἴσω γὰρ καὶ χρυσόν, ὅ τις χ' ὑποχείριος ἔλθῃ·
καὶ δέ κεν ἄλλ' ἐπίβαθρον ἐγὼν ἐθέλουσά γε δοίην.
παῖδα γὰρ ἀνδρὸς ἐῆος ἐνὶ μεγάροισ' ἀτιτάλλω,
κερδαλέον δὴ τοῖον, ἅμα τροχάοντα θύραζε·

---

430 ἐμίσγετο] μίσγ. P.
432 Ϝίδῃς] ἴδῃ P H M[1] male; cf. § 117.
434 ἀμείβετο] -ψατο mss. complura, item vs. 439.
435 ναῦται] ναῦτα Naber coll. υ 98.
436 πιστωθήμεν' § 125] -θῆναι mss. ‖ Ϝοίκαδ'] μ' οἴκαδ' vel δ' οἴκαδ' mss. pleraque; cf. § 329. ‖ ἀπάξειν] vid. ad π 370.
437 ἐπώμνυον Ar. P] ἀπώμνυον G F X D; vid. ad β 377. De termino -υον vid. § 145.
439 τοῖσ' G U[1] n] τοῖς δ' mss. cetera; cf. § 60. ‖ ἀμείβετο] vid. ad vs. 434.
440 σιγῇ] imitari videtur Theocrit. XV 96. ‖ προσαυδάτω] -δαέτω? cf. § 195.
441 ὑμετέρων ἑτάρων] ἡμ. ἑτ. M; ὑμείων ἕταροι Duentzer.
442 ποθ' § 322] που mss. ‖ ποτὶ] πρὸς mss. complura.
443 ἐκϜείπῃ] ἐξείπῃ mss. ‖ ὀισσάμενος F P H M] ὀισάμενος mss. alia; vid. ad α 323.
444 ἐπιφράσσετ'] displicet ἐπῖφρ- (§ 25), dativum autem, qui dicitur commodi, compositum nonnisi h. l. adsciscit (simplex β 367 γ 242 ν 373 etc.), neque alibi valet *intendere* vel *moliri*. Metrum tamen non sinit scribi δὲ φράσσετ', vid. § 24; *ἐπιμήσετ' (cf. δ 437)?
445 ἔχετ' ἐν] ἔχετε X D U Z k. ‖ ἐπείγετε δ' ὦνον ὀδαίων] *facite ut citius vobis solvatur pretium pro mercibus*. De voce ὀδαῖα vid. ϑ 163.
447 εἰς] πρὸς mss. multa.
448] post vs. 449 habent P H L W q (non recte), del. Duentzer.
448 ὑποχείριος] †. ‖ ἔλθῃ F] ἔλθοι G X U n mss. alia, εἴη P H; GHermann εἴῃ (vid. § 302).
449 ἐπίβαθρον] †, *naulum*, quod solvunt ἔμποροι (vid. ad β 319).
450-453] del. PKnight; vs. 450 sq. om. G[1].
451 τοῖον] vid. ad α 209. ‖ τροχάοντα § 191] τροχόωντα mss. Perperam pro composito

τόν κεν ἄγοιμ' ἐπὶ νηός, ὃ δ' ὗμιν μυρίον ὦνον
ἄλφοι, ὅπῃ περάσητε κατ' ἀλλοθρόους ἀνθρώπους.'
„ἣ μὲν ἄρ' ὣς Ϝειποῦσ' ἀπέβη πρὸς δώματα πατρός·
οἳ δ' ἐνιαυτὸν ἅπαντα παρ' ἥμισιν αὖθι μένοντες
ἐν νηὶ γλαφυρῇ βίοτον πολὺν ἠμπολάοντο.
ἀλλ' ὅτε δὴ κοίλη νηῦς ἤχθετο τοῖσι νέεσθαι,
καὶ τότ' ἄρ' ἄγγελον ἧκαν, ὃς ἀγγείλειε γυναικί.
ἤλυθ' ἀνὴρ πολύϜιδρις ἐμοῦ πρὸς δώματα πατρὸς
χρύσεον ὅρμον ἔχων, μετὰ δ' ἠλέκτροισιν ἔερτο. 460 cf. σ 296
τὸν μὲν ἄρ' ἐν μεγάρῳ δμῳαὶ καὶ πότνια μήτηρ
χερσίν τ' ἀμφαφάοντο καὶ ὀφθαλμοῖσ' ὁράοντο,
ὦνον ὑπισχόμεναι· ὃ δὲ τῇ κατένευσε σιωπῇ.
ἦ τοι ὃ καννεύσας κοίλην ἐπὶ νῆ' ἐβεβήκει·
ἣ δ' ἐμὲ χειρὸς ἑλοῦσα δόμων ἐξῆγε θύραζε. 465ᵃ = μ 33
ηὗρε δ' ἐνὶ προδόμῳ ἠμὲν δέπα' ἠδὲ τραπέζας
ἀνδρῶν δαιτυμόνων, οἵ μοι πατέρ' ἀμφεπένοντο·
οἳ μὲν ἄρ' εἰς θῶκον πρόμολον δήμοιό τε φῆμιν·
ἣ δ' αἶψα τρί' ἄλεισα κατακρύψασ' ὑπὸ κόλπῳ
ἔκφερεν, αὐτὰρ ἐγὼν ἑπόμην ἀεσιφροσύνηφι.
'δύσετό τ' ἠέλιος 'σκιάοντό τε πᾶσαι ἀγυιαί· 471 = β 388
ἦμες δ' εἰς λιμένα κλυτὸν ἤλθομεν ὦκα κιόντες, 472 cf. κ 87

(ἁματροχόωντα) habebat Porphyrius, quod monstrum foret verbi (cf. ὁμοστιχάει mss. O 635); l. a. apud Eust. ὁμοτροχόωντα. Cf. ζ 318.
453 ὅπῃ] ἐπεὶ vHerwerden. ‖ κατ' G X] πρὸς F P H U.
454 πατρός P] καλά mss. cett.; vert. *patris mei*.
455 ἥμισιν § 93] ἡμῖν mss.; an *ἥμιν κεῖθι?
456 ἠμπολάοντο § 191] ἐμπολόωντο mss.; verbum †.
457 ἤχθετο τοῖσι νέεσθαι] suspecta habet Hartman.
459 πολύϜιδρις] cf. ψ 77.
460 ἠλέκτροισιν] *gemmis succineis*, item σ 296; vid. ad δ 73. ‖ ἔερτο § 277] ἔερκτο H[2] M[2] K et l. a. apud Eust. (male); utrumque in schol. explicatur.
461 μεγάρῳ] προδόμῳ (ut vs. 466) n.
462 ἀμφαφάοντο § 191] -φόωντο mss. ‖ ὀφθαλμοῖσ' ὁράοντο § 191] -μοῖσιν ὁρῶντο mss.
463 ὑπισχόμεναι] ὑποσχ. F n, ἐπισχ. G. De verbi sensu vid. I 576 δ 525 h. Ap. 103. ‖ κατένευσε] -νευε P[1].
464 νῆ' ἐβεβήκει] νῆα βεβήκει mss.
466-471] del. Duentzer.
466 δέπα' § 72] δέπας mss. pleraque. ‖ τραπέζας] vox hinc aliena, κύπελλα dubitanter Naber, sed synonyma particulis ἠμὲν ... ἠδέ non recte iunguntur; *κάνεια? vid. κ 355.
467 *μοι] μευ mss.; vid. § 92. An *ἐμὸν? vid. ad Ξ 118.
469] sinum, in quo tria pocula ancilla celat, satis fluxum et amplum tunc temporis, ut postea apud Graecos, fuisse apparet. ‖ κόλπῳ] κόλπου Aristoph. (sec. Didymum ad ι 329).
470 ἀεσιφροσύνηφι] -νῃσι mss.; fortasse praestat ἀασ-, vid. ad Υ 183. Vox †, „ἀασιφρονίῃσι olim alii? v. Apoll. Soph. 2,11" (Ludwich).
471 'σκιάοντο § 191] σκιόωντο mss.
472 ἦμες § 92] ἡμεῖς mss.

ἔνθ' ἄρα Φοινίκων ἀνδρῶν ἦν ὠκύαλος νηῦς.
οἳ μὲν ἔπειτ' ἀναβάντες ἐπέπλεον ὑγρὰ κέλευθα, 474 = Α 312
νῶ' ἀναβησάμενοι· ἐπὶ δὲ Ζεὺς οὖρον ἴαλλε.
Ϝεξῆμαρ μὲν ὁμῶς 'πλέομεν νύκτας τε καὶ ἦμαρ· 476 = κ 80
ἀλλ' ὅτε θ' ἕβδομον ἦμαρ ἐπὶ Ζεὺς 'θῆκε Κρονίων, 477 = μ 399
τὴν μὲν ἔπειτα γυναῖκα 'βάλ' Ἄρτεμις ἰοχέαιρα· 4
ἄντλῳ δ' ἐνδούπησε πεσοῦσ' ὡς εἰναλίη κήξ.
καὶ τὴν μὲν φώκῃσι καὶ ἰχθύσι κύρμα γενέσθαι
ἔκβαλον· αὐτὰρ ἐγὼ 'λιπόμην ἀκαχημένος ἦτορ. 481 cf. ν 286
τοὺς δ' Ἰθάκῃ ἐπέλασσε φέρων ἄνεμός τε καὶ ὕδωρ, 482 cf. γ 300
ἔνθα με Λαέρτης 'πρίατο κτεάτεσσιν ἑϜοῖσι. 483ᵇ = α 430
οὕτω τήνδε γε γαῖαν ἐγὼ 'Ϝίδον ὀφθαλμοῖσι."
τὸν δ' αὖ διογενὴς Ὀδυσεὺς ἠμείβετο μύθῳ·
„Εὔμαἰ, ἦ μάλα δή μοι ἐνὶ φρεσὶ θυμὸν ὄρινας 486 sq. cf. ξ 361 sq.
ταῦτα Ϝέκαστα λέγων, ὅσα δὴ 'πάθες ἄλγεα θυμῷ.
ἀλλ' ἦ τοι σοὶ μὲν παρὰ καὶ κακῷ ἐσθλὸν ἔθηκε
Ζεύς, ἐπεὶ ἀνδρὸς δώματ' ἀφίκεο πολλὰ μογήσας 489ᵇ cf. ψ 338
ἠπίου, ὃς δή τοι παρέχει βρῶσίν τε πόσιν τε
ἐνδυκέως, ζώεις δ' ἀγαθὸν βίον· αὐτὰρ ἐγώ γε
πολλὰ βροτῶν ἐπὶ Ϝάστε' ἀλώμενος ἐνθάδ' ἱκάνω." 492ᵃ = τ 170, 492ᵇ cf. ζ 206
ὣς οἳ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον·
καδδραθέτην δ' οὐ πολλὸν ἐπὶ χρόνον, ἀλλὰ μίνυνθα·
αἶψα γὰρ Ἠὼς ἦλθεν ἐΰθρονος.

οἳ δ' ἐπὶ χέρσου
Τηλεμάχοἰ ἕταροι 'λύον ἱστία, κὰδ δ' ἕλον ἱστὸν

473 ἀνδρῶν ἦν] ἦν ἀνδρῶν G² F M, om. ἦν G¹. ‖ ἦν] ἔεν? cf. § 302. ‖ ὠκύαλος] ὠκύπορος G X D Z k (cf. Α 421 etc.); ὠκύαλος redit Ο 705 μ 182.
475] suspectus vocatur apud Nauckium, post vs. 476 collocat U¹. ‖ νῶ' D Y] νῶι M, νῷ U¹, νῶ F, νὼ mss. cetera. An *ἥμ'(ε)? cf. § 92.
477 ἀλλ' ὅτε] ἦμος Nauck. ‖ *θ' (vid. μ 399)] δὴ vel δ' mss. ‖ Ζεὺς] vid. ad Β 134. ‖ 'θῆκε] ἧκε Cobet.
479 ἄντλῳ] cf. μ 411. ‖ ἐνδούπησε] ἐδούπησε Eust.; ἐγδούπησε Nauck (cf. Λ 45 et § 33). Comp. redit μ 443. ‖ εἰναλίη] vid. § 44; ἐναλίη Apoll. lex. 99,11. ‖ κήξ] †; significatur avis marina (cf. ε 51, 67 ξ 308), eademne quae a posteris dicebatur κῆυξ (sic X D U L W mss. alia)? Nauck εἶν ἁλὶ κῆυξ.
480 sq.] om. Z k, in marg. habent X D.
484 γε Bothe] om. M, τε mss. cetera; Nauck γαῖαν τήνδε.
485 διογενὴς] cf. § 21.
486 sq.] versus 381 sq. pro his substituit Friedlaender.
487 ἄλγεα θυμῷ] ἠδ' ὅσ' ἀλήθης F M (cf. ξ 362).
488 ἔθηκε] ἔδωκε(ν) H² X².
496 Τηλεμάχοἰ § 59] -χου mss.

καρπαλίμως, τὴν δ' εἰς ὅρμον προέρεσσαν ἐρετμῷ. 497-499 = Α 435 sqq.
ἐκ δ' εὐνὰς ἔβαλον, κατὰ δὲ πρυμνήσἰ ἔδησαν·
ἐκ δὲ καὶ αὐτοὶ ἔβαινον ἐπὶ ῥηγμῖνι θαλάσσης
δεῖπνόν τ' ἠντύνοντο 'κερῶντό τε αἴθοπα Ϝοῖνον.
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον εἷντο, 501 = Α 469
τοῖσι δὲ Τηλέμαχος πεπνυμένος ἤρχετο μύθων· 502 = α 367
„ὔμες μὲν νῦν Ϝάστυδ' ἐλαύνετε νῆα μέλαιναν,
αὐτὰρ ἐγὼν ἀγροὺς ἐπελεύσομαι ἠδὲ βοτῆρας, 504 cf. π 27
Ϝεσπέριος δ' εἰς Ϝάστυ Ϝιδὼν ἐμὰ Ϝέργα κάτειμι.
ἠῶθεν δέ κεν ὔμιν ὁδοιπόριον παραθείμην,
δαῖτ' ἀγαθὴν κρεάων καὶ Ϝοίνου Ϝηδυπότοιο."
τὸν δ' αὖτε προσέϜειπε Θεοκλύμενος θεοϜειδής·
„πῇ τ' ἄρ' ἐγώ, φίλε τέκνον, ἴω; τέο δώμαθ' ἵκωμαι
ἀνδρῶν, οἳ κραναὴν Ἰθάκην κάτα κοιρανέουσι; 510 cf. α 247
ἦ ἰθὺς σῆς μητρὸς ἴω καὶ σοῖο δόμοιο;"
τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
„ἄλλως μέν σέ κ' ἐγώ γε καὶ ἡμέτερόνδε κελοίμην
ἔρχεσθ'· οὐ γάρ τι ξενίων ποθή· ἀλλὰ σοὶ αὐτῷ
χεῖρον, ἐπεί τοι ἐγὼ μὲν ἀπέσσομαι, οὐδέ σε μήτηρ
ὄψεται· οὐ μὲν γάρ τι θαμὰ μνηστῆρσ' ἐνὶ Ϝοίκῳ
φαίνεται, ἀλλ' ἀπὸ τῶν ὑπερωίῳ ἱστὸν ὑφαίνει.
ἀλλά τοι ἄλλον φῶτα πιφαύσκομαι, ὅν κεν ἵκοιο,
Εὐρύμαχον Πολύβοιο δαΐφρονος ἀγλαὸν υἱόν,

501 in M obelum habet.

497 ὅρμον] λιμένα G X mss. alia. ‖ προέρεσσαν (Ar.) n] προέρυ(σ)σαν mss. cetera; cf. Α 435. ‖ ἐρετμῷ Nauck] ἐρετμοῖς mss.; vid. § 60 et ad δ 580.
498 εὐνὰς] vid. ad Α 436.
499 ἔβαινον] βαῖνον mss.
500 sq.] del. PKnight.
500 ἠντύνοντο] ἐντύνοντο mss. ‖ 'κερῶντο] cf. Δ 260 et § 297; *ἐκιρνάν τ'? sed praestare videtur medium (vid. tamen π 14).
501 εἷντο] ἕντο mss.
502 ἤρχετο μύθων] ἀντίον ηὔδα n.
503 ὔμες § 92] ὑμεῖς mss. ‖ νῆα μέλαιναν] δῖοι ἑταῖροι P.
504 ἀγροὺς] ἀγρούσδ' G, ἀγρόνδ' F M. ‖ ἐπελεύσομαι G H² X] ἐπιείσομαι mss. pleraque vitiose (cf. § 308). LaRoche ἀγρόνδε ἐλεύσομαι coll. Ζ 365 α 88 ρ 52, sed vid. π 27. ‖ βοτῆρας] †, alias (Μ 302 etc.) βώτορες, sed cf. μηλοβότηρ Σ 529 h. Merc. 286.
505-507] del. Duentzer.
506 ὔμιν § 92] ὔμμιν ὔμμιν ὑ(μ)μῖν mss. ‖ ὁδοιπόριον] †, vid. ad Ω 375. ‖ παραθείμην] -θείην G P U.
507 κρεάων § 72] κρειῶν mss. ‖ καὶ Bentley] τε καὶ mss. ‖ Ϝοίνου] Ϝοίνοο? cf. § 59.
509 τ' ἄρ' (τἄρ) Bekker] γὰρ mss.; cf. Σ 182. ‖ φίλε τέκνον] cf. Χ 84. ‖ τέο § 92] τεῦ mss.
510] del. PKnight.
513 ἄλλως] vid. ad Ι 699. ‖ *σέ κ' § 326] σ' ἂν (αὖ Y) mss.
514 τι] τοι F U M 1 Eust., μοι G.
518 ἵκοιο] ἵκηαι G¹ F P M.
519-538] fortasse postmodo sunt additi,

τὸν νῦν Ϝῖσα θεῷ Ἰθακήσιοι εἰσοράουσι· 520 cf. *M* 312 ϑ 173
καὶ γὰρ πολλὸν ἄριστος ἀνὴρ μέμονέν τε μάλιστα
μητέρ' ἐμὴν γαμέειν καὶ Ὀδυσσῆος γέρας ἴσχειν.
ἀλλὰ τά γε Ζεὺς Ϝοῖδεν Ὀλύμπιος, αἰθέρι ναίων,
εἴ κέ σφι πρὸ γάμοιο τελευτήσῃ κακὸν ἦμαρ."
ὣς ἄρα Ϝοι Ϝειπόντι ἐπέπτατο δεξιὸς ὄρνις, 525 = *N* 821
κίρκος, Ἀπόλλωνος ταχὺς ἄγγελος· ἐν δὲ πόδεσσι
'τίλλε πέλειαν ἔχων, κατὰ δὲ πτερὰ 'χεῦεν ἔραζε 527ᵇ cf. *P* 619
μεσσηγὺς νηός τε καὶ αὐτοῦ Τηλεμάχοιο.
τὸν δὲ Θεοκλύμενος ἑτάρων ἄπο νόσφι καλέσσας
ἔν τ' ἄρα Ϝοι 'φῦ χειρὶ Ϝέπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε· 530 = *Z* 253
„Τηλέμαχ', οὔ τοι ἄνευ θεοῦ ἤλυθε δεξιὸς ὄρνις·
ἔγνων γάρ μιν ἐς ἄντα Ϝιδὼν οἰωνὸν ἐόντα.
ὑμοῦ δ' οὐκ ἔστιν γένεος βασιλεύτερον ἄλλο
ἐν δήμῳ Ἰθάκης, ἀλλ' ὔμες καρτεροὶ αἰεί."
τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
„αἲ γὰρ τοῦτο, ξεῖνε, Ϝέπος τετελεσμένον εἴη· 536-538 = ϱ 163 sqq. τ 309 sqq.
τῷ κε τάχα γνοίης φιλότητά τε πολλά τε δῶρα
ἐξ ἐμέθεν, ὥς τίς σε συναντόμενος μακαρίζοι."
ἦ, καὶ Πείραιον προσεφώνεε, πιστὸν ἑταῖρον·
„Πείραιε Κλυτίδη, σὺ δέ μοι τά περ ἄλλα μάλιστα
πείθε' ἐμῶν ἑτάρων, οἵ μοι Πύλον εἷς ἅμ' ἕποντο·
καὶ νῦν μοι τὸν ξεῖνον ἄγων ἐν δώμασι σοῖσι
ἐνδυκέως φιλέειν καὶ τιέμεν', εἰς ὅ κεν ἔλθω." 543 = ϱ 56

---

de Eurymacho certe in vs. sqq. mentio non fit.

520 *εἰσοράουσι* § 191] *-ρόωσι* mss.

522 *γέρας*] vid. ad λ 175. ‖ **ἴσχειν*] *ἕξειν* mss.; vid. ad *B* 544.

524 *κέ*] *καί* mss. complura. ‖ *σφι*] scil. *procis.* ‖ *τελευτήσῃ* § 122] *-σει* mss.

525 *ἐπέπτατο*] cf. § 216.

529 *καλέσσας*] *(*ἐ*)*κάλεσσε*?

531 *ἤλυθε* G X U n] *ἔπτατο* mss. complura, *ἐπέπτατο* metro invito F.

533 sq.] cf. α 386 sq.

533] imitari videtur Marcellus Sidetes Epigr. Kaibel 1046^{36} (saec. II p. Chr.): *Ἑλλάδι δ' οὔτε γένος βασιλεύτερος οὔτε τι φωνὴν* | *Ἡρώδεω.* ‖ **ὑμοῦ δ' οὐκ ἔστιν γένεος*] *ὑμετέρου δ' οὐκ ἔστι γένεος* aut *γένευς* mss. pleraque, *γένους* G^{2}l, *γένος* H^{2}. Novicium est *-ευς* (*-εος*) vel *-ους*; vid. § 71 et ad ω 398.

534 *ὔμες* § 92] *ὑμεῖς* mss. ‖ *καρτεροὶ*] i. e. *ἐγκρατεῖς*, *penes vos est regia potestas.* Cf. Archil. fr. 25, Theocrit. XV 94, item IGA. 500^{29} (Cauer Delect.^{3} nº 491) et in lege Gortynia IV^{25} $VI^{33,45}$ $VIII^{43,48}$.

536 *τετελεσμένον εἴη*] *τελέσειε Κρονίων* G (cf. υ 236).

537 *τάχα*] *μάλα* M.

538 **ἐμέθεν, ὥς*] *ἐμεῦ, ὡς ἄν* mss.; cf. § 92. Alienum hinc est *ἄν* (*κεν*).

539 *Πείραιον*] sic Ar.

540 *δέ μοι*] *δέ* om. H^{2}; *γὰρ αὖ* IHVoss.

541 *πείθε'* n] *πείθῃ* mss. cetera; vid. § 117.

τὸν δ' αὖ Πείραιος δουρὶ κλυτὸς ἀντίον ηὔδα·
„Τηλέμαχ', εἰ γὰρ καὶ σὺ πολὺν χρόνον ἐνθάδε μίμνοις,
τόνδε δ' ἐγὼ κομίσω, ξενίων δέ Ϝοι οὐ ποθὴ ἔσται."
ὣς Ϝειπὼν ἐπὶ νηὸς ἔβη, ἐκέλευσε δ' ἑταίρους 547 cf. ι 177
αὐτούς τ' ἀμβαίνειν ἀνά τε πρυμνήσια λῦσαι· 548 sq. = ι 178 sq.
οἱ δ' αἶψ' εἴσβαινον καὶ ἐπὶ κληῖσι καθῖζον.
Τηλέμαχος δ' ὑπὸ ποσσὶν ἐδήσατο καλὰ πέδιλα, 550 cf. *B* 44 *Ω* 340
εἵλετο δ' ἄλκιμον ἔγχος ἀκαχμένον ὀξέι χαλκῷ 551 = *K* 135
νηὸς ἀπ' ἰκριόφιν. τοὶ δὲ πρυμνήσι' ἔλυσαν. 552ᵇ = β 418
οἱ μὲν ἀνώσαντες 'πλέον εἰς πόλιν, ὡς ἐκέλευσε
Τηλέμαχος φίλος υἱὸς Ὀδυσσῆος θείοιο· 554 = 63
τὸν δ' ὦκα προβιβάντα πόδες 'φέρον, ὄφρ' ἵκετ' αὐλὴν,
ἔνθα Ϝοι ἦσαν ὕες μάλα μυρίαι, ᾗσι συβώτης
ἐσθλὸς ἐὼν ἐνίαυε, Ϝανάκτεσσ' ἤπια Ϝειδώς.

---

545 *Τηλέμαχ', εἰ γὰρ*] **Τηλέμαχος, εἰ*? ‖ *καὶ* GHermann] *κεν* mss., Naber *κεν* ... *μίμνῃς* (*μίμνῃς* X D), fortasse recte.

546 *δ'* Herodianus ad *Ω* 17] *τ'* mss. pleraque, quod coll. *N* 733 δ 387 defendit LaRoche; *τόνδε γ'* U, *τόνδ'* L W. An **τὸν δὲ κομίσσω ἐγὼ*? Cf. ν 238. ‖ *κομίσω* § 147 et 210] *κομιῶ* mss.

547-557] del. Hartman; vs. 554 damnaverat PKnight, vs. 550-557 Duentzer.

549 *ἐπὶ κληῖσι*] vid. ad β 419.

552 *ἀπ'*] *ἐπ'* G^{1} F X U.

553 *ἀνώσαντες*] comp. †, simplex *Δ* 220 etc.; significatur navis in aquam (contis) denuo protrusa.

555 *προβιβάντα* Bekker] *-ῶντα* mss.; vid. ad *Γ* 22 *H* 213 *M* 277.

557 *Ϝανάκτεσσ'* Ahrens] *ἀνάκτεσσιν* U, *-κτεσιν* mss. cetera. Cf. § 64. ‖ *ἤπια Ϝειδώς*] vid. ad *E* 326.

ΟΔΥΣΣΕΙΑΣ π.

Ἀναγνωρισμὸς Ὀδυσσέως ὑπὸ Τηλεμάχου.

τὼ δ' αὖτ' ἐν κλισίῃ Ὀδυσεὺς καὶ δῖος ὑφορβὸς — 1 = ο 301
ἠντύνοντ' ἄριστον ἅμ' ἠόι, κηαμένω πῦρ, — 2^a = Ω 124^b
ἔκπεμψάν τε νομῆας ἅμ' ἀγρομένοισι σύεσσι.
Τηλέμαχον δὲ περίσσαινον κύνες ὑλακόμωροι
οὐδ' ὕλαον προσιόντα· 'νόησε δὲ δῖος Ὀδυσσεὺς — 5^b = Ε 669
σαίνοντάς τε κύνας, περί τε κτύπος ἦλθε ποδοῖιν. — 6^b cf. τ 444
αἶψα δ' ἄρ' Εὔμαιον Ϝέπεα πτερόεντα προσηύδα· — 7 = ϱ 543
„Εὔμαι', ἦ μάλα τίς τοι ἐλεύσεται ἐνθάδ' ἑταῖρος
ἢ καὶ γνώριμος ἄλλος, ἐπεὶ κύνες οὔ Ϝ' ὑλάουσι
ἀλλὰ περισσαίνουσι· ποδῶν δ' ὑπὸ δοῦπον ἀκούω."
οὔ πω πᾶν 'ϜέϜρητο Ϝέπος, ὅτε Ϝοι φίλος υἱὸς — 11^a = Κ 540
ἔστη ἐνὶ προθύροισι. ταφὼν δ' ἀνόρουσε συβώτης, — 12 cf. Λ 777
ἐκ δ' ἄρα Ϝοι χειρῶν 'πέσον ἄγγεα, τοῖσ' ἐπονεῖτο
κιρνὰς αἴθοπα Ϝοῖνον· ὃ δ' ἀντίος ἦλθε Ϝάνακτος,
'κύσσε δέ μιν κεφαλήν τε καὶ ἄμφω φάεα καλὰ — 15 = ϱ 39 cf. τ 417

---

1 κλισίῃ] -ῃς F P H^2 M X n mss. alia; cf. ο 301. ‖ δῖος] θεῖος F.

2 ἠντύν.] ἐντύν. mss. ‖ -νοντ' ἄριστον] -νοντο ἄριστον F^2 H W. Cf. Ω 124. ‖ ἠόι § 77] ἠοῖ mss. ‖ κηαμένω G^1] κειαμένω mss. cett., cf. § 153.

4 ὑλακόμωροι] vid. ad Β 692.

7 Ϝέπεα πτερόεντα προσηύδα] προσεφώνεεν ἐγγὺς ἐόντα habet Dionysius Halicarnassensis de comp. verb. 3.

8 ἑταῖρος] ἑταίρων G.

9 γνώριμος] †, cf. γνωτός Γ 174 etc. ‖ οὔ Ϝ' Naber] οὐχ mss.

11 'ϜέϜρητο § 306] εἴρητο mss.

13 sq.] del. Duentzer.

13 πέσον F U n] πέσεν mss. pleraque.

14] in margine habet G. ‖ ὃ δ'] vid. ad Λ 191. ‖ ἀντίος] -ον F U^1 n. Vid. ad Ζ 54. ‖ ἦλθε] ἤλυθ' mss.

15 φάεα καλὰ] *φάεε καλώ? vid. Π 348 sq. et ad Λ 43 Ν 435. Cf. tamen ϑ 135 υ 365 ϱ 302.

χεῖράς τ' ἀμφοτέρας· θαλερὸν δέ Ϝοι ἔκπεσε δάκρυ. — 16^b = Β 266
ὡς δὲ πατὴρ Ϝὸν παῖδα φίλα φρονέων ἀγαπάζῃ
ἐλθόντ' ἐξ ἀπίης γαίης δεκάτῳ ἐνιαυτῷ, — 18^a cf. Λ 270
μοῦνον τηλύγετον, τῷ ἔπ' ἄλγεα πολλὰ μογήσῃ,
ὣς τότε Τηλέμαχον θεοϜειδέα δῖος ὑφορβὸς
πάντ' ἔκυσεν περιφὺς ὡς ἐκ θανάτοιο φυγόντα,
καί Ϝ' ὀλοφυρόμενος Ϝέπεα πτερόεντα προσηύδα· — 22 cf. ϱ 40
„ἦλθες, Τηλέμαχε, γλυκερὸν φάος; οὔ σ' ἔτ' ἐγώ γε — 23 sq. = ϱ 41 sq.
ὄψεσθαι ἐφάμην, ἐπεὶ ᾤχεο νηὶ Πύλονδε. — 24^b cf. 142
ἀλλ' ἄγε νῦν εἴσελθε, φίλον τέκος, ὄφρα σε θυμῷ
τέρψομαι εἰσοράων νέον ἄλλοθεν ἔνδον ἐόντα. — 26^b cf. γ 318
οὐ μὲν γάρ τι θάμ' ἀγρὸν ἐπέρχεαι οὐδὲ νομῆας, — 27 cf. ο 504
ἀλλ' ἐπιδημεύεις· ὣς γάρ νύ τοι ἔϜϜαδε θυμῷ,
ἀνδρῶν μνηστήρων ἐσορᾶν ἀΐδηλον ὅμιλον." — 29 cf. ψ 303
τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα· — 30 $sq.^a$ = ϱ 598 sq.
„ἔσσεται οὕτως, ἄττα· σέθεν δ' ἕνεκ' ἐνθάδ' ἱκάνω,
ὄφρα σέ τ' ὀφθαλμοῖσι Ϝίδω καὶ μῦθον ἀκούσω,
ἤ μοι ἔτ' ἐν μεγάρῳ μήτηρ μένει, ἠέ τις ἤδη
ἀνδρῶν ἄλλος ἔγημεν, Ὀδυσσῆος δέ ποθ' εὐνὴ
χήτε' ἐνευναίων κάκ' ἀράχνια κεῖται ἔχουσα."

---

16 δέ Ϝοι ἔκπεσε δάκρυ] κατὰ δάκρυον εἶβον (immo εἶβων) H K (cf. λ 391).

17 sqq.] cf. Ι 481 sq.

17 ἀγαπάζῃ] -ζει mss. multa.

18 ἐλθόντ'] ἐλθὼν P H. ‖ ἀπίης] vid. ad Λ 270.

19 τηλύγετον] vid. ad Γ 175.

21 πάντ' ἔκυσεν] πάντα κύσεν mss.

22 sqq.] diasceuastae debentur quae Telemachi iter respiciunt: ὀλοφυρόμενος vs. 22 (?), 24^b, 26^b, 33-39 (29-39 Fick).

22 *Ϝ'] ἑ' mss.

23 φάος] *mea lux!* de homine nonnisi hic et vs. parall. usurpatur. Nauck θάλος, vid. h. Cer. 66 et ad Χ 87. Vulgatam sequi videtur Eur. Hercul. 531 Ion. 1439.

23 sq. οὔ σ' ... ὄψεσθαι] οὐκ ... ὄψεσθαί σ' Naber probabiliter; vid. § 14.

24] in margine n subiungitur λάθρῃ ἐμεῦ ἀέκητι φίλου μετὰ πατρὸς ἀκουήν (= ϱ 43).

26 εἰσοράων § 191] -ρόων mss.

27-39] del. Duentzer, vs. 30-39 Kirchhoff; vid. ad vs. 22 sqq.

28 ἐπιδημεύεις] †, cf. ἐπιδήμιος Ι 64 etc. ‖ ἔϜϜαδε § 40] εὔαδε mss.

29] iter Telemachi ignorabat qui haec cecinit. ‖ ἐσορᾶν P] προσορᾶν G F M X.

33-35] ita loqui vix potuisse Telemachum post iter triginta quinque dierum, horum igitur versuum auctorem videri Telemachum in insulam Cretam cum Zenodoto deduxisse (vid. ad α 93 et 285), observat Naber (Mnemos. 1891 p. 322).

33 ἤ] εἴ mss. complura, cf. § 327. ‖ μεγάρῳ Nauck] -ροις Ar. mss.; cf. § 60. Pluralis tamen legitur vs. 38.

34 ποθ' § 322] που mss.

35 χήτε' § 71] χήτει mss. ‖ ἐνευναίων] l. a. -ναίῳ (male). Adi. redit ξ 51, ἐνεύναια, de *lecti stratis* usurpatum. Idemne hoc loco significaret an masculini esset generis (= τῶν ἐνευνηθησομένων) dubitabant veteres. Hoc censet Hartman. ‖ ἀράχνια] cf. Hesiod. Oper. 475 Theocrit. XVI 96 Catull. XIII 8 Propert. IV 5, 33.

τὸν δ' αὖτε προσέϝειπε συβώτης ὄρχαμος ἀνδρῶν· 36 = ο 351
„καὶ λίην κείνη γε μένει τετληότι θυμῷ 37-39 = λ 181 sqq.
σοῖσιν ἐνὶ μεγάροισιν· ὀιζυραὶ δέ ϝοι αἰεὶ
φθίνουσιν νύκτες τε καὶ ἤματα δάκρυ χεούσῃ.“
ὣς ἄρα φωνήσας ϝοι ἐδέξατο χάλκεον ἔγχος· 40 = ο 282
αὐτὰρ ὅ γ' εἴσω ἴεν καὶ ὑπέρβη λάινον οὐδόν. 41 cf. ρ 30 / 41^b = ψ 88
τῷ δ' ἕδρης ἐπιόντι πατὴρ ὑπέϝειξεν Ὀδυσσεύς·
Τηλέμαχος δ' ἑτέρωθεν ἐρήτυε 'φώνησέν τε·
„ἧσο, ξεῖν'· ἧμες δὲ καὶ ἄλλοθι δήομεν ἕδρην
σταθμῷ ἐν ἡμετέρῳ· πάρα δ' ἀνὴρ ὃς καταθήσει.“
ὣς 'φάθ', ὃ δ' αὖτις ἰὼν κατ' ἄρ' ἕζετο· τῷ δὲ συβώτης
'χεῦεν ὕπο χλωρὰς ῥῶπας καὶ κῶας ὕπερθε·
ἔνθα καθέζετ' ἔπειτα Ὀδυσσῆος φίλος υἱός.
τοῖσιν δὲ κρεάων πίνακας παρέθηκε συβώτης 49 cf. α 141
ὀπταλέων, ἅ ῥα τῇ προτέρῃ ὑπέλειπον ἔδοντες,
σῖτον δ' ἐσσυμένως παρενήεεν ἐν κανέοισι, 51 cf. α 147
ἐν δ' ἄρα κισσυβίῳ 'κίρνη μελιϝηδέα ϝοῖνον· 52 sq.ᵃ = ξ 78 sq.
αὐτὸς δ' ἀντίον ἷζεν Ὀδυσσῆος θείοιο. 53 = Ι 218
οἳ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον. 54 sq. = Ι 91 sq.
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον εἷντο,
δὴ τότε Τηλέμαχος προσεφώνεε δῖον ὑφορβόν·
„ἄττα, πόθεν τοι ξεῖνος ὅδ' ἵκετο; πῶς δέ ϝε ναῦται 57^b cf. α 171
ἤγαγον εἰς Ἰθάκην; τίνες ἔμμεναι ηὐχετάοντο; 58 = α 172
οὐ μὲν γάρ τί ϝε πεζὸν ὀίομαι ἐνθάδ' ἱκέσθαι.“ 59 cf. α 173
τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
„τοιγὰρ ἐγώ τοι, τέκνον, ἀληθέα πάντ' ἀγορεύσω. 61 = γ 254
ἐκ μὲν Κρητάων γένος εὔχεται εὐρειάων, 62 cf. ξ 199

39 φθίνουσιν] φθινύθουσι F M Eust. metro invito. An *νύκτες τε φθινύθουσι? cf. ν 338.
40 ϝοι] vid. ad Δ 596.
42 ὑπέειξεν Ar. (?)] ὑπόειξεν mss.; ὑπέϝεικεν (*cedere volebat*) probabiliter Hartman.
44 ἧσο] ἧσ' ὦ G F Eust. || ἧμες § 92] ἡμεῖς mss.
45] om. M^1.
47 ῥῶπας] vid. ad κ 166, et cum toto versu cf. ξ 49. || κῶας ὕπερθε] κώεα καλά G.
49 sq.] vituperabat Aristophanes teste Athenaeo VI 228 *c*, *d*; vs. 50 in margine habet X, om. D Z k.
49 δὲ F^1 M X D] δ' αὖ mss. pleraque. || κρεάων § 72] κρειῶν mss.; in plerisque mss. est πίνακας κρειῶν.
50 ὑπ.] κατ. P H mss. alia (cf. ι 292).
51 παρενήεεν (-νάϝεεν) PKnight] παρενήνεεν (-ον) mss.; vid. ad Η 428.
52 κισσυβίῳ] vid. ad ι 346.
53] del. Duentzer. || ἀντίον] -ος P^1; vid. ad Ζ 54.
55 εἷντο] ἕντο mss.
56 δῖον] θεῖον H.
58 ηὐχετάοντο § 191] εὐχετόωντο (-νται) mss.
62] vid. ad ξ 199. || εὐρειάων] εὐρειτάων P.

φησὶ δὲ πολλὰ βροτῶν ἐπὶ ϝάστεα δινηθῆναι
πλαζόμενος· ὣς γάρ ϝοι ἐπέκλωσεν τά γε δαίμων.
νῦν αὖ Θεσπρωτῶν ἀνδρῶν παρὰ νηὸς ἀποδρὰς
ἤλυθ' ἐμὸν πρὸς σταθμόν, ἐγὼ δέ τοι ἐγγυαλίξω.
ϝέρξον ὅπως ἐθέλεις· ἱκέτης δέ τοι εὔχεται εἶναι.“ 67^a = Δ 37 / 67^b cf. ε 450
τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὖδα·
„Εὔμαι', ἦ μάλα τοῦτο ϝέπος θυμαλγὲς ἔϝειπες· 69 cf. Γ 204
πῶς γὰρ δὴ τὸν ξεῖνον ἐγὼν ὑποδέξομαι οἴκῳ;
αὐτὸς μὲν νέος εἰμὶ καὶ οὔ πω χερσὶ πέποιθα 71^b sq. = φ 132 sq.
ἄνδρ' ἀπαμύνασθαι, ὅτε τις πρότερος χαλεπήνῃ· 72 = Ω 369
μητρὶ δ' ἐμῇ δίχα θυμὸς ἐνὶ φρεσὶ μερμηρίζει, 73^b = υ 38
ἢ αὐτοῦ παρ' ἐμοί τε μένῃ καὶ δῶμα κομίζῃ
εὐνήν τ' αἰδομένη πόσιος δήμοιό τε φῆμιν, 75 = τ 527
ἦ ἤδη ἅμ' ἕπηται, Ἀχαιῶν ὅς τις ἄριστος 76 sq. cf. υ 335 / 76 cf. τ 528
μνάητ' ἐν μεγάροισιν ἀνὴρ καὶ πλεῖστα πόρῃσι. 77^a = τ 529
ἀλλ' ἦ τοι τὸν ξεῖνον, ἐπεὶ τεὸν ἵκετο δῶμα, 78^b = γ 368
ϝέσσω μιν χλαῖνάν τε χιτῶνά τε ϝείματα καλὰ, 79 = ρ 550 φ 339 cf. ξ 154, 396
δώσω δὲ ξίφος ἄμφηκες καὶ ποσσὶ πέδιλα, 80 cf. φ 341
πέμψω δ' ὅππῃ μιν κραδίη θυμός τε κελεύει. 81 = φ 342
εἰ δ' ἐθέλεις, σὺ κόμισσον ἐνὶ σταθμοῖσιν ἐρύξας·
ϝείματα δ' ἐνθάδ' ἐγὼ πέμψω καὶ σῖτον ἅπαντα
ἔδμεναι, ὥς κεν μή σε κατατρύχῃ καὶ ἑταίρους. 84^b cf. ο 309
κεῖσε δ' ἄρ' οὔ μιν ἐγώ γε μετὰ μνηστῆρας ἐάσω
ἔρχεσθαι, λίην γὰρ ἀτάσθαλον ὕβριν ἔχουσι·
μή μιν κερτομέωσιν· ἐμοὶ δ' ἄχος ἔσσεται αἰνόν.
πρῆξαι δ' ἀργαλέον τι μετὰ πλεόνεσσιν ἐόντα

64 ἐπέκλωσεν] vid. ad Ω 525.
65 αὖ G P H^1 M] δ' αὖ F H^2 X. || παρὰ] ἐκ F D, ἀπὸ U n.
66 τοι] σοι F H^2. || ἐγγυαλίξω] -ζω Hartman.
69 θυμαλγὲς] νημερτὲς G male (voluitne νηκερδὲς? cf. ξ 509).
70-77] del. Duentzer.
70 ἐγὼν] ἐμῷ M. || οἴκῳ] neglecto ϝ; F οἴκοι, Fick ἔνδον.
72 ἀπαμύνασθαι] ἀπαλέξασθαι schol. Τ 326. || ὅτε] ὅ τε (?) Ar.
73 δ' ἐμῇ] δ' ἐμοὶ U, δέ μοι G M. Cf. β 50.
77 μνάητ' ἐν PKnight] μνᾶται ἐνὶ mss.; cf. § 190 et 191. Requiritur subi (generalis).
79 ϝέσσω μιν] ἕσσω μεν F, ἕσσωμι schol. (forma futuri inaudita). Anacoluthon ferri posse videtur (vid. ad Β 353), pronomen autem legitur locis parall.
80] del. Duentzer.
84 κεν § 326] ἂν mss.
85 ἄρ F] ἂν mss. cett., quod nimis dubitanter dictum videtur; cf. § 108 et 326. || ἐάσω P H M] ἐῶμι mss. alia; vid. § 191. Fick μνηστῆρσ' ἐάοιμι (μνηστῆρσιν habet n). Optativus imperfecti verbi ἐᾶν in Homero non recurrit.
86 ὕβριν] ἔργον M K male.
88] vid. υ 313 (et ad β 244 sq.).

ἄνδρα καὶ ἴφθιμον, ἐπεὶ ἦ πολὺ φέρτεροί εἰσι.“ 89ᵇ = K 557
90 τὸν δ' αὖτε προσέϝειπε πολύτλας δῖος Ὀδυσσεύς·
„ὦ φίλ', ἐπεί θήν μοι καὶ ἀμείψασθαι θέμις ἐστί,
ἦ μάλα μοι καταδάπτετ' ἀκούοντι φίλον ἦτορ,
οἷα φατὲ μνηστῆρας ἀτάσθαλα μηχανάεσθαι 93 sq. cf. γ 212 sq. 93 cf. σ 143
ἐν μεγάροισ', ἀϝέκητι σέθεν τοιούτου ἐόντος. 93ᵇ cf. γ 207
95 ϝειπέ μοι, ἠὲ ϝεκὼν ὑποδάμνασαι, ἦ σέ γε λαοὶ 95 sq. = γ 214 sq.
ἐχθαίρουσ' ἀνὰ δῆμον ἐφεσπόμενοι θεοῦ ὀμφῇ,
ἤ τι κασιγνήτοισ' ἐπιμέμφεαι, οἷσί περ ἀνὴρ 97 cf. 115
μαρναμένοισι πέποιθε, καὶ εἰ μέγα νεῖκος ὄρηται. 98 = 116
αἲ γὰρ ἐγὼν οὕτω νέος εἴην τῷδ' ἐπὶ θυμῷ, 99 cf. N 485
100 ἢ πάις ἐξ Ὀδυσῆος ἀμύμονος, ἠὲ καὶ αὐτός·
102 αὐτίκ' ἔπειτ' ἀπ' ἐμεῖο κάρη τάμοι ἀλλότριος φώς, 102 sq.* = E 214 sq.
103 εἰ μὴ ἐγὼ κείνοισι κακὸν πάντεσσι γενοίμην.
105 εἰ δ' αὖ με πληθυῖ δαμασαίατο μοῦνον ἐόντα,
βουλοίμην κ' ἐν ἐμοῖσι κατακτάμενος μεγάροισι
107 τεθνάμεν' ἢ τάδε γ' αἰὲν ἀϝεικέα ϝέργ' ὁράεσθαι, 107 = υ 317
110 καὶ ϝοῖνον διαφυσσόμενον καὶ σῖτον ἔδοντας
μὰψ αὔτως, ἀτέλεστον, ἀνηνύστῳ ἐπὶ ϝέργῳ.“ 111ᵇ cf. Δ 175
τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα· 112 sq. = ο 265 sq.
„τοιγὰρ ἐγώ τοι, ξεῖνε, μάλ' ἀτρεκέως ἀγορεύσω.

101 ἔλθοι ἀλητεύων, ἔτι γὰρ καὶ ϝελπίδος αἶσα. 101ᵇ = τ 84
104 ἐλθὼν εἰς μέγαρον Λαερτιάδα' Ὀδυσῆος. 104 cf. φ 262
108 ξείνους τε στυφελιζομένους δμῳάς τε γυναῖκας 108 sq. = υ 318 sq.
ῥυστάζοντας ἀϝεικελίως κατὰ δώματα καλά
101 Ar. — || 104 Zen. Ar. —

92 *μοι ... ἀκούοντι] μευ ... ἀκούοντος mss.; vid. § 92 et de producta syllaba -ι § 19. Dativus in huiusmodi sententiis sollemnis est, vid. α 48, 316 ϱ 46, 514 Y 169 etc. || καταδάπτετ'] cf. α 48.
93 ἀτάσθαλα] ἀμήχανα G. || μηχανάεσθαι § 191] -νάασθαι mss.
96 ἐφεσπόμενοι § 247] ἐπισπόμενοι mss.
99-111] del. Lehrs; vs. 100 sq. et 108-111 deleverat PKnight.
99 ἐπὶ Ar. (vid. Did. ad N 485)] ἐνὶ mss.
103 γενοίμην] vid. ad E 215.
104 Λαερτιάδα'(ο) P] -δεω mss. cett.; cf. § 55.
105 με] μ' ἐν H². || πληθυῖ] cf. § 75.
106 sq.] similes sunt sententiae O 511 sq. μ 350 sq. φ 154 sqq.
106 κ' ἐν] κεν G P Ar.; cf. Θ 337.
107 τάδε γ'] τάδε τ' M, αὐτοῦ P; vid. ad υ 317. || ὁράεσθαι § 191] ὁράασθαι mss.
108 sq.] del. Kirchhoff; non est cur Ulixes hoc tempore queratur de hospitibus contumeliose habitis.
109 ῥυστάζοντας] vid. ad λ 580.
110 διαφυσσόμενον] -νους P.
111 αὔτως] οὕτως G. || ἀνηνύστῳ] † (ἀνύω Δ 56 etc., ἄνυσις B 347 δ 544); cf. ἀτελεύτητος A 527 Δ 175, ἀτέλεστος Δ 26 etc.
113 ξεῖνε] ταῦτα G (cf. α 179). || ἀγορεύσω] καταλέξω U.

οὔτε τί μοι πᾶς δῆμος ἀπεχθόμενος χαλεπαίνει,
115 οὔτε κασιγνήτοισ' ἐπιμέμφομαι, οἷσί περ ἀνὴρ 115 cf. 97
μαρναμένοισι πέποιθε, καὶ εἰ μέγα νεῖκος ὄρηται. 116 = 98
ὧδε γὰρ ἡμετέρην γενεὴν 'μούνωσε Κρονίων·
μοῦνον Λαέρτην Ἀρκέσσιος υἱὸν ἔτικτε,
μοῦνον δ' αὖτ' Ὀδυσῆα πατὴρ ἔτεκ'· αὐτὰρ Ὀδυσσεὺς
120 μοῦνον ἔμ' ἐν μεγάροισι τεκὼν ἔλιπ', οὐδ' ἀπόνητο.
τῷ νῦν δυσμενέες μάλα μυρίοι εἴσ' ἐνὶ ϝοίκῳ.
ὅσσοι γὰρ νήσοισιν ἔπι κρατέουσιν ἄριστοι, 122-128 = α 245 sqq.
Δουλιχίῳ τε Σάμῃ τε καὶ ὑλήεντι Ζακύνθῳ,
ἠδ' ὅσσοι κραναὴν Ἰθάκην κάτα κοιρανέουσι,
125 τόσσοι μητέρ' ἐμὴν μνῶνται, τρύχουσι δὲ ϝοῖκον.
ἣ δ' οὔτ' ἀρνέεται στυγερὸν γάμον οὔτε τελευτὴν
ποιῆσαι δύναται· τοὶ δὲ φθινύθουσιν ἔδοντες
ϝοῖκον ἐμόν· τάχα δή με διαρραίσουσι καὶ αὐτόν.
ἀλλ' ἦ τοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται. 129 = P 514
130 ἄττα, σὺ δ' ἔρχεο θᾶσσον, ἐχέφρονι Πηνελοπείῃ 130ᵇ sq. cf. ο 41 sq.
ϝείφ', ὅτι ϝοι σάος εἰμὶ καὶ ἐκ Πύλου εἰλήλουθα.
αὐτὰρ ἐγὼν αὖθι μενέω, σὺ δὲ δεῦρο νέεσθαι
οἴῃ ἀπαγγείλας· τῶν δ' ἄλλων μή τις Ἀχαιῶν
πευθέσθω· πολλοὶ γὰρ ἐμοὶ κακὰ μηχανάονται.“
135 τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
„γιγνώσκω, φρονέω· τά γε δὴ νοέοντι κελεύεις. 136 = ϱ 193, 281
ἀλλ' ἄγε μοι τόδε ϝειπὲ καὶ ἀτρεκέως κατάλεξον, 137 = K 384
εἰ καὶ Λαέρτῃ αὐτὴν ὁδὸν ἄγγελος ἔλθω
δυσμόρῳ, ὃς τῆος μὲν Ὀδυσσῆος μέγ' ἀχεύων
140 ϝέργα τ' ἐπωπτεύεσκε μετὰ δμώων τ' ἐνὶ ϝοίκῳ

114 ἀπεχθόμενος] vid. ad δ 105; ἀπεχθομένῳ IHVoss.
117 'μούνωσε] vid. ad ο 386.
118 Ἀρκέσσιος] Ἀρκείσιος mss.; vid. ad δ 755.
119] vid. ad ο 364. || *ἔτεκ'] τέκεν mss.
120 *ἔλιπ'] λίπεν mss. || οὐδ' ἀπόνητο] cf. λ 324.
121-129] del. Duentzer.
123] vid. ad α 246.
126 ἀρνέεται § 191] ἀρνεῖται mss.
129 θεῶν — κεῖται] vid. ad P 514.
130 ἐχέφρονι] περίφρονι metro invito M¹ et l. a. in schol.
131] hunc vs. et vs. 135-153 diasceuasta mutavit aut fecit (vid. ad vs. 22 sqq.); Kammer del. vs. 132-152. || σάος § 62] σῶς mss.
132 αὖθι § 322] αὐτοῦ mss.
134 μηχανάονται § 191] -νόωνται mss.
138 αὐτὴν ὁδὸν] cf. § 98.
139 τῆος § 323] τείως mss.
140 ἐπωπτεύεσκε U² L W] ἐποπτ. mss. cett.; verbum †, vid. ad ξ 261. || δμώων] *δμωσίν? cf. § 316. || τ'] δ' P H M mss. alia.

’πῖνε καὶ ἧσθ’, ὅτε θυμὸς ἐνὶ στήθεσσιν ἀνώγοι·
αὐτὰρ νῦν, ἐξ οὗ σύ γ’ ἀπῴχεο νηὶ Πύλονδε, 142ᵇ cf. 24
οὔ πώ μιν φασὶν φαγέμεν καὶ πιέμεν’ αὔτως
οὐδ’ ἐπὶ Ϝέργα Ϝιδεῖν, ἀλλὰ στοναχῇ τε γόῳ τε
ἧσται ὀδυρόμενος, φθινύθει δ’ ἀμφ’ ὀστεόφι χρώς.“ 145ᵇ cf. μ 45
τὸν δ’ αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
„ἄλγιον· ἀλλ’ ἔμπης μιν ἐάσομεν ἀχνύμενοί περ. 147ᵇ = Σ 112
εἰ γάρ πως εἴη αὐτάγρετα πάντα βροτοῖσι,
πρῶτόν κεν τοῦ πατρὸς ἑλοίμεθα νόστιμον ἦμαρ.
ἀλλὰ σύ γ’ ἀγγείλας ὀπίσω κίε, μηδὲ κατ’ ἀγροὺς
πλάζεσθαι μετὰ κεῖνον· ἀτὰρ πρὸς μητέρα Ϝειπεῖν
ἀμφίπολον ταμίην ὀτρυνέμεν’ ὅττι τάχιστα
κρύβδην· κείνη γάρ κεν ἀπαγγείλειε γέροντι.“
ἦ ῥα καὶ ὦρσε συφορβόν· ὃ δ’ εἵλετο χερσὶ πέδιλα,
δησάμενος δ’ ὑπὸ ποσσὶ πόλινδ’ ἴεν.

οὐδ’ ἄρ’ Ἀθήνην
’λῆθεν ἀπὸ σταθμοῖο κιὼν Εὔμαιος ὑφορβός·
ἀλλ’ ἥ γε σχεδὸν ἦλθε, δέμας δ’ ἐϜέϜικτο γυναικὶ 157ᵇ sq. = ν 288 sq.
καλῇ τε μεγάλῃ τε καὶ ἀγλαὰ Ϝέργα Ϝιδυίῃ.
στῆ δὲ κατ’ ἀντίθυρον κλισίης Ὀδυσῆι φανεῖσα·
οὐδ’ ἄρα Τηλέμαχός Ϝε ’Ϝίδ’ ἀντίον οὐδ’ ἐνόησε, —
οὐ γάρ πως πάντεσσι θεοὶ φαίνονται ἐναργὲς, — 161 cf. Υ 131

152 sq. Ar. ——

142 σύ γ’ ἀπῴχεο Barnes] σύ γ’ ἐπῴχεο G, σύ γε ᾤχεο mss. cett. hiatu vitioso; an *ἐξ οἷο σύ γ’ ᾤχεο? sed οἷο forma in Hom. non extat. Nauck οὗ τε σύ γ’ ᾤχεο.

143 φαγέμεν] cf. § 126. || πιέμεν’] suspecta hic et σ 3 est syllaba πι- producta; vid. *Η* 481 *Π* 825. Barnes πινέμεν, sed requiritur aoristus. || αὔτως] *αὖτις? l. a. ἔμπης.

144 Ϝιδεῖν] τραπέσθαι P (τρ. ἀτὰρ?).

145 ἧσται ὀδυρόμενος] ἧσται (sic) ὀδυρόμενον P, ἧσθαι ὀδυρόμενον F. || φθινύθει] μινύθει n (cf. δ 374, 467 μ 46).

147 ἄλγιον] cf. δ 292. || μιν] μὲν mss. complura. || ἀχνύμενοι] -νον F l n et l. a. apud Eust.; vid. κ 174 et ad *Χ* 416 σ 178.

148 αὐτάγρετα] redit h. Merc. 474, 489. cf. ἀγρετός *Δ* 526.

149 κεν τοῦ] *πρῶτά κεν αὐτοῦ?

151 μετὰ κεῖνον § 97] μετ’ ἐκεῖνον mss. || μητέρα] l. a. μ̄ρσ̓ (i. e. μητρὸς, leg. μητέρος?).

152 sq.] damnarunt veteres, nullum enim eventum haec habuisse.

157 ἐϜέϜικτο § 160] ἤικτο mss.

158 Ϝέργα Ϝιδυίῃ § 160] ἔργ’ εἰδυίῃ mss.

159 κατ’] παρ’ Apoll. lex. || ἀντίθυρον] †, cf. πρόθυρον passim, ὑπερθύριον η 90. Ante ianuam (extra domum, vid. vs. 165 sq.) constitit dea, soli Ulixi conspicua.

160 sq.] de re vid. *Α* 197 sq.

160 οὐδ’ ἄρα] οὐ γὰρ P. || *Ϝε ’Ϝίδ’] ἴδεν mss.

161] del. PKnight. || πως G F X n] πω P H M. || ἐναργὲς Fick] ἐναργεῖς mss.; vid. § 73 et ad *Υ* 131.

ἀλλ’ Ὀδυσεύς τε κύνες τ’ ἔϜιδον καί ῥ’ οὐχ ὑλάοντο,
κνυζηθμῷ δ’ ἑτέρωσε διὰ σταθμοῖ’ ἐφόβηθεν.
ἣ δ’ ἄρ’ ἐπ’ ὀφρύσ’ ἔνευσε· ’νόησε δὲ δῖος Ὀδυσσεὺς, 164ᵇ = Ε 669
ἐκ δ’ ἦλθεν μεγάροιο παρ’ ἐκ μέγα τειχίον αὐλῆς, 165 cf. 343
’στῆ δὲ πάροιθ’ αὐτῆς. τὸν δὲ προσέϜειπεν Ἀθήνη·
„διογενὲς Λαερτιάδη, πολυμήχαν’ Ὀδυσσεῦ,
ἤδη νῦν σῷ παιδὶ Ϝέπος φάο μηδ’ ἐπίκευθε, 168 cf. σ 171
ὥς κε μνηστῆρσιν θάνατον καὶ κῆρ’ ἀραρόντε 169 sq.ª cf. ω 153 sq.
ἔρχησθον προτὶ Ϝάστυ περικλυτόν. οὐδ’ ἐγὼ αὐτὴ
δϜηρὸν ἀπὸ σφῶιν ἔσομαι μεμαυῖα μάχεσθαι.“
ἦ, καὶ χρυσείῃ ῥάβδῳ ἐπεμάσσατ’ Ἀθήνη· 172ᵇ = ν 429
φᾶρος μέν Ϝοι πρῶτον ἐυπλυνὲς ἠδὲ χιτῶνα 173 cf. ϑ 392
’θῆκ’ ἀμφὶ στήθεσφι, δέμας δ’ ὤφελλε καὶ ἥβην·
ἂψ δὲ μελαγχροιὴς ’γένετο, γναθμοὶ δ’ ἐτάνυσθεν,
κυάνεαι δ’ ἐγένοντο γενειάδες ἀμφὶ γένειον.
ἣ μὲν ἄρ’ ὣς Ϝέρξασα πάλιν ’κίεν· αὐτὰρ Ὀδυσσεὺς
ἤιεν εἰς κλισίην. ’θάμβησε δέ μιν φίλος υἱὸς,
ταρβήσας δ’ ἑτέρωσε ’βάλ’ ὄμματα, μὴ θεὸς εἴη,
καί μιν φωνήσας Ϝέπεα πτερόεντα προσηύδα·
„ἀλλοῖός μοι, ξεῖνε, ’φάνης νέον ἠὲ πάροιθε,
ἄλλα δὲ Ϝείματ’ ἔχεις καί τοι χρὼς οὐκέθ’ ὁμοῖος·
ἦ μάλα τις θεός ἐσσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσι. 183 cf. ζ 150

162 ὑλάοντο] medium †; Naber ὕλαόν μιν, APlatt καί Ϝ’ οὐχ ὑλάοντο coll. π 5.

163 κνυζηθμῷ] †; cf. Aristoph. Vesp. 977. || ἑτέρωσε] -θεν P M U; cf. vs. 179. || διὰ] ἀπὸ U. || σταθμοῖ’ ἐφόβηθεν] -μοῖο φόβ. mss.; cf. § 59.

164 ὀφρύσ’ ἔνευσε] -σι νεῦσε mss.

165 παρ’ ἐκ] παρὰ H². || τειχίον] nonnisi vs. 343 redit; l. a. θριγκίον (cf. η 87).

167 διογενὲς] cf. § 21.

169 κε § 326] ἂν mss.

172 ῥάβδῳ] ῥάβδῳ Ϝ’ APlatt.

174 στήθεσφι] στήθεσσι M X D mss. alia; vid. ad *Μ* 401.

175 sq.] del. Duentzer.

175 μελαγχροιὴς] *coloratus* (*gebruind*), †, cf. μελανόχρως *Ν* 589, μελάγχρως τ 246. De re vid. ν 399.

176 κυάνεαι] vid. ad *Α* 528 ζ 231 ν 399. || γενειάδες] ἐθειράδες G U et l. a. apud Eust., quam teste Didymo (in schol. Theocrit. I 34) reiciebat Aristoteles (an *Aristarchus*? sic Lehrs, sed dubitat Ludwich Arist. I p. 615), ἐθείρας enim (ἐθειράδες nusquam alibi legitur) esse *crines* in capitis vertice crescentes. Adde quod *equorum* sunt (*Θ* 42 *Ν* 24 *Π* 795 *Τ* 382 *Χ* 315), non *hominum*; hoc tamen argumentum minus firmum est, vid. h. Ven. 229 Bacch. 4 (Aesch. Pers. 1062 etc.) et λόφος de cervice humana adhibitum *Κ* 573 (et κ 169). Vox γενειάδες †, cf. γένειον *Θ* 371 etc., ἠυγένειος *Ο* 275 etc., γενειάω σ 176, 269 Theocr. II 78. Plurali γενείων utitur Herodas Mim. III 73 (l. a. γενείου).

179 ταρβήσας] θαμβήσας G P (non recte). || ἑτέρωσε] -θεν P; cf. vs. 163.

181 ἠὲ] ἦ τὸ n et Iulian. 309 *d* (cf. α 322 β 312 etc.), ἠδὲ Hartman probabiliter: *alius mihi visus es et modo* (cf. vs. 199) *et antea*.

ἀλλ' ἵληθ', ἵνα τοι κεχαρισμένα δώομεν ἱρὰ
ἠδὲ χρύσεα δῶρα, τετυγμένα· φείδεο δ' ἥμων."
τὸν δ' ἠμείβετ' ἔπειτα πολύτλας δῖος Ὀδυσσεύς·
„οὔ τίς τοι θεός εἰμι· τί μ' ἀθανάτοισι ϜεϜίσκεις; 187 cf. η 208 sq. h. Ven. 109
ἀλλὰ πατὴρ τεός εἰμι, τοῦ εἵνεκα σὺ στεναχίζων
πάσχεις ἄλγεα πολλὰ βίας ὑποδέγμενος ἀνδρῶν." 189 cf. ν 310
ὣς ἄρα φωνήσας υἱὸν 'κύσε, κὰδ δὲ παρήων
δάκρυον ἧκε χαμᾶζε· πάρος δ' ἔχε νωλεμὲς αἰεί.
Τηλέμαχος δ' — οὐ γάρ πω ἐπείθετο Ϝὸν πατέρ' εἶναι —
ἐξαῦτίς Ϝε Ϝέπεσσιν ἀμειβόμενος προσέϜειπε· 193 cf. δ 234 τ 214
„οὐ σύ γ' Ὀδυσσεύς ἐσσι πατὴρ ἐμὸς, ἀλλά με δαίμων
θέλγεις, ὄφρ' ἔτι μᾶλλον ὀδυρόμενος στεναχίζω. 195 cf. ι 13
οὐ γάρ πώς κε θνητὸς ἀνὴρ τάδε μηχανάοιτο
Ϝῷ αὐτοῦ γε νόῳ, ὅτε μὴ θεὸς αὐτὸς ἐπελθὼν 197ᵇ sq.ᵃ = ψ 185 sq.
ῥηιδίως ἐθέλων θείη νέον ἠὲ γέροντα.
ἦ γάρ τοι νέον ἦσθα γέρων καὶ ἀϜεικέ' ἔϜεσσο·
νῦν δὲ θεοῖσι ϜέϜοικας, οἳ οὐρανὸν εὐρὺν ἔχουσι." 200 cf. ζ 243
τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
„Τηλέμαχ', οὔ σε ϜέϜοικε φίλον πατέρ' ἔνδον ἐόντα
οὔτε τι θαυμάζειν περιώσιον οὔτ' ἄρ' ἄγασθαι·
οὐ μὲν γάρ τοι ἔτ' ἄλλος ἐλεύσεται ἐνθάδ' Ὀδυσσεὺς, 204ᵇ = ξ 161
ἀλλ' ὅδ' ἐγὼ τοιόσδε, παθὼν κακὰ, πολλὰ δ' ἀληθεὶς,
ἤλθον ἐϜεικοστῷ Ϝέτεϊ εἰς πατρίδα γαῖαν. 206 = τ 484 φ 208 ω 322 cf. ψ 102, 170
αὐτάρ τοι τόδε Ϝέργον Ἀθηναίης ἀγελείης,
ἥ τέ με τοῖον ἔθηκεν ὅπως ἔθελεν, — δύναται γάρ, —
ἄλλοτε μὲν πτωχῷ ἐναλίγκιον, ἄλλοτε δ' αὖτε 209 cf. Σ 472

184 ἵληθ'] vid. ad φ 365.
185 ἥμων § 92] ἡμῶν vel ἡμέων mss.
190 παρήων Fick] παρειῶν mss.; vid. § 56 et ad Ω 794.
191 δάκρυον ἧκε] δάκρυ' ἔηκε PKnight probabiliter, item ψ 33.
193 Ϝε Bekker] μιν mss.
195 θέλγεις editio „Cyclica" teste Didymo] θέλγει mss. metro invito (cf. § 14); vid. ad β 41.
196 κε § 326] ἂν mss. (om. G). ‖ μηχανάοιτο § 191] -νόῳτο mss. (περιμηχανόῳτο G, voluitne τάδε θνητὸς ἀνὴρ περιμ.? cf. η 200 ξ 340).
198 ἠὲ P H mss. alia] ἠδὲ pleraque. ‖ γέροντα] παλαιόν P.
199 ἀϜεικέ' ἔϜεσσο] -κέα ἕσσο mss.
203 περιώσιον] περιούσιον? vid. ad Δ 359. *ἄρ' ἄγασθαι] ἀγάασθαι mss.; cf. § 191 et 305.
205 ἀληθεὶς] ἀνατλὰς G F X mss. alia; cf. ε 207.
206 ἤλθον ἐϜεικοστῷ Bentley] ἤλυθον εἰκ mss.
208 ἔθελεν IHVoss] ἐθέλει mss. pleraque, item Ar., qui ἔθηκεν praesentis loco adhibitum esse (aor. gnom.) indicabat; ἐθέλῃ P H[1] X mss. alia.

ἀνδρὶ νέῳ καὶ καλὰ περὶ χροῒ Ϝείματ' ἔχοντι.
ῥηίδιον δὲ θεοῖσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσι,
ἠμὲν κυδῆναι θνητὸν βροτὸν ἠδὲ κακῶσαι."
ὣς ὅ γε φωνήσας κατ' ἄρ' ἕζετο· Τηλέμαχος δὲ
ἀμφιχυθεὶς πατέρ' ἐσθλὸν ὀδύρετο δάκρυα λείβων.
ἀμφοτέροισι δὲ τοῖσιν ὑφ' ἵμερος ὦρτο γόοιο. 215 cf. Ψ 108
'κλαῖον δὲ λιγέως, ἀδινώτερον ἤ τ' οἰωνοὶ, 216ᵃ = κ 201
φῆναι ἢ αἰγυπιοὶ γαμψώνυχες, οἷσί τε τέκνα
ἀγρόται ἐξείλοντο πάρος πετεηνὰ γενέσθαι·
ὣς ἄρα τοί γ' ἐλεεινὸν ὑπ' ὀφρύσι δάκρυον εἶβον. 219 cf. θ 531; 219ᵇ cf. δ 153
καί νύ κ' ὀδυρομένοισιν ἔδυ φάος ἠελίοιο, 220 = Ψ 154
εἰ μὴ Τηλέμαχος προσεφώνεε Ϝὸν πατέρ' αἶψα· 221 cf. π 35
„ποίῃ τ' ἂρ νῦν δεῦρο, πάτερ φίλε, νηί σε ναῦται
ἤγαγον εἰς Ἰθάκην; τίνες ἔμμεναι ηὐχετάοντο; 223 sq. = α 172 sq.
οὐ μὲν γάρ τί σε πεζὸν ὀίομαι ἐνθάδ' ἱκέσθαι."
τὸν δ' αὖτε προσέϜειπε πολύτλας δῖος Ὀδυσσεύς·
„τοιγὰρ ἐγώ τοι, τέκνον, ἀληθείην καταλέξω. 226 = χ 420 cf. ρ 108
191 ποτὶ] *sub*; ποτί (πρός) de tempore usurpatum †. ‖ ϝέσπερα] *vespertinum tempus*; adi. †, cf. ϝέσπερος X 318 etc., ϝεσπέριος Φ 560 etc. ‖ ῥίγιον] hic proprio sensu *frigidius* (vid. ad ε 472), alias (A 325, 563 Δ 405 υ 220) translato. In F est ποτὶ ἕσπερον ἄλγιον ἔσται, non male, quamquam hoc quoque de *frigore* alias non dicitur.
193 νοέοντι] φρονέοντι M.
195 ῥόπαλον] cum ν 437 ξ 31 hoc non concinere observavit Volkmann.
196 σκηρίπτεσϑ᾽] verbum nonnisi λ 595 redit. ‖ ἀρισφαλέ᾽] adi. †, cf. σφάλλω ϱ 464 etc. Callem *asperam* (cf. ϱ 204) nunc *admodum lubricam* reddidit *frigus matutinum* (ϱ 25) post pluvias praecedentium dierum (ξ 457 sq.). Vid. ad μ 129 sqq. ‖ οὐδόν] pro ὁδόν *viam* † (vid. tamen ad X 60). Parum probabiliter nonnulli statuerunt vocem οὐδός *limen* etiam de *solo* potuisse usurpari ut οὖδας (e. g. η 130, vid. ad E 734), aut de *parietis fundamento* (vid. ad χ 127). Non male ἀρισφαλὲς ἔμμεναι οὖδας l. a. apud Eust. et Hesych.; an *ἀρισφαλί᾽ ἔμμεν᾽ ἀταρπόν (cf. P 743 ξ 1)?
198 πυκνὰ] vid. § 26 et ad E 358. ‖ στρόφος] cf. ν 438.
199 ϑυμαρὲς] ϑυμῆρες F mss. alia; vid. ad κ 362.
202 sq.] del. Kirchhoff.
203 ϝείματ᾽ ἔϝεστο] εἵματα ἕστο mss. pleraque, εἵματ᾽ ἕστο F P, εἵματ᾽ ἔχοντα M.
204 ὁδὸν κάτα παιπαλόεσσαν] ἔβαν δόμον εἰς Ὀδυσῆος G (cf. π 407).
206-211] spurii videri possunt, sed quominus damnemus obstat vs. 240.
208 ὑδατοτρεφέων] -τροφέων i; adi. †. De populis aquae amantibus cf. Δ 482 sqq. ι 140 sq. κ 509 sq. ‖ ἔεν § 2 et 302] ἦν mss.
211 ἐπερρέζεσκον Barnes] ἐπι(ϱ)ρέζεσκον mss.; comp. †.

ἔνθα σφώ' ἐκίχανεν υἱὸς Δολίοιο Μελανθεὺς
αἶγας ἄγων, αἳ πᾶσι μετέπρεπον αἰπολίοισι, 213 sq. = υ 174 [sq.
δεῖπνον μνηστήρεσσι· δύω δ' ἅμ' ἕποντο νομῆες. 214ᵇ = Σ 525
τοὺς δὲ Ϝιδὼν 'νείκεσσε Ϝέπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε
ἔκπαγλον καὶ ἀϜεικές· ὄρινε δὲ κῆρ Ὀδυσῆος·
„νῦν μὲν δὴ μάλα πάγχυ κακὸς κακὸν ἡγηλάζει,
ὡς αἰεὶ τὸν ὁμοῖον ἄγει θεὸς εἰς τὸν ὁμοῖον.
πῇ δὴ τόνδε μολοβρὸν ἄγεις, ἀμέγαρτε συβῶτα, 219 cf. φ 362
πτωχὸν ἀνιηρόν, δαιτῶν ἀπολυμαντῆρα; 220 cf. 377
πολλῇσι φλιῇσι παραστὰς φλίψεται ὤμους,
αἰτίζων ἀκόλους, οὐκ ἄορα οὐδὲ λέβητας.
τόν γ' εἴ μοι δοίης σταθμῶν ῥυτῆρα γενέσθαι
σηκοκόρον τ' ἔμεναι θαλλόν τ' ἐρίφοισι φορῆναι,
καί κεν ὀρὸν πίνων μεγάλην ἐπιγουνίδα θεῖτο.
ἀλλ' ἐπεὶ οὖν δὴ Ϝέργα κάκ' ἔμμαθεν, οὐκ ἐθελήσει 226-228 cf. σ 362 sqq.

---

212 σφώ' (σφω) Fick] σφεας mss., vid. § 8 et 93. || ἐκίχανεν G P] ἐκίχαν' vel ἔκιχεν mss. pleraque. Inutilis videtur coniectura ἐκίχη (cf. § 208), vid. *E* 334 *P* 189. || υἱὸς] cf. § 17. || Δολίοιο] vid. ad δ 735. || Μελανθεὺς] notetur duplex nominis forma Μελανθεύς et Μελάνθιος (ϱ 247 etc.).

213 sq.] del. Duentzer.

216] del. Bekker.

217 ἡγηλάζει] sic Aristoph. Ar.; alii olim ἡγηλάζεις (vid. ad β 41), quae reicienda videtur lectio. Verbum nonnisi λ 618 redit.

218] recentis aetatis esse videtur versus gnomicus, in quo articulus uterque suspicionem movet. || εἰς G P M¹ X D] ὡς mss. pleraque, quae vocula apud Homerum (aliosve poetas exceptis comicis) ita non usurpatur.

219 μολοβρὸν] vox ignotae originis nonnisi σ 26 redit; nomen proprium est Thuc. IV 8, CIG. 1511 (= IGA. 69). || ἀμέγαρτε] *non invidende*, i. e. *miser*. Item (ϱ 375?) φ 362 h. Merc. 542; alias adi. non de *hominibus* sed de *rebus* tristibus usurpatur (λ 400, 407, v. l. *B* 420).

220 ἀπολυμαντῆρα] nonnisi vs. 377 redit; vid. ad Λ 318 sq.

221 πολλῇσι φλιῇσι Fick] ὃς πολλῇσι aut ὃς πολλῆς (vid. § 57) φλιῇσι mss. Vox φλιή †, *postis* (alias σταθμός); apud posteros iota est longum. Nauck ὃς πολλῇσι θύρῃσι, Christ (proleg. Iliad. p. 142) ὃς πολέσιν φλιῇσι (vid. § 53). || φλίψεται H¹ X U mss. alia] φλίζεται G, θλίψεται mss. pleraque; utramque lectionem norunt Alexandrini, sed utram Zen. praetulerit, utram Ar., incertum est (vid. Ludwich Arist. I p. 619). Verbum †, cf. RMeister Dialect. I p. 119; propter annominationem praeferenda videtur littera Φ. || ὤμους] l. a. ἦτορ.

222 ἀκόλους] vox †, incertae originis et potestatis; cf. Callim. h. Cer. 115. || ἄορα l. a. in schol. et Eust.] ἄορά γ' P H, ἄορας mss. cetera. Pluralis hoc uno loco legitur; ad sensum cf. φ 341. Non *gladios* significari sed aliud quid, quod suspendi soleat aut possit (οὔατα οὐκ ἔχοντας τρίποδας), fuere qui putarent; alii cum ὄαρας confundentes interpretabantur *mulieres* (Apoll. lex. Eust. Hesych. Suid.).

223-228] del. Bergk.

223 γ' IHVoss] κ' mss. || γενέσθαι] λιπέσθαι P H mss. alia; cf. vs. 187.

224 σηκοκόρον] †, *qui stabulum* (σηκόν Σ 589 etc.) *verrit*, cf. κορῆσαι υ 149. || θαλλόν] †, cf. θάλος X 87 etc. || φορῆναι] cf. § 195.

225 ὀρὸν] cf. ι 222. L. a. θορὸν (κέ θ' ὀρὸν?). || μεγάλην ἐπιγουνίδα] *pingue femur*. Vox ἐπιγουνίς redit σ 74.

226 κάκ' ἔμμαθεν] μάθεν κακὰ Nauck, item μάθες κακὰ σ 362; vid. § 27. || ἐθελήσει] ἐθέλησιν (an -σεν?) X D Z (cf. Σ 396).

Ϝέργον ἐποίχεσθαι, ἀλλὰ πτώσσων κατὰ δῆμον
βούλεται αἰτίζων βόσκειν Ϝὴν γαστέρ' ἄναλτον.
ἀλλ' ἔκ τοι Ϝερέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται· 229 = B 257
αἴ κ' ἔλθῃ πρὸς δώματ' Ὀδυσσῆος θείοιο, 230 cf. ο 313
πολλά Ϝοι ἀμφὶ κάρη σφέλα' ἀνδρῶν ἐκ παλαμάων
πλευρά τ' ἀποτρίψουσι δόμον κάτα βαλλομένοιο.“
ὣς 'φάτο, καὶ παριὼν λὰξ ἔνθορεν ἀφραδίηφι
ἰσχίῳ· οὐδέ μιν ἐκτὸς ἀταρπιτοῦ ἐστυφέλιξε,
ἀλλ' ἔμεν' ἀσφαλέως. ὃ δ' ἐμερμήριξεν Ὀδυσσεύς,
ἠὲ μεταΐξας ῥοπάλῳ ἐκ θυμὸν ἕλοιτο,
ἦ πρὸς γῆν ἐλάσειε κάρη ἀμφουδὶς ἀείρας·
ἀλλ' ἐπετόλμησε, φρεσὶ δ' ἔσχετο. τὸν δὲ συβώτης
'νείκεσ' ἐς ἄντα Ϝιδών, μέγα δ' ηὔξατο χεῖρας ἀνασχών·
„νύμφαι κρηναῖαι, κοῦραι Διός, εἴ ποτ' Ὀδυσσεὺς 240-242 cf. Λ 39 sqq.
ὔμ' ἐπὶ μηρί' ἔκηε καλύψας πίονι δημῷ
Ϝαρνῶν ἠδ' ἐρίφων, τὸ δέ μοι κρηήνατ' ἐϜέλδωρ,
ὡς ἔλθοι μὲν κεῖνος ἀνήρ, ἀγάγοι δέ Ϝε δαίμων· 243 = φ 201
τῷ κέ τοι ἀγλαΐας γε διασκεδάσειεν ἁπάσας,
τὰς νῦν ὑβρίζων φορέεις, ἀλαλημένος αἰεὶ
Ϝάστυ κάτ'· αὐτὰρ μῆλα κακοὶ φθείρουσι νομῆες.“

---

228 ἄναλτον] i. e. ἄν-αλδ-τον (§ 211), *inexpletum, insatiabilem*; adi. redit σ 114 et 364, cf. ἀλδάνω σ 70 ω 368, ἀλδήσκω Ψ 599.

231 ἀμφὶ κάρη] perperam ἀμφικάρη vel ἀμφικαρῆ F P X D Apoll. lex. (Ptolemaeus Asc.) et olim alii. Adverbium est ἀμφὶ (cf. *Z* 117 σ 335), κάρη autem obiectum est verbi ἀποτρίψουσι. || σφέλα' § 72] σφέλα mss.; vox σ 394 redit, cf. θρῆνυς Ξ 240 etc.

232 πλευρά τ' Bothe] πλευρὰ P, πλευραὶ mss. cett., πλευρὰς (metro invito) l. a. apud Eust. Requiritur acc., qui apud Hom. aut πλευραί est (*Y* 170 Ψ 716 Ω 10 h. Merc. 157) aut πλευρά (hic et Δ 468 Λ 437); non recte autem Briggs πλευρά γ', Bekker πλευρί', iungenda enim sunt κάρη πλευρά τε, *caput et latera atterentur scabellis*. || ἀποτρίψουσι] comp. † (simplex et διατρ. saepius, *Y* 496 Δ 42 etc.); Naber ἀποδρύψουσι coll. ϱ 480. || βαλλομένοιο] de genitivo vid. ad ζ 157.

233 ἀφραδίηφι] -ῃσιν mss. || In F subiungitur ἦλθεν ἐσυμένως μεγάλην σοφίην ἀνιχνεύων.

237 γῆν] forma novicia, vid. § 58. || ἀμφουδὶς] ἀμφ' οὖδας mss. multa, ἀμφ' οὔασ' Bothe. Adv. †, quod non a voce οὖδας (cf. κ 440) sed ab οὖας (§ 72) ductum esse et *ambabus auribus* significare iure statuit Fick. || ἀείρας] ἐρείσας M Apoll. lex. et l. a. apud Eust.

238 δ' — συβώτης] γὰρ κέχρητ' ἀγαθῇσι G (cf. γ 266).

239 'νείκεσ' ἐς] νείκεσεν ἐς F, νείκεσεν Camerarius.

240 κρηναῖαι] †, cf. νηίς *Z* 22 etc. et vid. κ 350.

241 ὔμ' § 92] ὔμμ' mss. || πίονι] ἀργέτι F M mss. alia; cf. Λ 818 et X 501. In G est πίονα δημόν.

244 ἀγλαΐας] l. a. ἀτασθαλίας (cf. α 34 etc.), quae reicienda est propter verba διασκιδνάναι et φορέειν. Pluralis ἀγλαΐαι (*deliciae*) redit h. Merc. 476, vid. etiam ad τ 82. || διασκεδάσειεν] translate adhibitum †, proprio sensu *E* 526 ε 370 η 275.

245 ὑβρίζων φορέεις] ὑβρίζεις φορέων U.

τὸν δ' αὖτε προσέϝειπε Μελάνθιος αἰπόλος αἰγῶν·
„ὢ πόποι, οἷον ἔϝειπε κύων ὀλοφώια ϝειδώς,
τόν ποτ' ἐγὼν ἐπὶ νηὸς ἐυσσέλμοιο μελαίνης
ἄξω τῆλ' Ἰθάκης, ἵνα μοι βίοτον πολὺν ἄλφῃ.
αἲ γὰρ Τηλέμαχον βάλοι ἀργυρότοξος Ἀπόλλων
σήμερον ἐν μεγάροισ' ἢ ὑπὸ μνηστῆρσι δαμείη,
ὡς Ὀδυσῆί γε τῆλε ἀπώλετο νόστιμον ἦμαρ.“ 253b cf. α 354
ὣς ϝειπὼν τοὺς μὲν 'λίπεν αὐτόθι ἦκα κιόντας· 254a = Δ 292
αὐτὰρ ὃ 'βῆ, μάλα δ' ὦκα δόμους ἵκανε ϝάνακτος.
αὐτίκα δ' εἴσω ἴεν, μετὰ δὲ μνηστῆρσι καθῖζε
ἀντίον Εὐρυμάχου· τὸν γὰρ 'φιλέεσκε μάλιστα.
τῷ παρὰ μὲν κρεάων μοῖραν 'θέσαν οἳ 'πονέοντο, 258 cf. υ 281
σῖτον δ' αἰδοίη ταμίη παρέθηκε φέρουσα 259 = α 139
ἔδμεναι.

ἀγχίμολον δ' Ὀδυσεὺς καὶ δῖος ὑφορβὸς
'στήτην ἐρχομένω, περὶ δέ σφεας ἦλθε ϝιωὴ 261b cf. Κ 139
φόρμιγγος γλαφυρῆς· ἀνὰ γάρ σφισι 'βάλλετ' ἀείδειν
Φήμιος. αὐτὰρ ὃ χειρὸς ἑλὼν προσέϝειπε συβώτην·
„Εὔμαι', ἦ μάλα δὴ τάδε δώματα κάλ' Ὀδυσῆος·
ῥεῖα δ' ἀρίγνωτ' ἐστὶ καὶ ἐν πολλοῖσι ϝιδέσθαι. 265a cf. Ο 490
ἐξ ἑτέρων ἕτερ' ἐστίν, ἐπήσκηται δέ ϝοι αὐλὴ
τοίχῳ καὶ θριγκοῖσι, θύραι δ' ἐυϝεργέες εἰσὶ
δικλίδες· οὔ κέν τίς μιν ἀνὴρ ὑπεροπλίσσαιτο.

---

247 *Μελάνθιος*] *-θεύς* G. Vid. ad vs. 212.
248 *ὀλοφώια*] vid. ad δ 410.
250 *ἄλφῃ* GHermann] *ἄλφοι* mss.
252 *μεγάροισ'*] *-ρῳ* H^2 M^1. ‖ *ἢ*] insolite corripitur, cf. § 16; **ἢ μνηστήρεσσι*? cf. γ 90 λ 621 sq. ω 100 etc.
253 *ὡς*] cf. Θ 538. ‖ *τῆλε* § 322] *τηλοῦ* mss.
254 *αὐτόθι* G F M U] *αὐτοῦ* mss. pleraque; cf. § 322.
257 *ἀντίον*] *-ος* U^1; vid. ad Ζ 54. ‖ *Εὐρυμάχου· τὸν*] **Εὐρυμάχοιο· ὃ*? de maiore enim natu aut dignitate *φιλέειν* dici solet (cf. Γ 388 η 171). Vulgata vert. *hunc enim prae ceteris procis colebat*; cf. α 435. Amabat Eurymachus Melanthii sororem (vid. σ 325).
258 *κρεάων* § 72] *κρειῶν* mss.
261 *δέ*] sic Ar.? *γάρ* U. ‖ *ἦλθε* WCKayser] *ἤλυθ'* mss.
262 *ἀνὰ ... 'βάλλετ'*] vid. ad α 155. ‖ *γάρ*] *δέ* mss. multa.
263 *ὃ*] *Ulixes.*
266 *ἐπήσκηται*] *elaborata* (*ornata*) *est.* Comp. † (simplex Γ 388 etc.).
267 *θριγκοῖσι*] vid. ad η 87. ‖ *ἐυεργέες* H^1 U] *ἐυερκέες* mss. pleraque et Apoll. lex., quod ipsius *aulae* alias est epitheton (Ι 472 φ 389 χ 449); *ἐυεργής* redit Ε 585 etc. Utrumque Didymus (Aristarchus?) in scholiis et Eust.
268 *οὔ κέν* G] *οὐκάν* P, *οὐκ ἄν* mss. cetera, cf. § 326. ‖ *μιν*] *τὴν αὐλήν*? Ipsam domum intellegunt Apoll. lex. et Eust. ‖ *ὑπεροπλίσσαιτο*] comp. † (simplex Η 417 etc., ἐφ. Δ 344 etc.); *violaret, expugnaret* (sic Ar.)? An *vilipenderet* (cf. *ὑπέροπλον* Ο 185 Ρ 170, *ὑπεροπλίῃ* Α 205)?

γιγνώσκω δ' ὅτι πολλοὶ ἐν αὐτῷ δαῖτα τίθενται
ἄνδρες· ἐπεὶ κνίση μὲν ἀνήνοθεν, ἓν δέ τε φόρμιγξ
ἠπύει, ἣν ἄρα δαιτὶ θεοὶ 'ποίησαν ἑταίρην.“
τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
„ῥεῖ' ἔγνως, ἐπεὶ οὐδὲ τά τ' ἄλλα πέρ ἐσσ' ἀνοήμων.
ἀλλ' ἄγε δὴ φραζώμεθ' ὅπως ἔσται τάδε ϝέργα· 274 cf. Δ 14; 274b = Β 252
ἠὲ σὺ πρῶτος ἔσελθε δόμους ἐὺ ναιετάοντας, 275b = Ζ 370
δύσεο δὲ μνηστῆρας, ἐγὼ δ' ὑπολείψομαι αὖθι· 276b = 282 τ 44
εἰ δ' ἐθέλεις, ἐπίμεινον, ἐγὼ δ' εἶμι προπάροιθε. 277a = Τ 142
μηδὲ σὺ δηθύνειν, μή τίς σ' ἔκτοσθε νοήσας
ἢ βάλῃ ἢ ἐλάσῃ· τὰ δέ σε φράζεσθαι ἄνωγα.“ 279b cf. α 269
τὸν δ' ἠμείβετ' ἔπειτα πολύτλας δῖος Ὀδυσσεύς·
„γιγνώσκω, φρονέω· τά γε δὴ νοέοντι κελεύεις. 281 = π 136
ἀλλ' ἔρχευ προπάροιθεν, ἐγὼ δ' ὑπολείψομαι αὖθι, 282b = 276
οὔ τι πληγάων ἀδαήμων οὐδὲ βολάων.
τολμήεις μοι θυμός, ἐπεὶ κακὰ πολλὰ πέπονθα
κύμασι καὶ πολέμῳ· μετὰ καὶ τόδε τοῖσι γενέσθω. 285 = ε 224
γαστέρα δ' οὔ πως ἔστιν ἀποκρύψαι μεμαυῖαν, 286a cf. Τ 225
ὀλομένην, ἣ πολλὰ κάκ' ἀνθρώποισι δίδωσι, 287 cf. 474
τῆς ἕνεκεν καὶ νῆες ἐύζυγοι ὁπλίζονται
πόντον ἔπ' ἀτρύγετον κακὰ δυσμενέεσσι φέρουσαι.“
ὣς οἳ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
ἂν δὲ κύων κεφαλήν τε καὶ οὔατα κείμενος ἔσχε
Ἄργος, Ὀδυσσῆος ταλασίφρονος, ὅν ῥά ποτ' αὐτὸς
'θρέψε μέν, οὐδ' ἀπόνητο, πάρος δ' εἰς Ϝίλιον ἱρὴν 293 cf. λ 324
ᾤχετο. τὸν δὲ πάροιθεν ἀγίνεσκον νέοι ἄνδρες

---

269 *τίθενται*] *πίνονται* P (cf. β 322).
270 *ἀνήνοθεν*] *ἐνήνοθεν* Ar. H^1 M n. Vid. § 135 et ad Β 219 Δ 266.
271 *δαιτὶ ... ἑταίρην*] cf. α 152 θ 99.
273 *ἐσσ'*] sic mss. h. l.; vid. § 302.
276 *δύσεο*] *δῦσε* (i. e. *δῦσαι*) P H M; cf. § 152. ‖ *αὖθι* § 322] *αὐτοῦ* mss.
281 *νοέοντι*] *φρονέοντι* M K.
282 *ἔρχευ*] forma novicia, cf. § 117; **ἀλλ' ἴθι σὺ* (vel *δή*)? an **ἔρχεο δὲ* (*δή*)? Hartman *ἀλλὰ σὺ μέν*. Cf. ϱ 22 ψ 254. ‖ *αὖθι* § 322] *αὐτοῦ* mss.
283 *οὔ τι πληγάων* Fick] *οὐ γάρ τι* (*τοι* M^1) *πληγέων* mss.; cf. § 56.
284 *κακὰ πολλὰ*] *δὴ πολλὰ* M J, fortasse recte; *πολλὰ κακὰ* P H U^1 metro invito. ‖ *πέπονθα*] *-νθε* X D.
285] del. Kirchhoff.
286] similis est sententia η 216 sqq. *γαστέρα ἀποκρύψαι* hoc loco significat: *imperiosa stomachi iussa* (cf. ζ 133 σ 53 etc.) sive *famem dissimulare.* ‖ *ἀποκρύψαι*] *ἀποπλῆσαι* Clemens Alexandrinus Strom. VI 743 non recte.
287 *ὀλομένην* § 21] *οὐλομένην* mss.
288 *ἐύζυγοι*] vid. ad Β 293.
289 *φέρουσαι*] *φυτεῦσαι* F (cf. ξ 218).
293 *οὐδ' ἀπόνητο*] cf. λ 324.

αἶγας ἔπ' ἀγροτέρας ἠδὲ πρόκας ἠδὲ λαγωούς·
δὴ τότ' ἔκειτ' ἀπόθεστος ἀποιχομένοιο Ϝάνακτος
ἐν πολλῇ κόπρῳ, ἥ Ϝοι προπάροιθε θυράων
ἡμιόνων τε βοῶν τε Ϝάλις 'κέχυτ', ὄφρ' ἀνάγοιεν
δμῶες Ὀδυσσῆος τέμενος μέγα κοπρίσσοντες.
δὴ τότε γ', ὡς ἐνόησεν Ὀδυσσέα ἐγγὺς ἐόντα,
οὐρῇ μέν ῥ' ὅ γ' ἔσηνε καὶ οὔατα κάββαλεν ἄμφω,
ἆσσον δ' οὐκέτ' ἔπειτα 'δυνήσατο Ϝοῖο Ϝάνακτος
ἐλθέμεν. αὐτὰρ ὃ νόσφι Ϝιδὼν ἀπομόρξατο δάκρυ, 304b cf. B. 269
ῥεῖα λαθὼν Εὔμαιον, ἄφαρ δ' ἐρεείνετο μύθῳ· 305b cf. K 81
„Εὔμαι', ἦ μάλα θαῦμα· κύων ὅδε κεῖτ' ἐνὶ κόπρῳ.
καλὸς μὲν δέμας ἐστίν, ἀτὰρ τόδε γ' οὐ σάφα Ϝοῖδα,
ἢ δὴ καὶ ταχὺς ἦσκε θέειν ἐπὶ Ϝείδεϊ τῷδε,
ἦ αὔτως οἷοί τε τραπεζῆες κύνες ἀνδρῶν
γίγνοντ', ἀγλαΐης δ' ἕνεκεν κομέουσι Ϝάνακτες.“
τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
„καὶ λίην ἀνδρός γε κύων ὅδε τῆλε θανόντος
εἰ τοιόσδ' εἴη ἠμὲν δέμας ἠδὲ καὶ ἔργα, 313b cf. Λ 115
οἷόν μιν Τροίηνδε κιὼν κατέλειπεν Ὀδυσσεύς, 314 cf. π 289
αἶψά κε θηήσαιο Ϝιδὼν ταχυτῆτα καὶ ἀλκήν.
οὐ μὲν γάρ τι 'φύγεσκε βαθείης τάρφεσιν ὕλης 316b = E 555

300 ἔνθα κύων 'κεῖτ' Ἄργος ἐνίπλειος κυνοραιστέων.

295 *πρόκας*] *πρῶκας* F, l. a. *πτῶκας* (metro invito). Vox †, cf. *προκάς* h. Ven. 71; *damas*? vid. ad ξ 50.
296-300] del. Bothe.
296 *δὴ τότ'*] vid. ad ν 92. ‖ *ἀπόθεστος*] †, *abiectus* (= *ἀ-πόθεστος* § 295, cf. *ἀμέγαρτος*). ‖ *ἀποιχομένοιο ἄνακτος* X] *-νοιο Ὀδυσῆος* F H, *-νου Ὀδυσῆος* G P M U n mss. alia.
298 *ὄφρ' ἀνάγοιεν*] *ὄφρ' ἂν ἄγοιεν* mss. pleraque (om. *ἂν* F); cf. ω 334; WCKayser *εἷος* (*ἧος*) *ἄγοιεν* (cf. ψ 151), vHerwerden *ὄφρ' ἀπάγοιεν* (*auferrent*).
299 *κοπρίσσοντες* H[2] M[1]] *-ίσοντες* vel *-ήσοντες* mss. pleraque; cf. § 210. Verbum †, cf. *κόπρος* Σ 575 etc.
300] del. Fick. ‖ *κυνοραιστέων*] †; de genitivi forma novicia cf. § 56 et Π 591 Σ 220.
301 *Ὀδυσσέα*] *Ὀδυσσῆ'* G n, fortasse recte, vid. § 76; huius nominis vocalis η praeter hunc locum nonnisi Δ 491 corripitur (vid. etiam ζ 212).
302 *οὐρῇ*] *οὐρὴν* G. ‖ *οὔατα*] **οὔατε*? vid. ad π 15. ‖ *κάββαλεν*] *κάμβ.* mss. multa, cf. ζ 172 et § 10.
304 *Ϝιδὼν*] *κιὼν* G, *ἰὼν* F M.
305 *ῥεῖα*] hinc alienum esse observat Hartman. ‖ *ἐρεείνετο*] *-νατο* H. ‖ *μύθῳ*] *μῦθον* F.
306 *μάλα*] *μέγα* n. ‖ *ἐνὶ*] *ἐπὶ* U.
308 *ἢ* § 327] *εἰ* mss. ‖ *ἦσκε*] *ἴσκε* mss.
309 *τραπεζῆες κύνες*] cf. X 69.
312] colon in fine versus sustulit Bekker.
313 *ἔργα*] neglecto Ϝ. PKnight *τε Ϝέργα*.
316 *τάρφεσιν* l. a. in schol.] *βένθεσιν* (*ἔντοσθεν* U) mss.; quod alias (Λ 358 etc.) de *maris* profundis tantummodo dicitur, hic autem post *βαθείης* molestum est; *τάρφεα ὕλης* extat E 555 O 606.

κνώδαλον, ὅττι δίοιτο· καὶ ἴχνεσι γὰρ περὶ 'Ϝείδει.
νῦν δ' ἔχεται κακότητι, Ϝάναξ δέ Ϝοι ἄλλοθι γαίης 318b cf. β 131
ὤλετο, τὸν δὲ γυναῖκες ἀκηδέες οὐ κομέουσι.“
ὣς Ϝειπὼν εἰσῆλθε δόμους ἐὺ ναιετάοντας, 324 = φ 242 cf. υ 371
'βῆ δ' ἰθὺς μεγάροιο μετὰ μνηστῆρας ἀγαυούς. 324b = Z 370
Ἄργον δ' αὖ κατὰ μοῖρ' ἔλαβεν μέλανος θανάτοιο
αὐτίκ' ἰδόντ' Ὀδυσῆα ἐϜεικοστῷ ἐνιαυτῷ.

τὸν δὲ πολὺ πρῶτος 'Ϝίδε Τηλέμαχος θεοϜειδὴς 328 = α 113
ἐρχόμενον κατὰ δῶμα συβώτην, ὦκα δ' ἔπειτα
'νεῦσ' ἐπὶ Ϝοὶ καλέσας. ὃ δὲ παπτήνας ἕλε δίφρον
κείμενον, ἔνθα τε δαιτρὸς ἐφίζεσκε κρέα πολλὰ
δαιόμενος μνηστῆρσι δόμον κάτα δαινυμένοισι·
τὸν κατέθηκε φέρων πρὸς Τηλεμάχοιο τράπεζαν
ἀντίον, ἔνθα δ' ἄρ' αὐτὸς ἐφέζετο. τῷ δ' ἄρα κήρυξ
μοῖραν ἑλὼν ἐτίθει κανέου τ' ἐκ σῖτον ἀείρας.
ἀγχίμολον δὲ μετ' αὐτὸν ἐδύσετο δώματ' Ὀδυσσεὺς
πτωχῷ λευγαλέῳ ἐναλίγκιος ἠδὲ γέροντι, 337 sq. cf. 202 sq.
σκηπτόμενος· τὰ δὲ λυγρὰ περὶ χροῒ Ϝείματ' ἔϜεστο. 338b = Ψ 67
ἷζε δ' ἐπὶ μελινοὶ' οὐδοῦ ἔντοσθε θυράων

320 δμῶες δ', εὖτέ κε μηκέτ' ἐπικρατέωσι Ϝάνακτες,
οὐκέτ' ἔπειτ' ἐθέλουσιν ἐναίσιμα Ϝεργάζεσθαι·
ἥμισυ γάρ τ' ἀρετῆς ἀποαίνυται εὐρύϜοπα Ζεὺς
ἀνέρος, εὖτέ κέ μιν κατὰ δούλιον ἦμαρ ἕλῃσι.

317 *κνώδαλον*] *belua*; vox ignotae originis redit h. Merc. 188. ‖ *δίοιτο*] § 199; *ἴδοιτο* G F mss. alia repugnante versus exitu. ‖ *ἴχνεσι γὰρ περὶ 'Ϝείδει*] *ἴχνεσσιν γὰρ ὀπήδει* (e *πήδει* corruptum) schol. Plat. Axioch. ‖ *περὶ 'Ϝείδει* § 160] *περιήδει* (*-δη* mss.; Nauck *περιῇεν*.
318 *Ϝοι*] *που* F. ‖ *γαίης* M] *πάτρης* mss. cett., quod ferri potest, si legimus **δ' ἄρα τηλόθι πάτρης*. Cf. β 131.
320-323] del. Bekker.
320 *εὖτέ κε* § 326] *εὖτ' ἂν* mss.
322 sq. *τ'* (om. G U) *ἀρετῆς ἀποαίνυται … ἀνέρος, εὖτέ κέ μιν*] *τε νόου ἀπαμείρεται … ἀνδρῶν, οὓς ἂν δὴ* Eust., item Plat. Leg. 777a Athen. VI 264 (vid. § 271).
323 *εὖτέ κέ* § 326] *εὖτ' ἂν* mss. ‖ *δούλιον*] adi. novicium, vid. ad Γ 409.
326 sq.] iure damnasse videtur PKnight; solum vs. 327 delet Fick.
326 *μοῖρ' ἔλαβεν*] *μοῖρα λάβεν* F.
327 *ἰδόντ'*] neglecto Ϝ; Bekker *αὖθι, Ϝιδόντ'*. ‖ *ἐϜεικοστῷ ἐνιαυτῷ*] insolitam hanc in cane longaevitatem notavit Aristoteles in Hist. Anim. VI 20, item Aelian. Hist. Anim. IV 40.
331 *ἔνθα τε* Bekker] *ἔνθα δὲ* aut *ἐνθάδε* mss.; vid. ad Θ 48.
334 sq.] damnat Hartman.
334 *ἀντίον*] *πλησίον* U. ‖ *δ' ἄρ'*] *περ* P H M mss. alia. ‖ *αὐτὸς*] *ipse* (*quoque*), exadversus Telemachum. ‖ *ἐφέζετο*] *ἐφίζετο* H.
335 *ἐτίθει*] *προτίθει* M n (cf. α 112 Ω 409).
336 *ἐδύσετο*] *-σατο* G P[1] H[1] M. ‖ *δώματ' Ὀδυσσεὺς*] *δῶμ' Ὀδυσῆος* schol. T ad Π 820.
338 *Ϝείματ' ἔϜεστο*] *εἵματα ἕστο* mss.
339 *μελινοὶ'* § 59] *μελίνου* mss.; *fraxinei*.

κλινάμενος σταθμῷ κυπαρισσίνῳ, ὅν ποτε τέκτων
'ξέσσεν ἐπισταμένως καὶ ἐπὶ στάθμην ἴθυνε. 341 = φ 44 cf. ε 245
Τηλέμαχος δ' ἐπὶ Ϝοὶ καλέσας προσέϜειπε συβώτην
ἄρτον τ' οὖλον ἑλὼν περικαλλέος ἐκ κανέοιο
καὶ κρέας, ὥς Ϝοι χεῖρες ἐχάνδανον ἀμφιβαλόντι·
„δὸς τῷ ξείνῳ ταῦτα φέρων αὐτόν τε κέλευε
αἰτίζειν μάλα πάντας ἐποιχόμενον μνηστῆρας· 346 = 351
αἰδὼς δ' οὐκ ἀγαθὴ κεχρημένον ἄνδρα κομίζειν.“ 347 cf. 352 Hes. Oper. 317, 500.
ὣς 'φάτ'· ἔβη δὲ συφορβὸς, ἐπεὶ τὸν μῦθον ἄκουσε, 348 sq.[a] = 551 sq. 348 = 574 cf. Β 16
ἄγχι δέ Ϝ' ἱστάμενος Ϝέπεα πτερόεντ' ἀγόρευε· 349 cf. Δ 203
„Τηλέμαχός τοι, ξεῖνε, διδοῖ τάδε καί σε κελεύει
αἰτίζειν μάλα πάντας ἐποιχόμενον μνηστῆρας· 351 = 346
αἰδόα δ' οὐκ ἀγαθὴν φήσ' ἔμμεναι ἀνδρὶ προΐκτῃ.“ 352 cf. 347
τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
„Ζεῦ Ϝάνα, Τηλέμαχόν μοι ἐν ἀνδράσιν ὄλβιον εἶναι,
καί Ϝοι πάντα γένοιτο ὅσα φρεσὶ Ϝῇσι μενοινᾷ.“
ἦ ῥα, καὶ ἀμφοτέρῃσιν ἐδέξατο καὶ κατέθηκε
αὖθι ποδῶν προπάροιθεν, ἀϜεικελίης ἐπὶ πήρης·
ἤσθιε δ' ἧος ἀοιδὸς ἐνὶ μεγάροισιν ἄειδε.
εὖθ' ὃ 'δεδειπνήκειν, — ὃ δ' ἐπαύετο θεῖος ἀοιδός, —
μνηστῆρες δ' ὁμάδησαν ἀνὰ μέγαρ'. αὐτὰρ Ἀθήνη 360 cf. α 365

359 Ar. —

Alias dicitur μείλινος (*hastarum* epitheton, Ε 655 etc.); Nauck δρυΐνου coll. φ 43 (ubi vid.). ‖ οὐδοῖ' § 59] οὐδοῦ mss.

340 κυπαρισσίνῳ] †, cf. κυπάρισσος ε 64.

343 ἄρτον] vox σ 120 redit; *panem* tostum e *farina* (quae ἀλείατα dicitur υ 108). Cf. adi. πυρνός (ο 312 ϱ 12, 362). ‖ οὖλον] *integrum* (Att. ὅλον); item ω 118 h. Merc. 113 (vid. etiam ad τ 225).

344 κρέας] κρέα U (cf. vs. 331). ‖ ὥς] ὅσσ' Axt (probabilius poterat κρέ', ὅσον). ‖ ἀμφιβαλόντι] l. a. -λόντε (χεῖρε ... ἀμφιβαλόντε?).

347] om. n in textu. ‖ κεχρημένον ἄνδρα κομίζειν G] κεχρημένῳ ἀνδρὶ παρεῖναι (προΐκτῃ U Eust. Suid. et l. a. in G) mss. cett., l. a. αἰδῶ δ' οὐκ ἀγαθὴν φήσ' ἔμμεναι ἀνδρὶ προΐκτῃ, quae lectiones e vs. 352 sunt natae; cum G concinunt versus Hesiodei. Vert. *pudor non utilis est ad virum egenum fovendum*; conferri possunt locutiones τὰ κάκ' ἐστὶ φίλα φρεσὶ μαντεύεσθαι (Α 107), ἀργαλέος Ὀλύμπιος ἀντιφέρεσθαι (Α 589) aliae.

348 'φάτ'· ἔβη] φάτο· βῆ mss.

349 *ἄγχι δέ Ϝ'(οι)] ἀγχοῦ δ' mss.; cf. § 318. ‖ πτερόεντ' ἀγόρευε] -ντα προσηύδα G² F X mss. alia.

350-352] in marg. habet G.

352 αἰδόα § 77] αἰδῶ mss. ‖ προΐκτῃ] *mendico*; vs. 449 redit vox, quam ex προικέτης contractam esse putabant quidam, alii ad προΐξ (ν 15 ϱ 413) recte referebant; vid. schol. et ad ν 15.

354 εἶναι] de infinitivi usu vid. § 124.

355 γένοιτο ὅσα] γένοιθ' ὅσσα mss. multa; vHerwerden γενέσθαι ὅσα. Cf. Δ 20.

358-364] del. Duentzer, vs. 360-364 Kirchhoff, vs. 365 βῆ ῥ' ἴμεν scribens.

358 ἧος § 323] ἕως (ὥς) ὅτ' mss.

359 δεδειπνήκειν] sic Ar. ‖ ἐπαύετο] -σατο X n mss. alia. ‖ θεῖος] δῖος Nauck.

ἄγχι παρισταμένη Λαερτιάδην Ὀδυσῆα 361 = π 455
ὤτρυν', ὥς κεν πυρνὰ κατὰ μνηστῆρας ἀγείροι
γνοίη θ', οἵ τινές εἰσιν ἐναίσιμοι οἵ τ' ἀθέμιστοι·
ἀλλ' οὐδ' ὧς τιν' ἔμελλ' ἀπαλεξήσειν κακότητος.
'βῆ δ' ἴμεν' αἰτήσων ἐνδέξια φῶτα Ϝέκαστον,
πάντοσε χεῖρ' ὀρέγων, ὡς εἰ πτωχὸς πάλαι εἴη.
οἳ δ' ἐλεαίροντες 'δίδοσαν καὶ ἐθάμβεον αὐτὸν
ἀλλήλους τ' εἴροντο, τίς εἴη καὶ πόθεν ἔλθοι. 368 cf. ο 423
τοῖσι δὲ καὶ μετέϜειπε Μελάνθιος αἰπόλος αἰγῶν·
„κέκλυτέ μοι, μνηστῆρες ἀγακλειτῆς βασιλείης, 370 = 468 σ 351 φ 275
τοῦδε περὶ ξείνοι'· ἦ γάρ μιν πρόσθεν ὄπωπα.
ἦ τοι μέν Ϝοι δεῦρο συβώτης ἡγεμόνευε,
αὐτὸν δ' οὐ σάφα Ϝοῖδα, πόθεν γένος εὔχεται εἶναι.“
ὣς ἔφατ'· Ἀντίνοος δ' ἔπεσιν 'νείκεσσε συβώτην·
„ὦ ἀμέγαρτε συβῶτα, τίη δὲ σὺ τόνδε πόλινδε
ἤγαγες; οὐ Ϝάλις ἧμιν ἀλήμονες εἰσὶ καὶ ἄλλοι,
πτωχοὶ ἀνιηροί, δαιτῶν ἀπολυμαντῆρες; 377 cf. 220
ἦ ὄνοσαι, ὅτι τοι βίοτον κατέδουσι Ϝάνακτος
ἐνθάδ' ἀγειρόμενοι, σὺ δὲ καὶ προτὶ τόνδ' ἐκάλεσσας;“
τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
„Ἀντίνο', οὐ μὲν καλὰ καὶ ἐσθλὸς ἐὼν ἀγορεύεις· 381[a] = 483 381[b] = Π 627
τίς γὰρ δὴ ξεῖνον καλεῖ ἄλλοθεν αὐτὸς ἐπελθὼν
ἄλλον γ', εἰ μὴ τῶν οἳ δημιοϜεργοὶ ἔασι, 383[b] = τ 135

362 κεν § 326] ἂν mss. ‖ πυρνὰ] vid. ad ο 312.

363 θ'] δ' G F M X mss. alia. ‖ εἰσιν] εἶεν F male, cf. § 109.

364 ἔμελλ'] ἔμελλεν U. ‖ ἀπαλεξήσειν] ἀπαλλάξειν U² (quod epicum non est verbum). ‖ κακότητος] κακότητα F D non male, cf. δ 167; *τιν(ι) ἔμελλεν ἀλεξήσειν κακότητα? cf. Υ 315 Φ 374. Comp. etiam Χ 348 Ω 371 extat.

365 ἐνδέξια] cf. Α 597.

368 εἴροντο] ἤροντο X mss. alia; cf. § 264. ‖ εἴη ... ἔλθοι] de optativo vid. § 109.

370 *μοι] μευ mss.; vid. § 92 et ad Α 37.

371 ξείνοι' § 59] ξείνου mss. ‖ μιν πρόσθεν] πρόσθε(ν) μιν G F P X U n mss. alia.

374 ἔπεσιν] neglecto Ϝ; Bekker αἰσχρῶς coll. Ψ 473 σ 321 Ν 768, PKnight δὲ Ϝέπεσσιν ἐνείκεσ' ('νείκεσ', vid. § 8) ὑφορβόν. ‖ 'νείκεσσε] νείκεσκε U.

375 *ὦ ἀμέγαρτε] *o miser*, vid. ad ϱ 219; ἀρίγνωτε F, ὠρίγνωτε (i. e. ὦ ἀρίγνωτε) mss. cetera invitis metro (vid. § 9) et sententia, nam ἀρίγνωτος est *agnitu facilis* (cf. Ν 72 Ο 490 δ 207 ζ 108 ϱ 265).

376 οὐ Nauck] ἦ οὐχ mss.; cf. § 8. ‖ ἀλήμονες] *errones*; vox redit τ 74, cf. ἀλήτης ξ 124 etc.

377] del. Kirchhoff. ‖ ἀπολυμαντῆρες] cf. vs. 220.

378 ὄνοσαι] *non satis censes*; vid. ad Ω 241. ‖ βίοτον] σῖτον G.

379 προτὶ] ποθι (Ar.?) F M X mss. alia; ποτὶ G.

382 καλεῖ] *'κάλεσ'? Cf. § 191.

383-391] del. PKnight.

383] apud Aristot. Polit. VIII 3 sic affertur: ἀλλ' οἷον μὲν (Bekker ἀλλοῖον μέν γ') ἐστι

μάντιν ἢ ἰητῆρα κακῶν ἢ τέκτονα δούρων
ἢ καὶ θέσπιν ἀοιδὸν, ὅ κεν τέρπῃσιν ἀείδων;
οὗτοι γὰρ κλητοί γε βροτῶν ἐπ' ἀπείρονα γαῖαν·
πτωχὸν δ' οὔ κέν τις καλέοι τρύξοντά μιν αὐτόν.
ἀλλ' αἰεὶ χαλεπὸς περὶ πάντων εἷς μνηστήρων
δμωσὶν Ὀδυσσῆος, περὶ δ' αὖτ' ἐμοί· αὐτὰρ ἐγώ γε
οὐκ ἀλέγω, ἧός μοι ἐχέφρων Πηνελόπεια
ζώει ἐνὶ μεγάρῳ καὶ Τηλέμαχος θεοϝειδής."
  τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
„σίγαε, μή μοι τοῦτον ἀμείβεο πολλὰ ϝέπεσσι·
Ἀντίνοος δ' εἴωθε κακῶς ἐρεθιζέμεν' αἰεὶ
μύθοισιν χαλεποῖσιν, ἐποτρύνει δὲ καὶ ἄλλους."
  ἦ ῥα, καὶ Ἀντίνοον ϝέπεα πτερόεντα προσηύδα·
„Ἀντίνο', ἦ μεο καλὰ πατὴρ ὣς κήδεαι υἷος,
ὃς τὸν ξεῖνον ἄνωγας ἀπὸ μεγάροιο δίεσθαι — 398b sq. = υ 343 sq.
μύθῳ ἀναγκαίῳ· μὴ τοῦτο θεὸς τελέσειε. — 399b cf. η 316
δός ϝοι ἑλών· οὔ τοι φθονέω· κέλομαι γὰρ ἐγώ γε.
μήτ' οὖν ἅζεο μητέρ' ἐμὴν τό γε μήτε τιν' ἄλλον. — 401b sq. = σ 416 sq.
ἀλλ' οὔ τοι τοιοῦτον ἐνὶ στήθεσσι νόημα· — 403 cf. η 309
αὐτὸς γὰρ φαγέμεν πολὺ βούλεαι ἢ δόμεν' ἄλλῳ."
  τὸν δ' αὖτ' Ἀντίνοος ἀπαμειβόμενος προσέϝειπε·
„Τηλέμαχ' ὑψαγόρη, μένος ἄσχετε, ποῖον ἔϝειπες; — 406 = β 85

---

402 δμώων, οἳ κατὰ δώματ' Ὀδυσσῆος θείοιο. — 402 = υ 298

καλεῖν ἐπὶ δαῖτα θαλείην (leg. θάλειαν), cf. γ 420. || δημιοϝεργοί] vox τ 135 h. Merc. 98 redit; e vss. sequentibus apparet qui aevo poetae δημιουργοί dicti fuerint.

384 ἢ] insolite corripitur, cf. § 16; om. L W, μάντιν γ' ἢ ἰτῆρα (ἠιτῆρα) P H.

385] suspectus Bergkio. || ὅ κεν] ὅς ἂν Eust.; cf. § 326. || ἀείδων] ἅπαντας Aristot. l. l.

387 οὔ κέν § 326] οὐκ ἂν mss. || τρύξοντα] -ζοντα G^1 F P. || *μιν] ἑ mss. hiatu vitioso; cf. δ 244 et § 94. Redit error Ρ 551.

388 εἷς] ἧς (imperf.) X D Z k; novicium est εἷς pro ἴσοι, cf. § 302.

390 ἧος § 323] εἵως (ἕως) mss.

391 μεγάρῳ L W q] -ροις mss. cett., cf. § 59.

393 σίγαε § 191] σίγα mss. multa, ἄττα P H M mss. alia; IHVoss ἄττα σύ, μή, an *ἄττα, τίη? || πολλὰ ϝέπεσσι] πόλλ' ἐπέεσσιν mss.

397 μεο § 92] μευ mss., l. a. μὲν, μάλα Gregor. Cor. in Rhet. Gr. VIII 773 (Spengel III 222). || υἷος] υἱοῦ M.

399] del. Kirchhoff. || τοῦτο θεός] caesura vitiosa, vid. § 8; parum placet *τοῦτο Ζεύς.

400 τοι] τι H^2.

401 μήτ' οὖν] μήτε τι G H^2 X. || *ἅζεο μητέρ' ἐμὴν § 117] μ. ἐ. ἅζευ mss. || τό γε] τόδε G F n; cf. Ε 827.

402] om. F, in marg. habet U, del. PKnight. Vid. σ 417 et ad ϱ 568.

404 πολὺ] μάλα πολὺ (metro invito) F.

405 ἀπαμειβόμενος προσέϝειπε] -βετο φώνησέν τε X D Z k n. Cf. Υ 86 β 84.

406] del. Fick.

εἴ ϝοι τόσσον ἅπαντες ὀρέξειαν μνηστῆρες,
καί κέν μιν τρεῖς μῆνας ἀπόπροθι ϝοῖκος ἐρύκοι."
  ὣς ἄρ' ἔφη, καὶ θρῆνυν ἑλὼν ὑπέφηνε τραπέζης
κείμενον, ᾧ ῥ' ἔπεχεν λιπαροὺς πόδας εἰλαπινάζων. — 410b = Ξ 241
οἱ δ' ἄλλοι πάντες 'δίδοσαν, 'πλῆσαν δ' ἄρα πήρην
σίτου καὶ κρεάων. τάχα δὴ καὶ ἔμελλεν Ὀδυσσεὺς
αὖτις ἐπ' οὐδὸν ἰὼν προΐκος γεύσεσθαι Ἀχαιῶν·
'στῆ δὲ παρ' Ἀντίνοον καί μιν πρὸς μῦθον ἔϝειπε·
  „δὸς, φίλος· οὐ μέν μοι δοκέεις χείριστος Ἀχαιῶν
ἔμμεναι, ἀλλ' ὄχ' ἄριστος, ἐπεὶ βασιλῆι ϝέϝοικας.
τῷ σε χρὴ δόμεναι καὶ λώιον ἠέ περ ἄλλοι
σίτου· ἐγὼ δέ κέ σε κλείω κατ' ἀπείρονα γαῖαν.
καὶ γὰρ ἐγώ ποτε ϝοῖκον ἐν ἀνθρώποισιν ἔναιον — 419-424 = τ 75 sqq.
ὄλβιος ἀφνειὸν, καὶ πολλάκι 'δόσκον ἀλήτῃ
τοίῳ, ὁποῖος ἔοι καὶ ὅτευ κεχρημένος ἔλθοι·
ἦσαν δὲ δμῶες μάλα μυρίοι ἄλλα τε πολλὰ,
οἷσί τ' ἐὺ ζώουσι καὶ ἀφνειοὶ καλέονται.
ἀλλὰ Ζεὺς ἀλάπαξε Κρονίων, — ἤθελε γάρ που, —
ὅς μ' ἅμα ληιστῆρσι πολυπλάγκτοισ' ἀνέηκε
Αἴγυπτόνδ' ἴμεναι, δολιχὴν ὁδὸν, ὄφρ' ἀπολοίμην. — 426a = δ 483
'στῆσα δ' ἐν Αἰγύπτῳ ποταμῷ νέας ἀμφιϝελίσσας. — 427-441 = ξ 258 sqq.
ἔνθ' ἦ τοι μὲν ἐγὼ 'κελόμην ἐρίηρας ἑταίρους
αὐτόθι πὰρ νήεσσι μένειν νῆάς τε ῥύεσθαι,
ὀπτῆρας δὲ κατὰ σκοπιὰς ὤτρυνα νέεσθαι.

---

407 ἅπαντες H^2 D] πάντες mss. pleraque.

408 ἀπόπροθι G U^1] -θεν mss. cett.

409-461] del. Duentzer.

409 ὑπέφηνε] †, ὑπέθηκε G U. || τραπέζης H] τραπέζῃ mss. pleraque.

410 εἰλαπινάζων] οἰνοποτάζων G^2 J (cf. Υ 84 υ 262).

412 κρεάων § 72] κρειῶν mss.

413 προΐκος] cf. ν 15. || γεύσεσθαι G^2 n Eust.] -σασθαι mss. pleraque.

415 δὸς] ὦ P. || *χείριστος] ὁ (om. F) κάκιστος mss.; τι κάκιστος (caesura vitiosa) PKnight coll. Π 570 δ 199. Articulo non est locus in praedicato.

416 ὄχ' ἄριστος PKnight] ἄριστος H^1, ὥριστος mss. cetera. Articulus ferri nequit, vid. ad vs. 415 et de crasi § 9.

417 ἠέ περ] ἤ περ οἱ F. || ἄλλοι] ἄλλον G (ἄλλων P).

418 σίτου] σῖτον F^2. || δέ κέ] δ' ἂν Eust.; cf. § 326.

421] versus durior; del. PKnight. || ὅτευ] novicium pro ὅτεο, cf. § 102; ὅτε F^1.

423 οἷσί τ' ἐὺ Eust.] οἷσίν (οἷσι F) τ' εὖ mss.

424 Ζεὺς] *Ζεύς μ'?

425 *-τοισ' ἀνέηκε] -τοισιν ἀνῆκε mss.

426 ἴμεναι § 125] ἰέναι mss. || δολιχὴν] χαλεπὴν U. || ὄφρ' ἀπολοίμην] ἀργαλέην τε G n (ut δ 483), fortasse recte.

427-441] vid. ad locum par.; Fick del vs. 427-439.

427 'στῆσα — ποταμῷ] στησάμενος δ' ἐν Αἰγύπτῳ G vitiose. || 'στῆσα] στήσας metro invito H^2.

οἳ δ' ὕβρι ϝείξαντες, ἐφεσπόμενοι μένεϊ σφῷ,
αἶψα μάλ' Αἰγυπτίων ἀνδρῶν περικαλλέας ἀγροὺς
'πόρθεον, ἐκ δὲ γυναῖκας ἄγον καὶ νήπια τέκνα,
αὐτούς τ' ἔκτεινον· τάχα δ' εἰς πόλιν ἵκετ' ἀυτή.
οἳ δὲ βοῆς ἀίοντες ἅμ' ἠόι φαινομένηφι
ἦλθον· 'πλῆτο δὲ πᾶν πεδίον πεζῶν τε καὶ ἵππων
χαλκοῦ τ' ἀστεροπῆς. ἐν δὲ Ζεὺς τερπικέραυνος
φύζαν ἐμοῖσ' ἑτάροισι κακὴν ἔβαλ', οὐδέ τις ἔτλη
στήμεν' ἐναντίβιον· περὶ γὰρ κακὰ πάντοθεν ἔστη.
ἔνθ' ἥμων πολλοὺς μὲν ἀπέκτανον ὀξέι χαλκῷ,
τοὺς δ' ἄναγον ζῳούς, σφίσι ϝεργάζεσθαι ἀνάγκῃ.
αὐτὰρ ἔμ' εἰς Κύπρον ξείνῳ 'δόσαν ἀντιάσαντι,
Δμήτορι Ἰασίδῃ, ὃς Κύπρου ϝῖφι 'ϝάνασσε.
ἔνθεν δὴ νῦν δεῦρο τόδ' ἵκω πήματα πάσχων.“ 444 cf. 524
  τὸν δ' αὖτ' Ἀντίνοος ἀπαμείβετο 'φώνησέν τε·
„τίς δαίμων τόδε πῆμα προσήγαγε δαιτὸς ἀνίην;
στῆθ' οὕτως εἰς μέσσον ἐμῆς ἀπάνευθε τραπέζης,
μὴ τάχα πικρὴν Αἴγυπτον Κύπρον τε ϝίδηαι·
449 ὥς τις θαρσαλέος καὶ ἀναιδής ἐσσι προΐκτης.“
453 τὸν δ' ἀναχωρήσας προσέφη πολύμητις Ὀδυσσεύς·
„ὢ πόποι, οὐκ ἄρα σοί γ' ἐπὶ ϝείδεϊ καὶ φρένες ἦσαν.
οὐ σύ γέ κ' ἐκ ϝοίκου σῷ ἐπιστάτῃ οὐδ' ἅλα δοίης,

450 ἑξείης πάντεσσι παρίστασαι· οἳ δὲ διδοῦσι
μαψιδίως, ἐπεὶ οὔ τις ἐπίσχεσις οὐδ' ἐλεητὺς
ἀλλοτρίων χαρίσασθαι, ἐπεὶ πάρα πολλὰ ϝεκάστῳ.
450-452 Ar. —

437 ἐν] ἐπὶ F.
443 Δμήτορι] vid. ad Ξ 259. || 'ϝάνασσε] ἀνάσσει U[2].
444 ἵκω] ἥκω F[2] P[2] X mss. alia.
448 πικρὴν] *tuo damno* (ut στυγερῶς Π 723 etc.). Eadem adiectivi πικρὸς vis est in comp. πικρόγαμος α 266 etc., e posterioribus autem huius generis loquendi exempla collegit Cobet Var. Lect. p. 573 sqq.; vid. Aristoph. Thesm. 853 Av. 1045, 1468 fr. 597 Kock, Aesch. Prom. 739 Pers. 473, Soph. Electr. 470, Eur. Alc. 258 Med. 398 sq., 1388 Troad. 66, 441 Androm. 1002 Electr. 638 Bacch. 357 Hel. 448 Cycl. 589. || Κύπρον τε Nauck] καὶ Κύπρον. || ἴδηαι G F M U K n] ἵκηαι mss. alia. Cf. Aristoph. Thesm. et Av. et Eur. Cycl. l. l.; similis varietas lectionis est Ο 252, vid. etiam ad γ 233.
449 ὥς G H[1] M X] ὅς F P H[2] n. || προΐκτης] vid. ϱ 352 et ad ν 15.
451 ἐπίσχεσις] †, *cunctatio*, cf. ἐπισχεσίῃ φ 71. || ἐλεητὺς] vox redit ξ 82; vid. ad ε 191.
454] similis est sententia ϑ 176 sq.
455] imitatur Theocrit. XXVII 60. || γέ κ' § 326] γ' ἂν mss. || ἐκ] ἐξ mss. || ϝοίκου σῷ] *ϝοίκοιο? || ἐπιστάτῃ] †, *supplicem* vel *mendicum adstantem* significari patet. || οὐδ' ἅλα] sic Ar.; οὔδαλα absurde Callistratus, *sordes* id interpretatus.

ὃς νῦν ἀλλοτρίοισι παρήμενος οὔ τί μοι ἔτλης
σίτου ἄπο προελὼν δόμεναι· τὰ δὲ πολλὰ πάρεστι.“
  ὣς ἔφατ'· Ἀντίνοος δὲ 'χολώσατο κηρόθι μᾶλλον, 458 cf. σ 387
καί μιν ὑπόδρα ϝιδὼν ϝέπεα πτερόεντα προσηύδα· 458[b] = Φ 136 459 = σ 388
„νῦν δή σ' οὐκέτι καλὰ δι' ἐκ μεγάροιό γ' ὀίω
ἂψ ἀναχωρήσειν, ὅτε δὴ καὶ ὀνείδεα βάζεις.“
  ὣς ἄρ' ἔφη, καὶ θρῆνυν ἑλὼν 'βάλε δεξιὸν ὦμον,
πρυμνότατον κατὰ νῶτον. ὃ δ' ἐστάθη ἠύτε πέτρη
ἔμπεδον, οὐδ' ἄρα μιν 'σφῆλεν βέλος Ἀντινόοιο·
ἀλλ' ἀκέων 'κίνησε κάρη κακὰ βυσσοδομεύων. 465 = 491 υ 184
ἂψ δ' ὅ γ' ἐπ' οὐδὸν ἰὼν κατ' ἄρ' ἕζετο, κὰδ δ' ἄρα πήρην 466[a] = σ 110
'θῆκεν ἐνιπλείην, μετὰ δὲ μνηστῆρσιν ἔϝειπε·
„κέκλυτέ μοι, μνηστῆρες ἀγακλειτῆς βασιλείης, [sq. φ 275 sq. 468 sq. = σ 351 468 = 370
ὄφρ' ἔσπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει. 469 = Η 68
οὐ μὰν οὔτ' ἄχος ἐστὶ μετὰ φρεσὶν οὔτε τι πένθος,
ὁππότ' ἀνὴρ περὶ ϝοῖσι μαχειόμενος κτεάτεσσι
βλήεται, ἢ περὶ βούσ' ἢ' ἀργεννῇσ' ὀίεσσι·
αὐτὰρ ἔμ' Ἀντίνοος 'βάλε γαστέρος εἵνεκα λυγρῆς,
ὀλομένης, ἣ πολλὰ κάκ' ἀνθρώποισι δίδωσι. 474 cf. 287
ἀλλ' εἴ που πτωχῶν γε θεοὶ καὶ ἐρινύες εἰσί,
Ἀντίνοον πρὸ γάμοιο τέλος θανάτοιο κιχείη.“ 476[b] cf. Ι 416
  τὸν δ' αὖτ' Ἀντίνοος προσέφη, Εὐπείθεος υἱός·
„ἔσθε ϝέκηλος, ξεῖνε, καθήμενος ἢ ἄπιθ' ἄλλῃ,
μή σε νέοι διὰ δῶμα ϝερύσσωσ', οἷ' ἀγορεύεις,
ἢ ποδὸς ἢ καὶ χειρός, ἀποδρύψωσι δὲ πάντα.“
  ὣς ἔφαθ'· οἳ δ' ἄρα πάντες ὑπερφιάλως 'νεμέσησαν. 481 = φ 285

475-480 Ar. —

457] σίτου ἀπάρξασθαι πολλῶν κατὰ οἶκον ἐόντων Dio Chrys. VII 250.
460 γ'] om. G F.
461 ὅτε δή] vid. ad β 314.
463 πρυμνότατον] superlativus † (pos. Ε 292 etc.). Extrema humeri parte prope cervices feritur Ulixes. || ἐστάθη] cf. λ 243.
466-491] del. Duentzer.
466 ἂψ δ' ὅ γ'] ἂψ δ' ἄρ' G X n mss. alia, αἶψα δ' ὅ γ' Y; vid. ad ϑ 92.
467 ἐνιπλείην Bothe] ἐυπλείην mss.; adi. ἐνίπλειος vel ἔμπλειος extat ϱ 300 σ 119 υ 26 χ 3 (ubi vid. l. a.) h. Merc. 248.
468 *μοι] μευ mss.; vid. § 92 et ad Α 37.
469 ἔσπω § 246] εἴπω mss.; cf. Η 68.
470 μετὰ] ἐνὶ J K.
471 μαχειόμενος] cf. § 291.
472 βλήεται] βλήσεται H[2] Y; cf. Υ 335. || βούσ'] βουσὶ mss.; vid. § 16.
474-476] del. Duentzer, unum vs. 474 Bekker.
474] ὀλομένης § 21] οὐλ. mss.
478 ἔσθε Bentley] ἔσθ' X D k, ἔσθι' mss. cetera.
479 δῶμα G M] δῶμ' U, δώματ' mss. cetera. || οἷ' ἀγορεύεις] vid. ad Σ 95.

ὧδε δέ τις 'Ϝείπεσκε νέων ὑπερηνορεόντων· 482 = β 324
„Ἀντίνο', οὐ μὲν καλὰ 'βάλες δύστηνον ἀλήτην· 483ᵃ = 381
ὀλόμεν', εἰ δή πού τις ἐπουράνιος θεός ἐστι.
καί τε θεοὶ ξείνοισι ϜεϜοικότες ἀλλοδαποῖσι
παντοῖοι τελέθοντες ἐπιστροφάουσι πόληας,
ἀνθρώπων ὕβριν τε καὶ εὐνομίην ἐφορῶντες.“
ὣς ἄρ' ἔφαν μνηστῆρες, ὃ δ' οὐκ ἠμπάζετο μύθων. 488 cf. υ 275, 384
Τηλέμαχος δ' ἐν μὲν κραδίῃ μέγα πένθος ἄεξε 488ᵇ cf. ι 553
βλημένου, οὐδ' ἄρα δάκρυ χαμαὶ 'βάλεν ἐκ βλεφάροιιν,
ἀλλ' ἀκέων 'κίνησε κάρη κακὰ βυσσοδομεύων. 491 = 465
τοῦ δ' ὡς οὖν ἤκουσε περίφρων Πηνελόπεια
βλημένου ἐν μεγάρῳ, μετ' ἄρα δμῳῇσιν ἔϜειπε·
„αἴθ' οὕτως αὐτόν σε βάλοι κλυτότοξος Ἀπόλλων.“
τὴν δ' αὖτ' Εὐρυνόμη ταμίη πρὸς μῦθον ἔϜειπε· 495 = σ 169
„εἰ γὰρ ἐπ' ἀρῇσιν τέλος ἡμετέρῃσι γένοιτο,
οὔ κέν τις τούτων γε εὔθρονον 'Ηό' ἵκοιτο.“
τὴν δ' αὖτε προσέϜειπε περίφρων Πηνελόπεια·
„μαῖ', ἐχθροὶ μὲν πάντες, ἐπεὶ κακὰ μηχανάονται·
Ἀντίνοος δὲ μάλιστα μελαίνῃ κηρὶ ϜέϜοικε.
ξεῖνός τις δύστηνος ἀλητεύει κατὰ δῶμα
ἀνέρας αἰτίζων· — ἀχρημοσύνη γὰρ ἀνώγει· —
ἔνθ' ἄλλοι μὲν πάντες ἐνεπλησάν τ' ἔδοσάν τε,
οὗτος δὲ θρήνυι πρυμνὸν 'βάλε δεξιὸν ὦμον.“

501-504 Ar. —

483 *καλὰ 'βάλες*] *κάλ' ἔβαλες* mss.
484 *ὀλόμεν'* § 21] *οὐλ.* mss.; vocativi idem usus est *Ξ* 84. ‖ *εἰ δή*] vid. ad *Α* 61.
485-487] cf. Hes. Oper. 252-255.
485 *καί τε*] sententia nulla praeter hanc ab his voculis incipit; Axt *καὶ δὲ* vel *καὶ γάρ*.
486 *ἐπιστροφάουσι* § 191 et 248] *-στρωφῶσι* mss.; comp. nonnisi h. Merc. 44 redit, vid. ad *α* 177.
487 *εὐνομίην*] vox nonnisi h. XXIX 11 redit, vid. ad *α* 3; **εὐδικίην* (ut *τ* 111)?
488 *ἄρ' ἔφαν*] *ἔφασαν* est *υ* 384 (cf. *υ* 275). ‖ *ἠμπάζετο*] *ἐμπ.* mss.
492-606] del. Kammer.
493 *μεγάρῳ, μετ' ἄρα*] *μεγάροισ<ι>, μετὰ* G.
496 *τέλος*] *τέκος* G F P H M[1] n mss. alia.
497 *οὔ κέν* § 326] *οὐκ ἄν* mss. ‖ *'Ηό'* § 77] *'Ηῶ* mss.
499 *μηχανάονται* § 191] *-νόωνται* mss.
500 *κηρὶ*] *νυκτὶ* l (cf. *λ* 606).
501-504] regina quomodo haec scire potuerit rogabat Ar., ideo versus damnans. Penelopen, dum in superiore aedium parte tristis inter ancillas desidet, audivisse quae in virorum conclavi haud tacite profecto agebantur (vid. vs. 492) credibile est; nimis tamen definite dictum est *δεξιὸν ὦμον* vs. 504, nisi rixam e cubiculo suo non audivit tantum sed etiam per ianuam adspexit.
502 *ἀχρημοσύνη*] †, cf. *ἀκτήμων* *Ι* 126, 268, *πολυκτήμων* *Ε* 613, et vid. ad *ξ* 211.
504 *θρήνυι*] cf. § 75.

ἣ μὲν ἄρ' ὣς ἀγόρευε μετὰ δμῳῇσι γυναιξὶ
ἡμένη ἐν θαλάμῳ· ὃ δ' ἐδείπνεε δῖος 'Οδυσσεύς.
ἣ δ' ἐπὶ Ϝοὶ καλέσασα προσηύδα δῖον ὑφορβόν·
„ἔρχεο, δῖ' 'Εύμαιε, κιὼν τὸν ξεῖνον ἄνωχθι
ἐλθέμεν', ὄφρα τί μιν προσπτύξομαι ἠδ' ἐρέωμαι,
εἴ ποθ' 'Οδυσσῆος ταλασίφρονος ἠὲ πέπυσται
ἢ ἔϜιδ' ὀφθαλμοῖσι· πολυπλάγκτῳ δὲ ϜέϜοικε.“
τὴν δ' ἀπαμειβόμενος προσέφης, 'Εύμαιε συβῶτα·
„εἰ γάρ τοι, βασίλεια, σιωπήσειαν Ἀχαιοί·
οἷ' ὅ γε μυθέεται, θέλγοιτό κέ τοι φίλον ἦτορ.
τρεῖς γὰρ δή μιν νύκτας ἔχον, τρία δ' ἤματ' ἔρυξα
ἐν κλισίῃ· πρῶτον γὰρ ἔμ' ἵκετο νηὸς ἀποδράς·
ἀλλ' οὔ πω κακότητα διήνυσε Ϝὴν ἀγορεύων.
ὡς δ' ὅτ' ἀοιδὸν ἀνὴρ ποτιδέρκεται, ὅς τε θεῶν ἒξ
ἀείδῃ δεδαὼς Ϝέπε' ἱμερόεντα βροτοῖσι,
τοῦ δ' ἄμοτον μεμάασιν ἀκουέμεν', ὁππότ' ἀείδῃ·
ὣς ἐμὲ κεῖνος ἔθελγε παρήμενος ἐν μεγάροισι. 521ᵃ = τ 589
φησὶ δ' 'Οδυσσῆος ξεῖνος πατρώιος εἶναι
Κρήτῃ ναιετάων, ὅθι Μίνωος γένος ἐστί.
ἔνθεν δὴ νῦν δεῦρο τόδ' ἵκετο πήματα πάσχων 524 cf. 444
προπροκυλινδόμενος· στεῦται δ' 'Οδυσῆος ἀκοῦσαι
ἀγχόθι, Θεσπρωτῶν ἀνδρῶν ἐν πίονι δήμῳ, 526 = τ 271
ζωοῦ· πολλὰ δ' ἄγει κειμήλια Ϝόνδε δόμονδε.“ 527 cf. ο 159 τ 272
τὸν δ' αὖτε προσέϜειπε περίφρων Πηνελόπεια·

506 *θαλάμῳ*] *μεγάρῳ* n; cf. vs. 569. ‖ *δ' ἐδείπνεε*] *δ' ἐδείπνεε* P, *δ' ἐδείπνει* vel *δὲ δείπνει* mss. cetera; cf. § 191. ‖ *δῖος*] *θεῖος* P[1] Y.
507 *προσηύδα*] *-δαε*? cf. § 195.
508 *δῖ'*] *δὴ* H Y l; cf. *π* 461.
509 *προσπτύξομαι*] *προσφθέγξομαι* J.
510 *ποθ'* § 322] *που* mss.
511 *ἔϜιδ'*] *εἶδεν* P H, *ἴδεν* mss. cett. ‖ *δὲ* criticus apud Nauckium] *γὰρ* mss.
512-547] del. Duentzer.
514 *μυθέεται* § 191] *μυθεῖται* mss.
515 *τρεῖς*] immo *quatuor* noctes Ulixes apud Eumaeum transegit secundum diasceuastam, *duas* secundum ipsum poetam. Quod urgendum non esse putat Kirchhoff, Seeck e vetustiore carmine remansisse. ‖ *ἔχον ... ἔρυξα*] displicet imperfectum cum aoristo coniunctum, quapropter *ἔχον τρία τ' ἤματ' ἐρύξας* coniecit IHVoss, *ἐγὼ τρία τ' ἤματ' ἔρυξα* Hartman.
518 *ποτιδέρκεται*] vid. ad *Π* 10.
519 *ἀείδῃ*] *-δει* F; de subiunctivo vid. *Κ* 362 *Ν* 64. IHVoss *ἠείδῃ* (*ἠείδει*). Verbi prima syllaba nonnisi h. l. et in hymnis producitur, cf. § 22. ‖ *δεδαὼς*] cf. § 203; nonnisi h. Merc. 510 redit participium.
525 *προπροκυλινδόμενος*] cf. *Χ* 221; *πρόχνυ κυλινδόμενος* F. ‖ *ἀκοῦσαι*] hoc uno loco aoristi infinitivus subiungitur verbo *στεῦται*, *λ* 584 (ubi vid.) participium praes., alias infinitivus futuri (*Γ* 83 etc.).
526 *ἀγχόθι* § 322] *ἀγχοῦ* mss.; **ἐγγύθι*? Cf. § 318.

„ἔρχεο, δεῦρο κάλεσσον, ἵν' ἀντίον αὐτὸς ἐνίσπῃ.
οὗτοι δ' ἠὲ θύρηφι καθήμενοι ἑψιαέσθων
ἢ αὐτοῦ κατὰ δώματ', ἐπεί σφισι θυμὸς ἐύφρων.
αὐτῶν μὲν γὰρ κτήματ' ἀκήρατα κεῖτ' ἐνὶ Ϝοίκῳ,
σῖτος καὶ μέθυ Ϝηδύ, — τὰ μὲν Ϝοικῆες ἔδουσι, — 533^{a} cf. δ 746
οἳ δ' εἰς ἡμέτερον πωλεύμενοι ἤματα πάντα 534-538 = β 55 sqq.
βοῦς ἱερεύοντες καὶ ὄις καὶ πίονας αἶγας
εἰλαπινάζουσιν πίνουσί τε αἴθοπα Ϝοῖνον
μαψιδίως· τὰ δὲ πολλὰ κατάνεται· οὐ γὰρ ἔπ' ἀνήρ,
οἷος Ὀδυσσεὺς ἦσκεν, ἀρὴν ἀπὸ Ϝοίκου ἀμῦναι.
εἰ δ' Ὀδυσεὺς ἔλθοι καὶ ἵκοιτ' εἰς πατρίδα γαῖαν, 539 = σ 384 cf. [ω 237
αἶψά κε Ϝῷ σὺν παιδὶ βίας ἀποτίσεται ἀνδρῶν." 540^{b} cf. γ 216
ὣς 'φάτο· Τηλέμαχος δὲ μέγ' ἔπταρεν, ἀμφὶ δὲ δῶμα
σμερδαλέον 'κονάβησε. 'γέλασσε δὲ Πηνελόπεια, 542^{a} = Ο 648
αἶψα δ' ἄρ' Εὔμαιον Ϝέπεα πτερόεντα προσηύδα· 543 = π 7
„ἔρχεό μοι, τὸν ξεῖνον ἐναντίον ὧδε κάλεσσον.
οὐχ ὁράεις, ὅ μοι υἱὸς ἐπέπταρε πᾶσι Ϝέπεσσι;
τῷ κε καὶ οὐκ ἀτελὴς θάνατος μνηστῆρσι γένοιτο.
ἄλλο δέ τοι Ϝερέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσι· 548 = Α 297
αἴ κ' αὐτὸν γνώω νημερτέα πάντ' ἐνέποντα, 549 sq. cf. 556 sq.
Ϝέσσω μιν χλαῖνάν τε χιτῶνά τε, Ϝείματα καλά." 550 = π 79
ὣς 'φάτ'· ἔβη δὲ συφορβός, ἐπεὶ τὸν μῦθον ἄκουσε, 551 sq.^{a} = 348 sq.

547 πᾶσι μάλ', οὐδέ κέ τις θάνατον καὶ κῆρας ἀλύξαι. 547 cf. τ 558

529 ἀντίον] -ος P; vid. ad Ζ 54.
530 *θύρηφι] θύρησι mss., qui dativus locativi vim alias non habet; vid. ad ξ 352. || ἑψιαέσθων § 191] -ιαάσθων mss.; *iocantor*? verbum ignotum redit φ 429, comp. ἐφ. τ 331, 370, καθ. τ 372.
531 δώματ'] δῶμα X D.
532-538] del. Kirchhoff, unum vs. 533 Hartman.
532 ἀκήρατα] ἀκήριον (immo ἀκήρια) schol. ξ 95, ubi vid.; de adi. ἀκήρατος vid. Ο 498.
533 μὲν F] μέν τ' mss. cetera.
534 ἡμέτερον] ἡμετέρου G F P H; vid. ad β 55. || πωλεύμενοι] cf. § 7 et 191.
538 ἦσκεν] ἔσκεν mss.; l. a. ὅς κεν, cui convenit ἀμύναι, quod est in P H M mss. aliis.
540 ᾧ σὺν Barnes] σὺν ᾧ mss. || ἀνδρῶν] ἐλθών F P U (cf. γ 216).
541 ἔπταρεν] simplex †, ἐπέπταρε ϱ 545 h. Merc. 297.
542 'κονάβησε] καναχησε F U n (vid. ad Μ 36).
545 ὁράεις § 191] ὁρᾷς mss.; οὐκ ἀίεις proponitur apud Nauckium. || ἐπέπταρε] vid. ad vs. 541. || πᾶσι Ϝέπεσσι] τοῖσιν ἔειπον Nauck.
546 ἀτελής] adiectivum nonnisi h. Cer. 482 redit, alias dicitur ἀτέλεστος (Δ 26 etc.). || θάνατος] κάματος Bothe. || γένοιτο] vid. ad vs. sq.
547] om. G F mss. alia, in marg. habet U^{2}; in P desunt μνηστῆρσι — θάνατον vs. 546 sq. || ἀλύξαι D U] -ξει vel -ξοι mss. cetera; cf. § 113. Fortasse praestat ἀλύξῃ et vs. 546 γένηται.
551 'φάτ'· ἔβη] φάτο· βῆ mss.

ἄγχι δέ Ϝ' ἱστάμενος Ϝέπεα πτερόεντα προσηύδα· 552 = Δ 208
„ξεῖνε πάτερ, καλέει σε περίφρων Πηνελόπεια,
μήτηρ Τηλεμάχοιο· μεταλλῆσαί τί Ϝε θυμὸς
ἀμφὶ πόσι κέλεται, καὶ κήδεά περ πεπαθυίῃ.
εἰ δέ κέ σε γνώῃ νημερτέα πάντ' ἐνέποντα, 556 sq. cf. 549 sq.
Ϝέσσει σε χλαῖνάν τε χιτῶνά τε, τῶν σὺ μάλιστα 557 cf. ξ 396
χρηίζεις· σῖτον δὲ καὶ αἰτίζων κατὰ δῆμον
γαστέρα βοσκήσεις· δώσει δέ τοι ὅς κ' ἐθέλῃσι."
τὸν δ' αὖτε προσέϜειπε πολύτλας δῖος Ὀδυσσεύς·
„Εὔμαι', αἶψά κ' ἐγὼ νημερτέα πάντ' ἐνέποιμι
κούρῃ Ϝικαρίοιο περίφρονι Πηνελοπείῃ· 562 = σ 159 φ 2 cf. α 329
Ϝοῖδα γὰρ εὖ περὶ κείνου, ὁμὴν δ' ἀνεδέγμεθ' ὀιζύν.
ἀλλὰ μνηστήρων χαλεπῶν ὑποδέδϜι' ὅμιλον,
τῶν ὕβρις τε βίη τε σιδήρεον οὐρανὸν ἵκει. 565 = ο 329
καὶ γὰρ νῦν, ὅτε μ' οὗτος ἀνὴρ κατὰ δῶμα κιόντα
οὔ τι κακὸν ῥέξαντα βαλὼν ὀδύνῃσιν ἔδωκε, 567^{b} = Ε 397
οὔτε τι Τηλέμαχος τό γ' ἐπήρκεσεν οὔτε τις ἄλλος.
τῷ νῦν Πηνελόπειαν ἐνὶ μεγάροισιν ἄνωχθι
μεῖναι, ἐπειγομένην περ, ἐς ἠέλιον καταδύντα·
καὶ τότε μ' εἰρέσθω πόσιος πέρι νόστιμον ἦμαρ."
ὣς 'φάτ'· ἔβη δὲ συφορβός, ἐπεὶ τὸν μῦθον ἄκουσε. 574 = 348

572 ἀσσοτέρω καθίσασα παραὶ πυρί· Ϝείματα γάρ τοι
λύγρ' ἔχω· οἶσθα καὶ αὐτός, ἐπεὶ σὲ πρῶθ' ἱκέτευσα.

552 *ἄγχι δέ Ϝ'(οι) § 318] ἀγχοῦ δ' mss. || πτερόεντα προσηύδα] -ντ' ἀγόρευε G (cf. ϱ 349).
553 ξεῖνε πάτερ] vid. ad η 28.
554 τί] τέ M.
555 πόσι] novicium pro πόσιι; πόσει mss. pleraque, πόσιν U^{2}. Cf. τ 95 et § 74. || πεπαθυίῃ] § 160. Dativus liberius adhibitus; vid. ad Ι 635.
556 εἰ] αἰ P H M U, cf. vs. 549.
558 sq.] del. Duentzer.
563] del. Hartman. || Ϝοῖδα ... περὶ κείνου] verbo οἶδα praepositio περὶ c. gen. alias non additur.
564 χαλεπῶν] -πὸν P H^{1} U L W. || ὅμιλον] ὄλεθρον P.
565] habent G F, in marg. H^{2} X n, om. P M; del. Kirchhoff. || σιδήρεον] *σιδηρέη? vid. ad ο 329.
567 ῥέξαντα] ῥέζοντα G H^{2}, ῥέξοντα U.
568 τό γ'] τόδ' M L W; *τό μ'(οι)? cf. § 13. Verbum ἐπαρκέειν nonnisi Β 873 redit, ubi pronomen additum habet (simplex Ζ 16 etc.). || In M^{2} U subiungitur δμώων, οἳ κατὰ δώματ' Ὀδυσσῆος θείοιο (= ϱ 402).
569 sq. ἐνὶ μεγάροισιν ... μεῖναι] *in sua domo* (i. e. in feminarum μεγάρῳ) *me opperiri* (item vs. 582)? Reginam *in virorum conclavi* inter procos sedere nunc dici, cum vs. 506 igitur haec pugnare, putat Seeck Quellen p. 43.
570 ἐπειγομένην] ἐπειγόμενος P^{1}.
571 πέρι] Duentzer περ, particulam illam cum εἰρέσθω iungens.
572 sq.] del. PKnight.
572 καθίσασα] καθέσασα? vid. § 220.
573 οἶσθα] neglecto Ϝ.
574] in marg. habet G. || 'φάτ'· ἔβη] φάτο· βῆ mss.

τὸν δ' ὑπὲρ οὐδοῦ βάντα προσηύδα Πηνελόπεια· 575 cf. δ 680
„οὐ σύ Ϝ' ἄγεις, Εὔμαιε; τί τοῦτ' ἐνόησεν ἀλήτης;
ἤ τινά που δϜείσας ἐξαίσιον, ἠὲ καὶ ἄλλως
αἰδέεται κατὰ δῶμα; κακὸς δ' αἰδοῖος ἀλήτης.“
τὴν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
„μυθέεται κατὰ μοῖραν, ἅ πέρ κ' οἴοιτο καὶ ἄλλος,
ὕβριν ἀλυσκάζων ἀνδρῶν ὑπερηνορεόντων· 581ᵇ = ζ 5
ἀλλά σε μεῖναι ἄνωγεν ἐς ἠέλιον καταδύντα.
καὶ δὲ σοὶ ὧδ' αὐτῇ πολὺ κάλλιον, ὦ βασίλεια, 583ᵃ = ζ 39
οἴην πρὸς ξεῖνον φάσθαι Ϝέπος ἠδ' ἐπακοῦσαι.“ 584ᵇ = Ι 100
τὸν δ' αὖτε προσέϜειπε περίφρων Πηνελόπεια·
„οὐκ ἄφρων ὃ ξεῖνος ὀίεται, ὥς περ ἂν εἴη·
οὐ γάρ πού τινες ὧδε καταθνητῶν ἀνθρώπων
ἀνέρες ὑβρίζοντες ἀτάσθαλα μηχανάονται.“ 588 cf. Λ 695 υ [170, 370
ἣ μὲν ἄρ' ὣς ἀγόρευεν· ὃ δ' ᾤχετο δῖος ὑφορβὸς 588ᵇ = γ 207
μνηστήρων ἐς ὅμιλον, ἐπεὶ διεπέφραδε πάντα. 590ᵇ = Υ 340
αἶψα δὲ Τηλέμαχον Ϝέπεα πτερόεντα προσηύδα, 591 = τ 3 χ 150 ψ 112
ἄγχι σχὼν κεφαλήν, ἵνα μὴ πευθοίαθ' οἱ ἄλλοι· 592 = α 157
„ὦ φίλ', ἐγὼ μὲν ἄπειμι σύας καὶ κεῖνα φυλάξων,
σὸν καὶ ἐμὸν βίοτον· σοὶ δ' ἐνθάδε πάντα μελόντων. 594ᵇ = σ 266
αὐτὸν μὲν σὲ πρῶτα σάου καὶ φράζεο θυμῷ
μή τι πάθῃς· πολλοὶ δὲ κακὰ φρονέουσιν Ἀχαιῶν,
τοὺς Ζεὺς ἐξολέσειε πρὶν ἧμιν πῆμα γενέσθαι.“ 597 cf. δ 668
τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα· 598 sq.ᵃ = π 30 sq.
„ἔσσεται οὕτως, ἄττα· σὺ δ' ἔρχεο δειελιήσας·

---

575 *προσηύδα*] *-δαε?* cf. § 195.
576 *Ϝ'* Bekker] *γ'* mss.
577 sq.] om. Z k, in marg. habet U².
577 *ἐξαίσιον*] vid. ad *Ο* 598. ‖ *ἄλλως*] IHVoss *ἄλλους*. De adverbii usu vid. ad *Ι* 699.
578 *αἰδέεται* § 191] *αἰδεῖται* mss. Vert.: *verecundia retinetur.* ‖ *κακὸς*] *κἀκὸν* L et Eust., quod verum videtur. ‖ *δ'* H] *γ'* U, om. F X mss. alia.
580 *μυθέεται* § 191] *μυθεῖται* mss.
581 *ὕβριν*] in plerisque mss. fuisse „*ὕλην*“ dicit Didymus; in qua voce corrupta ipsum *ὕβριν* latere putat HIPolak, Ludwich corrigit: *ἐν τοῖς πλείστοις οὕτως ἦν „ἀλυσκάζων“*, alios olim invito Ar. *ἀλυσκάζειν* (sic F) legisse ratus.
584] del. Hartman.
586] vert.: *non male coniicit quid possit expectari.* ‖ *ὥς περ...εἴη*] *ὅς τις...εἴη* Axt. ‖ *ὥς*] *ὅς* H² mss. alia. ‖ *ἂν*] novicium pro *κε*, cf. § 326. ‖ *εἴη*] *εἴῃ* Hermann, cf. § 302.
587 *πού* Eust.] *πώ* mss.
588 *μηχανάονται* § 191] *-νόωνται* mss.
590-603 et **605** sq.] del. Duentzer, *αὐτὰρ — ἐδωδῇ* legens vs. 603 (ubi vid.).
592 *πευθοίαθ' οἱ*] vid. ad α 157 δ 70.
593 *κεῖνα*] *κοῖνα* P², *κύνα* L W, *ξυνὰ* Axt ingeniosius quam probabilius.
595 *σάου* l] *σάω* mss. pleraque; cf. § 195 et *Π* 363.
596 *Ἀχαιῶν*] *-οὶ* G¹ P H¹ X mss. alia.
599 *δειελιήσας*] †, *postquam tempus pomeridianum nobiscum transegeris* (Athen. V 193 *a*);

ἠῶθεν δ' ἴμεναι καὶ ἄγειν ἱερήια καλά.
αὐτὰρ ἐμοὶ τάδε πάντα καὶ ἀθανάτοισι μελήσει.“
ὣς 'φάθ'· ὃ δ' αὖτις ἄρ' ἕζετ' ἐυ ξεστοῖ' ἐπὶ δίφρου. 602 = ω 408
πλησάμενος δ' ἄρα θυμὸν ἐδητύος ἠδὲ ποτῆτος
'βῆ ῥ' ἴμεναι μεθ' ὕας, 'λίπε δ' ἕρκεά τε μέγαρόν τε 604 = π 341
πλεῖον δαιτυμόνων· οἳ δ' ὀρχηστυῖ καὶ ἀοιδῇ
'τέρποντ'· ἤδη γὰρ καὶ ἐπήλυθε δείελον ἦμαρ.

---

cf. *δείελος* Φ 232 ϱ 606 (vid. etiam ad η 289). Perperam olim quidam (non Ar.) *cibum vespertinum sumere* interpretabantur coll. vs. 602 et 606, quartum aliquod tempus vescendi indicari rati; vid. schol. et Athen. I 11 *e* V 193 *a*. A mensa (*δείπνῳ*, cf. vs. 170, 506) surrexit Eumaeus, mox autem illuc redit finemque facit coenandi; deinde pomeridiano tempore vel sub vesperam abit, ante *δόρπον* (σ 44).

600 *ἴμεναι* § 125] *ἰέναι* mss.
602 *ἐυ ξεστοῖ' ἐπὶ δίφρου* § 59] *ἐπὶ θρόνου ἔνθεν ἀνέστη* P H M (Ar.?), cf. ε 195; *ἐυξέστῳ ἐπὶ δίφρῳ* U, *ἐυξέστου ἐπὶ δίφρου* mss. cett.
603] *αὐτὰρ ἐπεὶ δείπνησε καὶ ἤραρε θυμὸν ἐδωδῇ* U (= ε 95 ξ 111), item M in margine, utrumque versum in textu habet Q.
604 *ἕρκεα*] vid. § 41.
605 *οἳ*] *τοὶ* mss. multa. ‖ *ὀρχηστυῖ*] cf. § 75.
606 *δείελον*] vid. ad Φ 232.

ΟΔΥΣΣΕΙΑΣ σ.

Ὀδυσσέως καὶ Ἴρου πυγμή.

ἦλθε δ' ἐπὶ πτωχὸς πανδήμιος, ὃς κατὰ ϝάστυ
'πτωχεύεσκ' Ἰθάκης, μετὰ δ' ἔπρεπε γαστέρι μάργῃ
ἀζηχὲς φαγέμεν καὶ πιέμεν· οὐδέ ϝ' ἔην ϝὶς
οὐδὲ βίη, ϝεῖδος δὲ μάλα μέγας ἦν ὁράεσθαι.
Ἀρναῖος δ' ὄνομ' ἦσκε· τὸ γὰρ 'θέτο πότνια μήτηρ
ἐκ γενετῆς· Ϝῖρον δὲ νέοι 'κίκλησκον ἅπαντες,
οὕνεκ' ἀπηγγέλλεσκε κιών, ὅτε πού τις ἀνώγοι.
ὅς ῥ' ἐλθὼν Ὀδυσῆα 'διώκετο ϝοῖο δόμοιο
καί μιν νεικείων ϝέπεα πτερόεντα προσηύδα·
„ϝεῖκε, γέρον, προθύρου, μή τις τάχα καὶ ποδὸς ἕλκῃ.
οὐκ ἀίεις ὅτι δή μοι ἐπιλλίζουσιν ἅπαντες,
ἑλκέμεναι δὲ κέλονται; ἐγὼ δ' αἰσχύνομαι ἔμπης.
ἀλλ' ἄνα, μὴ τάχα νῶιν ἔρις καὶ χερσὶ γένηται.“ 13a = Z 331
τὸν δ' ἄρ' ὑπόδρα ϝιδὼν προσέφη πολύμητις Ὀδυσσεύς·
„δαιμόνι', οὔτε τί σε ῥέζω κακὸν οὔτ' ἀγορεύω

1-345] del. Niese.
1 *πανδήμιος*] †, *vagabundus*, cf. *μεταδήμιος* ϑ 293 ν 46.
2 *μάργῃ*] vid. ad π 421.
3 *φαγέμεν*] cf. § 126. ‖ *πιέμεν'*] *πινέμεν* H M; vid. ad π 143. ‖ *ϝ' *ἔην*] *οἱ ἦν* mss.; an ϝ' *ἔεν*? cf. § 13 et 302.
4 *ἦν*] *ἦσκ'*? LMeyer *ἦεν δρᾶσθαι*; cf. § 302. ‖ *ὁράεσθαι* § 191] *ὁράασθαι* mss.
5 *ἦσκε*] *ἔσκε* (*ἔσχε* M) mss. ‖ *πότνια*] *δειλὴ* l male, vid. § 2; *οἵ ποτε* Etym. M. 146,12 fortasse recte.
6 *γενετῆς*] l. a. *γενεῆς*.
7 *ἀπηγγέλλεσκε*] *ἀπαγγ.* mss. ‖ *πού*] *κέν* F.
10 **τις*] *δὴ* mss. vitiose, nam *ἕλκῃ*, pro *ἕλκηαι* dici non potuit; vid. § 117. De re vid. π 276 ρ 479 sq., et de pronominis usu ad Α 289.
11 *ἐπιλλίζουσιν*] sic Ar.; verbum redit h. Merc. 387; ductum est ab adi. *ἴλλος strabus* (Aristoph. Thesm. 846, cf. Equit. 175 Av. 177). ‖ *ἅπαντες*] *Ἀχαιοί* Porph. Et. M. 361,43.
14 *ἄρ' ὑπόδρα ϝιδὼν*] *ἀπαμειβόμενος* P H W.
15 *ῥέζω*] *ῥέξω* P mss. alia.

οὔτε τινὰ φθονέω δόμεναι καὶ πόλλ' ἀνελόντα.
οὐδὸς δ' ἀμφοτέρους ὅδε χείσεται, οὐδέ τί σε χρὴ
ἀλλοτρίων φθονέειν· δοκέεις δέ μοι ἔμμεν' ἀλήτης
ὥς περ ἐγών· ὄλβον δὲ θεοὶ μέλλουσιν ὀπάζειν.
χερσὶ δὲ μή τι λίην προκαλίζεο, μή με χολώσῃς,
μή σε γέρων περ ἐὼν στῆθος καὶ χείλεα φύρσω
αἵματος· ἡσυχίη δέ κ' ἐμοὶ καὶ μᾶλλον ἔτ' εἴη
αὔριον· οὐ μὲν γάρ τί σ' ὑποστρέψεσθαι ὀίω
δεύτερον εἰς μέγαρον Λαερτιάδα' Ὀδυσῆος.“
τὸν δὲ χολωσάμενος προσεφώνεε Ϝῖρος ἀλήτης·
„ὢ πόποι, ὡς ὁ μολοβρὸς ἐπιτροχάδην ἀγορεύει
γρηὶ καμινόι ϝῖσος· ὃν ἂν κακὰ μητισαίμην
κόπτων ἀμφοτέρῃσι, χαμαὶ δέ κε πάντας ὀδόντας
γναθμῶν ἐξελάσαιμι συὸς ὣς ληιβοτείρης.
ζῶσαι νῦν, ἵνα πάντες ἐπιγνώωσι καὶ οἵδε
μαρναμένω· πῶς κεν σὺ νεωτέρῳ ἀνδρὶ μάχοιο;“
ὣς οἳ μὲν προπάροιθε θυράων ὑψηλάων
οὐδοῦ ἔπι ξεστοῦ πανθυμαδὸν ὠκριάοντο.
τοῖιν δὲ ξυνέηχ' ἱερὸν μένος Ἀντινόοιο·
ϝηδὺ δ' ἄρ' ἐκγελάσας μετεφώνει μνηστήρεσσι· 35 cf. π 354

17 *χείσεται*] cf. § 221. In scholio afferuntur Demetrii verba sensu destituta *ἀττικίζων ὁ ποιητὴς ἀντὶ τοῦ δέξεται χείσεται εἶπεν.* Coniceratne Demetrius poetam dedisse *δέξεται*, errore autem *τῶν μεταχαρακτηρισάντων* litteras Atticas *ΗΟΔΕΔΕΧΣΕΤΑΙ* abiisse in *ΗΟΔΕΧΕΣΕΤΑΙ*, id est in vulgatam?
18 *ἔμμεν'* § 125] *εἶναι* mss.
21 *φύρσω*] cf. § 254.
22 *ἡσυχίη*] vox h. Merc. 356 redit, cf. *ἡσύχιος* Φ 598, *-ως* h. Merc. 438. ‖ *δέ κ'* § 326] *δ' ἂν* (*δ' αὖ* P) mss.
24 *δεύτερον εἰς μέγαρον*] *αὖτις ἔσω μέγαρον* F (cf. ψ 24). ‖ *Λαερτιάδα'* § 55] *-δεω* mss.
26 *μολοβρὸς*] cf. ρ 219. ‖ *ἐπιτροχάδην*] cf. Γ 213.
27 *καμινόι* § 77] *καμινοῖ* mss., l. a. *καμινῷ*. Vox †, *garrulae* (*πολυλάλῳ* Eust.); probabiliter Ar. interpretabatur vetulam quae garriendo taedia sua fallit dum hordei grana camino torret (cf. Aristoph. Nub. 1358), absurde vero Comanus anum decrepitam *διὰ τὸ καμεῖν τὰς ἶνας* intellegebat. ‖ *ἂν*] novicium pro *κεν*, vid. § 326 (*ἂν ἐγὼ* est in F); Fick *ϝῖσ'(α)· ὃν κεν* (vid. ad Ρ 51). ‖ *κακὰ μητισαίμην*] corrupta, verbum enim *μητίομαι* neque accusativum personae admittit neque in hanc sententiam quadrat; vHerwerden *καταϝεικισσαίμην* coll. π 290 σ 222.
28 *δέ κε*] sic mss. „fere omnia“ apud Didymum, *δὲ* M, *δ' ἐκ* mss. cetera.
29 *ληιβοτείρης*] †, *segetes depascentis*; comparatio contumeliosa satisque perspicua. Quod schol. et Aelian. H. Anim. V 45 referunt, in insula Cypro morem fuisse sui, quae agrum vicinum vastasset, dentes excutere, ex ipso hoc loco effictum videtur.
31 *μαρναμένω* P[1] l] *-ους* mss. cett. ‖ *κεν* § 326] *δ' ἂν* mss. (*αὖ* P).
33 *πανθυμαδὸν*] †. ‖ *ὠκριάοντο* § 191] *ὀκριόωντο* mss.; verbum †, *conviciis se lacessebant*. Cf. *ὀκριόεις* Δ 518 etc.
34 *τοῖιν*] *τοῖσιν* M.
35 *μετεφώνει* X D U] *μετεφώνεε* G P H, *προσεφώνεε* F M (vitio metrico); Nauck *μετεφώνεε οἷσ' ἑτάροισιν* coll. π 354. Vid. φ 147 et cf. § 191.

„ὦ φίλοι, οὐ μέν πώ τι πάρος τοιοῦτον ἐτύχϑη,
οἵην τερπωλὴν ϑεὸς ἤγαγεν εἰς τόδε δῶμα.
ὃ ξεῖνος καὶ Fῖρος ἐρίζετον ἀλλήλοιιν
χερσὶ μαχέσσασϑαι· ἀλλὰ ξυνελάσσομεν ὦκα.“
ὣς ἔφαϑ'· οἳ δ' ἄρα πάντες ἀνήιξαν γελάοντες,
ἀμφὶ δ' ἄρα πτωχοὺς κακοϝείμονας ἠγερέϑοντο.
τοῖσιν δ' Ἀντίνοος μετέφη, Ἐυπείϑεος υἱός·
„κέκλυτέ μοι, μνηστῆρες ἀγήνορες, ὄφρα τι ϝείπω. 43 = υ 292
γαστέρες αἵδ' αἰγῶν κέατ' ἐν πυρὶ, τὰς ἐπὶ δόρπῳ
κατϑέμεϑα κνίσης τε καὶ αἵματος ἐμπλήσαντες. 45 cf. 119ᵃ υ 26ᵃ
ὁππότερος δέ κε νικήσῃ κρείσσων τε γένηται, 46 = Γ 71 cf. σ 83
τάων ἥν κ' ἐϑέλῃσιν ἀναστὰς αὐτὸς ἑλέσϑω· 47 cf. Ι 146
αἰεὶ δ' αὖϑ' ἧμιν μέτα δαίσεται, οὐδέ τιν' ἄλλον
πτωχὸν ἔσω μίσγεσϑαι ἐάσομεν αἰτήσοντα.“
ὣς ἔφατ' Ἀντίνοος, τοῖσιν δ' ἐπεϝάνδανε μῦϑος. 50 = σ 290 φ 143, [269 cf. ν 16
τὸν δὲ δολοφρονέων προσέφη πολύμητις Ὀδυσσεύς· 51 cf. φ 274
„ὦ φίλος, οὔ πως ἔστι νεωτέρῳ ἀνδρὶ μάχεσϑαι
ἄνδρα γέροντα δύῃ ἀρημένον· ἀλλά με γαστὴρ 53ᵃ = 81
ὀτρύνει κακοϝεργὸς, ἵνα πληγῇσι δαμήω.
ἀλλ' ἄγε νῦν μοι πάντες ὀμόσσατε καρτερὸν ὅρκον, 55 = μ 298
μή τις Fίρῳ ϝῆρα φέρων ἐμὲ χειρὶ βαρείῃ
πλήξῃ ἀτασϑάλλων, τούτῳ δέ με ϝῖφι δαμάσσῃ.“
ὣς ἔφαϑ'· οἳ δ' ἄρα πάντες ἐπώμνυον ὡς ἐκέλευε. 58 sq. cf. κ 345 sq.
αὐτὰρ ἐπεί ῥ' ὄμοσάν τε 'τελεύτησάν τε τὸν ὅρκον, 59 = μ 304

---

37 *τερπωλήν*] † (*τέρπω* passim).
38 *καὶ* P U[1]] *τε καὶ* mss. pleraque.
40 *γελάοντες* § 191] *γελόωντες* (*γελάσαντες* U) mss.
41 *κακοϝείμονας*] †, cf. *ἀϝείμων* γ 348.
43 *μοι*] *μευ* mss.; vid. § 92 et ad Α 37.
44 *κέατ' ἐν*] sic Aristoph. Ar., *κέαται* olim alii. An Aristarchi fuit lectio *κέαται*? vid. ζ 8. ‖ *τὰς* G P M U n] *τὰς δ'* mss. multa, *τάς τ'* q, *ἃς* W.
47 *ἀναστὰς*] *παραστὰς* vHerwerden.
50 *ἐπεϝάνδανε*] *ἐπιήνδανε* mss.
51 *τὸν* P H] *τῶν* M, *τοῖς* mss. cett. invita lingua epica (vid. § 60); quod vitium versu par. φ 274 non reperitur. In cod. n est *τοῖσι δὲ καὶ μετέειπε πολύτλας δῖος Ὀδυσσεύς*. ‖ *προσέφη* G F] *μετέφη* mss. cett.
52 **φίλος*] *φίλοι* mss.; vid. ad vs. 51.
53 *δύῃ*] vid. ad ξ 215. ‖ *ἀρημένον*] cf. Σ 435.
54 *κακοϝεργὸς*] †, cf. *κακοϝεργίη* χ 374. ‖ *δαμήω* § 122] *δαμείω* mss.
56 *τις* PKnight] *τις ἐπ'* mss.; praepositio abest Ξ 132, additur Α 572, 578 γ 164 π 375. ‖ *βαρείῃ*] *παχείῃ* F X D. Vid. ad Φ 403.
57 *ἀτασϑάλλων*] nonnisi τ 88 redit verbum; cf. *ἀτάσϑαλος* et *-λίη* (passim), et vid. ad β 193.
58 *ἐπώμνυον*] sic Ar., *ἀπ.* G D; vid. ad β 377. De termino *-νον* vid. § 145.
58-66 *ὡς ἐκέλευε — ἐπήνεον*] del. Duentzer.
59] om. F Eust., del. Wolf.

τοῖσ' αὖτις μετέϝειφ' ἱερὴ ϝὶς Τηλεμάχοιο· 60 = φ 130 cf. β 409
„ξεῖν', εἴ σ' ὀτρύνει κραδίη καὶ ϑυμὸς ἀγήνωρ 61 cf. Κ 220
τοῦτον ἀλέξασϑαι, τῶν δ' ἄλλων μή τιν' Ἀχαιῶν 61ᵇ = Ι 635
δέδϝιϑ'· ἐπεὶ πλεόνεσσι μαχέσσεται, ὅς κέ σε ϑείνῃ.
ξεινοδόκος μὲν ἐγὼν, ἐπὶ δ' αἰνέετον βασιλῆε
Ἀντίνοός τε καὶ Εὐρύμαχος, πεπνυμένω ἄμφω.“ 65 cf. Γ 148
ὣς ἔφαϑ'· οἳ δ' ἄρα πάντες ἐπήνεον. αὐτὰρ Ὀδυσσεὺς 66 cf. δ 673
'ζώσατο μὲν ῥάκεσιν περὶ μήδεα, 'φαῖνε δὲ μηροὺς
καλούς τε μεγάλους τε, 'φάνεν δέ ϝοι εὐρέες ὦμοι
στήϑεά τε στιβαροί τε βραχίονες· αὐτὰρ Ἀϑήνη
ἄγχι παρισταμένη μέλε' ἤλδανε ποιμένι λαῶν. 70 = ω 368
μνηστῆρες δ' ἄρα πάντες ὑπερφιάλως ἀγάσαντο,
ὧδε δέ τις 'ϝείπεσκε ϝιδὼν εἰς πλησίον ἄλλον· 72 = Β 271
„ἦ τάχα Fῖρος Ἄϝιρος ἐπίσπαστον κακὸν ἕξει,
οἵην ἐκ ῥακέων ὃ γέρων ἐπιγουνίδα φαίνει.“
ὣς ἄρ' ἔφαν· Fίρῳ δὲ κακῶς ὠρίνετο ϑυμός.
ἀλλὰ καὶ ὣς δρηστῆρες ἄγον ζώσαντες ἀνάγκῃ
δεδϝιότα· σάρκες δὲ περὶ 'τρομέοντο μέλεσσι.
Ἀντίνοος δ' ἐνένιπε ϝέπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε· 78 = φ 84, 167, 287 cf. Ο 552
„νῦν μὲν μήτ' εἴης, βουγάιε, μήτε γένοιο,
εἰ δὴ τοῦτόν γε τρομέεις καὶ δέδϝιας αἰνῶς,
ἄνδρα γέροντα δύῃ ἀρημένον, ἥ μιν ἱκάνει. 81ᵃ = 53
ἀλλ' ἔκ τοι ϝερέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται· 82 = Β 257
αἴ κέν σ' οὗτος νικήσῃ κρείσσων τε γένηται, 83 cf. Γ 71

---

60 *τοῖς* G F M U n] *τοῖς δ'* mss. pleraque. ‖ *αὖτις*] *αὖτε* Fick. ‖ *μετέϝειφ'*] *μετέφη* X D U[2] Z.
62 *ἀλέξασϑαι*] *ἀλέξεσϑαι* n, *ἀλεξέμεναι* Bekker; vid. ad Ν 475.
63 *μαχέσσεται* G] *μαχήσεται* mss. cett.; cf. § 291. ‖ *ϑείνῃ*] l. a. (immo glossema); *δείρῃ*.
64 sq.] del. PKnight.
64 *αἰνέετον* § 191] *αἰνεῖτον* mss. ‖ *βασιλῆε* Ar. n] *-λῆες* mss. cett. — De vocis usu vid. ad α 386.
65 *Ἀντίνοός τε καὶ Εὐρύμαχος*] *Εὐρύμαχός τε καὶ Ἀντίνοος* F P H U mss. alia.
67-69] cf. Verg. Aen. V 421-423.
67 *μήδεα*] vid. ad ζ 129.
70 *ἤλδανε*] vid. ad Ψ 599 ρ 228.
73 *τάχα*] *μάλα* Porphyr. in schol. Ν 824. ‖ *Ἄϝιρος*] i. e. *miser Irus*? cf. *Δύσπαρι* Γ 39 Ν 769, *δύσμητερ* ψ 97, *Κακοϝίλιος* τ 260 ψ 19. ‖ *ἐπίσπαστον*] nonnisi ω 462 redit; ibi quoque addito *κακόν*; cf. *ἐπισπᾶν* Aesch. Pers. 477 Soph. Ai. 769. ‖ *ἕξει*] *ἄξει* Z[1] Apoll. lex.
74 *ἐπιγουνίδα*] vid. ad ρ 225.
75 *κακῶς*] *κακὸς* F X mss. alia. ‖ *ὠρίνετο*] *metu percellebatur.*
76 *δρηστῆρες*] *μνηστῆρες* L W Dion. Hal. VII 72; de voce *δρηστήρ* vid. ad ο 330.
77 *δεδϝιότα*] de *-α* producto vid. § 26. ‖ *δὲ περὶ 'τρομέοντο*] *δ' ἄρ' ὑποτρ.* G.
79 *βουγάιε*] vid. ad Ν 824.
80 *εἰ δή*] vid. ad Α 61.
81 *δύῃ*] vid. ad ξ 215. ‖ *ἀρημένον*] cf. Σ 435.
83] in marg. habet G.

πέμψω σ' ἤπειρόνδε βαλὼν ἐν νηῒ μελαίνῃ
εἰς ῎Εχετον βασιλῆα, βροτῶν δηλήμονα πάντων,   85 = 116 φ 308
ὅς κ' ἀπὸ ῥῖνα τάμῃσι καὶ οὔατα νηλέι χαλκῷ   86 sq. cf. χ 475 sq. 86 cf. φ 300[b] sq.[a]
μήδεά τ' ἐκϝερύσας δώῃ κυσὶν ὠμὰ δάσασθαι."   87 cf. Ψ 21
ὣς 'φάτο, τὸν δ' ἔτι μᾶλλον ὑπὸ τρόμος ἔλλαβε γυῖα.   88 cf. Ξ 506
εἰς μέσσον δ' ἄναγον· τὼ δ' ἄμφω χεῖρας ἀνέσχον.
δὴ τότ' ἐμερμήριξε πολύτλας δῖος 'Οδυσσεὺς,   90 cf. ι 354
ἢ ἐλάσει' ὥς μιν ψυχὴ λίποι αὖθι πεσόντα,
ἦέ μιν ἦκ' ἐλάσειε τανύσσειέν τ' ἐπὶ γαίῃ.
ὧδε δέ ϝοι φρονέοντι 'δοάσσατο κέρδιον εἶναι,   93 = Ν 458
ἦκ' ἐλάσαι, ἵνα μή μιν ἐπιφρασσαίατ' Ἀχαιοί.
δὴ τότ' ἀνασχομένω ὃ μὲν ἤλασε δεξιὸν ὦμον   95[a] cf. Ψ 686
Ϝῖρος, ὃ δ' αὐχέν' ἔλασσεν ὑπ' οὔατος, ὀστέα δ' εἴσω   96 cf. Π 339
ἔθλασεν· αὐτίκα δ' ἦλθεν ἀνὰ στόμα φοίνιον αἷμα,
κὰδ δ' ἔπεσ' ἐν κονίῃσι μακὼν, σὺν δ' ἤλασ' ὀδόντας   98[a] = Π 469
λακτίζων ποσὶ γαῖαν. ἀτὰρ μνηστῆρες ἀγαυοὶ
χεῖρας ἀνασχόμενοι γέλῳ ἔκθανον. αὐτὰρ 'Οδυσσεὺς
εἷλκε δι' ἐκ προθύροιο λαβὼν ποδὸς, ὄφρ' ἵκετ' αὐλὴν
αἰθούσης τε θύρας· καί μιν ποτὶ ϝερκίον αὐλῆς
εἷσεν ἀνακλίνας, σκῆπτρον δέ ϝοι ἔμβαλε χειρὶ,   103[b] = β 37
καί μιν φωνήσας ϝέπεα πτερόεντα προσηύδα·
„ἐνταυθοῖ νῦν ἧσο κύνας τε σύας τ' ἀπερύκων,   105[a] = υ 262 cf. Φ 122
μηδὲ σύ γε ξείνων καὶ πτωχῶν κοίρανος εἶναι
λυγρὸς ἐὼν, μή πού τι κακὸν καὶ μεῖζον ἐπαύρῃ."

85] vid. ad υ 383.
87 μήδεα] vid. ad ζ 129. ‖ ἐκϝερύσας] ἐξερ. mss. ‖ δώῃ] δώσω G.
88 τὸν n] τῷ mss. cetera (τὰ F[1]); dativus in hac locutione nonnisi Θ 452 redit (ubi vid.), accusativus extat Ξ 506 Ω 170 Γ 34 Η 215 Δ 229 sq. etc. ‖ ἔλλαβε] ἤλυθε G F U (cf. κ 31).
91 ἐλάσει'] ῥαίσει' Naber coll. ψ 235.
95 ἀνασχομένω] vid. ad Γ 362.
97 ἦλθεν ἀνὰ G F] ἦλθε κατὰ mss. cetera. ‖ φοίνιον] †, vid. ad Μ 202.
98 μακὼν § 233] de homine † (de animalibus Π 469 etc.); χανὼν liber Aeolicus (cf. Π 350). ‖ σὺν — ὀδόντας] obscura vocat Hartman.
99 ποσὶ] ποτὶ G P X mss. alia; cf. χ 87.
100 γέλῳ] cf. § 63. ‖ ἔκθανον] comp. †; *risu emoriebantur* (Ter. Eun. III 1, 42).
101 εἷλκε] ἕλκε F P. ‖ δι' ἐκ] διὰ X D Z k.
102 ϝερκίον] vid. ad Ε 90.
105 ἐνταυθοῖ] vid. ad Ι 601. ‖ ἧσο] κεῖσο (ut Φ 122) G. ‖ κύνας τε σύας Herodian. de figur. (Rhet. Spengel III 92) G F U] σύας τε κύνας mss. cett. — Caesura suspecta (cf. § 3), sed vid. Ρ 719 υ 42.
107 λυγρὸς] vid. ad Ν 119. ‖ κακὸν] subiectum est. ‖ ἐπαύρῃ] *contingat*; -ρῃς F[1] male. Cf. § 285; activi (vid. Λ 391 Ν 649) est forma, non medii (pro -ρηαι, vid. Ο 17 et § 117), sic enim genitivus erat addendus (vid. Λ 410 Ο 17 Ν 733). In schol. commemoratur l. a. ἄλλο πάθησθα (i. e. μή που μεῖζον κακὸν ἄλλο πάθησθα? Vid. Ω 551).

ἦ ῥα, καὶ ἀμφ' ὤμοισιν ἀϝεικέα 'βάλλετο πήρην,   108 sq. = ρ 197 sq.
πυκνὰ ῥωγαλέην, ἓν δὲ στρόφος ἦεν ἀορτήρ·
ἂψ δ' ὅ γ' ἐπ' οὐδὸν ἰὼν κατ' ἄρ' ἕζετο. τοὶ δ' ἴσαν εἴσω   110[a] = ρ 466
ϝηδὺ γελαίοντες καὶ ἐδεικανάοντο ϝέπεσσι·
„Ζεύς τοι δοίη, ξεῖνε, καὶ ἀθάνατοι θεοὶ ἄλλοι,   112 sq.[a] = ξ 53 sq.
ὅττι μάλιστ' ἐθέλεις καί τοι φίλον ἔπλετο θυμῷ,   113[b] = Ξ 337
114 ὃς τοῦτον τὸν ἄναλτον ἀλητεύειν ἀπέπαυσας."
117 ὣς ἄρ' ἔφαν· 'χαῖρεν δὲ κλεηδόνι δῖος 'Οδυσσεύς.   117 cf. υ 120
Ἀντίνοος δ' ἄρα ϝοι μεγάλην παρὰ γαστέρ' ἔθηκε
ἐμπλείην κνίσης τε καὶ αἵματος· Ἀμφίνομος δὲ   119[a] = υ 26 cf. σ 45
ἄρτους ἐκ κανέοιο δύω παρέθηκεν ἀείρας
καὶ δέπαϊ χρυσέῳ 'δεδϝίσκετο 'φώνησέν τε·
„χαῖρε, πατὴρ ὦ ξεῖνε· γένοιτό τοι εἴς περ ὀπίσσω   122 sq. = υ 199 [sq. 122[a] = ϑ 408
ὄλβος· ἀτὰρ μὲν νῦν γε κακοῖσ' ἔχεαι πολέεσσι."
τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις 'Οδυσσεύς·
„Ἀμφίνομ', ἦ μάλα μοι δοκέεις πεπνυμένος εἶναι·   125 cf. ϑ 388
τοίου γὰρ καὶ πατρὸς, ἐπεὶ κλέος ἐσθλὸν ἄκουον,   126[a] = δ 206
Νῖσον Δουλιχιῆα ἐΰν τ' ἔμεν' ἀφνειόν τε·
τοῦ σ' ἐκ φασὶ γενέσθαι, ἐπητῇ δ' ἀνδρὶ ϝέϝοικας.   128[a] cf. Ζ 206[b] α [220[a]
τούνεκά τοι ϝερέω, σὺ δὲ σύνθεο καί μευ ἄκουσον·   129 = Ζ 334
οὔ τι ἀκιδνότερον γαῖα τρέφει ἀνθρώποιο   130 cf. Ρ 446

---

115 ἐν δήμῳ· τάχα γάρ μιν ἀνάξομεν ἤπειρόνδε
εἰς ῎Εχετον βασιλῆα, βροτῶν δηλήμονα πάντων.   116 = 85
115 sq. Ar. —

---

108 ὤμοισιν] ὤμοιιν L W.
109] *spurius? Aliter de hoc loco iudicat Kirchhoff p. 517. ‖ πυκνὰ] vid. § 26 et ad Ε 858. ‖ στρόφος] cf. ν 438.
110 ἂψ δ' ὅ γ'] ἂψ δ' ἄρ' G P H mss. alia, αἶψα δ' ἄρ' Y; vid. ad ϑ 92.
111 *γελαίοντες] γελάοντες PKnight, γελοίωντες et γελόωντες Eust., γελώοντες G M n, γελώωντες H X U[2], γελόωντες F P U[1]. Cf. § 286 et υ 390. Buttmann γελοιῶντες coll. υ 347 h. Ven. 49. ‖ ἐδεικανάοντο ϝέπεσσι] (ἐ)δεικανόωντ' ἐπέεσσι mss.; de termino -άοντο vid. § 191. ‖ G L W[2] n et in margine P[2] subiungunt: ὧδε δέ τις εἴπεσκε νέων ὑπερηνορεόντων (= β 324).
113 ὅττι] ὅσσα X D Z k.
114 ὃς] ὡς U. ‖ ἄναλτον] vid. ad ρ 228.
115 γάρ] δή U.
116] vid. ad υ 383.
117 δῖος] θεῖος F.
118 sq. Ἀντίνοος ... Ἀμφίνομος] ordine inverso habet G.
118 γαστέρ' ἔθηκε] -ρα θῆκε(ν) mss.
120 ἄρτους] vid. ad ρ 343.
121 χρυσέῳ] cf. § 18 et 61.
122 πατὴρ Barnes] πάτερ mss. ‖ εἴς] ὥς mss. multa, item υ 199.
126 τοίου γὰρ καὶ] τοιούτου γὰρ Eust.; desideratur ἐσσί.
128] del. PKnight. ‖ ἐπητῇ] vid. ad ν 332.
129 με' § 92] μευ mss.
130] imitatur Aesch. Prom. 544. ‖ *οὔ τι] οὐδὲν mss., οὐθὲν Zen. male; cf. Ammon. s. v. οὐδέν. Vid. § 100 et ad ϑ 136. ‖ ἀκιδνότερον] cf. ε 217.

πάντων, ὅσσα τε γαῖαν ἔπι πνείει τε καὶ ἕρπει. 131 = P 447
οὐ μὲν γάρ ποτε φησὶ κακὸν πείσεσθαι ὀπίσσω,
ὄφρ' ἀρετὴν παρέχωσι θεοὶ καὶ γούνατ' ὀρώρῃ·
ἀλλ' ὅτε δὴ καὶ λυγρὰ θεοὶ μάκαρες τελέσωσι,
καὶ τὰ φέρει ἀϝεκαζόμενος τετληότι θυμῷ.
τοῖος γὰρ νόος ἐστὶν ἐπιχθονίων ἀνθρώπων, 136 sq. cf. Archiloch. fr. 72
οἷον ἐπ' ἦμαρ ἄγῃσι πατὴρ ἀνδρῶν τε θεῶν τε.
καὶ γὰρ ἐγώ ποτ' ἔμελλον ἐν ἀνδράσιν ὄλβιος εἶναι·
πολλὰ δ' ἀτάσθαλ' ἔρεξα βίῃ καὶ κάρτεϊ ϝείκων, 139^b = ν 143
πατρί τ' ἐμῷ πίσυνος καὶ ἐμοῖσι κασιγνήτοισι.
τῷ μή τίς ποτε πάμπαν ἀνὴρ ἀθεμίστιος εἴη,
ἀλλ' ὅ γε σιγῇ δῶρα θεῶν ἔχοι, ὅττι διδοῖεν.
οἷ' ὁράω μνηστῆρας ἀτάσθαλα μηχανάοντας, 143 cf. π 93
κτήματα κείροντας καὶ ἀτιμάζοντας ἄκοιτιν 144 cf. ω 459
ἀνδρός, ὃν οὐκέτι φημὶ φίλων καὶ πατρίδος αἴης 145 sq. cf. τ 301 sq.
δϝηρὸν ἀπέσσεσθαι· μάλα δὲ σχεδόν. ἀλλά σε δαίμων 145^b = Λ 817
ϝοίκαδ' ὑπεξαγάγοι, μηδ' ἀντιάσειας ἐκείνῳ,
ὁππότε νοστήσειε φίλην εἰς πατρίδα γαῖαν· 148 cf. σ 329 τ 298
οὐ γὰρ ἀναιμωτί γε διακρινέεσθαι ὀίω 149 cf. ω 532
μνηστῆρας καὶ κεῖνον, ἐπεί κε μέλαθρον ὑπέλθῃ." 149^b = υ 180
ὣς 'φάτο, καὶ σπείσας ἔπιεν μελιϝηδέα ϝοῖνον,
ἂψ δ' ἐν χερσὶν ἔθηκε δέπας κοσμήτορι λαῶν.
αὐτὰρ ὃ 'βῆ διὰ δῶμα, φίλον τετιημένος ἦτορ, 153 cf. β 298 153^a = η 139
νευστάζων κεφαλῇ· δὴ γὰρ κακὸν ὤσσετο θυμῷ. 154^b cf. Σ 224
ἀλλ' οὐδ' ὣς 'φύγε κῆρα· 'πέδησε δὲ καὶ τὸν Ἀθήνη

131] om. F[1] P H[1] M, del. PKnight.
134 *τελέσωσι*] *τελέωσι(ν)* G F P H[1] U[1] L W q.
137 *ἦμαρ*] *vitae condicionem.*
138 *ἔμελλον . . . εἶναι*] *me quoque aliquando beatum fuisse veri simile est*; vid. § 107 et ad α 232.
140 *τ'*] om. F. || *ἐμοῖσι κασιγνήτοισι*] caesura vitiosa, vid. § 3 et ad K 317; Nauck *καὶ ἐμοῖσι κασιγνήτοισι πεποιθώς.*
141 *ἀθεμίστιος εἴη*] **ἀθεμίστια ϝείποι*? cf. *σιγῇ* vs. 142. Ceteris locis aut *ἀθέμιστος* forma legitur (Ι 63 ι 106 ρ 363) aut neutrum plur. *ἀθεμίστια* (ι 189, 428 υ 287).
143 *ὁράω* § 191] *ὁρόω* mss. || *μηχανάοντας* § 191] *μηχανόωντας* mss. — Activum †, Nauck *μητιόωντας* (-*άοντας*), vid. v. l. γ 213; sed adiectivo *ἀτάσθαλα* verbum *μητιάω* non additur, medium vero *μηχανάομαι* Λ 695 γ 207 π 93 ρ 588 υ 370.
147 *ἐκείνῳ*] novicium pro *κείνῳ*, cf. § 97; **κείνῳ δὲ μὴ ἀντιάσειας*?
149 *ἀναιμωτί*] vid. ad P 363.
150 *καὶ κεῖνον*] sic Ar.; *κἀκεῖνον* mss. multa; cf. § 9 et 97.
152 *κοσμήτορι*] redit Λ 16, 375 Γ 236, semper addito *λαῶν* in versus exitu.
153 *διὰ* F] *κατὰ* mss. pleraque, *πρὸς* U[1].
154 *κεφαλῇ*] -*λὴν* X[1] D U Z k. || *ὤσσετο*] *ὄσσετο* mss. || *θυμῷ*] *θυμός* F M n (cf. κ 374); dativus certus est Σ 224, vid. etiam α 115.

Τηλεμάχοι' ὑπὸ χερσὶ καὶ ἔγχεϊ ϝῖφι δαμῆναι. 156 cf. Υ 143
ἂψ δ' αὖτις κατ' ἄρ' ἕζετ' ἐπὶ θρόνου ἔνθεν ἀνέστη. 157 = φ 139, 166 ψ 164 cf. ε 195

τῇ δ' ἄρ' ἐνὶ φρέσ' ἔθηκε θεὰ γλαυκῶπις Ἀθήνη, 158 sq. = φ 1 sq.
κούρῃ Ϝικαρίοιο περίφρονι Πηνελοπείῃ, 159 = ρ 562
μνηστήρεσσι φανήμεν', ὅπως πετάσειε μάλιστα
θυμὸν μνηστήρων ἰδὲ τιμήεσσα γένοιτο
μᾶλλον πρὸς πόσιός τε καὶ υἱέος, ἢ πάρος ἦεν.
ἀχρεῖον δ' ἐγέλασσε ϝέπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε·
„Εὐρυνόμη, θυμός μοι ἐϝέλδεται, οὔ τι πάρος γε,
μνηστήρεσσι φανήμεν' ἀπεχθομένοισί περ ἔμπης·
παιδὶ δέ κεν ϝείποιμι ϝέπος, τό κε κέρδιον εἴη."
τὴν δ' αὖτ' Εὐρυνόμη ταμίη πρὸς μῦθον ἔϝειπε· 169 = ρ 495
„ναὶ δὴ ταῦτά γε πάντα, τέκος, κατὰ μοῖραν ἔϝειπες. 170 = Ψ 626 cf. Λ 286
ἀλλ' ἴθι, καὶ σῷ παιδὶ ϝέπος φάο μηδ' ἐπίκευθε, 171 cf. π 168
χρῶτ' ἀπονιψαμένη καὶ ἐπιχρίσασα παρειάς· 172 cf. 179
μηδ' οὕτω δάκρυσσι πεφυρμένη ἀμφὶ πρόσωπα 173^a cf. ρ 103
ἔρχε', ἐπεὶ κάκιον πενθήμεναι ἄκριτον αἰεί. 174 cf. τ 120
ἤδη μὲν γάρ τοι παῖς τηλίκος, ὃν σὺ μάλιστα
ἠράε' ἀθανάτοισι γενειήσαντα ϝιδέσθαι." 176^b cf. 269
τὴν δ' αὖτε προσέϝειπε περίφρων Πηνελόπεια·
„Εὐρυνόμη, μὴ ταῦτα παραύδα κηδομένη περ,

167 *μὴ πάντα μνηστῆρσιν ὑπερφιάλοισιν ὁμιλεῖν,* 167 cf. π 271
οἵ τ' εὖ μὲν βάζουσι, κακῶς δ' ὄπιθε φρονέουσι. 168 cf. ρ 66

156 *Τηλεμάχοι'* § 59] -*χου* mss. || *ἔγχεϊ ϝῖφι*] Bothe *ἐγχείηφι*, vid. ad Υ 143 Φ 208.
157] post vs. 153 collocat Bothe.
158-303] Penelopes cum procis colloquium olim fuisse carmen singulare, postmodo autem Odysseae esse insertum, putat vWilamowitz; obloquitur Seeck.
158 *ἐνὶ*] *ἐπὶ* mss.; vid. ad Λ 55. || *φρέσ' ἔθηκε*] *φρεσὶ θῆκε* mss.
160 *φανήμεν'* § 125] *φανῆναι* mss. || *πετάσειε*] *θέλξειε* U L W, quod glossema esse e vs. 212 et 282 desumtum probabiliter statuit vHerwerden. Nonnisi h. l. transfertur verbum. Hartman *σκεδάσειε.*
163 *ἀχρεῖον*] cf. B 269.
164 *γε*] *περ* G P Z[1].
165 *φανήμεν'* § 125] *φανῆναι* mss.
166 *κε*] *γε* n.
167 sq.] in margine habet U, propter vs. 215-225 del. Duentzer.
167 *ὁμιλεῖν*] *ἐπαινεῖν* G M n.
171 *καὶ*] *νῦν* vHerwerden coll. K 53 al.; vid. ad Ψ 646.
172 *χρῶτ'*] pro *χρόα* etiam σ 179 Hes. Oper. 556 dicitur, cf. *χρωτός* K 575 et vid. § 77.
173 *δάκρυσσι* Spitzner] *δάκρυσι* vel *δακρύοισι* mss. || *πρόσωπα*] -*πον* U[2] Z.
174 *ἔρχε'* § 117] *ἔρχευ* mss., l. a. *ἔρχεο.* || *πενθήμεναι*] cf. § 195.
176 *ἠράε'* PKnight] *ἠρῶ* mss. metro invito; cf. § 14 et 117. || *γενειήσαντα*] vid. ad π 176.
178 *παραύδα*] -*δαε*? cf. § 195. || *κηδομένη*] -*νῃ* Ar. (? vid. Ludwich Arist. I p. 623).

χρῶτ' ἀπονίψασθαι καὶ ἐπιχρίσασθαι ἀλοιφῇ· 179 cf. 172
ἀγλαΐην γὰρ ἐμοί γε θεοί, τοὶ Ὄλυμπον ἔχουσι, 180ᵇ = ξ 394
ὤλεσαν, ἐξ οὗ κεῖνος ἔβη κοίλῃσ' ἐνὶ νηυσί. 181 cf. β 27
ἀλλά μοι Αὐτονόην τε καὶ Ἱπποδάμειαν ἄνωχθι
ἐλθέμεν', ὄφρα κέ μοι παρστήετον ἐν μεγάροισι·
οἴη δ' οὐκ εἴσειμι μετ' ἀνέρας, αἰδέομαι γάρ."
ὣς ἄρ' ἔφη, γρῆυς δὲ δι' ἐκ μεγάροι' ἐβεβήκει 185 sq. = χ 433
ἀγγελέουσα γυναιξὶ καὶ ὀτρυνέουσα νέεσθαι. 185 = τ 503 [sq. 186 = χ 496
ἔνθ' αὖτ' ἄλλ' ἐνόησε θεὰ γλαυκῶπις Ἀθήνη. 187 = β 382
κούρῃ Ϝικαρίοιο κατὰ γλυκὺν ὕπνον ἔχευε·
ηὗδε δ' ἀνακλινθεῖσα, 'λύθεν δέ Ϝοι ἅψεα πάντα 189 = δ 794
αὖθ' ἐν κλιντῆρι. τῆος δ' ἄρα δῖα θεάων
ἄμβροτα δῶρ' ἐδίδου, ἵνα θηησαίατ' Ἀχαιοί.
κάλλεϊ μέν Ϝοι πρῶτα προσώπατα κάλ' ἐκάθηρε
ἀμβροσίῳ, οἵῳ περ ἐυστέφανος Κυθέρεια
χρίεται, εὖτέ κ' ἴῃ Χαρίτων χορὸν ἱμερόεντα·
καί μιν μακροτέρην καὶ πάσσονα 'θῆκε Ϝιδέσθαι, 195 cf. ζ 229 sq. ϑ 20
λευκοτέρην δ' ἄρα μιν 'θῆκε πριστοῖ' ἐλέφαντος.
ἡ μὲν ἄρ' ὣς Ϝέρξασ' ἀπεβήσετο δῖα θεάων.

An *κηδομένην (vid. η 215 τ 511)? Similis est controversia Χ 416 π 147.

179] del. Cobet. ‖ χρῶτ'] cf. vs. 172. ‖ ἀπονίψασθαι G Apoll. lex.] -πτεσθαι mss. cett.; -ζεσθαι Kontos. ‖ ἐπιχρίσασθαι G Apoll. lex.] ἐπιχρίεσθαι mss. cett. ‖ ἀλοιφῇ] cf. ζ 220.

182 Αὐτονόην] Αὐτονόμην P. Ministrae praeterea nonnisi Γ 144 (spur.) δ 123 sqq. ψ 228 (spur.) nominatim indicantur.

183 ὄφρα κέ] ὄφρ' ἄν X D Z k; cf. § 326.

184 οὐκ εἴσειμι] οὐ κεῖσ' εἶμι Ar. Herodian. F H X n mss. alia, fortasse recte. ‖ In X̃ D et in marg. U² sequitur μίσγεσθαι μνηστῆρσι ὑπερφιάλοισιν ἀνάγκῃ, solet autem verbo αἴδεσθαι accusativus aut infinitivus subiungi; vid. tamen Ε 531 (= Ο 563) Κ 237 Ρ 95 ρ 578.

185 μεγάροι' ἐβεβήκει] -ροιο βεβήκει mss.; cf. § 59.

186 νέεσθαι] vitiose affertur l. a. ἔσεσθαι (ἔπεσθαι LaRoche, an *πένεσθαι?). De verbo νέεσθαι vid. ad Φ 48.

189 ἅψεα] vid. δ 794.

190-197] del. Fick, vs. 192-196 criticus apud Nauckium, vs. 192-194 PKnight.

190 *αὖθ' ἐν ... τῆος] αὐτοῦ ἐνὶ ... τέως mss.; cf. § 322 et 323. Nauck αὐτοῦ ἐνὶ κλισμῷ. τῆος. ‖ κλιντῆρι] †, vid. ad δ 123. ‖ δῖα θεάων] δῖ' Ἀφροδίτη Zen. (scholion iure huc rettulit Duentzer; legitur ad vs. 197).

191 δῶρ' ἐδίδου] δῶρα δίδου mss. ‖ θηησαίατ' PKnight] μιν θησαίατ' mss.; cf. § 249.

192 κάλλεϊ] „mirum unguentum!" (Fick). ‖ προσώπατα] accusativus metaplastus †, vid. Η 212; πρόσωπα M X D Y, πρόσωπά τε F P. ‖ κάλ' ἐκάθηρε] καλὰ κάθ. mss.

193 ἐυστέφανος] vid. ad Σ 597. ‖ Κυθέρεια] Ἀφροδίτη (glossema) superscriptum habent H² X Y, in marg. G². Vid. ad ϑ 288.

194 εὖτέ κ' § 326] εὖτ' ἂν mss. ‖ ἱμερόεντα] εἰς ἐρόεντα J et l. a. in Y (cf. h. Merc. 31 Ven. 264 Cer. 109, 426 XXXI 20).

195] post vs. 196 collocat Hentze, e libro ϑ interpolatum ducit Kirchhoff.

196 πριστοῖ' § 59] πριστοῦ mss., l. a. λευκοῦ (glossema). Adi. redit τ 564, cf. νεόπριστος ϑ 404.

197] in marg. habet X. ‖ ἀπεβήσετο δῖα θεάων] -σατο δ. θ. mss. multa, cf. § 152; ἀπέβη γλαυκῶπις Ἀθήνη P (cf. α 319).

ἦλθον δ' ἀμφίπολοι λευκώλενοι ἐκ μεγάροιο 198 cf. τ 60
φθόγγῳ ἐπερχόμεναι· τὴν δὲ γλυκὺς ὕπνος ἀνῆκε,
καί ῥ' ἀπομόρξατο χερσὶ παρειὰς 'φώνησέν τε·
„ἦ με μάλ' αἰνοπαθῆ μαλακὸν περὶ κῶμ' ἐκάλυψε. 201ᵇ cf. Ξ 359
αἴθε μοι ὣς μαλακὸν θάνατον πόροι Ἄρτεμις ἁγνὴ
αὐτίκα νῦν, ἵνα μηκέτ' ὀδυρομένη κατὰ θυμὸν 203 sq.ª cf. ε 160 sq.
αἰῶνα φθινύθω, πόσιος ποθέουσα φίλοιο
παντοίην ἀρετήν, ἐπεὶ ἔξοχος ἦεν Ἀχαιῶν."
ὣς φαμένη κατέβαιν' ὑπερώια σιγαλόεντα, 206 sq. cf. τ 600 [sq.
οὐκ οἴη· ἅμα τῇ γε καὶ ἀμφίπολοι δύ' ἕποντο. 207-211 = α 331 sqq.
ἡ δ' ὅτε δὴ μνηστῆρας ἀφίκετο δῖα γυναικῶν,
'στῆ ῥα παρὰ σταθμὸν τέγεος πύκα ποιητοῖο
ἄντα παρειάων σχομένη λιπαρὰ κρήδεμνα·
ἀμφίπολος δ' ἄρα Ϝοι κεδνὴ Ϝεκάτερθε παρέστη.
τῶν δ' αὖθι 'λύτο γούνατ', ἔρῳ δ' ἄρα θυμὸν ἔθελχθεν·
πάντες δ' ἠρήσαντο παραὶ λεχέεσσι κλιθῆναι. 213 = α 366
ἡ δ' αὖ Τηλέμαχον προσεφώνεε, Ϝὸν φίλον υἱόν· 214 cf. ω 505
„Τηλέμαχ', οὐκέτι τοι φρένες ἔμπεδοι οὐδὲ νόημα.
παῖς ἔτ' ἐὼν καὶ μᾶλλον ἐνὶ φρεσὶ κέρδε' ἐνώμας·
νῦν δ', ὅτε δὴ μέγας ἐσσὶ καὶ ἥβης μέτρον ἱκάνεις, — 217 cf. τ 532 217ª cf. β 314
καί κέν τις φαίη γόνον ἔμμεναι ὀλβίου ἀνδρὸς
εἰς μέγεθος καὶ κάλλος ὁρώμενος ἀλλότριος φώς, —
οὐκέτι τοι φρένες εἰσὶν ἐναίσιμοι οὐδὲ νόημα, 220 cf. Ω 40
οἷον δὴ τόδε Ϝέργον ἐνὶ μεγάροισιν ἐτύχθη.
πῶς νῦν, εἴ τι ξεῖνος ἐν ἡμετέροισι δόμοισι
ἥμενος ὧδε πάθοι ῥυστακτύος ἒξ ἀλεγεινῆς;
σοί κ' αἶσχος λώβη τε μετ' ἀνθρώποισι πέλοιτο."

---

222 ὃς τὸν ξεῖνον ἔασας ἀϜεικισθήμεναι οὕτω.

---

200 παρειὰς] *παρήια? vid. τ 208 χ 404 et ad Γ 35 Χ 491 Ω 794. ‖ 'φώνησέν τε] εἶπέ τε μῦθον U.

201 αἰνοπαθῆ] †. Novicius est adiectivi exitus (cf. § 73); *αἰνόμορον? cf. Χ 481 ι 53 ω 169 h. Merc. 257.

206 κατέβαιν' ὑπερώια] constr. praegnans; redit τ 600 ψ 85.

212 αὖθι § 322] αὐτοῦ mss. ‖ ἔρῳ ... ἔθελχθεν] ἔρως ... ἔθελγεν P (-γεν etiam G).

213] del. PKnight.

214-243] del. vWilamowitz.

214 αὖ] ἄρα P H mss. alia.

216 παῖς ἔτ'] παιδνὸς Nauck (ut φ 21 ω 338).

217 ὅτε δὴ] vid. ad β 314.

218 κέν] κέ σέ dubitanter vHerwerden.

222] del. PKnight, ante vs. 221 collocat Bothe. ‖ οὕτω] *αὔτως vel *ἄντην?

223-225] del. Kammer.

223 πῶς] ὡς Naber. ‖ νῦν] οὐκ Axt cum κ' ... πέλοιτο iungens. ‖ τι] sic Ar.; τις G F D Z n[1].

224 ῥυστακτύος] †, vid. ad λ 580.

225 πέλοιτο] γένοιο F, γένοιτο schol. Ω 22.

τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
„μῆτερ ἐμή, τὸ μὲν οὔ σε νεμεσσάομαι κεχολῶσθαι.
ἀλλά τοι οὐ δύναμαι πεπνυμένα πάντα νοῆσαι·
ἐκ γάρ με πλήσσουσι παρήμενοι ἄλλοθεν ἄλλος 231^{b} = Ι 311
οἵδε κακὰ φρονέοντες, ἐμοὶ δ' οὐκ εἰσὶν ἀρωγοί.
οὐ μέν τοι ξείνου καὶ Ϝίρου μῶλος ἐτύχθη
μνηστήρων ἰότητι, βίῃ δ' ὅ γε φέρτερος ἦεν.
αἲ γὰρ, Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον, 235 = Β 371
οὕτω νῦν μνηστῆρες ἐν ἡμετέροισι δόμοισι
νεύοιεν κεφαλὰς δεδμημένοι, οἳ μὲν ἐν αὐλῇ,
οἳ δ' ἔντοσθε δόμοιο, λελυῖτο δὲ γυῖα Ϝεκάστου,
ὡς νῦν Ϝῖρος κεῖνος ἐπ' αὐλείῃσι θύρῃσι
ἧσται νευστάζων κεφαλῇ, μεθύοντι ϜεϜοικὼς,
οὐδ' ὀρθὸς δύναται στῆναι ποσὶν οὐδὲ νέεσθαι
Ϝοίκαδ', ὅπῃ Ϝοι νόστος, ἐπεὶ φίλα γυῖα λέλυνται."
ὣς οἳ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον·
Εὐρύμαχος δὲ Ϝέπεσσι προσηύδα Πηνελόπειαν·
„κούρη Ϝικαρίοιο περίφρον Πηνελόπεια, 245 = π 435
εἰ πάντες σε Ϝίδοιεν ἀν' Ἴασον Ἄργος Ἀχαιοὶ,
μνηστῆρες πλέονές κεν ἐν ὑμετέροισι δόμοισι
ἠῶθεν δαινυίατ', ἐπεὶ περίεσσι γυναικῶν
Ϝεῖδός τε μέγεθός τε ἰδὲ φρένας ἔνδον ἐϜίσας." 249 = λ 337

228 αὐτὰρ ἐγὼ θυμῷ νοέω καὶ Ϝοῖδα Ϝέκαστα, 228^{b} sq. = υ 309 sq.
ἐσθλά τε καὶ τὰ χέρηα· πάρος δ' ἔτι νήπιος ἦα.
229 Aristoph. Ar. —

227 νεμεσσάομαι § 191] -σσῶμαι mss.
228 sq.] del. Bothe, alii recensioni cum vs. 233 sq. tribuit Friedlaender; PKnight del. vs. 229-232, Kirchhoff solum vs. 229.
228 θυμῷ νοέω] νοέω θυμῷ G.
229 χέρηα M Eust.] χέρεια mss. pleraque; cf. § 87. || πάρος — ἦα] l. a. μέγας δέ κε νήπιος εἴην.
233-242] del. Kammer.
233 καὶ PKnight] γε (τε F) καὶ mss.
236 οὕτω] vid. ad Θ 538.
238] οἱ δὲ καὶ ἔκτοσθεν μεγάρων εὐναιετάοντων G. || λελυῖτο Bekker] λέλυνται M, λέλυ(ν)το vel λελῦ(ν)το mss. cetera. Vid. § 119 et 1:0 et ad Ω 745.
239 κεῖνος § 97] ἐκεῖνος mss., numerosius sane.
240 κεφαλῇ] -λήν M D U^2 Z k.
241 δύναται στῆναι G F U n] στῆναι δύναται mss. cetera. Pro στῆναι expectatur στήμεναι, cf. § 125.
242 γυῖα] γοῦνα n.
244 δὲ Ϝέπεσσι] δ' ἐπέεσσι mss. || προσηύδα] -δαε? cf. § 195.
246 Ἴασον] adi. †, cum voce Ἰάονες (Ν 685) fortasse cohaerens; nomen proprium viri Atheniensis est Ο 332, 337. *Peloponnesum* significari patet, cf. Strab. VIII p. 369.
247 μνηστῆρες πλέονές κεν Nauck] πλέονές (πλείονές) κε μνηστῆρες mss.; cf. § 8, 85, 87. Baunack πλεῖές κε μνηστῆρες.
248 δαινυίατ' Thiersch] δαινύατ' (δαίνυντ' F P M) mss.; cf. § 120. Fick δαινυῖντ', male, cf. § 119.

τὸν δ' ἠμείβετ' ἔπειτα περίφρων Πηνελόπεια·
„Εὐρύμαχ', ἦ τοι ἐμὴν ἀρετὴν Ϝεῖδός τε δέμας τε 251 cf. τ 124
ὤλεσαν ἀθάνατοι, ὅτε Ϝίλιον εἰς ἀνέβαινον 251^{b} = ϑ 116
Ἀργέιοι, μετὰ τοῖσι δ' ἐμὸς πόσις ἤι' Ὀδυσσεύς. 252-256 = τ 125; 252^{b} = β 172 [sqq.
εἰ κεῖνός γ' ἐλθὼν τὸν ἐμὸν βίον ἀμφιπολεύοι, 253 cf. β 173
μεῖζόν κε κλέος εἴη ἐμὸν καὶ κάλλιον οὕτω.
νῦν δ' ἄχομαι· τόσα γάρ μοι ἐπέσσευεν κακὰ δαίμων.
ἦ μὲν δὴ ὅτε τ' ἤιε λιπὼν κάτα πατρίδα γαῖαν,
δεξιτερὴν ἐπὶ καρπῷ ἑλὼν ἐμὲ χεῖρα προσηύδα· 258 cf. Ω 671
‚ὦ γύναι, οὐ γὰρ ὀίω ἐυκνήμιδας Ἀχαιοὺς
ἐκ Τροίης εὖ πάντας ἀπήμονας ἀπονέεσθαι·
καὶ γὰρ Τρῶας φασὶ μαχητὰς ἔμμεναι ἄνδρας,
ἠμὲν ἀκοντιστὰς ἠδὲ ῥυτῆρας ὀιστῶν
ἵππων τ' ὠκυπόδων ἐπιβήτορας, οἵ τε τάχιστα
ἔκριναν μέγα νεῖκος ὁμοιίοο πτολέμοιο. 264^{b} = ω 543
τῷ οὐ Ϝοῖδ', ἤ κέν μ' ἀνέῃ θεὸς ἦ κε Ϝαλώω
αὐτόθ' ἐνὶ Τροίῃ· σοὶ δ' ἐνθάδε πάντα μελόντων. 266^{b} = ϱ 594
μεμνῆσθαι πατρὸς καὶ μητέρος ἐν μεγάροισι
ὡς νῦν, ἢ ἔτι μᾶλλον, ἐμεῖ' ἀπὸ νόσφιν ἐόντος· 268^{b} cf. Δ 541
αὐτὰρ ἐπεὶ δὴ παῖδα γενειήσαντα Ϝίδηαι, 269^{b} cf. 176
γήμασθ' ᾧ κ' ἐθέλῃσθα τεὸν κατὰ δῶμα λιποῦσα.' 270 cf. τ 531
κεῖνος τῶς ἀγόρευε· τὰ δὴ νῦν πάντα τελεῖται. 271 = Β 330
νὺξ δ' ἔσται, ὅτε δὴ στυγερὸς γάμος ἀντιβολήσει
ὀλομένης ἐμέθεν, τῆς τε Ζεὺς ὄλβον ἀπέϜρα. 273^{b} cf. τ 161
ἀλλὰ τόδ' αἰνὸν ἄχος κραδίην καὶ θυμὸν ἱκάνει· 274 = Θ 147
μνηστήρων οὐχ ἥδε δίκη τὸ πάροιθ' ἐτέτυκτο·

251-256] del. Duentzer.
253 ἤι' § 308] ἤιεν Aristoph. Ar. et mss. pleraque, ἤεν G P M U mss. alia; cf. β 173.
254 τὸν] articulus molestus.
256 ἄχομαι] ἔχομαι X^1 D Z k; cf. ϑ 182. || ἐπέσσευεν] ἐπέκλωσε F; cf. τ 129.
257 ἤιε] vid. § 308.
259 γὰρ G F U] γάρ τ' mss. complura; cf. § 295.
260 ἀπονέεσθαι] cf. § 21.
262 ἀκοντιστὰς] cf. Π 328.
263 τε Monro] κε mss.; Barnes κε ... κρίνειαν, sed aptior est aoristus gnomicus. || τάχιστα] μάλιστα M, fortasse recte.
264 ὁμοιίοο πτολέμοιο § 59] ὁμοιοΐο πτολ. Y, ὁμοιίου π(τ)ολ. mss. cet. || ὁμοιίοο] vid. ad Δ 315.
265 οὐ] οὐκ mss. || ἤ κεν § 327] εἴ κεν mss. || ἀνέῃ Thiersch] ἀνέσει mss.; cf. § 122. Expectatur ἀνήῃ, vid. tamen Π 590.
266 αὐτόθ' § 322] αὐτοῦ mss.
268 ἐμεῖ' § 92] ἐμεῦ mss.
269 ἐπεὶ F] ἐπὴν mss. cett.; cf. § 326. || γενειήσαντα] vid. ad π 176.
271 τῶς] θ' ὣς Herodian. mss.; cf. Β 330 Γ 415 et § 96. || τελεῖται] cf. § 191.
272 sq. γάμος ἀντιβολήσει ... ἐμέθεν] constructio non redit.
273 ὀλομένης § 21] οὐλ. mss. || τῆς] τήν? vid. ad δ 646. || ἀπέϜρα § 150] ἀπηύρα mss.
275 πάροιθ' ἐτέτυκτο] -θε τέτυκται P.

οἵ τ' ἀγαθήν τε γυναῖκα καὶ ἀφνειοῖο θύγατρα
μνηστεύειν ἐθέλωσι καὶ ἀλλήλοισ' ἐρίσωσι,
αὐτοὶ τοί γ' ἀνάγουσι βόας καὶ Ϝίφια μῆλα,
κούρης δαῖτα φίλοισι, καὶ ἀγλαὰ δῶρα διδοῦσι,
ἀλλ' οὐκ ἀλλότριον βίοτον νήποινον ἔδουσι." 280 cf. α 160
ὣς 'φάτ' ἐγήθησεν δὲ πολύτλας δῖος Ὀδυσσεύς, 281 = η 329
οὕνεκα τῶν μὲν δῶρα παρείλκετο, 'θέλγε δὲ θυμὸν
μειλιχίοισι Ϝέπεσσι· — νόος δέ Ϝοι ἄλλ' ἐμενοίνα. 283[b] cf. β 92
τὴν δ' αὖτ' Ἀντίνοος προσέφη, Εὐπείθεος υἱός·
„κούρη Ϝικαρίοιο περίφρον Πηνελόπεια, 285 = π 435
δῶρα μὲν ὅς κ' ἐθέλῃσιν Ἀχαιῶν ἐνθάδ' ἐνεῖκαι,
δέξασθ', — οὐ γὰρ καλὸν ἀνήνασθαι δόσιν ἐστί, — 287 cf. δ 651
ἧμες δ' οὔτ' ἐπὶ Ϝέργα πάρος γ' ἴμεν οὔτε πῃ ἄλλῃ, 288 = β 127
πρίν σέ τεῳ γήμασθαι Ἀχαιῶν, ὅς τις ἄριστος." 289 cf. β 128
ὣς ἔφατ' Ἀντίνοος, τοῖσιν δ' ἐπεϜάνδανε μῦθος. 290 = 50
δῶρα δ' ἄρ' οἰσέμεναι πρόεσαν κήρυκα Ϝέκαστος. 291 = θ 399
Ἀντινόῳ μὲν ἔνεικε μέγαν περικαλλέα πέπλον,
ποικίλον· ἐν δ' ἄρ' ἔσαν περόναι δύο καὶ δέκα πᾶσαι
χρύσειαι, κληῖσιν ἐυγνάμπτοισ' ἀραρυῖαι.
ὅρμον δ' Εὐρυμάχῳ πολυδαίδαλον αὐτίκ' ἔνεικε,
χρύσεον, ἠλέκτροισιν ἐερμένον, ἠέλιον ὥς. 296 cf. ο 460 h. Ap. 104
ἕρματα δ' Εὐρυδάμαντι δύω θεράποντες ἔνεικαν

282 (immo 282 sq.) Aristophanes (et Ar.?) —. Vid. Ludwich Arist. I p. 624.

276 *ἀφνειοῖο*] vocem *ἀνδρός* desiderat vHerwerden.

278 *ἀνάγουσι* Ernesti] *ἀπάγουσι* mss.; *ἐπάγουσι* Axt. Cf. Θ 203 schol. σ 89.

279 *κούρης ... φίλοισι*] *κούρῃς ... φίλῃσι* P mss. alia (absurde). ‖ *δῶρα*] *ἔργα* H U.

280 *ἀλλ' οὐκ*] *ἠδέ κεν* (*οἳ δὲ καὶ?*) F.

281-283] del. Fick, Kammer vs. 281-301 eorum loco substituens: *ὣς φαμένη ἀνέβαιν' ὑπερώια δῖα γυναικῶν,* |*-οὐκ οἴη, ἅμα τῇ γε καὶ ἀμφίπολοι δύ' ἕποντο.*

281 *'φάτ'· ἐγήθησεν*] *φάτο· γ.* mss.

282 *παρείλκετο* H[2]] *παρέλκετο* mss. — Med. †, act. φ 111.

283 *μειλιχίοισι Ϝέπεσσι*] *-οις ἐπέεσσι* mss. ‖ *Ϝοι*] *Ulixi*? Contextus et locus parall. β 92 suadent ut ad *Penelopen* pronomen referamus; sed fraudem nunc procis hanc struere e contextu non apparet. In antiquo carmine, de quo vid. ad τ 346-348 et ad initium libri φ, aptiorem locum haec habuisse, post vs. enim 303 secutos esse φ 5 sqq., opinio est Seeckii. ‖ *ἄλλ' ἐμενοίνα*] *ἄλλα μ.* mss.

288 *ἧμες* § 92] *ἡμεῖς* mss.

289 **σέ τεῳ*] *γέ σε τῷ* vel *σέ γε τῷ* mss., Herodian. *τῳ* enclit. ‖ *ἄριστος*] Axt *ἀριστός* (quae vox non extat apud Hom.).

290 *ἐπεϜάνδανε*] *ἐπιήνδανε* mss.

291-301] del. Fick vs. 303 scribens *οὐκ οἴη, ἅμα τῇ γε καὶ ἀμφίπολοι δύ' ἕποντο* (ut Γ 143 alibi).

293 *περόναι*] cf. Helbig Hom. Epos[1] p. 137.

294 *ἐυγνάμπτοισ'*] *ἐυγνά(μ)πτῃσ'* G H[2].

295 *πολυδαίδαλον*] *περικαλλέα* U.

296 *ἠλέκτροισιν ἐερμένον*] cf. ο 460; *ἐεργμένον* H[2].

297 sq. *ἕρματα ... τρίγληνα μορόεντα*] cf. Ξ 182 sq.

τρίγληνα μορόεντα· χάρις δ' ἀπελάμπετο πολλή. 298 = Ξ 183
ἐκ δ' ἄρα Πεισάνδροιο Πολυκτορίδαο Ϝάνακτος
ἴσθμιον ἤνεικεν θεράπων, περικαλλὲς ἄγαλμα.
ἄλλο δ' ἄρ' ἄλλος δῶρον Ἀχαιῶν καλὸν ἔνεικε.
ἡ μὲν ἔπειτ' ἀνέβαιν' ὑπερώια δῖα γυναικῶν,
τῇ δ' ἄρ' ἅμ' ἀμφίπολοι ἔφερον περικαλλέα δῶρα.

οἳ δ' εἰς ὀρχηστύν τε καὶ ἱμερόεσσαν ἀοιδὴν 304-306 = α 421 sqq.
τρεψάμενοι 'τέρποντο, 'μένον δ' ἐπὶ Ϝέσπερον ἐλθεῖν.
τοῖσι δὲ τερπομένοισι μέλας ἐπὶ Ϝέσπερος ἦλθε.
αὐτίκα λαμπτῆρας τρεῖς ἵστασαν ἐν μεγάροισι,
ὄφρα φαείνοιεν· ἐπὶ δὲ ξύλα κάγκαν' ἔθηκαν, [112 308[b] cf. h. Merc.
αὖα πάλαι, περίκηλα, νέον κεκεασμένα χαλκῷ, 309[a] = ε 240
καὶ δαΐδας μετέμισγον· ἀμοιβηδὶς δ' ἀνέφαινον
δμῳαὶ Ὀδυσσῆος ταλασίφρονος. αὐτὰρ ὃ τῇσι
αὐτὸς διογενὴς μετέφη πολύμητις Ὀδυσσεύς·
„δμῳαὶ Ὀδυσσῆος δϜὴν οἰχομένοιο Ϝάνακτος, 313[b] = ξ 376
ἔρχεσθε πρὸς δῶμαθ', ἵν' αἰδοίη βασίλεια,
τῇ δὲ πάρ' ἠλάκατα στροφαλίζετε, τέρπετε δ' αὐτὴν
ἥμεναι ἐν μεγάρῳ, ἢ' εἴρια πείκετε χερσί· 316[a] cf. Ω 209
αὐτὰρ ἐγὼ τούτοισι φάος πάντεσσι παρέξω.
εἴ περ γάρ κ' ἐθέλωσιν ἐύθρονον Ἠόα μίμνειν,
οὔ τί με νικήσουσι· πολυτλήμων δὲ μάλ' εἰμί."
ὣς ἔφαθ', αἳ δ' ἐγέλασσαν, ἐς ἀλλήλας δ' ἐϜίδοντο. 320[b] cf. Ω 484
τὸν δ' αἰσχρῶς ἐνένιπε Μελανθὼ καλλιπάρῃος, 321[a] = Ψ 473

300 *ἴσθμιον*] †, *monile.*

302 *δῖα γυναικῶν*] *σιγαλόεντα* P (cf. π 449).

305 sq. *'μένον — τερπομένοισι*] del. Fick, deinde *μέλας δ'* scribens.

306 *τερπομένοισι*] *τερψαμένοισι* P.

307-310 *ἵστασαν ... ἔθηκαν ... μετέμισγον*] subiectum desideratur.

307 *λαμπτῆρας*] redit vox vs. 343 et τ 63; significantur *vasa ligno arido referta,* differunt igitur a *taedis* (cf. σ 310) quibus in Alcinoi aedibus utebantur (η 100 sq.). ‖ *ἵστασαν* G U] *ἔστασαν* vel *ἵστασαν* mss. multa, *ἔστησαν* M; vid. M 56.

308 *ἐπὶ* P H M n] *περὶ* G F X. ‖ *κάγκαν' ἔθηκαν* M] *-να θῆκαν* mss. cetera. De adi. *κάγκανος aridus* vid. ad Φ 364 ο 322.

309 *περίκηλα*] cf. ε 240.

310 *ἀμοιβηδὶς*] vid. ad Σ 506. ‖ *ἀνέφαινον*] i. e. *φάος παρεῖχον, ignem suscitabant et nutriebant*; vid. σ 317, 343 τ 64. In G est *ἀνέκαιον* fortasse recte (vid. ad φ 181). De verbi forma vid. ad τ 25.

312 *αὐτὸς*] corruptum iudicat Nauck; **παρστὰς*? ‖ *διογενὴς*] cf. § 21.

314 *δώμαθ'*] *δῶμα* P.

315 *στροφαλίζετε*] †, *torquete* (*nete*); cf. *στροφάλιγξ* (*κονίης*) *vortex* Π 775 Φ 503 ω 39. ‖ *αὐτὴν*] *ἄντην* P.

316 *πείκετε*] vid. ad Ξ 176 et cf. χ 423.

318 *εἴ* F] *ἤν* mss. cett.; cf. § 326. ‖ *Ἠόα* § 77] *Ἠῶ* mss.

319 *πολυτλήμων*] redit H 152, cf. λ 38.

τὴν Δολίος μὲν ἔτικτε, 'κόμισσε δὲ Πηνελόπεια,
παῖδα δὲ ὣς ἀτίταλλε, 'δίδου δ' ἄρ' ἀθύρματα θυμῷ·
ἀλλ' οὐδ' ὣς ἔχε πένθος ἐνὶ φρεσὶ Πηνελοπείης,
ἀλλ' ἥ γ' Εὐρυμάχῳ 'μισγέσκετο καὶ 'φιλέεσκε.
ἥ ῥ' Ὀδυσῆ' ἐνένιπεν ὀνειδείοισι Ϝέπεσσι·
„ξεῖνε τάλαν, σύ γέ τις φρένας ἐκπεπαταγμένος ἐσσὶ,
οὐδ' ἐθέλεις εὕδειν χαλκήιον εἰς δόμον ἐλθὼν
ἠέ ποθ' εἰς λέσχην, ἀλλ' ἐνθάδε πόλλ' ἀγορεύεις.
ἦ ἀλύεις, ὅτι Ϝῖρον ἐνίκησας τὸν ἀλήτην; 333 = 393
μή τίς τοι τάχα Ϝίρου ἀμείνων ἄλλος ἀναστῇ,
ὅς τίς σ' ἀμφὶ κάρη κεκοπὼς χερσὶ στιβαρῇσι
δώματος ἐκπέμψῃσι φορύξας αἵματι πολλῷ."
τὴν δ' ἄρ' ὑπόδρα Ϝιδὼν προσέφη πολύμητις Ὀδυσσεύς·
„ἦ τάχα Τηλεμάχῳ Ϝερέω, κύον, οἷ' ἀγορεύεις,
κεῖσ' ἐλθών, ἵνα σ' αὖθι διὰ μελεϊστὶ τάμῃσι."
ὣς Ϝειπὼν Ϝεπέεσσι διεπτοίησε γυναῖκας·
'βὰν δ' ἴμεναι διὰ δῶμα, 'λύθεν δ' ὑπὸ γυῖα Ϝεκάστης 341ᵇ = Σ 31
ταρβοσύνῃ· 'φὰν γάρ μιν ἀληθέα μυθήσασθαι.
αὐτὰρ ὃ πὰρ λαμπτῆρσι φαείνων αἰθομένοισι

330 θαρσαλέως πολλοῖσι μετ' ἀνδράσιν, οὐδέ τι θυμῷ ταρβεῖς. ἦ ῥά σε Ϝοῖνος ἔχει φρένας; ἤ νύ τοι αἰεὶ τοιοῦτος νόος ἐστίν, ὃ καὶ μεταμώνια βάζεις; 330-332 = 390 sqq. 330ᵇ sq.ᵃ cf. Φ 574 sq.
330-332 Ar. —

322 Δολίος] vid. ad δ 735.
323 δὲ ὥς] alias constanter dicitur δ' ὥς (*E* 78 *Z* 295 *Θ* 306 etc.). Intercidisse videtur pronomen, quod tamen inter δέ et ὥς (δέ Ϝ' ὥς) apte inseri non potest; *παῖδά μιν ὥς? Sed etiam finis hexametri suspectus est. || ἄρ' ἀθύρματα] caesura vitiosa; vid. *E* 205 *Σ* 98 ε 476 et § 3. In P H est ἄρα θύρματα, in Y ἄρα ἥρματα (ἕρματα? vid. vs. 297); vHerwerden ἄρα χάρματα. De voce ἀθύρματα vid. ad *O* 363. || θυμῷ] θυμοῦ F P H¹ U¹ n.
324 ἔχε] σχέθε F M U n mss. alia.
326 ὀνειδείοισι Ϝέπεσσι] -οις ἐπέεσσι mss.
327 τάλαν] *impudens, pervicax*; nonnisi τ 68 h. Merc. 160 redit adi. || ἐκπεπαταγμένος] ἐκπεπετασμένος L W. Comp. † (simplex *H* 216 *N* 282 *Ψ* 370).
329 ποθ' § 322] που mss. || λέσχην] †. Vox dubiae originis (Semiticae? vid. Valcken. ad Ammon. p. 211); cf. Hesiod. Oper. 493 Pausan. X 25. Locus publicus (deversorium) significatur.
330 θαρσαλέως] -λέος G P H M¹.
331 ταρβεῖς] cf. § 7 et 191.
332 μεταμώνια] -λια F H M n mss. alia; cf. β 98.
334 τοι . . . ἀναστῇ] vid. ad *Ψ* 635. || ἀναστῇ] novicium pro ἀναστήῃ, cf. § 122.
335 κεκοπώς] sic et -φώς Ar., vid. ad *N* 60.
336 φορύξας] †, cf. αἱμοφόρυκτος υ 348, φορύνω χ 21.
338 οἷ' ἀγορεύεις] vid. ad *Σ* 95.
339 μελεϊστὶ] adv. redit *Ω* 409 ι 291.
340 διεπτοίησε] comp. †, simplex est χ 298.
341 ἴμεναι] ἰέναι n, ἴεναι P. || διὰ] κατὰ n.
342 ταρβοσύνῃ] †, cf. τάρβος *Ω* 152, 181, ταρβαλέος h. Merc. 165.
343 λαμπτῆρσι] vid. ad vs. 307.

εἱστήκειν εἰς πάντας ὁρώμενος· ἄλλα δέ Ϝοι κῆρ
ὥρμαινε φρεσὶ Ϝῇσιν, ἅ ῥ' οὐκ ἀτέλεστ' ἐγένοντο.
μνηστῆρας δ' οὐ πάμπαν ἀγήνορας εἴα' Ἀθήνη 346-348 = υ 284 sqq. 346 cf. *K* 299
λώβης ἴσχεσθαι θυμαλγέος, ὄφρ' ἔτι μᾶλλον
δυίη ἄχος κραδίην Λαερτιάδην Ὀδυσῆα.
τοῖσιν δ' Εὐρύμαχος Πολύβου πάις ἦρχ' ἀγορεύειν,
κερτομέων Ὀδυσῆα, γέλον δ' ἑτάροισιν ἔτευχε·
„κέκλυτέ μοι, μνηστῆρες ἀγακλειτῆς βασιλείης, 351 sq. = ρ 468 sq.
ὄφρ' ἔσπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
οὐκ ἀθεῖ ὅδ' ἀνὴρ Ὀδυσήιον εἰς δόμον ἵκει·
ἔμπης μοι δοκέει δαΐδων σέλας ἔμμεναι αὐτοῦ
κὰκ κεφαλῆς, ἐπεὶ οὔ Ϝοι ἔνι τρίχες οὐδ' ἦ βαιαί." 355 cf. *Ξ* 141
ἦ ῥ', ἅμα τε προσέϜειπεν Ὀδυσσῆα πτολίπορθον·
„ξεῖν', ἦ' ἄρ κ' ἐθέλοις θητευέμεν', εἴ σ' ἀνελοίμην,
ἀγροῦ ἐπ' ἐσχατιῆς, — μισθὸς δέ τοι ἄρκιος ἔσται, — 358ᵃ = ε 489 358ᵇ cf. *K* 304
αἱμασιάς τε λέγων καὶ δένδρεα μακρὰ φυτεύων;
ἔνθα κ' ἐγὼ σῖτον μὲν ἐπηετανὸν παρέχοιμι,
Ϝείματα δ' ἀμφιϜέσαιμι ποσίν θ' ὑποδήματα δοίην.
ἀλλ' ἐπεὶ οὖν δὴ Ϝέργα κάκ' ἔμμαθες, οὐκ ἐθελήσεις 362-364 cf. ρ 226 sqq.
Ϝέργον ἐποίχεσθαι, ἀλλὰ πτώσσειν κατὰ δῆμον
βούλεαι, ὄφρα κ' ἔχῃς βόσκειν σὴν γαστέρ' ἄναλτον."
τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
„Εὐρύμαχ', εἰ γὰρ νῶιν ἔρις Ϝέργοιο γένοιτο
ὥρῃ Ϝεαρινῇ, ὅτε τ' ἤματα μακρὰ πέλονται, 367 = χ 301 367ᵃ = *B* 471

344 εἱστήκειν] ἑστήκει(ν) mss. complura.
345 ἀτέλεστ' ἐγένοντο] -στα γ. mss.
346 εἴα' § 191] εἴα mss.
348 δυίη § 114] δύη (δύῃ) mss. || Λαερτιάδην Ὀδυσῆα G M² U] -δεω Ὀδυσῆος mss. cetera; cf. υ 286.
349 ἦρχ' ἀγορεύειν] ἀντίον ηὔδα Y.
350 γέλον § 63] γέλω(ν) mss. || ἑτάροισιν] ἄρα τοῖσιν P H M mss. alia. || ἔτευχε G X D U²] ἔχευε F, ἔτευξε(ν) P H M mss. alia.
351 *μοι] μευ mss.; vid. § 92 et ad *A* 37.
352] in marg. habet U². || ἔσπω § 246] εἴπω mss.; cf. *H* 68. || κελεύει] l. a. ἀνώγει.
353 ἀθεϊ vHerwerden] ἀθεεὶ mss. Adv. † (= θεῶν ἀϜέκητι); cf. ἀναιμωτί (*P* 363 etc.).
354 ἔμπης] *perpetuo, prorsus*; cf. τ 37. Deridetur calvum Ulixis caput (cf. ν 431) sub luce λαμπτήρων, quibus adstat, resplendens. || αὐτοῦ] pronomen? Si adverbium est, leg. αὖθι (cf. § 322).
355 κὰκ Barnes] καὶ mss.; cf. δ 72. || ἔνι] ἔπι U. || ἦ βαιαί § 2] ἠβαιαί mss.
356 πτολίπορθον] μεγάθυμον U.
357 θητευέμεν'] vid. ad *Φ* 444.
358 sq.] ordine inverso collocat vHerwerden, vs. 358 del. Hentze, vs. 359 Peppmueller.
358 ἄρκιος] vid. ad *B* 393.
359 αἱμασιάς] vox redit ω 224, ubi vid.; recte veteres interpretati sunt *lapillos* (hinc maceriam inde confectam).
361 ὑποδήματα] cf. ο 369.
362 κάκ' ἔμμαθες] vid. ad ρ 226.
364 ὄφρα κ' § 326] ὄφρ' ἂν mss. || ἄναλτον] vid. ad ρ 228.
367 ὥρῃ Bentley] ὥρῃ ἐν mss. || Ϝεαρινῇ § 21] εἰαρινῇ mss.

ἐν ποίῃ· δρέπανον μὲν ἐγὼν ἐυκαμπὲς ἔχοιμι,
καὶ δὲ σὺ τοῖον ἔχοις, ἵνα πειρησαίμεθα ϝέργου
νήστιες ἄχρι μάλα κνέφαος, ποίη δὲ παρείη.
εἰ δ' αὖ καὶ βόες εἶεν ἐλαυνέμεν', ὤ περ ἀρίστω,
αἴθωνε μεγάλω, ἄμφω κεκορηότε ποίης,
ἥλικε ϝισοφόρω, τῶν τε σθένος οὐκ ἀλαπαδνόν, 373b = Ε 783
τετράγυον δ' εἴη, ϝείκοι δ' ὑπὸ βῶλος ἀρότρῳ·
τῷ κε ϝίδοις εἰ ϝόλκα διηνεκέα προταμοίμην.
εἰ δ' αὖ καὶ πόλεμόν ποθεν ὁρμήσειε Κρονίων
σήμερον, αὐτὰρ ἐμοὶ σάκος εἴη καὶ δύο δοῦρε
καὶ κυνέη πάγχαλκος ἐπὶ κροτάφοισ' ἀραρυῖα· 378 = χ 102
τῷ κε ϝίδοις πρώτοισιν ἐνὶ προμάχοισι μιγέντα
οὐδέ κέ μοι τὴν γαστέρ' ὀνειδίζων ἀγορεύοις.
ἀλλὰ μάλ' ὑβρίζεις καί τοι νόος ἐστὶν ἀπηνής· 381b cf. Π 35
καί ποθί τις δοκέεις μέγας ἔμμεναι ἠδὲ κραταιός,
οὕνεκ' ἀφαυροτέροισι καὶ οὐτιδανοῖσιν ὁμιλεῖς.
εἰ δ' Ὀδυσεὺς ἔλθοι καὶ ἵκοιτ' εἰς πατρίδα γαῖαν, 384 = ρ 539
αἶψά κέ τοι τὰ θύρετρα καὶ εὐρέα περ μάλ' ἐόντα
φεύγοντι στείνοιτο δι' ἐκ προθύροιο θύραζε."
ὣς ἔφατ'· Εὐρύμαχος δὲ 'χολώσατο κηρόθι μᾶλλον 387 cf. ρ 458
καί μιν ὑπόδρα ϝιδὼν ϝέπεα πτερόεντα προσηύδα· 388 = ρ 459
„ἆ δϝείλ', ἦ τάχα τοι τελέω κακόν, οἷ' ἀγορεύεις
θαρσαλέως πολλοῖσι μετ' ἀνδράσιν, οὐδέ τι θυμῷ 390-392 = 330 sqq.

368 *δρέπανον*] †, vid. ad Σ 551. ‖ *ἐυκαμπὲς*] adi. redit φ 6 h. XXVI 12.
369 *πειρησαίμεθα*] *-σώμεθα* M.
370 *κνέφαος*] *-φέος* G¹ D U², cf. § 72.
371 *ὤ περ ἀρίστω* G] *οἵ περ ἄριστοι* mss. cett.
372 **αἴθωνε μεγάλω*] *-νες -λοι* mss.
373 *ἥλικε ϝισοφόρω* Bekker] *ἥλικες ἰσοφόροι* mss. Utrumque adi. †; cum priore cf. *ὁμῆλιξ* Ι 54 etc., *ἡλικίη* Π 808 Χ 419, *ἐϝέτης* Β 765, *ὁμηλικίη* Γ 175 etc.
374 *τετράγυον*] *quatuor iugerum*; cf. η 113. ‖ *βῶλος*] *χῶρος* G H² U¹. Subst. *βῶλος* †.
375 *κε* PKnight] *κέ μ'* mss. ‖ *ϝόλκα* Fick] *ὦλκα* mss.; cf. Ν 707.
378 *πάγχαλκος*] adi. redit χ 102, cf. *παγχάλκεος* Υ 102 θ 403 λ 575.
379 *κε* PKnight] *κεν* P, *κέ μ'* mss. cetera. ‖ *μιγέντα*] *φανέντα* U.
380 *οὐδέ κέ* § 326] *οὐδ' ἄν* mss.
382 *ποθί* § 322] *πού* mss. ‖ *δοκέεις*] cf. Η 192.
383 *οὕνεκ' ἀφαυροτέροισι* vHerwerden coll. Η 235 Ο 11 υ 110] *οὕνεκα παυροτέροισι* U¹, *οὕνεκα πὰρ* (*περ* H² i, *δή* G) *παύροισι* mss. cetera. Verbum *ὁμιλέειν* non admittit praepositionem *παρά*, comparativo autem *παυρότεροι* (cf. Β 122 Θ 56 etc.) hic non est locus. ‖ *οὐτιδανοῖσιν* G U] *οὐκ ἀγαθοῖσιν* mss. cett.; adi. *οὐτιδανός* extat Α 231, 293 Λ 390 θ 209 ι 460, 515.
386 *προθύροιο*] *μεγάροιο* Rhianus X mss. alia.
388 *ϝέπεα πτερόεντα προσηύδα*] *χαλεπῷ ἠνίπαπε μύθῳ* n (ut Β 245).
389 *οἷ' ἀγορεύεις*] vid. ad Σ 95.
390-393] del. PKnight, vs. 393 Bekker.
390 *θαρσαλέως*] *-λέος* G H¹ L.

ταρβεῖς. ἦ ῥά σε ϝοῖνος ἔχει φρένας; ἦ νύ τοι αἰεὶ
τοιοῦτος νόος ἐστίν, ὃ καὶ μεταμώνια βάζεις;"
ὣς ἄρα φωνήσας σφέλας ἔλλαβεν· αὐτὰρ Ὀδυσσεὺς
Ἀμφινόμου πρὸς γοῦνα καθέζετο Δουλιχιῆος
Εὐρύμαχον δϝείσας. ὃ δὲ ϝοινοχόον 'βάλε χεῖρα
δεξιτερήν· πρόχοος δὲ χαμαὶ 'βόμβησε πεσοῦσα, 397b = Ν 530
αὐτὰρ ὃ γ' οἰμώξας ἔπεσ' ὕπτιος ἐν κονίῃσι.
μνηστῆρες δ' ὁμάδησαν ἀνὰ μέγαρα σκιόεντα, 399 = α 365
ὧδε δέ τις 'ϝείπεσκε ϝιδὼν εἰς πλησίον ἄλλον· 400 = Β 271
„αἴθ' ὤφειλ' ὁ ξεῖνος ἀλώμενος ἄλλοθ' ὀλέσθαι
πρὶν ἐλθεῖν· τῷ κ' οὔ τι τόσον κέλαδον μετέθηκε.
νῦν δὲ περὶ πτωχῶν ἐριδαίνομεν, οὐδέ τι δαιτὸς 403b sq. = Α 575 sq.
ἐσθλῆς ἔσσεται ἦδος, ἐπεὶ τὰ χερείονα νικᾷ."
τοῖσι δὲ καὶ μετέϝειφ' ἱερὴ ϝὶς Τηλεμάχοιο· 405 = β 409
„δαιμόνιοι, μαίνεσθε καὶ οὐκέτι κεύθετε θυμῷ
βρωτὺν οὐδὲ ποτῆτα· θεῶν νύ τις ὔμμας ὀρίνει.
ἀλλ' εὖ δαισάμενοι κατακείετε ϝοίκαδ' ἰόντες,
ὁππότε θυμὸς ἄνωγε· διώκω δ' οὔ τιν' ἐγώ γε."
ὣς ἔφαθ'· οἳ δ' ἄρα πάντες ὀδὰξ ἐν χείλεσι φύντες 410 sq. = α 381 sq.
Τηλέμαχον 'θαύμαζον, ὃ θαρσαλέως ἀγόρευε.
τοῖσιν δ' Ἀμφίνομος ἀγορήσατο καὶ μετέϝειπε· 412 = π 394
„ὦ φίλοι, οὐ κεν δή τις ἐπὶ ῥηθέντι δικαίῳ 414 sq. = υ 322 sq.
ἀντιβίοισι ϝέπεσσι καθαπτόμενος χαλεπαίνοι.

393 *ἦ ἀλύεις, ὅτι ϝῖρον ἐνίκησας τὸν ἀλήτην;* 393 = 333
413 *Νίσου φαίδιμος υἱὸς Ἀρητιάδαο ϝάνακτος.* 413 = π 395
416 *μήτε τι τὸν ξεῖνον στυφελίζετε μήτε τιν' ἄλλον* 416 sq. = υ 324 sq.
δμώων, οἳ κατὰ δώματ' Ὀδυσσῆος θείοιο. 416b sq. = ρ 401 sq.

391 *ταρβεῖς*] cf. § 7 et 191.
392 *μεταμώνια*] *-λια* F H² M² n mss. alia; cf. β 98.
393] om. G F X D U n.
394 *σφέλας*] cf. ρ 231.
396 *δὲ* Bentley] *δ' ἄρ'* mss.
398] del. vHerwerden coll. vs. 418. ‖ **ἔπεσ'*] *πέσεν* mss. ‖ *κονίῃσι*] vid. ad δ 627.
401 *ὤφειλ'* § 273] *ὤφελλ'* mss.
402 *τόσον*] *πολὺν* G F. ‖ *μετέθηκε(ν)*] sic Ar., *μεθέηκε* (*μεθῆκεν* P) mss.
403 sq.] del. Duentzer.
404 *ἦδος*] vid. ad Α 576.
405 *μετέϝειφ'*] *μετέφη* X D Z k.
406 *οὐκέτι — ποτῆτα*] *iam celare non potestis (nimiam) epulationem et potionem.*
407 **ὔμμας ὀρίνει*] *ὔμμ'* vel *ὔμμ' ὀροθύνει* mss. non recte de pluribus; cf. ν 357 ω 109 et § 92.
409] del. PKnight. ‖ *ὁππότε*] *εἴ ποτε* H. ‖ *ἄνωγε*] alienum hinc est imperfectum (cf. § 225); **ἀνώγῃ· ἐγὼ δ' οὐκ ἄρ τι διώκω?*
413] habent F P, om. mss. pleraque.
414 *οὔ κεν* § 326] *οὐκ ἂν* mss.
415 *ἀντιβίοισι ϝέπεσσι*] *-οις ἐπέεσσι* mss.
416 sq.] del. Duentzer.

ἀλλ' ἄγε, Ϝοινοχόος μὲν ἐπαρξάσθω δεπάεσσι, 418 sq.ª = φ 263 sq.
ὄφρα σπείσαντες κατακείομεν οἶκαδ' ἰόντες· 419ᵇ cf. η 188
τὸν ξεῖνον δ' ἐάωμεν ἐνὶ μεγάροισ' Ὀδυσῆος
Τηλεμάχῳ μελέμεν· τοῦ γὰρ φίλον ἵκετο δῶμα."
ὣς 'φάτο, τοῖσι δὲ πᾶσι ϜεϜαδότα μῦθον ἔϜειπε. 422 = Ι 173
τοῖσιν δὲ κρητῆρα 'κεράσσατο Μώλιος ἥρως,
κῆρυξ Δουλιχιεύς· θεράπων δ' ἦν Ἀμφινόμοιο·
'νώμησεν δ' ἄρα πᾶσιν ἐπισταδόν· οἳ δὲ θεοῖσι 425 = ν 54
σπείσαντες μακάρεσσι 'πίον μελιϜηδέα Ϝοῖνον. 426ª cf. ν 55
αὐτὰρ ἐπεὶ 'σπεῖσάν τε 'πίον θ' ὅσον ἤθελε θυμός, 427 = Ι 177
'βάν ῥ' ἴμεναι κείοντες ἐϜὸν πρὸς δῶμα Ϝέκαστος.

418] vid. ad Λ 471. ‖ ἄγε X D Z k] ἄγετ' mss. cett.

419 κατακείομεν οἶκαδ'] Ϝ neglectum, Fick κείωμεν Ϝοίκαδ'; subiunctivus verbi (futuri) κείω non extat, conferri tamen potest imperativus η 188 σ 408. De indicativo futuri post ὄφρα vid. ad δ 163.

420 δ' ἐάωμεν § 191] δὲ ἐῶμεν vel δ' εἰῶμεν mss. ‖ μεγάροισ' Ὀδυσῆος] -ροισιν ἔκηλον Rhianus, quod perplacet si deleatur vs. 421; vid. ad Υ 312.

421 μελέμεν] vid. § 126.

423 Μώλιος Nauck] Μούλιος mss.; cf. Λ 739

424 ἦν] ἔεν? cf. § 302.

426 σπείσαντες] λείψαντες G F X.

428 ῥ'] δ' mss. multa. ‖ ἴμεναι] ἰέναι X. ‖ ἐϜὸν πρὸς δῶμα Bekker] ἑὰ πρὸς δώμαθ' mss.; vid. ad Ω 1 β 258.

ΟΔΥΣΣΕΙΑΣ τ.

Ὀδυσσέως καὶ Πηνελόπης ὁμιλία (vs. 1-316). — *Τὰ νίπτρα* (vs. 317 sqq.).

αὐτὰρ ὃ ἐν μεγάρῳ ὑπελείπετο δῖος Ὀδυσσεὺς 1 sq. = 51 sq.
μνηστήρεσσι φόνον σὺν Ἀθήνῃ μερμηρίζων. 1 = η 230
αἶψα δὲ Τηλέμαχον Ϝέπεα πτερόεντα προσηύδα· 3 = ρ 591
„Τηλέμαχε, χρὴ τεύχε' ἀρήια κατθέμεν' εἴσω
πάντα μάλ', αὐτὰρ μνηστῆρας μαλακοῖσι Ϝέπεσσι 5-9 = π 286 sqq.
παρφάσθαι, ὅτε κέν σε μεταλλῶσιν ποθέοντες·
,ἐκ καπνοῦ κατέθηκ', ἐπεὶ οὐκέτι τοῖσ' ἐϜεϜοίκει,
οἷά ποτε Τροίηνδε κιὼν κατέλειπεν Ὀδυσσεύς,
ἀλλὰ κατηϜείκισται ὅσον πυρὸς ἵκετ' ἀυτμή.
πρὸς δ' ἔτι καὶ τόδε μεῖζον ἐνὶ φρεσὶν ἔμβαλε δαίμων, 10 cf. π 291
μή πως Ϝοινωθέντες, ἔριν στήσαντες ἐν ὑμῖν, 11-13 = π 292 sqq.
ἀλλήλους τρώσητε καταισχύνητέ τε δαῖτα
καὶ μνηστύν· αὐτὸς γὰρ ἐφέλκεται ἄνδρα σίδηρος."
ὣς 'φάτο· Τηλέμαχος δὲ φίλῳ ἐπεπείθετο πατρί, 14 = χ 108, 393
ἐκ δὲ καλεσσάμενος προσέφη τροφὸν Εὐρυκλέειαν· 15 = φ 380
„μαῖ', ἄγε δή μοι ἔρυξον ἐνὶ μεγάροισι γυναῖκας,

---

1 ὃ] *ὅς? alii ὅ γ', vid. § 15.

2 σὺν Ἀθήνῃ μερμηρίζων] metrum ingratum; cf. tamen β 325.

3-52] hos versus del. Duentzer, diasceuastae probabiliter tribuit Kirchhoff. Ipse poeta non finxerat Ulixem et filium arma, quae hactenus per conclave suspensa fuissent, furtim absportasse, sed in cubiculo et arcum Ulixis et cetera eius arma iampridem iacuisse seposita (vid. ad π 281-298 χ 99-125).

5-13] vid. ad π 286 sqq.

7-13] del. Bothe.

10 ἐνί] *ἐμοί? Non recte dicitur ἐνὶ ... ἔμβαλε, vitium autem natum videtur e l. a. ἐνὶ φρεσὶ θῆκε Κρονίων (ut loco par.); diasceuastae imputat Kirchhoff.

15 Εὐρυκλέειαν § 73] -κλειαν mss.

ὄφρα κεν εἰς θάλαμον καταθήομαι ἔντεα πατρὸς
καλά, τά μοι κατὰ Ϝοῖκον ἀκηδέα καπνὸς ἀμέρδει
πατρὸς ἀποιχομένοιο· ἐγὼ δ' ἔτι νήπιος ἦα. 19^{b} = β 313
νῦν δ' ἐθέλω καταθέσθαι ἵν' οὐ πυρὸς ἵξετ' ἀυτμή."
τὸν δ' αὖτε προσέϜειπε φίλη τροφὸς Εὐρυκλέεια· 21 = χ 419, 485 cf. δ 742
„αἲ γὰρ δή ποτε, τέκνον, ἐπιφροσύνας ἀνέλοιο
Ϝοίκου κήδεσθαι καὶ κτήματα πάντα φυλάσσειν.
ἀλλ' ἄγε, τίς τοι ἔπειτα μετοιχομένη φάος οἴσει;
δμῳὰς δ' οὐκ εἴας προβλωσκέμεν', αἵ κεν ἔφαινον."
τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
„ξεῖνος ὅδ'· οὐ γὰρ ἀϜεργὸν ἀνέξομαι, ὅς κεν ἐμῆς γε
χοίνικος ἅπτηται καὶ τηλόθεν εἰληλουθώς."
ὣς ἄρ' ἐφώνησεν, τῇ δ' ἄπτερος ἔπλετο μῦθος· 29 sq. = φ 386 sq. 29 = ρ 57
'κλήισεν δὲ θύρας μεγάρων εὖ ναιεταόντων.
τὼ δ' ἄρ' ἀναΐξαντ' Ὀδυσεὺς καὶ φαίδιμος υἱὸς
εἰσφόρεον κόρυθάς τε καὶ ἀσπίδας ὀμφαλοέσσας 32 cf. Π 214
ἔγχεά τ' ὀξυόεντα· πάροιθε δὲ Παλλὰς Ἀθήνη
χρύσεον λύχνον ἔχουσα φάος περικαλλὲς ἐποίει.
δὴ τότε Τηλέμαχος προσεφώνεε Ϝὸν πατέρ' αἶψα· 35 cf. π 221
„ὦ πάτερ, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι. 36 cf. Ν 99

17 *καταθήομαι* § 122] *-θείομαι* mss. (*-θείομεν* U^{2} O n).
18 *ἀμέρδει*] cf. *Ν* 340.
19 sq.] del. PKnight.
20 *ἵξετ'*] *ἵκετ'* F M.
21 *Εὐρυκλέεια* § 73] *-κλεια* mss.
24 *μετοιχομένη*] aptum sensum non praebet; *μετοίχεσθαι* enim quid significet ex *Ε* 148 *Κ* 111 *Θ* 7, 47 apparet. Duentzer *μετοιχομένῳ*, nos **μετερχομένη*, vid. *Ζ* 86, ubi Eust. et Vrat. habent *μετοίχεο* pro *μετέρχεο*.
25 *εἴας*] *ἐάεις* PKnight. Vid. ad *Ε* 256. ‖ *κεν ἔφαινον*] *περ ἔφαινον* G, *κ' ἔφαινον* P; **κ' ἐφάεινον*? vid. σ 308, 343 etc.; brevius tamen verbum etiam η 102 sensu *lucem praebendi* occurrit, item *ἀναφαίνω*(?) σ 310.
27 *ἀϜεργὸν*] vid. ad ω 251.
28 *χοίνικος*] †; *cibum* significat, cf. *κοτύλη* de *potu* dictum *Χ* 494 ο 312 (ubi vid.) ρ 12; iure tamen observat Fick locutionem *χοίνικος ἅπτεσθαι* a dictione Homerica abhorrere. — In diurnum unius hominis alimentum sufficiebat *χοῖνιξ ἀλφίτων*; videantur Herod. VII 187, Thuc. IV 16, Aristoph. Vesp. 718 Lysistr. 1208, oraculum apud Athen. VI 272*b* etc.
29 *ἄπτερος*] vid. ad ρ 57.
30 *μεγάρων*] *θαλάμων* U.
31 *ἀναΐξαντ' Ὀδυσεὺς*] *-ξαντε πατὴρ* F.
32 *εἰσφόρεον*] vid. ad ζ 91; Hartman probabiliter *ἐκφόρεον*.
33 sq.] simili ministerio Venus fungitur apud Helenam *Γ* 424 sq.
34 *χρύσεον*] synizesis recentioris aevi indicium, cf. § 7 et § 61; *χρυσοῦ* Bothe. ‖ *λύχνον*] †; *lucernam* (cum myxa et oleo). Veteres h. l. *taedam* (*δαΐδα*) interpretati sunt, heroas enim oleo nonnisi ad corpus inunguendum uti fuisse solitos (vid. ad *Ρ* 53); sed poetam recentis huius loci (vid. ad vs. 3-52) veram lucernam intelligi voluisse non est cur negemus. ‖ *φάος*] l. a. *φόως*; cf. § 71. ‖ *ἐποίει*] **ἔτευχε*? cf. *Ν* 209 *Σ* 373 σ 350. Vid. tamen cetera quae ad hunc versum annotavimus.
35 *αἶψα*] vid. ad π 221.

ἔμπης μοι τοῖχοι μεγάρων καλαί τε μεσόδμαι 37 cf. υ 354
εἰλάτιναί τε δοκοὶ καὶ κίονες ὑψόσ' ἔχοντες
φαίνοντ' ὀφθαλμοῖσ' ὡς εἰ πυρὸς αἰθομένοιο. 39^{b} = Χ 150
ἦ μάλα τις θεὸς ἔνδον, οἳ οὐρανὸν εὐρὺν ἔχουσι." 40 cf. ζ 150
τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
„σίγαε καὶ κατὰ σὸν νόον ἴσχανε μηδ' ἐρέεινε·
αὕτη τοι δίκη ἐστὶ θεῶν, οἳ Ὄλυμπον ἔχουσι. 43^{a} cf. λ 218^{a} ω [255^{b}
ἀλλὰ σὺ μὲν κατάλεξαι, ἐγὼ δ' ὑπολείψομαι αὖθι, 44^{b} = ρ 276
ὄφρα κ' ἔτι δμῳὰς καὶ μητέρα σὴν ἐρεθίζω·
ἡ δέ μ' ὀδυρομένη εἰρήσεται ἀμφὶ Ϝέκαστα."
ὣς 'φάτο· Τηλέμαχος δὲ δι' ἐκ μεγάροι' ἐβεβήκει 47 = υ 144 cf. ρ 61
κείων εἰς θάλαμον δαΐδων ὕπο λαμπομενάων, 48^{b} = Σ 492
ἔνθα πάρος 'κοιμᾶθ', ὅτε μιν γλυκὺς ὕπνος ἱκάνοι· 49 = Λ 610
ἔνθ' ἄρα καὶ τότ' ἔλεκτο καὶ Ἠόα δῖαν ἔμιμνε. 50 cf. Ι 662
αὐτὰρ ὃ ἐν μεγάρῳ ὑπελείπετο δῖος Ὀδυσσεὺς 51 sq. = 1 sq.
μνηστήρεσσι φόνον σὺν Ἀθήνῃ μερμηρίζων.
ἡ δ' ἴεν ἐκ θαλάμοιο περίφρων Πηνελόπεια 53 sq. = ρ 36 sq.
Ἀρτέμιδι Ϝικέλη ἠὲ χρυσέῃ Ἀφροδίτῃ.
τῇ παρὰ μὲν κλισίην πυρὶ κάτθεσαν, ἔνθ' ἄρ' ἐφῖζε,

37 *ἔμπης*] cf. σ 354. ‖ *μεγάρων*] *μεγάλοι* G. ‖ *μεσόδμαι*] *-δναι* G (cf. ο 289 υ 354). Significantur *tecti tigna*, item υ 354 (cf. § 262); Ar. interpretabatur *intercolumnia*. In inscr. Att. IV^{i} saeculi a. C. (Dittenb. Syll. 352$^{48, 51, 53, 74, 78, 85}$) *μεσόμναι* (i. e. *μεσο-δμ-μναι*) dicuntur tigna transversa, quibus columnae sibi respondentes coniunguntur (aedis igitur faciei parallela); vid. etiam *'Εφημ. ἀρχ.* 1883 p. 3, 36. Trabem transversam, cui malus navis inseritur, indicat β 424 ο 289.
40 *οἳ*] *τοὶ* P H M (metro invito), *ἔνθα τοὶ* Nauck; vulgatam exhibet cento Homericus Memnonis statuae inscriptus (Epigramm. Kaibel 1009).
42 *σίγαε* § 191] *σίγα* mss.
44 *κατάλεξαι*] **κατάλεξο*? cf. v. l. vs. 598. Alias aut *λέξο* dicitur aut *λέξεο*; vid. tamen *Ι* 67. ‖ *αὖθι* § 322] *αὐτοῦ* (*αὐτὸς* M, *αὐτῇ* L W) mss.
45 *ἐρεθίζω*] suspectum ducit Hartman.
46 *ἀμφὶ* Bekker] *ἀμφὶς* mss.; cf. § 316.
47 *μεγάροι' ἐβεβήκει*] *-ροιο β.* mss.; cf. § 59.
50 *'Ηόα* § 77] *'Ηῶ* mss.
51 sq.] del. Bothe.
51 *ὃ*] **ὅς*? alii *ὅ γ'*, vid. § 15. ‖ *μεγάρῳ*] *-ροις* X D Z k, *-ροισιν* L W, *προδόμῳ* U.
52] vid. ad vs. 2.
54 *ἠὲ*] *ἠδὲ* mss. multa. ‖ *χρυσέῃ* § 18 et 61] *χρυσῇ* mss. ‖ Post hunc Bothe collocat versum 60, qui nobis suo loco legi videtur, sed cum Kirchhoffio suspicamur post versum 54 aliquid intercidisse huiuscemodi: *οὐκ οἴη· ἅμα τῇ γε καὶ ἀμφίπολοι δύ' ἕποντο* (ut α 331) vel *'κίον ἄλλαι* (ut τ 601), has autem mulieres τ 55 sellam ponere, τ 602 cubitum deducere reginam; nam quae vs. 60 dicuntur prodire *ἐκ μεγάροιο* (i. e. ex *mulierum conclavi*, nisi diasceuastam verba sine sensu scripsisse statuas cum Seeckio Quellen p. 33), non abeunt mox cum regina, sed υ 6 iterum commemorantur. Quamquam una certe ex his, Melantho, in cubiculo reginae adest cum haec hospitem interrogatura est (ρ 505 sqq.), mox autem procis ministrat cum aliis ancillis (σ 310 sqq.).
55 *κλισίην*] cf. δ 123. ‖ *κάτθεσαν*] scil. ancillae, vid. ad vs. 54.

δινωτὴν ἐλέφαντι καὶ ἀργύρῳ· ἥν ποτε τέκτων
'ποίησ' Ἰκμάλιος, καὶ ὑπὸ θρῆνυν πόσ' ἕηκε
προσφυέ' ἐξ αὐτῆς, ὅθ' ἐπὶ μέγα 'βάλλετο κῶας.
ἔνθα καθέζετ' ἔπειτα περίφρων Πηνελόπεια.
ἦλθον δὲ δμῳαὶ λευκώλενοι ἐκ μεγάροιο· 60 cf. σ 198
αἳ δ' ἀπὸ μὲν σῖτον πολὺν ἥρεον ἠδὲ τραπέζας
καὶ δέπα', ἔνθεν ἄρ' ἄνδρες ὑπερμενέοντες ἔπινον·
πῦρ δ' ἀπὸ λαμπτήρων χαμάδις 'βάλον, ἄλλα δ' ἐπ' αὐτῶν
'νήησαν ξύλα πολλά, φάος ἔμεν' ἠδὲ θέρεσθαι.
ἡ δ' Ὀδυσῆ' ἐνένιπε Μελανθὼ δεύτερον αὖτις·
„ξεῖν', ἔτι καὶ νῦν ἐνθάδ' ἀνιήσεις διὰ νύκτα 66 cf. υ 178
δινεύων κατὰ Ϝοῖκον, ὀπιπεύσεις δὲ γυναῖκας;
ἀλλ' ἔξελθε θύραζε, τάλαν, καὶ δαιτὸς ὄνησο·
ἢ τάχα καὶ δαλῷ βεβλημένος εἶσθα θύραζε.“
τὴν δ' ἄρ' ὑπόδρα Ϝιδὼν προσέφη πολύμητις Ὀδυσσεύς·
„δαιμονίη, τί μοι ὧδ' ἐπέχεις κεκοτηότι θυμῷ;
ἦ ὅτι δὴ ῥυπάω, κακὰ δὲ χροῒ Ϝείματα Ϝεῖμαι, 72 cf. ψ 115; 72^b cf. λ 191
πτωχεύω δ' ἀνὰ δῆμον; ἀναγκαίη γὰρ ἐπείγει. 73^b = Z 85
τοιοῦτοι πτωχοὶ καὶ ἀλήμονες ἄνδρες ἔασι.
καὶ γὰρ ἐγώ ποτε Ϝοῖκον ἐν ἀνθρώποισιν ἔναιον 75-80 = ρ 419 sqq.
ὄλβιος ἀφνειόν, καὶ πολλάκι 'δόσκον ἀλήτῃ
τοίῳ, ὁποῖος ἔοι καὶ ὅτευ κεχρημένος ἔλθοι·
ἦσαν δὲ δμῶες μάλα μυρίοι ἄλλα τε πολλά,
οἷσί τ' ἐὺ ζώουσι καὶ ἀφνειοὶ καλέονται.

56 δινωτὴν] cf. Γ 391.
57 θρῆνυν] θρῆνυς F. || *πόσ' ἕηκε] ποσὶν ἧκε(ν) mss. (ἧεν F).
58 προσφυέ'] †, cf. part. προσφύς Ω 213 μ 433, ἐμπεφυυῖα Α 513. In P est προσφυὲς, fortasse igitur fuit l. a. θρῆνυς . . . ἧεν | προσφύς.
60] del. Kirchhoff; vid. ad vs. 54. || δὲ δμῳαὶ] δ' ἀμφίπολοι (ut σ 198) criticus apud Nauckium.
61 ἥρεον] Ar. αἴρεον? (obloquitur Ludwich Arist. I p. 625).
62 δέπα' P] δέπα mss. cett.; cf. § 72. || ἔνθεν ἄρ'] ἔνθα μὲν P. || ὑπερμενέοντες] †, cf. ὑπερμενής Β 350, 403 Θ 236 etc.
63 λαμπτήρων] vid. ad σ 307.
64 φάος § 71] φάος τ' Et. Magn. 565,39, φόος G P, φόως mss. pleraque.
65-95] diasceuastae tribuit Meister.
67 ὀπιπεύσεις H U^1] ὀπιπεύεις F Y, ὀπιπτεύσεις P X. De verbo vid. ad Δ 371.
68 τάλαν] vid. σ 327.
69 δαλῷ] vid. ad Ν 320.
72 ὅτι δὴ] ὅττι G. || δὴ ῥυπάω, κακὰ δὲ] τοι ῥυπαρὰ κατὰ F vitiose. || δὴ ῥυπάω § 191] δὴ ῥυπόω mss. pleraque, οὐ λιπόω (i. e. οὐ λιπάω) H^2 U n Eust. non male (λιπάω non redit, sed cf. λιπαρός).
73 ἐπείγει] ἱκάνει G (cf. ζ 136).
74] del. Duentzer, ante vs. 73 collocat vHerwerden. || ἀλήμονες] cf. ρ 376.
75-80] del. Kirchhoff, at vid. τῷ vs. 81.
77] om. D Z k, del. PKnight; verba corrupta. || ἔοι] ἔην G. || ὅτευ] vid. ad ρ 421.
78 δμῶες . . . μυρίοι] μυρίαι P X mss. alia; fuitne l. a. δμῶαι (sic l) . . . μυρίαι?
79 οἷσί τ' ἐὺ] οἷσίν τ' εὖ mss.

ἀλλὰ Ζεὺς ἀλάπαξε Κρονίων· ἤθελε γάρ που.
τῷ νῦν μή ποτε καὶ σύ, γύναι, ἀπὸ πᾶσαν ὀλέσσῃς
ἀγλαΐην, τῇ νῦν γε μετὰ δμῳῇσι κέκασσαι,
εἴ πώς τοι δέσποινα κοτεσσαμένη χαλεπήνῃ 83^b cf. Π 386
ἢ Ὀδυσεὺς ἔλθῃ· ἔτι γὰρ καὶ Ϝελπίδος αἶσα. 84^b = π 101
εἰ δ' ὃ μὲν ὣς ἀπόλωλε καὶ οὐκέτι νόστιμός ἐστι, 85^b cf. δ 806
ἀλλ' ἤδη παῖς τοῖος Ἀπόλλωνός γε Ϝέκητι
Τηλέμαχος· τὸν δ' οὔ τις ἐνὶ μεγάροισι γυναικῶν
λήθει ἀτασθάλλουσ', ἐπεὶ οὐκέτι τηλίκος ἐστί.“ 88^b cf. α 297
ὣς 'φάτο· τοῦ δ' ἤκουσε περίφρων Πηνελόπεια,
ἀμφίπολον δ' ἐνένιπε Ϝέπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε· 90 cf. Ο 552
„πάντως, θαρσαλέη, κύον ἀδϜεές, οὔ τί με λήθεις
Ϝέρδουσα μέγα Ϝέργον, ὃ σῇ κεφαλῇ ἀναμάξεις.
πάντα γὰρ εὖ 'Ϝείδησθ', ἐπεὶ ἐξ ἐμέ' ἔκλυες αὐτῆς,
ὡς τὸν ξεῖνον ἔμελλον ἐνὶ μεγάροισιν ἐμοῖσι
ἀμφὶ πόσι εἴρεσθαι, ἐπεὶ πυκινῶς ἀκάχημαι.“
ἦ ῥα, καὶ Εὐρυνόμην ταμίην πρὸς μῦθον ἔϜειπε·
„Εὐρυνόμη, φέρε δὴ δίφρον καὶ κῶας ἐπ' αὐτοῦ,
ὄφρα καθεζόμενος Ϝείπῃ Ϝέπος ἠδ' ἐπακούσῃ
ὃ ξεῖνος ἐμέθεν· ἐθέλω δέ μιν ἐξερέεσθαι.“
ὣς ἔφαθ'· ἣ δὲ μάλ' ὀτραλέως κατέθηκε φέρουσα
δίφρον ἐὺ ξεστὸν καὶ ἐπ' αὐτῷ κῶας ἔβαλλε·
ἔνθα καθέζετ' ἔπειτα πολύτλας δῖος Ὀδυσσεύς.
τοῖσι δὲ μύθων ἦρχε περίφρων Πηνελόπεια· 103 = 508

80] del. Fick. || Ζεὺς] *Ζεύς μ'?
81 sq.] *cave igitur ne et ipsa aliquando ad egestatem detrudaris.*
81 πᾶσαν] πάμπαν H^2 (cf. β 49).
82 ἀγλαΐην, τῇ] ἀγλαΐας, τῆς Apoll. lex.; vid. ad ρ 244. || τῇ] τὴν F H^2 U W.
83 εἴ § 326] ἤν Ar., μή mss. (cf. ε 147 Α 26 sqq.).
84 ἔλθῃ F U] ἔλθοι mss. multa, ἐλθὼν probabiliter vHerwerden.
85 ὣς ἀπόλωλε] αὐτὸς ὄλωλε vHerwerden. || οὐκέτι] vid. ad Γ 289.
86 ἀλλ' — τοῖος] ἀλλὰ πάις τοιόσδε Nauck.
88 ἀτασθάλλουσ'] vid. σ 57.
91 κύον ἀδϜεὲς] cf. Θ 423.
92 ἀναμάξεις] †, *lues*, cf. Herod. I 155 ἐγώ τε ἔπρηξα καὶ ἐγὼ κεφαλῇ ἀναμάξας φέρω.
92 Ϝέρδουσα μέγα Ϝέργον] *contumelia afficiens hospitem, quem ego alloquio meo dignum habeam.*
93 εὖ εἴδησθ' U] εὖ ἤδησθ' mss. pleraque; an *εὐείδησθ' (i. e. ἐϜϜείδησθ') una voce? cf. Χ 280. || ἐμέ' § 92] ἐμεῦ mss.
95 πόσι] novicium pro πόσιι, cf. ρ 555 et § 74. || εἴρεσθαι] requiritur *futurum*, vid. § 107; ἐρέεσθαι (formam futuri non traditam sed bene formatam) Leaf ad Ψ 773; an *ὡς τόνδ' ἀμφ' Ὀδυσῆι ἐνὶ μεγάροισιν ἐμοῖσι | εἰρήσεσθαι ἔμελλον?
99 ξεῖνος ἐμέθεν] hoc uno loco Homerico duas deinceps syllabas breves vi ictus produci observat Hartel.
101 αὐτῷ] αὐτοῦ P H mss. alia; αὐτόο? cf. § 59.

„ξεῖνε, τὸ μέν σε πρῶτον ἐγὼν εἰρήσομαι αὐτή· 104 cf. 509 [sq.
τίς πόθεν ἔσσ' ἀνδρῶν; πόθι τοι πόλις ἠδὲ τοκῆες;“ 104 sq.ª = η 237 105 = α 170
τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
„ὦ γύναι, οὔ κέν τίς σε βροτῶν ἐπ' ἀπείρονα γαῖαν
νεικέοι· ἦ γάρ σὸν κλέος οὐρανὸν εὐρὺν ἱκάνει,
ὥς τέ τινος βασιλῆος ἀμύμονος, ὅς τε θεοδϝὴς
ἀνδράσιν ἒν πολλοῖσι καὶ ἰφθίμοισι ϝανάσσων 110 cf. ω 26
εὐδικίας ἀνέχῃσι, φέρῃσι δὲ γαῖα μέλαινα
πυροὺς καὶ κριθάς, βρίθῃσι δὲ δένδρεα καρπῷ,
τίκτῃ δ' ἔμπεδα μῆλα, θάλασσα δὲ παρέχῃ ἰχθῦς
ἐξ ἐυηγρεσίης, ἀρετῶσι δὲ λαοὶ ὑπ' αὐτοῦ.
τῷ ἐμὲ νῦν τὰ μὲν ἄλλα μετάλλαε σῷ ἐνὶ ϝοίκῳ,
μηδ' ἐμὸν ἐξερέεινε γένος καὶ πατρίδα γαῖαν,
μή μοι μᾶλλον θυμὸν ἐνιπλήσῃς ὀδυνάων
μνησαμένῳ. μάλα δ' εἰμὶ πολύστονος· οὐδέ τί με χρὴ
ϝοίκῳ ἒν ἀλλοτρίῳ γοάοντά τε μυρόμενόν τε 119ᵇ cf. Z 373
ἧσθαι, ἐπεὶ κάκιον πενθήμεναι ἄκριτον αἰεί· 120 cf. σ 174
μή τίς μοι δμώων νεμεσήσεται, ἠὲ σύ γ' αὐτή, 121ª cf. P 93
φῇ δὲ δακρυπλώειν βεβαρηότα με φρένα ϝοίνῳ.“

104] ante hunc versum nonnulla intercidisse putat Seeck. ‖ *αὐτή*] *ἄντην* Bothe, quod non videtur necessarium; redit locutio η 237 τ 509.

105 *ἔσσ'* § 302] *εἰς* (*εἶσ'* H²) mss.

106-171] del. Duentzer, vs. 106-164 Volkmann.

107 *οὔ κέν* § 326] *οὐκ ἄν* mss.

108 **σὸν*] *σευ* mss., *σοι* l. a. apud Eust.; vid. § 92 et ad ε 311.

109-114] del. Ahrens, item Friedlaender, ante vs. 115 nonnulla intercidisse ratus, unde apparuerit cur Ulixes de nomine aut patria interrogari nolit. Fick del. vs. 110 et 114.

109 **τινος*] *τευ ἤ* mss. vitiose; Bekker *τευ ἤ* (cf. γ 348). ‖ *θεοδϝὴς*] *θεουδὴς* mss.

110] om. Plat. Rep. II 363 *b*, Plut. Mor. 780 *f*, Themist. or. XV 189 *a*.

111-114] cf. Hes. Oper. 225 sqq.

111 *εὐδικίας*] † (sed vid. ad ρ 487).

113] del. Grashof. ‖ *τίκτῃ* M² U n] *τίκτει* mss. pleraque. ‖ *ἔμπεδα*] *ἄσπετα* Rhianus. ‖ *μῆλα*] *πάντα* Ar. U i Themist. l. l. ‖ *παρέχῃ*] *παρέχει* F H X mss. alia. De prima syllaba producta vid. § 44.

114 *ἐυηγρεσίης* (*εὐαγρ.*) Toup] *εὐηγεσίης* Ar., id interpretatus *εὐαρχίας*, cf. Apoll. lex.; sic aut *εὐεργεσίης εὐηργεσίης εὐεργασίης* mss. Vox †; vid. Toup Emend. in Suid. II p. 12, eandem Valckenaer ad Röv. p. 22 restituit Theocrito in fr. Berenic. 1 (apud Athen. VII p. 284 *a*). ‖ *ἀρετῶσι*] cf. ϑ 329. ‖ *αὐτοῦ*] -*τῷ* U¹ n, *αὐτῆς* G.

115 *μετάλλαε* § 191] -*λλα* mss.

116 *μηδ' ἐμὸν*] *μηδέ μοι* Ar., *μηδ' ἐμοὶ* G.

119 *γοάοντα* § 191] *γοόωντα* mss.

120 *πενθήμεναι*] cf. § 195.

121 sq.] del. Fick, unum vs. 122 (de quo vid. infra) PKnight.

121 *δμώων* X¹ D] *δμῳῶν* Ar. Herodian. mss. pleraque (non recte pro *δμῳάων*, vid. § 56), *Δαναῶν* P U (ut *P* 93). Vid. ad *T* 333. ‖ *ἠὲ σύ γ'*] *ἤ σύ περ* M.

122] om. U¹, in marg. habet G, scribens *φῇ δέ με δακρυπλώειν βεβαρημένον ὕπνῳ*. Apud Aristot. Probl. 30, 1 sic affertur: *καί μέ φησι δάκρυ πλώειν βεβαρημένον οἴνῳ* (cf. γ 139). ‖ *φῇ*] novicium, cf. § 122. Expectatur *φήῃ*, vel potius **φήῃς*, nam non quid famulus aliquis sed quid ipsa regina de se sentiat curare debet mendicus; vHerwerden *φήῃς δάκρυ χέειν*. ‖ *δακρυπλώειν*] †; non recte corripitur *δα*-, vid. § 25. ‖ *φρένα* Bentley] *φρένας* mss.

τὸν δ' ἠμείβετ' ἔπειτα περίφρων Πηνελόπεια·
„ξεῖν', ἦ τοι μὲν ἐμὴν ἀρετὴν ϝεῖδός τε δέμας τε 124 cf. σ 251 124ᵇ = ϑ 116
ὤλεσαν ἀθάνατοι, ὅτε ϝίλιον εἲς ἀνέβαινον 125-129 = σ 252 sqq
Ἀργέιοι, μετὰ τοῖσι δ' ἐμὸς πόσις ἦι' Ὀδυσσεύς.
εἰ κεῖνός γ' ἐλθὼν τὸν ἐμὸν βίον ἀμφιπολεύοι,
μεῖζόν κε κλέος εἴη ἐμὸν καὶ κάλλιον οὕτω.
νῦν δ' ἄχομαι· τόσα γάρ μοι ἐπέσσευεν κακὰ δαίμων.
ὅσσοι γὰρ νήσοισιν ἔπι κρατέουσιν ἄριστοι, 130 sq. = α 245 sq
Δουλιχίῳ τε Σάμῃ τε καὶ ὑλήεντι Ζακύνθῳ,
οἵ τ' αὐτὴν Ἰθάκην ἐυδήελον ἀμφινέμονται, 132 sq. cf. α 247 sq.
οἵ μ' ἀϝεκαζομένην μνῶνται, τρύχουσι δὲ ϝοῖκον.
τῷ οὔτε ξείνων ἐμπάζομαι οὔθ' ἱκετάων
οὔτε τι κηρύκων, οἳ δημιοϝεργοὶ ἔασι· 135ᵇ = ρ 383
ἀλλὰ φίλον ποθέουσα πόσιν κατατήκομαι ἦτορ.
οἳ δὲ γάμον σπεύδουσιν· ἐγὼ δὲ δόλους τολυπεύω.
φᾶρος μέν μοι πρῶτον ἐνέπνευσε φρεσὶ δαίμων
στησαμένῃ μέγαν ἱστὸν ἐνὶ μεγάροισιν ὑφαίνειν, 139 sq. cf. β 94 sq.
λεπτὸν καὶ περίμετρον· ἄφαρ δέ σφιν μετέϝειπον·
‚κοῦροι, ἐμοὶ μνηστῆρες, ἐπεὶ 'θάνε δῖος Ὀδυσσεύς, 141-147 = β 96 sqq.
μίμνετ' ἐπειγόμενοί περ ἐμὸν γάμον, εἰς ὅ κε φᾶρος
ἐκτελέσω, μή μοι μεταμώνια νήματ' ὄληται,
Λαέρτῃ ἥρωι ταφήιον, εἰς ὅτε κέν μιν
μοῖρ' ὀλοὴ καθέλῃσι τανηλεγέος θανάτοιο·
μή τίς μοι κατὰ δῆμον Ἀχαιιάδων νεμεσήσῃ,

130-133 Ar. — (in plerisque ne lectos quidem fuisse refert Didymus).

124-129] vid. ad σ 251 sqq.

127 sq.] cum vs. 130-133 del. Fick.

131] vid. ad α 246.

132 *ἐυδήελον*] *εὐδείελον* mss.; vid. ad β 167.

135] del. PKnight. ‖ *κηρύκων*] Duentzer *μαντήων*, at vid. ξ 74 et κ 493. ‖ *δημιοϝεργοί*] cf. ρ 383.

136 **ἀλλὰ φίλον ποθέουσα πόσιν*] *ἀλλ' Ὀδυσῆ ποθέουσα φίλον* Ar. (vid. § 76, ad *Δ* 384 *O* 339, Ludwich Arist. I p. 627), *ἀλλ' Ὀδυσῆα ποθεῦσα* (-*οῦσα*, -*έουσα*) *φίλον* (*πόσιν* l) mss., cf. § 76 et 191. Fick *ἀλλὰ πόσιν ποθέουσα φίλον*, adi. *φίλον* referens ad *ἦτορ* auctore Clarkio; sed praestare videtur ordo verborum quem nos dedimus, vid. α 363 ϑ 523 π 450 τ 477, 603 φ 357 ψ 2, 86. ‖ *κατατήκομαι*] comp. nonnisi vs. 205 sq. redit, simplex legitur *Γ* 176 ϑ 522 etc.

137 *δὲ δόλους τολυπεύω*] de caesura vid. § 8. ‖ *δόλους*] *δόλον* G.

138 *φρεσί*] *μέγα* G M, cf. ι 381.

139 *στησαμένῃ*] -*νην* Naber Quaest. Hom. p. 90. ‖ *ὑφαίνειν* Ar. F n] *ὕφαινον* mss. pleraque.

140 **δέ σφιν*] *δ' αὐτοῖς*, cf. § 61 et 98. Nauck *δ' αὐτοῖσιν ἔειπον*.

142 **περ*] *τὸν* mss.; vid. ad *X* 280.

143 *μεταμώνια*] -*λια* F M mss. alia; cf. β 98.

144 *εἰς ὅτε*] *ὁππότε* n.

αἴ κεν ἄτερ σπείρου κέεται πολλὰ κτεατίσσας.‘
ὣς ἐφάμην, τοῖσιν δ' ἐπεπείθετο θυμὸς ἀγήνωρ. 148-151 cf. β 103 [sqq.
ἔνθα καὶ ἠματίη μὲν ὑφαίνεσκον μέγαν ἱστὸν, 148 = κ 550
νύκτας δ' ἀλλύεσκον, ἐπεὶ δαΐδας παραθείμην.
ὣς τρίϝετες μὲν ἔληθον ἐγὼ καὶ ἔπειθον Ἀχαιούς·
ἀλλ' ὅτε τέτρατον ἦλθε ϝέτος καὶ ἐπήλυθον ὧραι, 152 = β 107
καὶ τότε δή με διὰ δμῳὰς, κύνας οὐκ ἀλεγούσας,
εἷλον ἐπελθόντες καὶ ὁμόκλησαν ϝεπέεσσι.
ὣς τὸ μὲν ἐξετέλεσσα καὶ οὐκ ἐθέλουσ', ὑπ' ἀνάγκης· 156 cf. β 110
νῦν δ' οὔτ' ἐκφυγέμεν δύναμαι γάμον οὔτε τιν' ἄλλην
μῆτιν ἔθ' εὑρίσκω. μάλα δ' ὀτρύνουσι τοκῆες
γήμασθ', ἀσχαλάει δὲ πάις βίοτον κατεδόντων,
γιγνώσκων· ἤδη γὰρ ἀνὴρ οἷός τε μάλιστα
ϝοίκου κήδεσθαι, τῷ τε Ζεὺς ὄλβον ὀπάζῃ. 161[b] cf. Θ 141 σ 273
ἀλλὰ καὶ ὥς μοι ϝειπὲ τεὸν γένος, ὁππόθεν ἐσσί·
οὐ γὰρ ἀπὸ δρυός ἐσσι παλαιφάτου οὐδ' ἀπὸ πέτρης.“
τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς· 164 sq. = 261 sq. 335 sq. 582 sq.
„ὦ γύναι αἰδοίη Λαερτιάδα' Ὀδυσῆος, 165 = ρ 152

153 μηνῶν φθινόντων, περὶ δ' ἤματα πόλλ' ἐτελέσθη, 153 = ω 143 cf. κ 470

147 κέεται § 169] κεῖται (κῆται n) mss.; de syllaba κε- pro κει- vid. § 17.
149 ἔνθα καὶ] *ἔνθ' ἐγὼ? videatur ad β 104.
150 ἀλλύεσκον] ἀνλύεσκον Ar.; vid. ad Φ 321 et § 10. || ἐπεὶ] ἐπὴν mss.; vid. ad β 105.
151 sq.] vid. ad β 106 sq.
152 τέτρατον] τέταρτον mss. complura metro invito.
153] om. D U, in marg. habet G; vid. ad β 107.
157 ἐκφυγέμεν § 126] -γέειν mss.
158 μῆτιν ἔθ' εὑρίσκω] μ. ἐφευρίσκω F, μ. εὑρίσκω U[1]; Nauck εὑρίσκω μῆτιν. || μάλα] ἅμα G.
159 ἀσχαλάει § 191] -λάᾳ mss. || κατεδόντων] gen. a verbo ἀσχαλάει suspensus ut τ 534 (non absolutus, vid. ad Δ 458).
160 sq. οἷός τε . . . κήδεσθαι] nonnisi h. l. et φ 117 οἷός τε = *aptus* est apud poetam; constructio quomodo sit nata apparet coll. φ 172 sq. β 60 (ubi vid.).
160 μάλιστα] μέγας τε F.
161 τῷ] ad ϝοῖκον referendum. || ὄλβον P H M] κῦδος G F (ut Θ 141), κῆδος X U. || ὀπάζῃ P H[1]] -ζει vel -ζοι mss. pleraque; non de suae domus praesenti condicione regina loquitur, sed sententia est generalis.
162 ἀλλὰ καὶ ὥς] „*sed mittamus tristia illa et ad propositum redeamus*" (Hartman).
163] *non enim ex arbore, ut est in fabulis, vel ex lapide prognatus es.* Gens humana ex arboribus (ἐκ μελιᾶν Hes. Oper. 145, cf. Verg. Aen. VIII 315 Juven. VI 12) vel e terrae gremio feraci orta esse credebatur, αὐτόχθων igitur οὖσα. Cf. Plat. Rep. VIII 544*d* et notissimus Deucalionis et Pyrrhae mythus; etiam *Dryopum* gentis nomen hinc repetit vWilamowitz. Proverbii loco locutio videtur adhibita esse X 126 (ubi vid.) Hes. Theog. 35, sed obscurior est uterque versus; apud posteros alio sensu usurpatur (ligneus lapideusve = *durus*, cf. Π 35), vid. Cic. Tusc. III 6. || παλαιφάτου] *decantati*, vid. ad ι 507; perperam olim alii παλαιφάγου vel παλαιφύτου, nec tamen suspicione vacat vulgata.
165 Λαερτιάδα' § 55] -δεω mss.

οὐκέτ' ἀπολλήξεις τὸν ἐμὸν γόνον ἐξερέουσα;
ἀλλ' ἔκ τοι ϝερέω. ἦ μήν μ' ἀχέεσσί γε δώσεις
πλείοσιν ἢ ἔχομαι· ἣ γὰρ δίκη, ὁππότε πάτρης
ϝῆς ἀπέῃσιν ἀνὴρ τόσσον χρόνον ὅσσον ἐγὼ νῦν,
πολλὰ βροτῶν ἐπὶ ϝάστε' ἀλώμενος, ἄλγεα πάσχων. 170[a] = ο 492
ἀλλὰ καὶ ὣς ϝερέω ὅ μ' ἀνείρεαι ἠδὲ μεταλλᾷς. 171 cf. Γ 177
Κρήτη τις γαῖ' ἔστι μέσῳ ἐνὶ ϝοίνοπι πόντῳ, 172[b] = ε 132
καλὴ καὶ πίειρα, περίρρυτος· ἐν δ' ἄνθρωποι
πολλοὶ ἀπειρέσιοι καὶ ἐννήκοντα πόληες.
ἄλλη δ' ἄλλων γλῶσσα μεμιγμένη· ἐν μὲν Ἀχαιοὶ, 175[a] = Β 804
ἐν δ' Ἐτεόκρητες μεγαλήτορες, ἐν δὲ Κύδωνες
Δωριέες τε τριχάικες δῖοί τε Πελασγοί. 177[b] = Κ 429
τῇσι δ' ἐνὶ Κνωσὸς μεγάλη πόλις, ἔνθα τε Μίνως
ἐννέωρος 'βασίλευε Διὸς μεγάλοι' ὀαριστὴς,
πατρὸς ἐμοῖο πατὴρ μεγαθύμου Δευκαλίωνος. 180[a] = Ξ 118
Δευκαλίων δ' ἔμ' ἔτικτε καὶ Ἰδομενῆα ϝάνακτα· 181[a] = Ν 452
ἀλλ' ὃ μὲν ἐν νήεσσι κορωνίσι ϜΊλιον εἴσω 182 cf. Β 771
ᾤχεθ' ἅμ' Ἀτρεΐδῃσιν, ἐμοὶ δ' ὄνομα κλυτὸν Αἴθων,

166 τὸν] *σὺ? vid. ad X 280.
167 μήν § 18] μέν mss. || μ' ἀχέεσσί γε] ἀχέεσσί με Nauck.
171 ϝερέω — μεταλλᾷς] τὸν μῦθον ἐνισπήσω· σὺ δ' ἄκουσον n (cf. ε 98).
172] vertit Verg. Aen. III 104: *Creta Iovis magni medio iacet insula ponto.* || Κρήτη] -της schol. H ad γ 287.
173 περίρρυτος] †, cf. ἀμφίρυτος α 50 etc.
174 καὶ ἐννήκοντα U] καὶ ἐνενήκοντα mss. pleraque (cf. Β 602), utrumque metro invito, vid. § 14; ἐννήκοντα †, ἐνενήκοντα extat Β 602. Gerhard τε καὶ ἐννήκοντα, elegantius Hoffmann ἐν δ' ἐννήκοντα; an *ἐνενήκοντα πτολίεσσι? — *Centum* urbes Creta habere dicitur Β 649, quod discrimen non esse urgendum olim iure observatum est, cum alii mire de hac re hariolarentur, vid. schol. Β 649 Strab. X p. 475.
175-177] del. Hoffmann, unum vs. 177 damnaverat PKnight.
176 δ' Ἐτεόκρητες] δέ τε καὶ Κρῆτες F.
177] versus propter Doriensium mentionem suspectus; vid. ad Β 653 sqq. || τριχάικες] †, *crinibus passis* (cf. τρίχες et ἀίσσω); iure in Apoll. lex. confertur κορυθάιξ (X 132), adde πολυάιξ (Α 165 etc.) et vid. ad Ο 709. Similia sunt epitheta κάρη κομάοντες (Β 11 etc.), ὄπιθεν κομάοντες Β 542, ἀκρόκομοι Δ 533. Aptius hic foret epitheton *trifariam divisi* (a τρίχα et . . .?), cf. Β 655, 668 ι 157, et ita accepit Hesiod. apud Etym. M. 768, 25 sqq.: πάντες δὲ τριχάικες καλέονται | τρισσὴν οὕνεκα γαῖαν ἑκὰς πάτρης ἐδάσαντο (fr. 8 Rzach), nempe *Euboeam, Peloponnesum, Cretam* (sic schol.; cf. Strabo X p. 475); e voce tamen τριχάιξ elici hoc nequit. Qui hunc versum fecit fortasse imitatus est verba Iliadis Β 655 τρίχα κοσμηθέντες, perperam ea (collato Β 668) interpretatus *comtis capillis.*
178 τῇσι] τοῖσι M X D mss. alia.
179 ἐννέωρος] vid. § 8 et ad Σ 351. *Nono quoque anno* interpretatur Plato Min. 319*b, c.* || μεγάλοι' § 59] -λου mss. || ὀαριστὴς] †, cf. ὄαρες (Ε 486 etc.), ὀαρίζω (Ζ 516 etc.), ὀαριστύς (Ν 291 etc.); *Iovis arcanis admissus* Horat. Carm. I 28, 9.
180 ἐμοῖο] ἐμεῖο F L W Z k l q (sic Zen.?); vid. ad Ξ 118.
182 ϜΊλιον εἴσω] vid. ad Α 71.
183 κλυτὸν] κλυτὸς G[1] F n, Bothe ἐγὼ δ' ὄνομα κλυτὸς propter versum sq.

ὁπλότερος γενεῇ· ὃ δ' ἅμα πρότερος καὶ ἀρείων. 184 = *B* 707
ἔνθ' Ὀδυσῆα ἐγὼ 'Ϝιδόμην καὶ ξείνι' ἔδωκα.
καὶ γὰρ τὸν Κρήτηνδε κατήγαγε Ϝὶς ἀνέμοιο,
Ϝιέμενον Τροίηνδε παραπλάγξασα Μαλείης·
'στῆσε δ' ἐν Ἀμνισῷ, ὅθι τε σπέος Εἰλειθυίης,
ἐν λιμέσιν χαλεποῖσι, μόγις δ' ὑπάλυξεν ἀϜέλλας.
αὐτίκα δ' Ἰδομενῆα 'μετάλλαε Ϝάστυδ' ἀνελθών·
ξεῖνον γάρ Ϝοι ἔφασκε φίλον τ' ἔμεν' αἰδοῖόν τε.
τῷ δ' ἤδη δεκάτη ἤ' ἑνδεκάτη 'πέλετ' ἠὼς
οἰχομένῳ σὺν νηυσὶ κορωνίσι Ϝίλιον εἴσω.
τὸν μὲν ἐγὼ πρὸς δώματ' ἄγων εὖ ἐξείνισσα, 194 sq. = ω 271 [sq.
ἐνδυκέως φιλέων πολλῶν κατὰ Ϝοῖκον ἐόντων· 195ᵇ = δ 717
καί Ϝοι τοῖσ' ἄλλοισ' ἑτάροισ', οἳ ἅμ' αὐτῷ ἕποντο,
δημόθεν ἄλφιτ' ἔδωκα καὶ αἴθοπα Ϝοῖνον ἀγείρας
καὶ βοῦς ἱρεύσασθαι, ἵνα πλησαίατο θυμόν.
ἔνθα δυώδεκα μὲν 'μένον ἤματα δῖοι Ἀχαιοί·
'Ϝέλλεν γὰρ Βορέης ἄνεμος μέγας οὐδ' ἐπὶ γαίῃ
εἴαεν ἵστασθαι, χαλεπὸς δέ τις ὦρορε δαίμων·
τῇ τρισκαιδεκάτῃ δ' ἄνεμος 'πέσε, τοὶ δ' ἀνάγοντο."
'Ϝίσκε ψεύδεα πολλὰ λέγων ἐτύμοισιν ὁμοῖα· 203 cf. Hes. Th. 27
τῆς δ' ἄρ' ἀκουούσης 'ρέε δάκρυα, 'τήκετο δὲ χρώς.
ὡς δὲ χιὼν κατατήκετ' ἐν ἀκροπόλοισιν ὄρεσσι, 205ᵇ cf. *E* 523

184 γενεῇ] γενεήν P. || ἅμα (Ar.?) U n] ἄρα mss. cetera; vid. *B* 707.
185 Ὀδυσῆα ἐγὼ] hiatus vitiosus, vid. § 14. || ξείνι' ἔδωκα] ξείνια δῶκα mss.
187] hunc versum et vs. 192 cum *B* 303 pugnare observat Seeck (Quellen p. 290). || *Μαλείης* Fick] *Μαλειῶν* mss.; cf. § 56 et vid. ι 80 et ad γ 278.
189 χαλεποῖσι] χθαμαλοῖσι Naber coll. Verg. Aen. I 159 sqq. III 533 sqq. || μόγις F] μόλις mss. pleraque; cf. *X* 412 γ 119. || ἀϜέλλας] ἀέθλους G.
190 'μετάλλαε § 191] μετάλλα mss.
191 Ϝοι] μιν F.
192 'πέλετ' § 275] γένετ' G, πέλεν mss. pleraque, ἦν M n.
193 σὺν] ἐν P. || Ϝίλιον εἴσω] vid. ad *A* 71.
197 ἄλφιτ' ἔδωκα] -τα δῶκα mss. || ἀγείρας G² F X] ἀείρας mss. multa (cf. *Z* 264).
198 ἱρεύσασθαι F² H] ἱερ. mss. pleraque, cf. ξ 94. || πλησαίατο θυμόν] eadem est locutio ρ 603.
200 'Ϝέλλεν § 265] εἴλει mss.
201 εἴαεν § 14 et 191] εἴα mss.
203 'Ϝίσκε] ἴσκε mss. (ἴσχε F¹); item Ar., qui *assimulandi* sensu (a verbo ϜεϜίσκειν § 242) accipiebat versum χ 31 damnans. Alii utrobique ἴσκε (Buttmann ἴσπε) interpretantur *loquebatur*, ad radicem σεπ (§ 246) referentes; sic languet λέγων, attamen ita accepit Apoll. Rhodius, apud quem ἴσκε idem valet quod Homericum ἦ *inquit* (cf. II 240, 1199 etc.), item ἴσκω Simonid. fr. 133, ἴσκον 1. sing. Theocrit. XXII 167, 3. plur. Apoll. Rhod. IV 1716. Poeta, qui Theogoniae Hesiodeae prooemium praemisit, secutusne est lectionem 'Ϝείδει ... λέγειν? vid. Theog. 27.
204] om. P.
205 ἀκροπόλοισιν] adi. nonnisi *E* 523 h. Ven. 54 redit. || ὄρεσσι] ὄρεσφιν F.

ἥν τ' Εὖρος κατέτηξεν, ἐπεὶ Ζέφυρος καταχεύῃ,
τηκομένης δ' ἄρα τῆς ποταμοὶ πλήθουσι ῥέοντες· 207ᵇ = *Π* 389
ὣς τῆς 'τήκετο καλὰ παρήια δάκρυ χεούσης,
κλαιούσης ἑϜὸν ἄνδρα, παρήμενον. αὐτὰρ Ὀδυσσεὺς
θυμῷ μὲν γοάουσαν ἑϜὴν ἐλέαιρε γυναῖκα,
ὀφθαλμοὶ δ' ὡς εἰ κέρας ἕστασαν ἠὲ σίδηρος
ἀτρέμας ἐν βλεφάροισι· δόλῳ δ' ὅ γε δάκρυ' ἔκευθε.
ἣ δ' ἐπεὶ οὖν 'τέρφθη πολυδακρύτοιο γόοιο, 213 = 251 φ 57
ἐξαῦτίς Ϝε Ϝέπεσσιν ἀμειβομένη προσέϜειπε· 214 cf. δ 234 π 193 φ 206
„νῦν μὲν δή σευ, ξεῖνε, ὀίω πειρήσεσθαι,
εἰ ἐτεὸν δὴ κεῖθι σὺν ἀντιθέοισ' ἑτάροισι
'ξείνισας ἐν μεγάροισιν ἐμὸν πόσιν, ὡς ἀγορεύεις.
Ϝειπέ μοι, ὁπποῖ' ἄσσα περὶ χροῒ Ϝείματ' ἔϜεστο, 218ᵇ = Ψ 67 ρ 203
αὐτός θ' οἷος ἔην, καὶ ἑταίρους οἵ Ϝοι ἕποντο."
τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
„ὦ γύναι, ἀργαλέον τόσσον χρόνον ἀμφὶς ἐόντα
Ϝειπέμεν'· ἤδη γάρ Ϝοι ἐϜεικοστὸν Ϝέτος ἐστὶ, 222 sq. cf. *Ω* 765 [sq.
ἐξ οὗ κεῖθεν ἔβη καὶ ἐμῆς ἀπελήλυθε πάτρης· 223 = ω 310
αὐτάρ τοι Ϝερέω ὥς μοι Ϝινδάλλεται εἶναι.
χλαῖναν πορφυρέην Ϝούλην ἔχε δῖος Ὀδυσσεὺς 225ᵃ = δ 115
δίπλακα· αὐτάρ Ϝοι περόνη χρυσοῖ' ἐτέτυκτο
αὐλοῖσιν διδύμοισι· πάροιθε δὲ δαίδαλον ἦεν·

206 ἐπεὶ § 326] ἐπήν mss.
207 τηκομένης δ' ἄρα τῆς] *τῆς δ' ἄρα τηκομένης?
209 ἑϜὸν] τεὸν M, δ' ἑὸν P, APlatt τε Ϝόν.
210 γοάουσαν § 191] γοόωσαν mss.
211 *κέρας] κέρα mss.; pluralis dualisve hic vix tolerabilior quam foret σίδηροι.
212 δάκρυ' ἔκευθε] δάκρυα κεῦθεν mss.
213 'τέρφθη] τάρφθη mss.; vid. ad ζ 99.
214 Ϝε Bekker] μιν mss.
215 μὲν δή σευ] μὲν δή σε G P, δή σευ F Z, δή σεῖο ed. Flor. (parum numerose, cf. tamen υ 236). Homericum non est σευ pro σεο, vid. § 92. || ξεῖνε Ahrens] ξεῖνέ γ' mss.; Doederlein ξεῖν' ἔτ', nos *νῦν μὲν δή, ξεῖνος, σέο πειρήσεσθαι ὀίω. || πειρήσεσθαι] -θῆναι P.
216 κεῖθι] κεῖνον M.
218 ἄσσα] †, forma vix Homerica (vid. § 99); *Ϝείπ' ἄρα μοι, ὁπποῖα? || Ϝείματ' ἔϜεστο] -τα ἕστο mss.
219] om. G¹. || ἔην] ἔεν? vid. § 302.
222 οἱ F U] τοι G, μοι P H X mss. alia.
223 ἐξ οὗ] μέσφ' ὅτε G M U n (cf. *Θ* 508 et v. l. ω 310).
224 αὐτάρ τοι] αὐτὰρ ἐγὼν F, ἀλλὰ καὶ ὥς X D fortasse recte. || Ϝινδάλλεται εἶναι criticus apud Nauckium] φρεσὶν εἴδεται εἶναι D, φρεσὶν εἴδεται πάτρης X, ἰνδάλλεται ἦσθαι L W, ἰνδάλλεται ἦτορ mss. cett.; verbum Ϝινδάλλομαι *apparendi*, non *coniciendi* vim habet.
225 Ϝούλην] *densam*; aut sic (ἁπαλήν) aut οὔλην *totam* (ὁλοπόρφυρον, cf. ρ 343) interpretantur scholia.
226 *δίπλακα] διπλῆν vel διπλήν mss. (διπλὴν ἐκταδίην G P ex *K* 134); vid. *K* 134 τ 241 et ad *Γ* 126 et § 58. Vocem omittunt et in fine versus addunt φαεινοῦ X D. || αὐτάρ] ἐν δ' ἄρα G. || οἱ F U] τοι mss. multa. || χρυσοῖ' ἐτέτυκτο] χρυσοῖο τέτ. mss.
227 αὐλοῖσιν διδύμοισι] fibula habet duas

ἐν προτέροισι πόδεσσι κύων ἔχε ποικίλον ἑλλὸν,
ἀσπαίροντα λάων· τὸ δ' ἐθαυμάζεσκον ἅπαντες,
ὡς χρύσειοι ἐόντες ὃ μὲν 'λάε νεβρὸν ἀπάγχων,
αὐτὰρ ὃ ἐκφυγέμεν μεμαὼς ἤσπαιρε πόδεσσι.
τὸν δὲ χιτῶν' ἐνόησα περὶ χροῒ σιγαλόεντα,
οἷόν τε κρομύοιο λοπὸν κάτα ἰσχαλέοιο·
τῶς μὲν ἔην μαλακὸς, λαμπρὸς δ' ἦν ἠέλιος ὥς.
ἦ μὲν πολλαί γ' αὐτὸν ἐθηήσαντο γυναῖκες.
ἄλλο δέ τοι Ϝερέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσι· 236 = Λ 297
οὐ Ϝοῖδ', ἦ τάδ' ἔϜεστο περὶ χροῒ Ϝοίκοθ' Ὀδυσσεὺς,
ἤ τις ἑταίρων 'δῶκε θοῆς ἐπὶ νηὸς ἰόντι
ἤ τίς που καὶ ξεῖνος, ἐπεὶ πολλοῖσιν Ὀδυσσεὺς
ἦσκε φίλος· παῦροι γὰρ Ἀχαιῶν ἦσαν ὁμοῖοι.
καί Ϝοι ἐγὼ χάλκειον ἄορ καὶ δίπλακ' ἔδωκα
καλὴν πορφυρέην καὶ τερμιόεντα χιτῶνα,
αἰδοίως δ' ἀπέπεμπον ἐυσσέλμοι' ἐπὶ νηός.
καὶ μέν Ϝοι κῆρυξ ὀλίγον προγενέστερος αὐτοῦ
εἵπετο· καὶ τόν τοι μυθήσομαι, οἷος ἔην περ.
γυρὸς ἔην ὤμοισι, μελάγχρως, Ϝουλοκάρηνος,

---

fistulas, quibus inseruntur duo acus; cf. Helbig Hom. Epos[1] p. 189.

228 *ἑλλὸν*] † (sed vid. ad Φ 22), *hinnuleum*, qui alias *νεβρός* dicitur (τ 230 etc.).

229 sq. *λάων . . . 'λάε*] verbum †, ignotae originis et potestatis; non videtur cohaerere *λάων cernens* h. Merc. 360, hoc enim loco requiritur *tenens . . . tenebat*. Ar. interpretabatur *ἀπολαύων*, alii *latrans* (pro *ὑλάων*); Porphyrius vs. 229 legebat *λαβών* (et *λάβε* vs. 230?). Naber *δακών . . . δάκε*.

230 sq.] de structura vid. ad Γ 211.

230 *χρύσειοι* Fick] *οἱ χρύσεοι* mss., *οἱ χρυσοῦ* Menrad coll. Ε 726 Λ 24; vid. § 61. || *ἐόντες* Heyne] *ὄντες* mss.; vid. § 302. Verum videtur **ὡς χρυσείω ἐόντε*. || *ἀπάγχων*] comp. †, simplex extat Γ 371.

231 *ὃ*] **ὅς*? alii *ὃ γ'*, vid. § 15. || *ἐκφυγέμεν* § 126] *-γέειν* mss.

233] cum bulbi interioribus *membranis*, quae sunt tenuissimae et leni splendore insignes, exquisite comparatur lintea Ulixis tunica. Vid. ad Σ 596 η 107. || *λοπὸν*] †, vid. *λέπω* Λ 236. || *ἰσχαλέοιο*] †.

234 *ἔην . . . ἦν*] *ἔεν . . . ἔεν*? cf. § 302.

237 *οὐ*] *οὐκ* mss. || *ἦ* § 327] *εἰ* mss. || *Ϝοίκοθ'*] i. e. *Ϝοίκοθι*.

239 *τίς που*] *πού τις* G.

240 *ἦσκε*] *ἔσκε* mss.

241 *Ϝοι*] *τότ'* X D. || *δίπλακ' ἔδωκα*] *-κα δῶκα* mss.; de voce *δίπλαξ* vid. Γ 126.

242 *τερμιόεντα*] adi. redit Π 803; *talarem* (*ποδήρη*), festis igitur diebus ferendum, interpretantur veteres, et vix aliter potest accipi Hes. Oper. 537, cf. *ἑλκεχίτων* Ν 685. Duentzer *praetextam* intellegit.

243 *ἐυσσέλμοι'* § 59] *-λμου* mss.

245 *ἔην*] *ἔεν*? vid. § 302.

246 *γυρὸς*] †, *incurvis humeris*. || *ἔην ὤμοισι* Aphthonius in Rhet. Graec. I p. 104 (Spengel II p. 46) alii] *ἐν ὤμοισι(ν)* mss.; praepositionem *ἐν* ferri non posse demonstravit APlatt. || *ἔην*] *ἔεν*? vid. § 302. || **μελάγχρως*] *μελάγχροος* Aphth. l. l., *μελανόχροος* mss.; cf. *μελαγχροιής* π 175. Non *-οος* sed *-ως* scribendum esse cum etymologia docet (cf. Ν 589, *ταμεσίχροα -ας* Δ 511 Ψ 803 Ν 340) tum vocis sequentis Ϝ initiale. || *Ϝουλοκάρηνος*] †, *crispis capillis*, cf. *Ϝοῦλος* ζ 231 ψ 158 etc.; alienum hinc est *οὐλοκάρηνος* h. Merc. 137.

Εὐρυβάτης δ' ὄνομ' ἦσκε· 'τίεν δέ μιν ἔξοχον ἄλλων
Ϝῶν ἑτάρων Ὀδυσεὺς, ὅτι Ϝοι φρεσὶν ἄρτι' ἐϜείδει." 248[b] = Ε 326
ὣς 'φάτο· τῇ δ' ἔτι μᾶλλον ὑφ' ἵμερον ὦρσε γόοιο 249 cf. Ψ 108 ψ 231
σήματ' ἀναγνούσῃ, τά Ϝοι ἔμπεδα 'πέφραδ' Ὀδυσσεύς. 250 cf. ψ 206 ω 346
ἣ δ' ἐπεὶ οὖν 'τέρφθη πολυδακρύτοιο γόοιο, 251 = 213
καὶ τότε μιν μύθοισιν ἀμειβομένη προσέϜειπε·
„νῦν μὲν δή μοι, ξεῖνε, πάρος περ ἐὼν ἐλεεινὸς,
ἐν μεγάροισιν ἐμοῖσι φίλος τ' ἔσε' αἰδοῖός τε·
αὐτὴ γὰρ τάδε Ϝείματ' ἐγὼ 'πόρον, οἷ' ἀγορεύεις,
πτύξασ' ἐκ θαλάμου, περόνην τ' ἐπέθηκα φαεινὴν
κείνῳ ἄγαλμ' ἔμεναι. τὸν δ' οὐχ ὑποδέξομαι αὖτις 257[b] sq.[a] = Σ 59 sq.
Ϝοίκαδε νοστήσαντα φίλην εἰς πατρίδα γαῖαν.
τῷ ῥα κακῇ αἴσῃ κοίλης ἐπὶ νηὸς Ὀδυσσεὺς
ᾤχετ' ἐποψόμενος ΚακοϜίλιον οὐκ ὀνομαστήν." 260 = 597 ψ 19
τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς· 261 sq. = 164 sq.
„ὦ γύναι αἰδοίη Λαερτιάδα' Ὀδυσῆος,
μηκέτι νῦν χρόα καλὸν ἐναίρεο μηδ' ἔτι θυμὸν
τῆκε πόσιν γοάουσα. νεμεσσάομαί γε μὲν οὔ τι· 264[b] = δ 195
καὶ γάρ τίς τ' ἀλλοῖον ὀδύρεται ἄνδρ' ὀλέσασα
κουρίδιον, τῷ τέκνα τέκῃ φιλότητι μιγεῖσα.
ἀλλὰ γόου μὲν παῦσαι, ἐμεῖο δὲ σύνθεο μῦθον· 268[b] = ρ 153
νημερτὲς γάρ τοι μυθήσομαι οὐδ' ἐπικεύσω, 269 cf. ρ 154
ὡς ἤδη Ὀδυσῆος ἐγὼ περὶ νόστου ἄκουσα
ἀγχόθι, Θεσπρωτῶν ἀνδρῶν ἐν πίονι δήμῳ, 271 = ρ 526
ζῳοῖ'· αὐτὰρ ἄγει κειμήλια πολλὰ καὶ ἐσθλὰ 272 cf. ο 159 ρ 527

---

267 ἢ Ὀδυσῆ', ὃν φασὶ θεοῖσ' ἐναλίγκιον εἶναι. 267[b] cf. β 5

---

247 *ἦσκε*] *ἔσκε* mss.

248 *ἄρτι' ἐϜείδει*] *ἄρτια ᾔδει* (*ᾔδη*) mss.

250 sq.] om. H Z k, in marg. habet F[2], del. PKnight.

251 *'τέρφθη*] *τάρπη* U[1] i, *τάρφθη* mss. cett.; vid. ad ζ 99.

252 *ἀμειβομένη*] *ἐπειγομένη* M[1].

253 *ξεῖνε, πάρος*] l. a. *ξεῖν', ἄλλως*.

254 *ἔσε'* § 117] *ἔσῃ* mss.

255 *αὐτὴ*] l. a. *αὐτίκα*. || *οἷ' ἀγορεύεις*] vid. ad Σ 95.

260 *ΚακοϜίλιον*] vid. ad σ 73.

262 *Λαερτιάδα'* § 55] *-δεω* mss.

263 *ἐναίρεο*] *perdendi* sensu insolite adhibitum, alias enim *ἐναίρειν* vel *-ρεσθαι* significat *interficere*.

264 *γοάουσα* § 191] *γοόωσα* mss. || *νεμεσσάομαι* § 191] *-σσῶμαι* mss. || **οὔ τι* § 100] *οὐδέν* mss.

267] del. vHerwerden coll. vs. 185 sqq.

269 **νημερτὲς*] *-τέως* mss.; cf. § 8. An **ἀτρεκέως* (ut vs. parall.)?

271 *ἀγχόθι* § 322] *ἀγχοῦ* mss.; verum videtur *ἐγγύθι*, cf. § 318.

272 *ζῳοῖ'* § 59] *ζωοῦ* mss. || *αὐτὰρ* —

αἰτίζων ἀνὰ δῆμον. ἀτὰρ ἐρίηρας ἑταίρους
ὤλεσε καὶ νῆα γλαφυρὴν ἐνὶ Ϝοίνοπι πόντῳ,
Θρινακίης ἄπο νήσου ἰών· ὀδύσαντο γὰρ αὐτῷ — 275ᵃ cf. μ 127
Ζεύς τε καὶ Ἠέλιος· τοῦ γὰρ βόας ἔκταν ἑταῖροι.
οἳ μὲν πάντες ὄλοντο πολυκλύστῳ ἐνὶ πόντῳ· — 277ᵇ = δ 354
τὸν δ' ἄρ' ἐπὶ τρόπιος νεὸς ἔκβαλε κῦμ' ἐπὶ χέρσου
Φαιήκων εἰς γαῖαν, οἳ ἀγχίθεοι γεγάασι· — 279 = ε 35
οἳ δή μιν περὶ κῆρι θεὸν ὣς 'τιμήσαντο — 280 = ψ 339 cf. ε 36
καί Ϝοι πόλλ' ἔδοσαν πέμπειν τέ μιν ἤθελον αὐτοὶ
Ϝοίκαδ' ἀπήμαντον. καί κεν πάλαι ἦεν Ὀδυσσεὺς
ἐνθάδε· ἀλλ' ἄρα Ϝοι τό γε κέρδιον εἴσατο θυμῷ,
χρήματ' ἀγυρτάζειν πολλὴν ἐπὶ γαῖαν ἰόντι,
ὡς περὶ κέρδεα πολλὰ καταθνητῶν ἀνθρώπων
Ϝοῖδ' Ὀδυσεύς· οὔ κέν τις ἐρίσσειε βροτὸς ἄλλος.
ὥς μοι Θεσπρωτῶν βασιλεὺς 'μυθήσατο Φείδων·
ὤμνυε δὲ πρὸς ἔμ' αὐτόν, ἀποσπένδων ἐνὶ Ϝοίκῳ, — 288 cf. ξ 331
νῆα κατειρῦσθαι καὶ ἐπαρτέας ἔμμεν' ἑταίρους, — 289-292 = ξ 332 sqq.
οἳ δή μιν πέμψουσι φίλην εἰς πατρίδα γαῖαν.
ἀλλ' ἐμὲ πρὶν ἀπέπεμψε· 'τύχησε γὰρ ἐρχομένη νηῦς
ἀνδρῶν Θεσπρωτῶν εἰς Δουλίχιον πολύπυρον.
καί μοι κτήματ' ἔδειξεν, ὅσα ξυναγείρατ' Ὀδυσσεύς· — 293 = ξ 323
καί νύ κεν εἰς δεκάτην γενεὴν ἕτερόν γ' ἔτι βόσκοι, — 294-297 = ξ 325 sqq.

ἐσθλὰ] πολλὰ δ' ἄγει κειμήλια ὅνδε δόμονδε (= ρ 527) U n.

273-286] del. Duentzer, Kammer vs. 279-286 et vs. 291 sq.; versus 275-277 om. Z k, in margine habent F U. Locum diasceuastae tribuit Kirchhoff, huius enim manum prodere Thrinaciae mentionem (videatur ad α 6-9); nobis, ut Duentzero, Odysseae sero inserti videntur versus hi inutiles et invenusti (prae ceteris displicet versus 273).

275 *Θρινακίης*] vid. ad μ 127.

278 *νεὸς ἔκβαλε* D U] *νεὸς ἔμβαλε* H L W Z k, *νηὸς ἔμβαλε* F P, *νηὸς βάλε* G.

279] vid. ad ε 35.

281 *πόλλ' ἔδοσαν*] *πολλὰ δόσαν* mss.

282 *ἀπήμαντον*] adi. †, cf. *ἀπήμων* Α 415 etc., *πημαίνω* Γ 299 etc. (*πῆμα* passim).

282 sq. **ἦεν Ὀδυσσεὺς* | *ἐνθάδε*] *ἐνθάδ' Ὀδυσσεὺς ἤην* (*ἤειν*, *εἴην*) mss.; de forma vitiosa *ἤην* vid. § 302 et Α 808 ψ 316 ω 343. Nauck *ἔπλετο*.

283 *εἴσατο*] neglecto Ϝ; Cobet *τό γε Ϝείσατο κέρδιον εἶναι* coll. β 320.

284 *ἀγυρτάζειν*] †, cf. *ἀγυρίς* (vid. ad γ 31).

286 *οὔ κέν* § 326] *οὐκ ἄν* D, *οὐδ' ἄν* mss. cett.

288-295] del. Fick.

288 *ὤμνυε*] cf. § 145. ‖ *ἀποσπένδων*] l. a. *ἐπισπένδων*; cf. ξ 331.

289 *κατειρῦσθαι*] neglecto Ϝ; **τε ϜεϜρῦσθαι*? vid. § 293 et ad θ 151. ‖ *ἐπαρτέας*] cf. θ 151.

290-292] in margine habet U; versum 291 et sequentem omittit G, in margine habent Z n.

292 *πολύπυρον*] cf. ξ 335.

ὅσσα Ϝοι ἐν μεγάρῳ κειμήλια 'κεῖτο Ϝάνακτος.
τὸν δ' εἰς Δωδώνην 'φάτο βήμεναι, ὄφρα θεοῖο
ἐκ δρυὸς ὑψικόμοιο Διὸς βουλὴν ἐπακούσαι,
ὅππως νοστήσειε φίλην εἰς πατρίδα γαῖαν — 298 cf. ξ 329 σ 148
ἤδη δϜὴν ἀπεών, ἤ' ἀμφαδὸν ἦε κρυφηδόν. — 299 = ξ 330
ὣς ὃ μὲν οὕτως ἐστὶ σάος καὶ ἐλεύσεται ἤδη
ἄγχι μάλ' οὐδ' ἔτι τῆλε φίλων καὶ πατρίδος αἴης — 301 sq.ᵃ cf. σ 145 sq.
δϜηρὸν ἀπεσσεῖται· ἔμπης δέ τοι ὅρκια δώσω. — 301ᵇ = Α 817
Ϝίστω νῦν Ζεὺς πρῶτα, θεῶν ὕπατος καὶ ἄριστος, — 303 = Τ 258
ἱστίη τ' Ὀδυσῆος ἀμύμονος ἣν ἀφικάνω· — 303ᵃ = ξ 158; 304-307 = ξ 159 sqq.
ἦ μέν τοι τάδε πάντα τελέσσεται ὡς ἀγορεύω·
τοῦδ' αὐτοῦ λυκάβαντος ἐλεύσεται ἐνθάδ' Ὀδυσσεύς,
τοῦ μὲν φθίνοντος μηνὸς τοῦ δ' ἱσταμένοιο."
  τὸν δ' αὖτε προσέϜειπε περίφρων Πηνελόπεια· — 308-311 = ρ 162 sqq.
„αἲ γὰρ τοῦτο, ξεῖνε, Ϝέπος τετελεσμένον εἴη·
τῷ κε τάχα γνοίης φιλότητά τε πολλά τε δῶρα
ἐξ ἐμέθεν, ὥς τίς σε συναντόμενος μακαρίζοι.
ἀλλά μοι ὧδ' ἄρα θυμὸς ὀίεται, ὡς ἔσεταί περ·
οὔτ' Ὀδυσεὺς ἔτι Ϝοῖκον ἐλεύσεται οὔτε σὺ πομπῆς — 313ᵃ = ξ 167
τεύξε', ἐπεὶ οὔ τοι σημάντορες εἴσ' ἐνὶ Ϝοίκῳ,
οἷος Ὀδυσσεὺς ἦσκε μετ' ἀνδράσιν, εἴ ποτ' ἔην γε,
ξείνους αἰδοίους ἀποπεμπέμεν' ἠδὲ δέχεσθαι.
ἀλλά μιν, ἀμφίπολοι, ἀπονίψατε, κάτθετε δ' εὐνήν,
δέμνια καὶ χλαίνας καὶ ῥήγεα σιγαλόεντα, — 318 cf. λ 189

---

295 *ὅσσα*] *τόσσα* (Ar.) H² U n; vid. ad ξ 326. ‖ *μεγάρῳ* Nauck] *-ροις* (*-ροισι* F) mss.

297 *ἐπακούσαι*] *-σῃ* mss. multa, item ξ 328; sic Naber vs. 298 scribens *νοστήσει* (Ϝ)*οικόνδ'*.

300 *οὕτως*] *οὗτος* F P M D U¹, om. G. ‖ *σάος* § 62] *σόος* mss.

301 *ἄγχι μάλ' … τῆλε*] cf. *ὦκα μάλ' … τῆλε* Ρ 190.

302 *ἀπεσσεῖται*] cf. § 302. ‖ *ἔμπης*] vid. ad Μ 393.

304 *ἱστίη*] l. a. *ἑστίη*; leg. *Ϝεστίη*? vid. γ 234 ξ 159.

305 *τοι*] *μοι* M, *δὴ* G² U¹, *τῇ* (i. e. *οὕτως*) G¹ H K. ‖ *τελέσσεται* vHerwerden] *τελείεται* (cf. § 286) mss.

306] vid. ad ξ 161.

311 **ἐμέθεν, ὥς*] *ἐμεῦ, ὡς ἄν* mss.; cf. ο 538.

312-316] del. PKnight.

312 *ἄρα θυμὸς* vHerwerden] *ἀνὰ θυμὸν* mss. Cf. ι 213.

314 *τεύξε'(αι)* G M X D n] *τεύξαι* (i. e. *τεύξε'*?) F Z, *τεύξῃ* mss. pleraque; cf. § 117. ‖ *τοι* M² D U²] *τι* P H L W, *τοῖοι* F, quae lectio propter synizesin (§ 8) recipi nequit. In vulgata tamen displicet hiatus post *ἐπεί* (vid. § 14); Bothe *τεύξεαι· οὐ τοῖοι*, Menrad *τεύξε', ὅ τ' οὐ τοῖοι*.

315 *ἦσκε*] *ἔσκε* mss. ‖ *εἴ ποτ' ἔην γε*] vid. ad Γ 180. ‖ *ἔην*] *ἔεν*? vid. § 302.

316 *αἰδοίους*] *αἰδοίως* HStephanus coll. vs. 243.

317-508] del. Kammer, vs. 319-334 PKnight, vs. 325-334 LaRoche.

317 *μιν*] *μοι* G n.

ὥς κ' ἐὺ θαλπιάων χρυσόθρονον Ἠό' ἵκηται.
ἠῶθεν δὲ μάλ' ἦρι λοέσσαι τε χρῖσαί τε,
ὥς κ' ἔνδον παρὰ Τηλεμάχῳ δείπνοιο μέδηται
ἥμενος ἐν μεγάρῳ· τῷ δ' ἄλγιον, ὅς κεν ἐκείνων — 322^a cf. Ω 209
τοῦτον ἀνιάζῃ θυμοφθόρος· οὐδέ τι ϝέργον
ἐνθάδ' ἔτι πρήξει, μάλα περ κεχολωμένος αἰνῶς.
πῶς γὰρ ἐμεῖο, ξεῖνε, δαήσεαι, εἴ τι γυναικῶν
ἀλλάων περίειμι νόον καὶ ἐπίφρονα μῆτιν,
εἴ κεν ἀυσταλέος, κακὰ ϝειμένος ἐν μεγάροισι
δαινύε'; ἄνθρωποι δὲ μινυνθάδιοι τελέθουσι.
ὃς μὲν ἀπηνὴς αὐτὸς ἔῃ καὶ ἀπηνέα ϝείδῃ,
τῷ δὲ καταρῶνται πάντες βροτοὶ ἄλγε' ὀπίσσω
ζῳῷ, ἀτὰρ τεθνηότ' ἐφεψιάονται ἅπαντες·
ὃς δέ κ' ἀμύμων αὐτὸς ἔῃ καὶ ἀμύμονα ϝείδῃ,
τοῦ μέν τε κλέος εὐρὺ διὰ ξεῖνοι φορέουσι
πάντας ἐπ' ἀνθρώπους, πολλοί τέ μιν ἐσθλὸν ἔϝειπον."
  τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς· — 335 sq. = 164 sq.
„ὦ γύναι αἰδοίη Λαερτιάδα' Ὀδυσῆος,
ἦ τοι ἐμοὶ χλαῖναι καὶ ῥήγεα σιγαλόεντα — 337^b = λ 189
ἤχθεθ', ὅτε πρῶτον Κρήτης ὄρεα νιφόεντα
'νοσφισάμην ἐπὶ νηὸς ἰὼν δολιχηρέτμοιο· — 339^b = ψ 176
κείω δ', ὡς τὸ πάρος περ ἀύπνους νύκτας ἴαυον. — 340^b = Ι 325
πολλὰς γὰρ δὴ νύκτας ἀϝεικελίῳ ἐνὶ κοίτῳ

---

319 κ' ἐὺ] κεν G M, κε P. ‖ θαλπιάων § 191] θαλπιόων mss. Verbum †, cf. θάλπειν φ 179, 184, 246, θαλπωρή Ζ 412 etc. ‖ Ἠό' § 77] Ἠῶ mss.

322 ἐκείνων] forma novicia; cf. § 97; *ὅς τέ κε κείνων? vHerwerden ὅς κ' ἔτι κείνων.

323 θυμοφθόρος] alias de hominibus non usurpatur; hic autem adverbialiter positum est.

325 *ἐμεῖο] ἐμεῦ F X^1 (σὺ ἐμεῦ X^2), ἐμεῦ σὺ mss. pleraque; cf. § 92. Numerosius foret *ξεῖνος, ἐμεῖο.

326 ἐπίφρονα] ἐχέφρονα G n Eust., quod hominum est epitheton (Ι 341 etc.); adi. ἐπίφρων redit γ 128 etc. ‖ μῆτιν] βουλήν P U (cf. γ 128).

327 εἴ] αἴ P H^1. ‖ ἀυσταλέος] †, *squalidus*? fortasse cohaeret αὐχμεῖν (ω 250).

328 δαινύε' § 117 et 122] δαινύῃ mss.; cf. ϑ 243.

329 ἀπηνὴς] ἀπηνής τ' D; IHVoss ἀπηνής κ' coll. vs. 332.

331 τεθνηότ'(ι) Fick] τεθνεῶτι (-ηῶτι, -ειῶτι) γ' mss.; cf. § 8 et 13. Nauck ζωῷ, τεθνειῶτι δ'. ‖ ἐφεψιάονται § 191] -ιόονται H^1, -ιόωνται mss. cetera. De verbo vid. ad ρ 530.

332 δέ κ' § 326] δ' ἂν mss.

334 τέ] δέ X D.

336 Λαερτιάδα' § 55] -δεω mss.

338 ἤχθεθ'] Autenrieth ἔχθεθ' coll. γίγνεται vs. 344.

340 πάρος περ] πάροιθεν P. ‖ ἴαυον] ἰαύων U.

341 *κοίτῳ] κοίτῃ mss. pleraque, κοίτει P, οἴκῳ F. Feminina forma † (vid. tamen v. l. β 358 ξ 455), hinc autem alienam esse docet adi. masc. ἀϝεικελίῳ.

ἄεσα καί τ' ἀνέμεινα ἐύθρονον Ἠόα δῖαν.
οὐδ' ἔτι μοι ποδάνιπτρα ποδῶν ἐπιϝήρανα θυμῷ
γίγνεται· οὐδὲ γυνὴ ποδὸς ἅψεται ἡμετέροιο
τάων, αἵ τοι δῶμα κάτα δρήστειραι ἔασι, — 345 cf. κ 349
εἰ μή τις γρηῦς ἔστι παλαιή, κεδνὰ ϝιδυῖα,
ἥ τις δὴ τέτληκε τόσα φρεσὶν ὅσσα τ' ἐγώ περ·
τῇ δ' οὔ κε φθονέοιμι ποδῶν ἅψασθαι ἐμεῖο."
  τὸν δ' αὖτε προσέϝειπε περίφρων Πηνελόπεια·
„ξεῖνε φίλ', οὐ γάρ πώ τις ἀνὴρ πεπνυμένος ὧδε
ξείνων τηλεδαπῶν φιλίων ἐμὸν ἵκετο δῶμα, — 351 = ω 268
ὡς σὺ μάλ' εὐφραδέως πεπνυμένα πάντ' ἀγορεύεις.
ἔστι δέ μοι γρῆυς πυκινὰ φρεσὶ μήδε' ἔχουσα, — 353^b cf. Ω 282
ἣ κεῖνον δύστηνον ἐὺ 'τρέφεν ἠδ' ἀτίταλλε — 354^b cf. Ξ 202
δεξαμένη χείρεσσ', ὅτε μιν πρῶτον 'τέκε μήτηρ· — 355^b cf. Ζ 345
ἥ σε πόδας νίψει ὀλιγηπελέουσά περ ἔμπης.
ἀλλ' ἄγε νῦν ἀνστᾶσα, περίφρων Εὐρυκλέεια,
νίψον σοῖο ϝάνακτος ὁμήλικα· καί ποθ' Ὀδυσσεὺς
ἤδη τοιόσδ' ἐστὶ πόδας τοιόσδε τε χεῖρας· — 359 cf. δ 149

346-348 Ar. —

---

342 Ἠόα § 2 et 77] Ἠῶ mss.

343-587] del. PKnight, veterum se iudicium sequi ratus; quem deceperat Eustathius p. 1867,12 obiter inspectus. Gravius est quod observat, Aristotelem locum, qui est de Ulixe in Parnasso monte vulnerato, non in Odyssea sed in alio carmine (cyclico) legisse videri Poetic. 8 (vid. ad vs. 395-466). Plato tamen versum 396 (ubi vid.) Homero diserte tribuit.

343 ποδάνιπτρα] vox nonnisi vs. 504 redit, cf. νίζω Η 425 etc., χέρνιβα α 136 etc., 'χερνίψαντο Α 449, χέρνιβον Ω 304; Bothe ἀπόνιπτρα. ‖ ἐπιήρανα G^1 Eust.] ἐπίηρ' ἀνὰ mss. pleraque (cf. Α 572 etc.), sed ἀνὰ θυμῷ (aut θυμόν, ut F mss. alia) sic non usurpatur. Adi. ἐπιϝήρανος †, Barnes ἐπὶ ἤρανα.

345 δρήστειραι] vid. ad ο 330.

346-348] Ulixes si non vult agnosci, imprudenter admodum aniculae, cui olim fuerit notissimus, ministerium sibi expetit. E carmine antiquiore, in quo Ulixes hoc ipso colloquio ab uxore agnosceretur (vid. ad initium libri φ), hos versus superesse suspicatur vWilamowitz, diasceuastae tribuens versus 390 sq. et libri finem (vs. 478 sqq.).

346 γρηῦς] γρῆυς (pyrrhichius, cf. § 17)? vid. ad τ 383. ‖ κεδνὰ ϝιδυῖα § 160] κέδν' εἰδυῖα mss.

347 δὴ τέτληκε τόσα] τέτληκε(ν) τόσσα F P H L W.

348 τῇ δ' οὔ κε § 326] τῇ δ' οὐκ ἂν vel τῇδε (τήνδε) δ' ἂν οὐ mss.; IHVoss τὴν δ' οὐκ ἄν. ‖ ἅψασθαι] ἅψεσθαι n.

349 αὖτε προσέϝειπε] ἠμείβετ' ἔπειτα P^2 (cf. α 44). ‖ Πηνελόπεια] Εὐρύκλεια F^1.

351 φιλίων] φιλίων τ' X^2 D U n, φίλον τ' G^1, φίλιόν τ' G^2. Versus e libro ω desumtus, hic autem incommodus. Quominus legamus φιλίων τ' (*et carior quam tu es*), obstat particula τε pro οὐδὲ usurpata. Adiectivo φίλιος poeta non utitur.

352 εὐφραδέως] adv. † (adi. apud Hom. non extat, cf. Ω 354).

357 Εὐρυκλέεια § 73] -κλεια mss.

358 σοῖο P H U] σεῖο mss. pleraque. ‖ *ποθ' § 322] που mss.

αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράσκουσι.“ 360 = Hes. Op. 93
ὣς ἄρ' ἔφη· γρῆυς δὲ κατέσχετο χερσὶ πρόσωπα,
δάκρυα δ' ἔκβαλε θερμά, Ϝέπος δ' ὀλοφυδνὸν ἔϜειπε· 362ᵇ = E 683
„ὤ μοι ἐγὼ σέο, τέκνον, ἀμήχανος· ἦ σε περὶ Ζεὺς
ἀνθρώπων ἤχθηρε θεοδϜέα θυμὸν ἔχοντα.
οὐ γάρ πώ τις τόσσα βροτῶν Διὶ τερπικεραύνῳ
πίονα μηρί' ἔκη' οὐδ' ἐξαίτους ἑκατόμβας, 366ᵇ cf. ι 102
ὅσσα σὺ τῷ ἐδίδους ἀρώμενος, ἧος ἵκοιο
γῆράς τε λιπαρὸν θρέψαιό τε φαίδιμον υἱόν·
νῦν δέ τοι οἴῳ πάμπαν ἀφείλετο νόστιμον ἦμαρ. 369ᵇ = α 9
οὕτω που καὶ κείνῳ ἐφηψιάοντο γυναῖκες
ξείνων τηλεδαπῶν, ὅτεο κλυτὰ δώμαθ' ἵκοιτο,
ὡς σέθεν αἱ κύνες αἵδε καθεψιάονται ἅπασαι,
τάων νῦν λώβην τε καὶ αἴσχεα πόλλ' ἀλεείνων
οὐκ ἐάεις νίζειν· ἐμὲ δ' οὐκ ἀϜέκουσαν ἄνωγε
κούρη Ϝικαρίοιο περίφρων Πηνελόπεια. 375 = α 329
τῷ σε πόδας νίψω, ἅμα τ' αὐτῆς Πηνελοπείης
καὶ σέθεν εἵνεκ', ἐπεί μοι ὀρίνεται ἔνδοθι θυμὸς
κήδεσιν. ἀλλ' ἄγε νῦν ξυνίει Ϝέπος, ὅττι κε Ϝείπω·
πολλοὶ δὴ ξεῖνοι ταλαπείριοι ἐνθάδ' ἵκοντο,
ἀλλ' οὔ πώ τινα φημὶ ϜεϜοικότα ὧδε Ϝιδέσθαι, 380 cf. δ 141
ὡς σὺ δέμας φωνήν τε πόδας τ' Ὀδυσῆι ϜέϜοικας.“ 381 cf. δ 143
τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
„ὦ γρῆυ, οὕτω φασὶν ὅσοι Ϝίδον ὀφθαλμοῖσι
ἡμέας ἀμφοτέρους, μάλα Ϝεικέλω ἀλλήλοιιν

---

361 χερσὶ] καλὰ P (cf. θ 85).
363-369] nutrix Ulixem, quem procul a patria commorari putat, tanquam praesentem alloquitur. Versu autem 372 σέθεν dissimulatum Ulixem spectat.
364 ἤχθηρε] ἤχθαιρε P M. ‖ θεοδϜέα] θεουδέα mss.
365 τερπικεραύνῳ] vid. § 251.
367 ἐδίδους] -δως X D. ‖ ἧος § 323] ἕως (εἵως) mss. De particulae usu vid. δ 800. ‖ ἵκοιο] ἵκοιτο l Eust.; cf. λ 196.
369 τοι] οἱ G. ‖ οἴῳ] ὧδέ σε F.
370 καὶ κείνῳ] κἀκείνῳ mss. multa, cf. § 9 et 97. ‖ ἐφηψιάοντο § 191] ἐφεψιόωντο (-νται P) mss.; de verbo vid. ad ρ 530.
371 *ὅτεο] ὅτε τευ mss.; cf. § 99. ‖ κλυτὰ] κατὰ U[1].
372 αἱ] articulus molestus. ‖ καθεψιάονται § 191] -ιόωνται aut -ιόωντο mss.; comp. †, vid. ad ρ 530 et de re σ 320 sqq.
374 ἐάεις § 191] ἐάᾳς mss. ‖ ἄνωγε] § 225; ἀνώγει F M mss. alia, fortasse recte.
377 ὀρίνεται vHerwerden] ὀρώρεται mss., item τ 524; vid. etiam N 271 et cf. § 284.
381] del. Duentzer.
383 *γρῆυ] cf. § 17; γρηῦ (γρῆν P) mss. Vocativi forma contracta nonnisi χ 411 redit, hic autem requiritur forma disyllaba (vid. § 14); nominativi forma monosyllaba γρηῦς extat τ 346 (ubi diduci potest) et ω 389.

ἔμμεναι, ὡς σύ περ αὐτὴ ἐπιφρονέουσ' ἀγορεύεις.“
ὣς ἄρ' ἔφη· γρῆυς δὲ λέβηθ' ἕλε παμφανάοντα, 386ᵇ = Ψ 613
τοῦ πόδας ἐξ ἀπένιζεν, ὕδωρ δ' ἐνεχεύατο πολλὸν
ψυχρόν, ἔπειτα δὲ θερμὸν ἐπήφυσεν. αὐτὰρ Ὀδυσσεὺς
ἷζεν ἀπ' ἐσχαρόφιν, ποτὶ δὲ σκότον ἐτράπετ' αἶψα·
αὐτίκα γὰρ κατὰ θυμὸν ὀίσσατο, μή Ϝε λαβοῦσα
οὐλὴν ἀμφράσσαιτο καὶ ἀμφαδὰ Ϝέργα γένοιτο.
'νίζε δ' ἄρ' ἄσσον ἰοῦσα Ϝάναχθ' ἑϜόν· αὐτίκα δ' ἔγνω [465 φ 219 ω 332
οὐλήν, τήν ποτέ μιν σῦς ἤλασε λευκῷ ὀδόντι 393 = ψ 74 cf. τ
Παρνησόνδ' ἐλθόντα μετ' Αὐτόλυκόν τε καὶ υἷας. 394 cf. 466 φ 220

μητρὸς ἑϜῆς πατέρ' ἐσθλόν, ὃς ἀνθρώπους ἐκέκαστο 395ᵇ sq.* cf. Ω 535 sq.
κλεπτοσύνῃ θ' ὅρκῳ τε· θεὸς δέ Ϝοι αὐτὸς ἔδωκε
Ἑρμείας· τῷ γὰρ κεχαρισμένα μηρί' ἔκαιε
Ϝαρνῶν ἠδ' ἐρίφων· ὃ δέ Ϝοι πρόφρων ἅμ' ὀπήδει.
Αὐτόλυκος δ' ἐλθὼν Ἰθάκης εἰς πίονα δῆμον
παῖδα νέον γεγαῶτα 'κιχήσατο θυγατέρος Ϝῆς.
τόν ῥά Ϝοι Εὐρυκλέεια φίλοισ' ἐπὶ γούνασ' ἔθηκε 401ᵇ cf. φ 55
παυομένῳ δόρποιο, Ϝέπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε·
„Αὐτόλυκ', αὐτὸς νῦν ὄνομ' εὑρέο, ὅττι κε θῆῃς
παιδὸς παιδὶ φίλῳ· πολυάρητος δέ τοί ἐστι.“ 404ᵇ cf. h. Cer. 220
τὴν δ' αὖτ' Αὐτόλυκος ἀπαμείβετο 'φώνησέν τε·
„γαμβρὸς ἐμὸς θυγάτηρ τε, τίθεσθ' ὄνομ' ὅττι κε Ϝείπω·
πολλοῖσιν γὰρ ἐγώ γε ὀδυσσάμενος τόδ' ἱκάνω,

---

385 ἐπιφρονέουσ'] comp. † (simplex passim), cf. ἐπίφρων γ 128 etc.
386 παμφανάοντα § 191] -νόωντα mss.
387 τοῦ U] τῷ mss. pleraque. ‖ πολλὸν] πουλὺ F mss. alia male; vid. § 83.
388 ἐπήφυσεν] comp. † (simplex N 508 etc.).
389 ἀπ'] ἐπ' mss. pleraque; vid. vs. 506. ‖ ἐσχαρόφιν] vid. ad ε 59. ‖ αἶψα] vid. ad π 221.
390 ὀίσσατο] ὀίσατο F[2] U[1]; vid. ad α 323. ‖ Ϝε λαβοῦσα] Naber Ϝ' ἀφάουσα coll. Z 322.
391 οὐλὴν] e vs. 393 irrepsisse videtur. ‖ ἀμφράσσαιτο] comp. †. ‖ ἀμφαδὰ] ἀμφατὰ G. Adi. †, cf. adv. ἀμφαδόν, ἀμφαδίην, ἀναφανδόν, (ἐξαναφανδόν υ 48), ἀναφανδά.
393 μιν] οἵ G; cf. φ 219.
395-466] del. Thiersch; an vs. 394-465? vWilamowitz vs. 399-466. Hinc alienos esse quivis sentit, ex antiqua autem narratione huc videntur esse translati (vid. ad vs. 343-587); diasceuastae tribuit Kirchhoff.
395 ἀνθρώπους] -πων P[1] (-ποις P[2]).
396 κλεπτοσύνῃ θ' ὅρκῳ τε] mirae laudes; vid. Plat. Rep. I 334 a. Substantivum κλεπτοσύνη †, cf. κλέπτης Γ 11 et vid. ad ν 295. ‖ θ' ὅρκῳ] l. a. τε νόῳ.
397 μηρί' ἔκαιε] μηρί' ἔκηε(ν), μηρία καῖεν, μηρία κῆεν mss.
399 ἐλθὼν Ἰθάκης] Ἰθάκης ἐλθὼν F.
400 'κιχήσατο] θεήσατο X U (non recte pro θηήσατο).
401 Εὐρυκλέεια § 73] -κλεια mss., l. a. Ἀντίκλεια (i. e. -κλέεια), quod placet, filia enim Autolycum aptius ita alloqui poterat quam filiae ancilla. ‖ γούνασ' ἔθηκε] -σι θῆκε (θεῖσα U) mss.
402 παυομένῳ] παυσομένῳ F.
403 θῆῃς LaRoche coll. vs. 406] θείης F M, θεῖαι G U, θεῖο P H X. Medium legitur θ 554 σ 5 τ 406 (de *parentibus* tamen dictum), fortasse autem conferri potest ἄγεσθαι de mariti propinquis usurpatum δ 10 ο 238 φ 214 (vid. etiam ad I 394). Cf. LaRoche Textkr. p. 409.
406 θυγάτηρ F] θύγατερ mss. pleraque, cf. γ 230.
407 γε] om. F M X, δὴ G U n. ‖ ὀδυσσάμενος] cf. α 62.

ἀνδράσιν ἠδὲ γυναιξὶν ἀνὰ χθόνα πουλυβότειραν·
τῷ δ' Ὀδυσεὺς ὄνομ' ἔστω ἐπώνυμον. αὐτὰρ ἐγώ γε,
ὁππότε χ' ἡβήσας μητρώιον εἰς μέγα δῶμα
ἔλθῃ Παρνησόνδε, ὅθι μοι κτήματ' ἔασι,
τῶν Ϝοι ἐγὼ δώσω καί μιν χαίροντ' ἀποπέμψω."
τῶν ἕνεκ' ἦλθ' Ὀδυσεύς, ἵνα Ϝοι πόροι ἀγλαὰ δῶρα.
τὸν μὲν ἄρ' Αὐτόλυκός τε καὶ υἱέες Αὐτολύκοιο — 414 = 459
χερσίν τ' ἠσπάζοντο Ϝέπεσσί τε μειλιχίοισι· — 415 cf. K 542
μήτηρ δ' Ἀμφιθέη μητρὸς περιφῦσ' Ὀδυσῆι — 415^{a} = γ 35
'κύσσ' ἄρα μιν κεφαλήν τε καὶ ἄμφω φάεα καλά. — 417 cf. π 15
Αὐτόλυκος δ' υἱοῖσιν ἐκέκλετο κυδαλίμοισι
δεῖπνον ἐφοπλίσσαι· τοὶ δ' ὀτρύνοντος ἄκουσαν, — 419^{b} = β 423
αὐτίκα δ' εἰσάγαγον βοῦν ἄρσενα πεντεϜέτηρον·
τὸν 'δέρον ἀμφί θ' ἕπον, καί μιν διέχευαν ἅπαντα, — 421-423^{a} = H 316 sqq.
μίστυλλόν τ' ἄρ' ἐπισταμένως 'πεῖράν τ' ὀβελοῖσι,
ὤπτησάν τε περιφραδέως, ἐδάσαντό τε μοίρας.
ὣς τότε μὲν πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα — 424 sq. = A 601 sq.
'δαίνυντ', οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐϜίσης·
ἦμος δ' ἠέλιος κατέδυ καὶ ἐπὶ κνέφας ἦλθε, — 426 = A 475
δὴ τότ' ἐκοιμήσαντο καὶ ὕπνου δῶρον ἕλοντο. — 427 cf. H 482
ἦμος δ' ἠριγένεια 'φάνη ῥοδοδάκτυλος Ἠώς, — 428 = A 477
'βάν ῥ' ἴμεν' εἰς θήρην ἠμὲν κύνες ἠδὲ καὶ αὐτοὶ
υἱέες Αὐτολύκου, μετὰ τοῖσι δὲ δῖος Ὀδυσσεὺς — 430 = 437
ἤιεν· αἰπὺ δ' ὄρος προσέβαν καταϜειμένον ὕλῃ — 431^{b} cf. ν 351
Παρνησοῦ, τάχα δ' ἵκανον πτύχας ἠνεμοέσσας.
ἠέλιος μὲν ἔπειτα νέον προσέβαλλεν ἀρούρας — 433 sq. = H 421 sq.
ἐξ ἀκαλαρρείταο βαθυρρόου Ὠκεανοῖο·
οἱ δ' εἰς βῆσσαν ἵκανον ἐπακτῆρες· πρὸ δ' ἄρ' αὐτῶν
ἴχνε' ἐρευνῶντες κύνες ἤισαν, αὐτὰρ ὄπισθε
υἱέες Αὐτολύκου, μετὰ τοῖσι δὲ δῖος Ὀδυσσεὺς — 437 = 430
ἤιεν ἄγχι κυνῶν, κραδάων δολιχόσκιον ἔγχος. — 438^{b} = H 213
ἔνθα δ' ἄρ' ἐν λόχμῃ πυκινῇ κατέκειτο μέγας σῦς·
τὴν μὲν ἄρ' οὔτ' ἀνέμων διάει μένος ὑγρὸν ἀέντων — 440-442 cf. ε 478 sqq
οὔτε μιν ἠέλιος φαέθων ἀκτῖσιν ἔβαλλε

408 πολυβότειραν F D] πουλ. L W (cf. § 21), βοτιάνειραν G P H U mss. alia fortasse recte (cf. A 155).
409 ἐγώ γε] ἔπειτα G (cf. α 123).
410 ὁππότε χ' § 326] ὁππότ' ἂν mss. ‖ μητρώιον] †, cf. μήτρως B 662 Π 717; πατρώιον G.
411 *Παρνησόνδε, ὅθι] -σόνδ', ὅθι που mss.; -σόνδ', ὅθι περ WCKayser.
416 Ὀδυσῆι] -σῆα G F.
417 φάεα καλά] *φάεε καλώ? vid. ad π 15.
418 υἱοῖσιν] dativi pluralis forma insolita, cf. § 78 et vid. ad vs. 395-466.
419 ὀτρύνοντος] -ναντος n.
420 ἄρσενα] πίονα U. ‖ πεντεϜέτηρον] πενταέτηρον mss.
422 ἄρ' — ὀβελοῖσι] ἄρα τἄλλα καὶ ἀμφ' ὀβελοῖσιν ἔπειρον G (cf. ξ 430).
423 ἐδάσαντό τε μοίρας] δάσσαντό τε μοίρας G U, ἐρύσαντό τε μοίρας aut πάντα mss. pleraque (cf. ξ 431).
429 αὐτοὶ] ἄνδρες G.
431 προσέβαν] ἐπέβαν F M X. ‖ ὕλῃ] ὕλην G F.
432 ἠνεμοέσσας] cf. § 21.
434] del. Bothe, mancam enim esse sententiam nisi addatur οὐρανὸν εἰσανιών; quae verba subiciuntur loco parallelo. ‖ ἀκαλαρρείταο] vid. H 422.
435 ἐπακτῆρες] vox redit P 135, cf. ἐπάγειν (agitare) τ 445.
436 ἴχνε' Barnes] ἴχνη vel ἴχνι' mss.; vid. ad N 71.
439 λόχμῃ] † a stirpe λεχ § 232 (λέχος, λόχος etc.).
440 διάει] διάη G U[1] i[1]; cf. § 197.
441 μιν] ποτ' Duentzer ex ε 479.

τὴν γρῆυς χείρεσσι καταπρηνέσσι λαβοῦσα
'γνῶ ῥ' ἐπιμασσαμένη, πόδα δὲ προέηκε φέρεσθαι·
ἐν δὲ λέβητ' ἔπεσε κνήμη, 'κανάχησε δὲ χαλκός,
ἂψ δ' ἑτέρωσ' ἐκλίθη· τὸ δ' ἐπὶ χθονὸς ἐξέχυθ' ὕδωρ.
τὴν δ' ἅμα χάρμα καὶ ἄλγος ἕλε φρένα, τὼ δέ Ϝοι ὄσσε — 471^{b} sq. = P 695 sq.

οὔτ' ὄμβρος 'περάεσκε διαμπερές· ὣς ἄρα πυκνὴ
ἦεν, ἀτὰρ φύλλων ἐνέην χύσις ἤλιθα πολλή. — 443 cf. ε 483
τὸν δ' ἀνδρῶν τε κυνῶν τε περὶ κτύπος ἦλθε ποδοῖιν, — 444^{b} cf. π 6
ὡς ἐπάγοντες ἐπῆσαν. ὁ δ' ἀντίος ἐκ ξυλόχοιο,
φρίξας εὖ λοφιήν, πῦρ δ' ὀφθαλμοῖσι δεδορκώς, — 446^{a} cf. Hes. Scut. 391
'στῆ ῥ' αὐτῶν σχεδόθεν. ὁ δ' ἄρα πρώτιστος Ὀδυσσεὺς
ἔσσυτ' ἀνασχόμενος δολιχὸν δόρυ χειρὶ παχείῃ,
οὐτάμεναι μεμαώς· ὁ δέ μιν φθάμενος ἔλασεν σῦς — 449^{a} = Φ 68, 449^{b} cf. N 387
γουνὸς ὕπερ, πολλὸν δὲ διήφυσε σαρκὸς ὀδόντι
λικριφὶς ἀίξας, οὐδ' ὀστέον ἵκετο φωτός. — 451^{a} = Ξ 463
τὸν δ' Ὀδυσεὺς οὔτασσε τυχὼν κατὰ δεξιὸν ὦμον, — 452^{b} = E 98
ἄντικρυς δὲ διῆλθε φαεινοῦ δουρὸς ἀκωκή· — 453 cf. Δ 253
κὰδ δ' ἔπεσ' ἐν κονίῃσι μακών, ἀπὸ δ' ἔπτατο θυμός. — 453^{a} = Ψ 876, 454 = Π 469
τὸν μὲν ἄρ' Αὐτολύκου παῖδες φίλοι ἀμφεπένοντο· — 455 cf. Φ 203
ὠτειλὴν δ' Ὀδυσῆος ἀμύμονος ἀντιθέοιο
'δῆσαν ἐπισταμένως, ἐπαοιδῇ δ' αἷμα κελαινὸν
ἔσχεθον, αἶψα δ' ἵκοντο φίλου πρὸς δώματα πατρός.
τὸν μὲν ἄρ' Αὐτόλυκός τε καὶ υἱέες Αὐτολύκοιο — 459 = 414
εὖ ἰησάμενοι ἠδ' ἀγλαὰ δῶρα πορόντες
καρπαλίμως χαίροντα φίλην εἰς πατρίδ' ἔπεμπον,
εἰς Ἰθάκην. τῷ μέν ῥα πατὴρ καὶ πότνια μήτηρ
'χαῖρον νοστήσαντι καὶ ἐξερέεινον ἅπαντα,
οὐλὴν ὅττι πάθοι· ὁ δ' ἄρα σφίσιν εὖ κατέλεξε,
ὥς μιν θηρεύοντ' ἔλασεν σῦς λευκῷ ὀδόντι — 465 cf. 393, 465^{b} = ω 332 [394
Παρνησόνδ' ἐλθόντα σὺν υἱάσιν Αὐτολύκοιο. — 466 = φ 220 cf. τ

442 'περάεσκε § 191] περάασκε mss.
443 ἐνέην] ἔνεεν? vid. § 302. ‖ χύσις et ἤλιθα] vid. ad ε 483.
444 ἦλθε ποδοῖιν] ἤλυθε ποσσὶν n; numerus dualis de multorum, etiam quadrupedum, pedibus usurpatus suspicionem movet, vid. § 52.
445 ὡς] οὓς U et l. a. apud Eust., ἃς k. ‖ ἐπάγοντες] vid. ad vs. 435. ‖ ἐπῆσαν] † pro -ισαν aut -ήισαν, cf. § 308.
446] imitatur Aristophanes Ran. 822. ‖ εὖ] εὗ Apoll. Pron. 97 (male, cf. § 92). Nauck μὲν; si quid mutandum, malumus *τε…τ'. ‖ λοφιὴν] †, cf. λόφος Ψ 508 etc.
451 λικριφὶς] nonnisi Ξ 463 redit (cf. λίγδην χ 278?).
452 οὔτασσε § 150] οὔτησε mss.
453 ἄντικρυς § 31] ἀντικρὺ mss. ‖ διῆλθε] Δ 253 est διέσχε.
454 ἔπτατο] cf. § 216.
455 τὸν] *aprum.*
456 ὠτειλὴν] vid. ad Δ 140.
457 ἐπαοιδῇ] †, *incantamentis*; cf. Pindar. Pyth. III 91 Soph. Ai. 582 Verg. Aen. VII 757 Plin. Hist. Nat. XXVIII 2 etc.
458 φίλου] φίλα l (ut h. Cer. 107, 180).
461 φίλην ε(l); πατρίδ' F] φίλως (φίλον U[2]) χαίροντες mss. cett.; cf. γ 272 ρ 83.
463 νοστήσαντι] vid. ad E 682. ‖ ἅπαντα l] ἕκαστα mss. cett. (neglecto Ϝ); ἐξερέοντο Ϝέκαστα criticus apud Nauckium. Cf. ρ 70.
464 πάθοι] de optativo vid. § 109.
465 θηρεύοντ'] † (sed θηρευτής Λ 325 M 41?).
469 λέβητ' ἔπεσε] -τι πέσε mss. ‖ 'κανάχησε] vid. ad M 36.
471] in schol. comparatur Aesch. Agam. 270.

δακρυόφι 'πλῆσθεν, θαλερὴ δέ Ϝοι ἔσχετο φωνή.
ἁψαμένη δὲ γενείου Ὀδυσσῆα προσέϜειπε·
„ἦ μάλ' Ὀδυσσεύς ἐσσι, φίλον τέκος· οὐδέ σ' ἐγώ γε
πρὶν ἔγνων, πρὶν πάντα Ϝάνακτ' ἐμὸν ἀμφαφάεσθαι.“
ἦ, καὶ Πηνελόπειαν ἐσέδρακεν ὀφθαλμοῖσι,
πεφραδέμεν ἐθέλουσα φίλον πόσιν ἔνδον ἐόντα.
ἡ δ' οὔτ' ἀθρῆσαι 'δύνατ' ἀντίη οὔτε νοῆσαι·
τῇ γὰρ Ἀθηναίη νόον ἔτραπεν. αὐτὰρ Ὀδυσσεὺς
χείρ' ἐπιμασσάμενος φάρυγος 'λάβε δεξιτερῆφι, 480 cf. ψ 76
τῇ δ' ἑτέρῃ Ϝέθεν ἆσσον ἐρύσσατο 'φώνησέν τε· 480ª = ι 302
„μαῖα, τίη μ' ἐθέλεις ὀλέσαι; σὺ δέ μ' ἔτρεφες αὐτὴ
τῷ σῷ ἐπὶ μαζῷ· νῦν δ' ἄλγεα πολλὰ μογήσας
ἦλθον ἐϜεικοστῷ Ϝέτεϊ εἰς πατρίδα γαῖαν. 484 = π 206
ἀλλ' ἐπεὶ ἐφράσθης καί τοι θεὸς ἔμβαλε θυμῷ, 485 = ψ 260
486 σίγαε, μή τις ἔτ' ἄλλος ἐνὶ μεγάροισι πύθηται.“ 486ª cf. Ξ 90
491 τὸν δ' αὖτε προσέϜειπε περίφρων Εὐρυκλέεια· 491ᵇ sq. = ψ 69 sq.
„τέκνον ἐμὸν, ποῖόν σε Ϝέπος 'φύγεν ἕρκος ὀδόντων; 492 = α 64
Ϝοῖσθα μὲν, οἷον ἐμὸν μένος ἔμπεδον οὐδ' ἐπιϜεικτόν· 493 cf. Θ 32
ἔξω δ', ὡς ὅτε τις στερεὴ λίθος ἠὲ σίδηρος.

487 ὧδε γὰρ ἐκϜερέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται· 487 = Λ 212
εἴ χ' ὑπ' ἐμοί γε θεὸς δαμάσῃ μνηστῆρας ἀγαυούς, 488 = φ 213 cf. τ 496
οὐδὲ τροφοῖ' οὔσης σέ' ἀφέξομαι, ὁππότε κ' ἄλλας
δμῳὰς ἐν μεγάροισιν ἐμοῖς κτείνωμι γυναῖκας.

472 ἴσχετο] sic Ar.? vid. ad δ 705.
473] cf. Λ 500 sq. Κ 454 sq.
474 μάλ'] σύ γ' F.
475 πάντα] vix sanum; Duentzer ἄντα (γ' ἄντα?), vid. v. l. κ 453; sed cum verbo ἀφάεσθαι hoc adv. apte iungi vix potuit. || ἀμφαφάεσθαι § 191] -φάασθαι mss.; de inf. praes. vid. ad Λ 99.
476-479 ὀφθαλμοῖσι — ἔτραπεν] del. La Roche.
477 πεφραδέμεν § 126] -έειν mss.
478 ἡ δ' οὔτ' ... οὔτε] οὐδ' αὖτ' ... οὐδὲ Apoll. lex. || ἀντίη] ἀντίον F U¹.
480 χείρ'] vid. ad ι 302.
481 ἐρύσσατο] neglecto Ϝ; *ἄγχι' Ϝερύσσατο?
483 sq.] suspecti Bothio.
483 τῷ] articulus molestus. || μαζῷ] Duentzer κολπῷ.
484 ἦλθον ἐϜεικοστῷ Bekker] ἤλυθον εἰκοστῷ mss.
485 ἐφράσθης] vid. ad ε 183.
486 σίγαε § 191] σίγα mss. || ἔτ' vHerwerden] τ' mss. (om. P Eust.), vid. Ξ 90.
487-490] del. Fick.
487 ἐκϜερέω] ἐξερέω mss. || τὸ δὲ καὶ F] καὶ μὴν G H¹ U n, καί κεν P H² M X D mss. alia.
489 τροφοῖ' § 59] τροφοῦ mss. || οὔσης] novicium pro ἐούσης, cf. § 302; Nitzsch (ad η 94) αὐτῆς. || σέ' § 92] σεῦ mss. || ὁππότε κ' § 326] ὁππότ' ἂν mss.
490 ἐν G F] ἐνί(μ) mss. pleraque metro invito. || ἐμοῖς] novicium, cf. § 60; *μεγάροισι κατακτείνωμι? || κτείνωμι H U¹] κτείναιμι mss. pleraque.
491-502] del. LaRoche.
491 Εὐρυκλέεια § 73] -κλεια mss.
493 οὐδ'] οὐκ G F P U n, cf. Ε 892 Π 549.
494 ὡς — λίθος] ἠΰτε περ κρατερὴ δρῦς Plut. Mor. 506 a.

ἄλλο δέ τοι Ϝερέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσι· 495 = Λ 297
εἴ χ' ὑπὸ σοί γε θεὸς δαμάσῃ μνηστῆρας ἀγαυούς, 496 cf. 488
δὴ τότε τοι καταλέξω ἐνὶ μεγάροισι γυναῖκας, 497 sq. cf. χ 417 sq.
αἵ τέ σ' ἀτιμάζουσι καὶ αἳ νηλείτιδές εἰσι.“ 498 = π 317
τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
„μαῖα, τίη δὲ σὺ τὰς μυθήσεαι; οὐδέ τί σε χρή·
εὖ νυ καὶ αὐτὸς ἐγὼ φράσομαι καὶ Ϝείσομ' ἑκάστην.
ἀλλ' ἔχε σιγῇ μῦθον, ἐπίτρεψον δὲ θεοῖσι.“
ὣς ἄρ' ἔφη· γρῆυς δὲ δι' ἐκ μεγάροι' ἐβεβήκει 503 = σ 185
οἰσομένη ποδάνιπτρα· τὰ γὰρ πρότερ' ἔκχυτο πάντα.
αὐτὰρ ἐπεὶ 'νίψεν τε καὶ ἤλειψεν λίπ' ἐλαίῳ, 505ᵇ cf. Σ 350
αὖτις ἄρ' ἀσσοτέρω πυρὸς εἵλκετο δίφρον Ὀδυσσεὺς
θερσόμενος, οὐλὴν δὲ κατὰ ῥακέεσσ' ἐκάλυψε.
τοῖσι δὲ μύθων ἦρχε περίφρων Πηνελόπεια· 508 = 103
„ξεῖνε, τὸ μέν σ' ἔτι τυτθὸν ἐγὼν εἰρήσομαι αὐτή· 509 cf. 104
καὶ γὰρ δὴ κοίτου τάχα Ϝηδέος ἔσσεται ὥρη,
ὅν τινά γ' ὕπνος ἕλῃ γλυκερὸς καὶ κηδόμενόν περ.
αὐτὰρ ἐμοὶ καὶ πένθος ἀμέτρητον 'πόρε δαίμων·
ἤματα μὲν γὰρ τέρπομ' ὀδυρομένη, γοάουσα,
εἴς τ' ἐμὰ Ϝέργ' ὁράουσα καὶ ἀμφιπόλων ἐνὶ Ϝοίκῳ·
αὐτὰρ ἐπεὶ νὺξ ἔλθῃ ἕλῃσί τε κοῖτος ἅπαντας,
κεῖμαι ἐνὶ λέκτρῳ, πυκιναὶ δέ μοι ἀμφ' ἀδινὸν κῆρ 516ᵇ cf. Π 481
517 ὀξεῖαι μελεδῶνες ὀδυρομένην ἐρέθουσι,

495-502] versus importunos (cf. χ 417 sqq.) del. vHerwerden, vs. 503 legens ὥς ἄρα φωνήσασα.
498 νηλείτιδες] videantur quae ad π 317 adnotavimus.
501 ἑκάστην] neglecto Ϝ; εὖ νυ Ϝεκάστην φράσσομ' ἐγὼ καὶ Ϝείσομαι αὐτός Fick (εἴσομαι habent G F), qui deletum tamen versum mavult.
503 μεγάροι' ἐβεβήκει] -ροιο β. mss.; cf. § 59.
504 ποδάνιπτρα] cf. vs. 343.
505 τε] *Ϝε? || λίπ'] cf. § 13.
506 εἵλκετο] ἕλκετο mss.
507 θερσόμενος] cf. § 254. || ῥακέεσσ' ἐκάλυψε] -σσι κ. mss.
509 αὐτή] cf. vs. 104.
510 κοίτου τάχα Ϝηδέος ἔσσεται vHerwerden] κοίτοιο τάχ' ἔσσεται ἡδέος mss., κοίτοιο τάχ' ἡδέος ἔσσεται ed. Flor.
511 γ'] om. P. Particulam γ' relativo additam sine causa vituperat PKnight proleg. p. 68. || ἕλῃ G F M X D U] ἕλοι mss. multa.
512 ἀμέτρητον] adi. redit ψ 249, vid. ad Γ 315.
513 ὀδυρομένη, γοάουσα] αἰεὶ γοόωσά περ ἔμπης vHerwerden, vulgatam ex δ 800 interpolatam ratus. Vid. δ 194. || γοάουσα § 191] γοόωσα mss.
514 ὁράουσα § 191] ὁρόωσα mss.
515 ἐπεὶ H] ἐπὴν mss. cett.; cf. § 326.
516 ἀδινὸν] vid. ad Β 87.
517 μελεδῶνες G² H² M U¹ n] μελεδῶναι G¹ F P H¹ mss. alia; redit vox h. Ap. 532 Merc. 447 Hes. Oper. 66; alias μελεδήματα.

ἠὲ μένω παρὰ παιδὶ καὶ ἔμπεδα πάντα φυλάσσω, 525 cf. λ 178
κτῆσιν ἐμήν, δμῶάς τε καὶ ὑψερεφὲς μέγα δῶμα, 526 = Τ 333
εὐνήν τ' αἰδομένη πόσιος δήμοιό τε φῆμιν, 527 = π 75
ἦ ἤδη ἅμ' ἕπωμαι, Ἀχαιῶν ὅς τις ἄριστος 528 cf. π 76
μνάητ' ἐν μεγάροισι πορὼν ἀπερείσια Ϝέδνα. 529a = π 77 529b cf. Π 178
παῖς δ' ἦος μὲν ἔην ἔτι νήπιος ἠδὲ χαλίφρων,
γήμασθ' οὔ μ' εἴα πόσιος κατὰ δῶμα λιποῦσαν· 531 cf. σ 270
νῦν δ' ὅτε δὴ μέγας ἐστὶ καὶ ἥβης μέτρον ἱκάνει, 532 cf. σ 217 532a cf. β 314
καὶ δή μ' ἀράεται πάλιν ἐλθέμεν' ἐκ μεγάροιο
κτήσιος ἀσχαλάων, τήν Ϝοι κατέδουσιν Ἀχαιοί.
ἀλλ' ἄγε μοι τὸν ὄνειρον ὑπόκριναι καὶ ἄκουσον.
χῆνές μοι κατὰ Ϝοῖκον ἐϜείκοσι πυρὸν ἔδουσι
ἐξ ὕδατος, καί τέ σφιν ἰαίνομαι εἰσοράουσα·
ἐλθὼν δ' ἐξ ὄρεος μέγας αἰετὸς ἀγκυλοχείλης 538a cf. χ 303
πᾶσι κατ' αὐχέν' ἔϜαξε καὶ ἔκτανεν· οἳ δ' ἐκέχυντο

518 ὡς δ' ὅτε Πανδαρέου κούρη χλωρηὶς ἀηδὼν 518a cf. υ 66
καλὸν ἀείδησιν Ϝέαρος νέον ἱσταμένοιο,
520 δενδρέων ἐν πετάλοισι καθεζομένη πυκινοῖσι, 520a cf. Hes. Op. 486b
ἥ τε θαμὰ τροπάουσα χέει πολυϜηχέα φωνήν,
παῖδ' ὀλοφυρομένη Ἴτυλον φίλον, ὅν ποτε χαλκῷ
'κτεῖνε δι' ἀφραδίας, κοῦρον Ζήθοιο Ϝάνακτος·
ὣς καὶ ἐμοὶ δίχα θυμὸς ὀρίνεται ἔνθα καὶ ἔνθα,

518-524] comparationem ineptam postea, fortasse a diasceuasta, insertam esse censet Kirchhoff; cf. υ 66-82 et ψ 218-224. Duentzer del. vs. 518-534, fortasse iure. Locum imitatur Verg. Georg. IV 511-515.

518 *Πανδαρέου*] *Πανδάρεω* P² Y, *Πανδαρέη* G; cf. λ 298. *Pandareus* hic dicitur qui alias (Hes. Oper. 568 etc.) vocatur *Pandion*. ‖ *χλωρηὶς*] †, cf. *χλωρός* Η 479 etc.; *subviridis* dicitur luscinia (*L. philomela*) ut apud Simonidem (fr. 73) *χλωραύχην*. Alienus hinc est Hes. Oper. 203, ubi pro *ποικιλόδειρος* Ruhnkenius restituit *ποικιλόγηρυς* e scholii interpretatione *ποικιλόφωνος*, ut alias luscinia *μελίγηρυς* audit. ‖ *ἀηδὼν*] †.

520 *δενδρέων*] cf. § 8; *δενδρέου* (?) Aelian. Hist. Anim. V 38. An *δένδρεος*? cf. Γ 152.

521 *τροπάουσα* § 191 et 251] *τρωπῶσα* (*τροπῶσα* H) mss. ‖ *πολυϜηχέα*] cf. Aelian. Hist. Anim. V 38, ubi commemoratur l. a. *πολυδευκέα*.

523 *κοῦρον*] *ξεῖνον* P. ‖ *Ζήθοιο*] *Ζήταο* l. a. apud Eust.; cf. Helladius apud Phot. Biblioth. 531a,20.

524 *ὀρίνεται* Eust. 1875,58] *ὀρώρεται* mss.; cf. vs. 377.

526] del. Kirchhoff.

529 *μνάητ' ἐν* PKnight] *μνᾶται ἐνὶ* mss.; cf. § 190 et 191. ‖ *πορὼν ἀπερείσια Ϝέδνα*] *ἀνὴρ καὶ πλεῖστα πόρῃσι* IHVoss coll. π 77. ‖ *Ϝέδνα*] vid. ad Π 178.

530 *ἦος μὲν* PCauer] *ἐμὸς ἕως μὲν* mss., *ἐμὸς ἦος* Nauck; cf. § 323. ‖ *ἔην*] *ἔεν*? vid. § 302. ‖ *ἠδὲ*] *ἠὲ* mss. complura (cf. δ 371). ‖ *χαλίφρων*] vid. ad δ 371.

532 *ὅτε δὴ*] vid. ad β 314.

533 *μ' ... πάλιν ἐλθέμεν'*] *ut (ad patrem meum) redeam*. ‖ *ἀράεται* § 191] *ἀρᾶται* mss. ‖ *ἐλθέμεν'*] *ἐλθεῖν* G X Eust.; cf. § 125.

534 *ἀσχαλάων* § 191] *ἀσχαλόων* vel *ἀσχάλλων* (cf. β 193) mss.

536 *πυρὸν*] *σῖτον* P.

537 *εἰσοράουσα* § 191] *εἰσορόωσα* mss.

539 *αὐχέν' ἔϜαξε*] *αὐχέν' ἔηξεν* (*ἔαξε* cod. V) Herodian. π. μον. λέξ. p. 15 Dind., *αὐχένας* (-*νος* P H) *ἦξε* mss.

ἀθρόοι ἐν μεγάροισ', ὃ δ' ἐς αἰθέρα δῖαν ἀέρθη.
αὐτὰρ ἐγὼ 'κλαῖον καὶ ἐκώκυον ἔν περ ὀνείρῳ,
ἀμφὶ δ' ἔμ' ἠγερέθοντο ἐυπλοκαμῖδες Ἀχαιαὶ
οἴκτρ' ὀλοφυρομένην, ὅ μοι αἰετὸς ἔκτανε χῆνας. 543a cf. δ 719
ἂψ δ' ἐλθὼν κατ' ἄρ' ἕζετ' ἐπὶ προέχοντι μελάθρῳ,
φωνῇ δὲ βροτέῃ κατερήτυε 'φώνησέν τε·
‚θάρσεε, Ϝικαρίου κούρη τηλεκλειτοῖο·
οὐκ ὄναρ, ἀλλ' ὕπαρ ἐσθλόν, ὅ τοι τετελεσμένον ἔσται. 547 cf. υ 90
χῆνες μὲν μνηστῆρες, ἐγὼ δέ τοι αἰετὸς ὄρνις
ἦα πάρος, νῦν αὖτε τεὸς πόσις εἰλήλουθα,
ὃς πᾶσι μνηστῆρσιν ἀϜεικέα πότμον ἐφήσω.‘
ὣς ἔφατ', αὐτὰρ ἐμὲ μελιϜηδὴς ὕπνος ἀνῆκε·
παπτήνασα δὲ χῆνας ἐνὶ μεγάροισ' ἐνόησα
πυρὸν ἐρεπτομένους παρὰ πύελον, ἧχι πάρος περ.“
τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
„ὦ γύναι, οὔ πως ἔστιν ὑποκρίνασθαι ὄνειρον
ἄλλῃ ἀποκλίναντ', ἐπεὶ ἦ ῥά τοι αὐτὸς Ὀδυσσεὺς
'πέφραδ', ὅπως τελέει· μνηστῆρσι δὲ φαίνετ' ὄλεθρος
πᾶσι μάλ', οὐδέ κέ τις θάνατον καὶ κῆρας ἀλύξῃ.“ 558 cf. ρ 547
τὸν δ' αὖτε προσέϜειπε περίφρων Πηνελόπεια·
„ξεῖν', ἦ τοι μὲν ὄνειροι ἀμήχανοι ἀκριτόμυθοι
γίγνοντ', οὐδέ τι πάντα τελείεται ἀνθρώποισι.

562 δοιαὶ γάρ τε πύλαι ἀμενηνῶν εἰσὶν ὀνείρων·
αἳ μὲν γὰρ κεράεσσι τετεύχαται, αἳ δ' ἐλέφαντι.
τῶν οἳ μέν κ' ἔλθωσι διὰ πριστοῖ' ἐλέφαντος,

540 *μεγάροισ'*] -*ρῳ* M D L W (cf. β 411). ‖ *αἰθέρα δῖαν*] vid. ad Π 365. ‖ *αἰθέρα*] *ἠέρα* l. a. apud Eust. ‖ *δῖαν*] *δῖον* G F.

542 *ἐυπλοκαμῖδες*] cf. β 119.

544 *προέχοντι*] *προύχοντι* mss.

545 *βροτέῃ*] adi. h. Ven. 47 redit (vid. etiam ad Φ 213); cf. § 61.

546 *θάρσεε* § 191] *θάρσει* mss.

547 *ὕπαρ*] nonnisi υ 90 redit.

552 *μεγάροισ' ἐνόησα*] -*σι νόησα* F U.

553 *πύελον*] †, *labrum*. Vox apud posteros primam syllabam habet brevem, quapropter *πύελον πάρα* proponitur apud Nauckium. ‖ *ἧχι*] vid. Λ 607 Γ 326 Δ 76 γ 87.

556 *ἀποκλίναντ'*] comp. nonnisi h. Ven. 169 redit.

558 *ἀλύξῃ* § 122] -*ξει* (-*ξοι* F) mss. ‖ In X L W n q subiungitur *μνηστήρων, οἳ δῶμα κατ' ἀντιθέου Ὀδυσῆος | ἀνέρες* (l. -*ρας*) *ὑβρίζοντες ἀτάσθαλα μηχανάονται* (cf. υ 369 sq. et ρ 588).

562-569] del. Fick. Notissimi sunt versus (cf. Plat. Charmid. 173a Horat. Od. III 27, 41 Verg. Aen. VI 893 sqq.), sed magnum poetam, hoc praesertim narrationis loco, dedecet lusus e verborum *ἐλέφας—ἐλεφαίρομαι* et *κέρας—κραίνω* inani similitudine ductus, quam veram explicationem (praeter nugas multas) praebent scholia ad vs. 563.

564 *πριστοῖ'* § 59] *πριστοῦ* mss.; cf. σ 196.

ἄλλο δέ τοι Ϝερέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσι· 570 = Α 297
ἥδε δὴ ἠὼς εἶσι δυσώνυμος, ἥ μ' Ὀδυσῆος
Ϝοίκου ἀποσχήσει· νῦν γὰρ καταθήσω ἄεθλον,
τοὺς πελέκυς, τοὺς κεῖνος ἐνὶ μεγάροισιν ἑϜοῖσι
ἵστασχ' ἑξείης, δρυόχους ὥς, δώδεκα πάντας·
στὰς δ' ὅ γε πολλὸν ἄνευθε διερρίψασκεν ὀιστόν.
νῦν δὲ μνηστήρεσσιν ἄεθλον τοῦτον ἐφήσω·
ὃς δέ κε ῥηίτατ' ἐντανύσῃ βιὸν ἐν παλάμῃσι 577-581 = φ 75 sqq.
καὶ διοϊστεύσῃ πελέκεων δύο καὶ δέκα πάντων,
τῷ κεν ἅμ' ἑσποίμην νοσφισσαμένη τόδε δῶμα 579 cf. φ 104
κουρίδιον, μάλα καλόν, ἐνίπλειον βιότοιο,
τοῦ ποτε μεμνήσεσθαι ὀίομαι ἔν περ ὀνείρῳ."
τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς· 582 sq. = 164 sq.
„ὦ γύναι αἰδοίη Λαερτιάδα' Ὀδυσῆος,
μηκέτι νῦν ἀνάβαλλε δόμοισ' ἔνι τοῦτον ἄεθλον·
πρὶν γάρ τοι πολύμητις ἐλεύσεται ἐνθάδ' Ὀδυσσεύς, 585ᵇ = ξ 161
πρὶν τούτους τόδε τόξον ἐύξοον ἀμφαφάοντας 586 cf. ϑ 215
νευρήν τ' ἐντανύσαι διοϊστεῦσαί τε σιδήρου." 587 cf. φ 97, 114, 127
τὸν δ' αὖτε προσέϜειπε περίφρων Πηνελόπεια·
„εἴ κ' ἐθέλοις μοι, ξεῖνε, παρήμενος ἐν μεγάροισι 589ᵃ = ρ 521

565 οἵ ῥ' ἐλεφαίρονται Ϝέπε' ἀκράαντα φέροντες·
οἳ δὲ διὰ ξεστῶν κεράων ἔλθωσι θύραζε,
οἵ ῥ' ἔτυμα κραίνουσι, βροτῶν ὅς τίς τε Ϝίδηται.
ἀλλ' ἐμοὶ οὐκ ἐντεῦθεν ὀίομαι αἰνὸν ὄνειρον
ἐλθέμεν'· ἦ κ' ἀσπαστὸν ἐμοὶ καὶ παιδὶ γένοιτο.

565 ῥ'] τ' vel γ' vel δ' mss. multa. || ἐλεφαίρονται] verbum nonnisi Ψ 388 redit.
567 κραίνουσι] vid. § 267. || βροτῶν] βροτοῖς G n, fortasse recte. || *ὅς τίς τε] ὅτε (ὅτι P) κέν τις mss.
568 ἐντεῦθεν] nonnisi h. Merc. 558 redit; Vid. ad Ι 601.
571-588] del. Kammer.
572 γὰρ] οὖν Hartman.
573 πελέκυς § 75] -κεας (-κας F¹ U¹) mss.
574 δρυόχους] †, *fulcra* quibus sustentatur carina dum construitur navis; vid. ad φ 422, Aristoph. Thesm. 52, Platon. Tim. 81 *b*, Apoll. Rhod. I 723, Polyb. I 38, Helbig Hom. Epos¹ p. 255.
575 διερρίψασκεν (διαρρ.) Kirchhoff] διαρρίπτασκεν mss.; cf. § 146.
578 πελέκεων] de synizesi vid. § 8.
579 ἑσποίμην] cf. § 247.
579 sq. δῶμα κουρίδιον] item φ 78; Ο 40 λέχος dicitur κουρίδιον, ο 22 pro subst. est κουρίδιος, ceteris locis *uxoris* vel *mariti* est epitheton.
583 Λαερτιάδα' § 55] -δεω mss.
584 τοῦτον ἄεθλον] τοῦτο νόημα P (cf. β 363).
586 τόδε] τόγε n, l. a. ποτε. || ἀμφαφάοντας § 191] ἀμφαφάωντας G F, -φάασθαι P, -φόωντας mss. cett.
587 τ'] om. F X n. || σιδήρου] *ferreae secures* commemorantur etiam Δ 485 Ψ 850; praeterea vid. φ 97, 114, 127, 328 ω 177.
589 κ'] male abundat (om. Eust.); *δ'? || ἐθέλοις] -λεις G F M n Eust. mss. alia.

τερπέμεν', οὔ κέ μοι ὕπνος ἐπὶ βλεφάροισι χυθείη.
ἀλλ' ἦ τοι μὲν ἐγὼν ὑπερώιον εἰσαναβᾶσα 594ᵇ-597ᵃ = ρ 101 sqq.
λέξομαι εἰς εὐνήν, ἥ μοι στονόεσσα τέτυκται,
αἰεὶ δάκρυσ' ἐμοῖσι πεφυρμένη, ἐξ οὗ Ὀδυσσεὺς
ᾤχετ' ἐποψόμενος ΚακοϜίλιον οὐκ ὀνομαστήν. 597 = 260
ἔνθα κε λεξαίμην· σὺ δὲ λέξεο τῷδ' ἐνὶ Ϝοίκῳ, 598ᵃ = γ 365
ἢ χαμάδις στορέσας, ἤ τοι κατὰ δέμνια θέντων."
ὣς Ϝειποῦσ' ἀνέβαιν' ὑπερώια σιγαλόεντα, 600 sq. cf. σ 206 sq.
οὐκ οἴη· ἅμα τῇ γε καὶ ἀμφίπολοι 'κίον ἄλλαι. 601 cf. Γ 143 ζ 84
εἰς δ' ὑπερῷ' ἀναβᾶσα σὺν ἀμφιπόλοισι γυναιξὶ 602-604 = α 362 sqq.
'κλαῖεν ἔπειτ' Ὀδυσῆα φίλον πόσιν, ὄφρα Ϝοι ὕπνον
Ϝηδὺν ἐπὶ βλεφάροισι 'βάλε γλαυκῶπις Ἀθήνη.

591 ἀλλ' οὐ γάρ πως ἔστιν ἀύπνους ἔμμεναι αἰεὶ
ἀνθρώπους· ἐπὶ γάρ τοι ἑκάστῳ μοῖραν ἔθηκαν 592ᵇ cf. λ 560
ἀθάνατοι θνητοῖσιν ἐπὶ ζείδωρον ἄρουραν. 593 cf. γ 3

590 τερπέμεν' § 125] τέρπειν mss.
591-593] del. criticus apud Nauckium.
591 αἰεὶ] αἰὲν mss.; cf. Α 827.
592 ἑκάστῳ] deest Ϝ; τὸ Ϝεκάστῳ Bentley.
598 λεξαίμην] *λέξωμαι? || λέξεο] λέξαι Z (cf. vs. 44).
599 θέντων] sc. *ancillae*.
602-604] del. Bekker.

ΟΔΥΣΣΕΙΑΣ υ.

Τὰ πρὸ τῆς μνηστηροφονίας.

αὐτὰρ ὃ ἐν προδόμῳ ηὐνάζετο δῖος Ὀδυσσεύς·
κὰμ μὲν ἀδέψητον βοέην 'στόρεσ', αὐτὰρ ὕπερθε
κώεα πόλλ' ὀίων, τοὺς ἱρεύεσκον Ἀχαιοί·
Εὐρυνόμη δ' ἄρ' ἐπὶ χλαῖναν 'βάλε κοιμηθέντι.
ἔνθ' Ὀδυσεὺς μνηστῆρσι κακὰ φρονέων ἐνὶ θυμῷ
'κεῖτ' ἐγρηγορέων· ταὶ δ' ἐκ μεγάροιο γυναῖκες
ἤισαν, αἳ μνηστῆρσιν ἐμισγέσκοντο πάρος περ,
ἀλλήλῃσι γέλον καὶ ἐυφροσύνην παρέχουσαι.
τοῦ δ' ὠρίνετο θυμὸς ἐνὶ στήθεσσι φίλοισι· 9 cf. h. Ap. 524; 9^a = Ι 595
πολλὰ δ' ἐμερμήριζε κατὰ φρένα καὶ κατὰ θυμόν, 10 cf. Ε 671
ἠὲ μεταΐξας θάνατον τεύξειε Ϝεκάστῃ,
ἢ ἔτ' ἐῷ μνηστῆρσιν ὑπερφιάλοισι μιγῆναι
ὕστατα καὶ πύματα· κραδίη δέ Ϝοι ἔνδον ὑλάκτει. 13^a = δ 685
ὡς δὲ κύων ἀμαλῇσι περὶ σκυλάκεσσι βιβᾶσα 14 cf. Simonid. Amorg. fr. 7[34]

1 ὃ] *ὅς? alii ὅ γ', vid. § 15.
2 ἀδέψητον] vid. ad μ 48.
3 ὀίων] οἰῶν G P H M mss. alia (vid. Γ 198). || ἱρεύεσκον] ἱερ. mss. pleraque.
6 ἐγρηγορέων Galenus] ἐγρηγορόων mss. (cf. § 191). Verbum †, vid. § 161.
6^b-30^a ταὶ — πολέσι] del. LaRoche.
8 γέλον § 63] γέλω(ν) τε vel γέλωτα mss. || ἐυφροσύνην] εὐφρ. mss.; cf. ζ 156 ι 6 et § 14.
10 ἐμερμήριζε D W] -ξε mss. pleraque.
12 ἔτ' ἐῷ] ἐάοι PKnight, cf. § 191.
13 ὑλάκτει] § 191; *latrant praecordia* Stat. Silv. II 1, 13; cf. Aesch. Pers. 991.
14-16] comparationem, quacum componi potest locus δ 791 sqq. (vid. etiam ad δ 335 sqq.), vituperat Seeck, ex Simonid. Amorg. 7, 34 desumtam ratus.
14 ἀμαλῇσι] vid. ad Χ 310. || βιβᾶσα Fick] βεβῶσα (βεβῶτα P, βόωσα Et. Gud. 356,39) mss., quae participii non proba est forma pro βεβαυῖα (cf. Ω 81); non requiritur autem perfectum (vid. Θ 331 Ξ 424 Ρ 80, 313). Similibus vitiis laborant Μ 277 λ 539.

ἄνδρ' ἀγνοιήσασ' ὑλάει μέμονέν τε μάχεσθαι,
ὣς ῥα τοῦ ἔνδον ὑλάκτε' ἀγαιομένου κακὰ Ϝέργα.
στῆθος δὲ πλήξας κραδίην ἠνίπαπε μύθῳ·
„τέτλαθι δή, κραδίη· καὶ κύντερον ἄλλο ποτ' ἔτλης
ἤματι τῷ, ὅτε μοι μένος ἄσχετος ἤσθιε Κύκλωψ
ἰφθίμους ἑτάρους· σὺ δ' ἐτόλμαες, ὄφρα με μῆτις
ἐξάγαγ' ἐξ ἄντροιο ὀιόμενον θανέεσθαι."
ὣς ἔφατ' ἐν στήθεσσι καθαπτόμενος φίλον ἦτορ·
τῷ δὲ μάλ' ἐν πείσῃ κραδίη 'μένε τετληυῖα
νωλεμέως, αὐτὸς δὲ 'Ϝελίσσετο ἔνθα καὶ ἔνθα.
ὡς δ' ὅτε γαστέρ' ἀνὴρ πολέος πυρὸς αἰθομένοιο
ἐμπλείην κνίσης τε καὶ αἵματος ἔνθα καὶ ἔνθα 26^a = σ 119
αἰόλλῃ, μάλα δ' ὦκα λιλαίεται ὀπτηθῆναι,
ὣς ἄρ' ὅ γ' ἔνθα καὶ ἔνθα 'Ϝελίσσετο μερμηρίζων,
ὅππως δὴ μνηστῆρσιν ἀναιδέσι χεῖρας ἐφήσει 29 sq.^{a} cf. 39 sq.$_a$; 29 cf. ν 376
μοῦνος ἐὼν πολέσι.
σχεδόθεν δέ Ϝοι ἦλθεν Ἀθήνη 30^b = β 267
οὐρανόθεν καταβᾶσα, δέμας δ' ἐϜέϜικτο γυναικί, 31^a = Ρ 545; 31^b = δ 796
'στῆ δ' ἄρ' ὑπὲρ κεφαλῆς καί μιν πρὸς μῦθον ἔϜειπε· 32 = Ψ 68
„τίπτ' αὖτ' ἐγρήσσεις, πάντων περὶ κάμμορε φωτῶν; 33^b = λ 216
Ϝοῖκος μήν τοι ὅδ' ἐστί, γυνὴ δέ τοι ἥδ' ἐνὶ Ϝοίκῳ
καὶ πάις, οἷόν πού τις ἐϜέλδεται ἔμμεναι υἷα."
τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
„ναὶ δὴ ταῦτά γε πάντα, θεά, κατὰ μοῖραν ἔϜειπες· 37 cf. Α 286

15 ἄνδρ' ἀγνοιήσασ'] requiri *ignoto viro conspecto* observat Hartman.
16 ῥα] ἄρα G F P H M mss. alia vitiose. || ὑλάκτε' § 191] ὑλάκτει mss. || ἀγαιομένου] ἀταιομένου Etym. M. s. v. et l. a. apud Eust.
18] versum notissimum (vid. Plat. Phaed. 94 *d* Rep. III 390 *d*, IV 441 *b* Cic. ad Att. IX 15) imitatur Hor. Sat. II 5 vs. 20 sq.: *fortem hoc animum tolerare iubebo, | et quondam maiora tuli.* || δή] om. mss. pleraque.
19 μοι] τοι F M[1] X n mss. alia; cf. vs. 20.
20 ἐτόλμαες § 191] ἐτόλμας mss. || με Ernesti] σε mss.; cf. l. a. υ 19 et vid. Τ 29 η 208 ϑ 340 Theocrit. XV 4.
23 sq.] del. PKnight.
23 δὲ μάλ'] δ' αὖτ' Plut. Mor. 506 *b*, δ' ἄρ' (ἔτ') schol. Κ 290, Bekker δ' ἄρα τ'. || πείσῃ] πείσει X L W, πειθοῖ n. Vox † et obscura, quae utrum cum verbo πείθω an cum subst. πεῖσμα cohaereret dubitabant veteres.
24 αὐτὸς δὲ Cobet] ἀτὰρ αὐτὸς mss.
25 sqq.] ludicra admodum comparatio (cf. Aristoph. Nub. 410 sqq.) et epica narratione vix digna.
27 αἰόλλῃ] -(λ)λει G[1] M[2] male, requiritur enim subiunctivus qui dicitur generalis. Verbum †, *versare*, cf. adi. αἰόλος.
29 ἐφήσει] ἐφείη? item υ 386; cf. Δ 335 α 116. De locutione vid. ad Α 88.
31 ἐϜέϜικτο § 160] ἤικτο mss.
34 μήν § 18] μέν mss. || ἥδ'] ὧδ' G F.

ἀλλ' ἔτι μοι τόδε θυμὸς ἐνὶ φρεσὶ μερμηρίζει, 38ᵇ = π 73
ὅππως δὴ μνηστῆρσιν ἀναιδέσι χεῖρας ἐφήσω 39 sq. cf. ψ 37 sq.
40 μοῦνος ἐών· οἳ δ' αἰὲν ἀϝολλέες ἔνδον ἔασι.“ 39 sqᵃ cf. 29 sq.ᵃ 39 cf. ν 376
44 τὸν δ' αὖτε προσέϝειπε θεὰ γλαυκῶπις Ἀθήνη·
45 „σχέτλιε, καὶ μέν τίς τε χερείονι πείθεθ' ἑταίρῳ,
ὅς περ θνητός τ' ἐστὶ καὶ οὐ τόσα μήδεα ϝοῖδε· 46 = Σ 363
αὐτὰρ ἐγὼ θεός εἰμι, διαμπερὲς ἥ σε φυλάσσω
ἐν πάντεσσι πόνοισ'. ἐρέω δέ τοι ἐξαναφανδόν· 48ᵃ cf. Κ 245
εἴ περ πεντήκοντα λόχοι μερόπων ἀνθρώπων
50 νῶι περισταῖεν κτεῖναι μεμαῶτες Ἄρηι,
καί κεν τῶν ἐλάσαιο βόας καὶ ϝίφια μῆλα.
ἀλλ' ἑλέτω σε καὶ ὕπνος· ἀνίη καὶ τὸ φυλάσσειν
πάννυχον ἐγρήσσοντα, κακῶν δ' ὑποδύσεαι ἤδη.“ 53ᵃ cf. Λ 551
ὣς 'φάτο καί ῥά ϝοι ὕπνον ἐπὶ βλεφάροισιν ἔχευε, 54ᵇ cf. μ 338
55 αὐτὴ δ' ἂψ ἐς Ὄλυμπον ἀφίκετο δῖα θεάων.
εὖτε τὸν ὕπνος ἔμαρπτε, λύων μελεδήματα θυμοῦ, 56 = Ψ 62
λυσιμελής, ἄλοχος δ' ἄρ' ἐπήγρετο κεδνὰ ϝιδυῖα·
'κλαῖε δ' ἄρ' ἐν λέκτροισι καθεζομένη μαλακοῖσι.
αὐτὰρ ἐπεὶ κλαίουσα 'κορέσσατο ϝὸν κατὰ θυμόν,
60 Ἀρτέμιδι πρώτιστον ἐπηύξατο δῖα γυναικῶν·
„Ἄρτεμι, πότνα θεά, θύγατερ Διός, αἴθε μοι ἤδη
ἰὸν ἐνὶ στήθεσσι βαλοῦσ' ἐκ θυμὸν ἕλοιο 62 cf. Ε 317
αὐτίκα νῦν, ἢ ἔπειτά μ' ἀναρπάξασα θύελλα 63 sq. cf. Ζ 346 sq.

41 πρὸς δ' ἔτι καὶ τόδε μεῖζον ἐνὶ φρεσὶ μερμηρίζω· 41 cf. π 291
εἴ περ γὰρ κτείναιμι Διός τε σέθεν τε ϝέκητι,
πῇ κεν ὑπεκπροφύγοιμι; τά σε φράζεσθαι ἄνωγα. 43ᵇ cf. α 269

38 ἀλλ' ἔτι Hartman] ἀλλά τι mss., ἀλλά τε Bekker coll. μ 44, 64, 67; ἄλλο τι G, quod perplacet si deletur vs. 37 (cf. ε 173 η 200); sin servatur, malumus *ἄλλο δὲ (cf. π 470). || φρεσὶ] στήθεσσι G (cf. η 187).

39 χεῖρας ἐφήσω] vid. ad Α 88.

41-43] del. Duentzer, diasceuastae deberi suspicatur Kirchhoff.

42 Διός τε σέθεν] caesura suspecta (cf. § 3), sed. vid. Ρ 719 σ 105. Nauck σέθεν Ζηνός. || τε ϝέκητι] τ' ἀέκητι (male) F mss. alia

43 τά σε] τὸ δὲ F, τόδε σε M, fortasse τό σε (sic Barnes) verum est.

46] om. Z k. || τ'] om. mss. multa.

48 ἐρέω] neglecto ϝ. || ἐξαναφανδόν] adv. †, vid. ad ε 391.

50 κτεῖναι] κτάμεναι?

52 καὶ τὸ] Naber νύκτα coll. χ 364 (ubi vid).

53 κακῶν] κακὸν G². || ὑποδύσεαι] *emerges, subduces te.* Vid. ζ 127 (et Ar. ε 337).

55 ἂψ] αὖτ' G H² X n.

57 λυσιμελής] adi. redit ψ 343; cf. δ 794 σ 189. || ἐπήγρετο] ἐπέγρετο mss. || κεδνὰ ϝιδυῖα § 160] κέδν' εἰδυῖα mss.

60 πρώτιστον] -στα? vid. ad δ 577. || γυναικῶν] θεάων G¹ F M.

61 πότνα] cf. ε 215. || αἴθε μοι ἤδη] αἰγιόχοιο G (cf. γ 42).

63 ἢ ἔπειτα] insolite corripitur ἢ (cf. § 16), graviter autem offendit oppositio *aut nunc aut posthac* (ut Ψ 551 sq.), nam hoc ipso temporis articulo subita morte abripi optat

οἴχοιτο προφέρουσα κατ' ἠερόεντα κέλευθα, 64ᵇ = ω 10
65 ἐν δὲ βάλοι προχοῇσ' ἀψορρόου Ὠκεανοῖο.
83 ἀλλὰ τὸ μὲν καὶ ἀνεκτὸν ἔχει κακόν, ὁππότε κέν τις
ἤματα μὲν κλαίῃ πυκινῶς ἀκαχημένος ἦτορ,
85 νύκτας δ' ὕπνος ἔχῃσιν, — ὃ γάρ τ' ἐπέλησεν ἁπάντων,
ἐσθλῶν ἠδὲ κακῶν, ἐπεὶ ἂρ βλέφαρ' ἀμφικαλύψῃ, —
αὐτὰρ ἐμοὶ καὶ ὀνείρατ' ἐπέσσευεν κακὰ δαίμων·
τῇδε γὰρ αὖ μοι νυκτὶ παρέδραθε ϝείκελος αὐτῷ,
τοῖος ἐὼν οἷος ἤι' ἅμα στρατῷ, αὐτὰρ ἐμὸν κῆρ 89ᵇ sq.ᵃ = δ 259 [sq.

66 ὡς δ' ὅτε Πανδαρέου κούρας ἀνέλοντο θύελλαι· — 66ᵃ cf. τ 518
τῇσι τοκῆας μὲν 'φθῖσαν θεοί, αἱ δ' ἐλίποντο
ὀρφαναὶ ἐν μεγάροισι, 'κόμισσε δὲ δῖ' Ἀφροδίτη
τυρῷ καὶ μέλιτι γλυκερῷ καὶ ϝηδέι ϝοίνῳ· 69 cf. κ 234
70 Ἥρη δ' αὐτῇσιν περὶ πασέων 'δῶκε γυναικῶν
ϝεῖδος καὶ πινυτήν, μῆκος δ' ἔπορ' Ἄρτεμις ἁγνή,
ϝέργα δ' Ἀθηναίη 'δέδαε κλυτὰ ϝεργάζεσθαι.
εὖτ' Ἀφροδίτη δῖα προσέστιχε μακρὸν Ὄλυμπον,
κούρῃσ' αἰτήσουσα τέλος θαλεροῖο γάμοιο,
75 εἰς Δία τερπικέραυνον (ὁ γάρ τ' εὐ ϝοῖδεν ἅπαντα,
μοῖράν τ' ἀμμορίην τε καταθνητῶν ἀνθρώπων),
τόφρα δὲ τὰς κούρας ἅρπυιαι ἀνηρέψαντο 77ᵇ cf. α 241
καί ῥ' ἔδοσαν στυγερῇσιν ἐρινύσιν ἀμφιπολεύειν· —
ὣς ἔμ' ἀϝιστώσειαν Ὀλύμπια δώματ' ἔχοντες,
80 ἠέ μ' ἐυπλόκαμος βάλοι Ἄρτεμις, ὄφρ' Ὀδυσῆα
ὀσσομένη καὶ γαῖαν ὕπο στυγερὴν ἀφικοίμην
μηδέ τι χείρονος ἀνδρὸς ἐυφραίνοιμι νόημα.

mulier animi despondens; *ἢ καί με? Sed vid. ad vs. 66-82.

65 δὲ βάλοι προχοῇσ' PKnight] προχοῇς (-ῇ G) δὲ βάλοι mss.; vid. § 57 et ad λ 242. || ἀψορρόου] cf. Σ 399.

66-82] postea additos censet Kirchhoff, vs. 66-81 deleverat PKnight. LaRoche del. vs. 63ᵇ-81ᵃ ἢ ἔπειτα — ὀσσομένη, fortasse recte.

66 Πανδαρέου] -ρεω? cf. τ 518.

68 ὀρφαναὶ] †, cf. ὀρφανικός Ζ 432 Λ 394 Χ 490.

70 αὐτῇσιν] pronominis usus novicius, cf. § 98. || πασέων] forma novicia, cf. § 56.

73 προσέστιχε] comp. †.

75 τερπικέραυνον] vid. § 251.

76 ἀμμορίην] †, Barnes μοῖραν καμμορίην τε (cf. κάμμορος β 351 etc.); sed cf. adi. ἄμμορος (Ζ 408 etc.), δυσάμμορος (Τ 315 etc.). Opp. ἔμμορος θ 480.

77 ἅρπυιαι] vid. ad Π 150; in P est ἀνηρείψαντο θύελλαι. || ἀνηρέψαντο Doederlein] ἀνηρείψαντο mss.; vid. ad Υ 234 α 241.

81 ὀσσομένη] *animo spectans?* cf. α 115, qui tamen dissimilis est locus; Hartman ὀψομένη (Barnes vertit *visura*).

82 νόημα] vocis eadem est vis in Hesiod. fr. 190 (vid. etiam ad Ψ 604).

83-90] del. Bekker, vs. 88-90 damnaverat PKnight. An alius narrationis hoc loco supersunt vestigia?

83 ἀλλὰ τὸ] ἦ μάλα Duentzer. || ἔχει] ἔχειν G P H n mss. alia. || In marg. U subiungitur ἤτοι μέν τε βροτῶν ἄλλος, ᾧ πένθος ἱκάνει.

84 ἤματα] l. a. ἤματι.

85 ἔχῃσιν] ἕλῃσιν X n¹. || ἁπάντων] ἅπαντας F.

87 ὀνείρατ'] forma metaplasta †, cf. ὄναρ Α 63 etc., ὄνειρον δ 841 (ubi vid.), ὄνειρος Β 6 etc.

88 παρέδραθε] παρέδραμεν U¹. Non mente supplendum est τις (vid. ad Ν 287 Χ 199) sed vert.: *nam hac nocte Ulixes mecum concubuit sui similis* (i. e. qualis esse solebat).

89 οἷος] cf. § 17. || ἤι' § 308] ἦεν mss.

'χαῖρ', ἐπεὶ οὐκ ἐφάμην ὄναρ ἔμμεναι, ἀλλ' ὕπαρ ἤδη." 90 cf. τ 547
ὣς ἔφατ'· αὐτίκα δὲ χρυσόθρονος ἤλυθεν Ἠώς. 91 = κ 541
τῆς δ' ἄρα κλαιούσης ϝόπα σύνθετο δῖος Ὀδυσσεύς·
'μερμήριζε δ' ἔπειτα, 'δόκησε δέ ϝοι κατὰ θυμὸν
ἤδη γιγνώσκουσα παρεστάμεναι κεφαλῆφι.
χλαῖναν μὲν συνελὼν καὶ κώεα, τοῖσιν ἐνηῦδε,
εἰς μέγαρον κατέθηκεν ἐπὶ θρόνου, ἐκ δὲ βοείην
'θῆκε θύραζε φέρων, Διὶ δ' ηὔξατο χεῖρας ἀνασχών·
„Ζεῦ πάτερ, εἴ μ' ἐθέλοντες ἐπὶ τραφερήν τε καὶ ὑγρὴν 98ᵇ = Ξ 308
ἤγετ' ἐμὴν εἰς γαῖαν, ἐπεί μ' ἐκακώσατε λίην,
φήμην τίς μοι φάσθω ἐγειρομένων ἀνθρώπων
ἔνδοθεν, ἔκτοσθεν δὲ Διὸς τέρας ἄλλο φανήτω."
ὣς ἔφατ' εὐχόμενος, τοῦ δ' ἔκλυε μητίετα Ζεύς· 102 = Π 249
αὐτίκα δ' ἐβρόντησεν ἀπ' αἰγλήεντος Ὀλύμπου. 103ᵇ = Λ 532
φήμην δ' ἐκ ϝοίκοιο γυνὴ προέηκεν ἀλετρὶς
πλησίον, ἔνθ' ἄρα ϝοι μύλαι ἥατο ποιμένι λαῶν,
τῇσι δυώδεκα πᾶσαι ἐπερρώοντο γυναῖκες
ἄλφιτα τεύχουσαι καὶ ἀλείατα, μυελὸν ἀνδρῶν.
αἱ μὲν ἄρ' ἄλλαι ηὗδον, ἐπεὶ κατὰ πυρὸν ἄλεσσαν,
ἡ δὲ μί' οὔ πω ἐπαύετ', ἀφαυροτάτη δ' ἐτέτυκτο·
ἥ ῥα μύλην στήσασα ϝέπος 'φάτο σῆμα ϝάνακτι·
„Ζεῦ πάτερ, ὅς τε θεοῖσι καὶ ἀνθρώποισι ϝανάσσεις,

104 ὑψόθεν ἐκ νεφέων· 'γήθησε δὲ δῖος Ὀδυσσεύς.

90 ὕπαρ] cf. τ 547.
93 sq.] del. Hartman, etiam vs. 95-97 addubitans coll. vs. 1-3.
93 μερμήριζε H[1]] -ξε mss. multa. || 'δόκησε] cf. κ 415.
95 συνελὼν] vid. ad Π 740.
98 τραφερήν] vid. ad Ξ 308.
100 ἐγειρομένων] ἀγ. X W; vid. υ 123.
101 φανήτω] φανῆναι F.
104] versum cum vs. 114 pugnantem del. PKnight.
105 ἐκ] ἐξ mss. || ἀλετρὶς] †, cf. καταλέω υ 109, ἀλετρεύειν η 104.
106 ϝοι] ϝὲξ Hartman. || μύλαι] cf. η 104. || ἥατο § 220] εἵατο vel εἴατο (sic. Ar., vid. Ο 10 Ω 84) mss. — Verbum de re †, alias de animantibus; Hartman ἔστασαν ὀρχάμῳ ἀνδρῶν.
107 *τῇσι δυώδεκα] τῇσι δὲ δώδεκα n, τῇσι(ν) vel τοῖσιν δώδεκα mss. cett.
108 ἄλφιτα ... καὶ ἀλείατα] *farinam hordeaceam et triticeam.* Vox ἀλείατα †; ἀλ(ε)ίφατα F P H M mss. alia aperto errore, Fick ἀλεύατα, Att. ἄλευρα. De re vid. ad ρ 343.
109 ἄλλαι ηὗδον] hiatus vitiosus, vid. § 14; *ἄλλαι μέν ῥα καθηῦδον? Fick inserit ἔθ', sumens igitur hanc servam primo mane surrexisse ut absolveret opus quod praecedenti die imperfectum reliquisset. || κατὰ ... ἄλεσσαν] comp. †; simplex apud poetam non extat. Cf. υ 105. || πυρὸν] σῖτον H[2], quod verum videtur, πυρός enim *hordeum* (υ 108) non dicitur (vid. Λ 69 δ 604 ι 110 τ 112).
110 ἐπαύετ'] παύετ' mss. || ἀφαυροτάτη] -τέρη U[1] i non recte; vert.: *omnium enim segnissima erat.*
111 μύλην] cf. η 104.
112] cf. Verg. Aen. I 229 sq.

ἦ μεγάλ' ἐβρόντησας ἀπ' οὐρανοῦ ἀστερόεντος, 113ᵇ = Τ 130
οὐδέ ποθι νέφος ἐστί· τέρας νύ τεῳ τόδε φαίνεις.
κρήηνόν νυν ἐμοὶ δϝειλῇ ϝέπος, ὅττι κε ϝείπω·
μνηστῆρες πύματόν τε καὶ ὕστατον ἤματι τῷδε
ἐν μεγάροισ' Ὀδυσῆος ἑλοίατο δαῖτ' ἐρατεινήν,
οἳ δή μοι καμάτῳ θυμαλγέι γούνατ' ἔλυσαν
ἄλφιτα τευχούσῃ· νῦν ὕστατα δειπνήσειαν." 119ᵇ cf. Λ 232
ὣς ἄρ' ἔφη· 'χαῖρεν δὲ κλεηδόνι δῖος Ὀδυσσεὺς 120 cf. σ 117
Ζηνός τε βροντῇ· 'φάτο γὰρ τίσεσθαι ἀλείτας. 121ᵇ cf. Γ 28
αἱ δ' ἄλλαι δμῳαὶ κατὰ δώματα κάλ' Ὀδυσῆος
ἐγρόμεναι ἀνέκαιον ἐπ' ἐσχάρῃ ἀκάματον πῦρ.
Τηλέμαχος δ' εὐνῆθεν ἀνίστατο, ϝισόθεος φώς,
ϝείματα ϝεσσάμενος· περὶ δὲ ξίφος ὀξὺ 'θέτ' ὤμῳ, 125 sq. = β 3 sq.
ποσσὶ δ' ὑπὸ λιπαροῖσιν ἐδήσατο καλὰ πέδιλα,
εἵλετο δ' ἄλκιμον ἔγχος ἀκαχμένον ὀξέι χαλκῷ. 127 = Κ 135
'στῆ δ' ἄρ' ἐπ' οὐδὸν ἰών, πρὸς δ' Εὐρυκλέειαν ἔϝειπε· 128ᵃ = φ 124, 149 ω 178, 493 cf. Ζ 375
„μαῖα φίλη, τὸν ξεῖνον ἐτιμήσασθ' ἐνὶ ϝοίκῳ
εὐνῇ καὶ σίτῳ, ἦ' αὔτως κεῖται ἀκηδής;
τοιαύτη γὰρ ἐμὴ μήτηρ πινυτή περ ἐοῦσα·
ἐμπλήγδην ἕτερόν γε τίει μερόπων ἀνθρώπων
χείρονα, τὸν δέ τ' ἀρείον' ἀτιμάσσασ' ἀποπέμπει."
τὸν δ' αὖτε προσέϝειπε περίφρων Εὐρυκλέεια·
„ἦ κέν μιν νῦν, τέκνον, ἀναίτιον αἰτιάοιο. 135ᵇ cf. Λ 654
ϝοῖνον μὲν γὰρ ἔπινε καθήμενος, ὄφρ' ἔθελ' αὐτός,
σίτου δ' οὐκέτ' ἔφη πεινήμεναι· εἵρετο γάρ μιν.

115 κρήηνόν νυν P] κρῆνον vel κρήηνόν νῦν καὶ mss. cetera; Bothe κρήηνον καί. Vid. § 267.
118 sq.] del. Duentzer.
121 τίσεσθαι i[2]] τίσασθαι mss. cett.; cf. θ 565. || ἀλείτας] sic Ar.; vid. Γ 28 et ad π 317.
123 ἐγρόμεναι G U n] ἀγρόμεναι mss. cett.; vid. υ 100 Η 434 Ψ 287 Ω 789.
124 ϝισόθεος φώς] vid. ad α 324.
126-161] del. Kammer.
127] cf. β 10.
128 Εὐρυκλέειαν § 73] -κλειαν mss.
129 τὸν] πῶς τὸν aut πῶς mss. || ἐτιμήσασθ' ἐνὶ] -σατ' ἐνὶ P; fuitne l. a. πῶς τὸν ξεῖνον τιμήσατε οἴκῳ? Activum usitatum est magis, medium tamen etiam τ 280 (= ψ 339) legitur.
131 ἐμὴ] ἐμοὶ F.
132 ἐμπλήγδην] sic Ar., εὐμεταβόλως interpretatus; ἐκπλήγδην F M. Adv. †; *temere?* Cf. ἐκπάγλως (i e. ἐκπλάγλως) Λ 268 etc.
133 ἀτιμάσσασ' Nauck] ἀτιμήσασ' mss.
134 περίφρων] φίλη τρόφος U (cf. ε 21 χ 492). || Εὐρυκλέεια § 73] -κλεια mss., l. a. Πηνελόπεια.
135 *ἦ κέν] οὐκ ἄν mss.; vert. *sine causa profecto eam ita culpares.* || μιν νῦν] νῦν μιν U. || αἰτιάοιο § 191] αἰτιόῳο (-όοιο n) mss.
136 ϝοῖνον] οἴνου Eust. 1886,19. || ἔπινε H[2] Eust.] πῖνε mss. cett.
137 πεινήμεναι] cf. § 195.

ἀλλ' ὅτε δὴ κοίτοιο καὶ ὕπνου 'μιμνήσκοντο,
ἣ μὲν δέμνι' ἄνωγεν ὑποστορέσαι δμῳῇσι·
αὐτὰρ ὅ γ', ὥς τις πάμπαν ὀιζυρὸς καὶ ἄποτμος,
οὐκ ἔθελ' ἐν λέκτροισι καὶ ἐν ῥήγεσσι καθεύδειν,
ἀλλ' ἐν ἀδεψήτῳ βοέῃ καὶ κώεσιν οἰῶν
ἔδραθ' ἐνὶ προδόμῳ· χλαῖναν δ' ἐπεϜέσσαμεν ἦμες."
ὣς 'φάτο· Τηλέμαχος δὲ δι' ἐκ μεγάροι' ἐβεβήκει
ἔγχος ἔχων, ἅμα τῷ γε δύω κύνες ἀργοὶ ἕποντο· 144 = τ 47 cf. [ϱ 61
'βῆ δ' ἴμεν' εἰς ἀγορὴν μετ' ἐυκνήμιδας Ἀχαιούς. 145 = ϱ 62
ἣ δ' αὖτε δμῳῇσιν ἐκέκλετο δῖα γυναικῶν, 146ᵃ cf. β 10
Εὐρυκλέει' Ὦπος θυγάτηρ Πεισηνορίδαο· 147 = α 429
„ἀγρέεθ', αἳ μὲν δῶμα κορήσατε ποιπνύσασαι
ῥάσσατέ τ' ἔν τε θρόνοισ' ἐὺ ποιητοῖσι τάπητας
βάλλετε πορφυρέους· αἳ δὲ σπόγγοισι τραπέζας
πάσας ἀμφιμάσασθε, καθήρατε δὲ κρητῆρας
καὶ δέπα' ἀμφικύπελλα τετυγμένα· ταὶ δὲ μεθ' ὕδωρ
ἔρχεσθε κρήνηνδε καὶ οἴσετε θᾶσσον ἰοῦσαι.
οὐ γὰρ δϜὴν μνηστῆρες ἀπέσσονται μεγάροιο,
ἀλλὰ μάλ' ἦρι νέονται, ἐπεὶ καὶ πᾶσιν ἑορτή."
ὣς ἔφαθ', αἳ δ' ἄρα τῆς μάλα μὲν 'κλύον ἠδ' ἐπίθοντο· 157 = ζ 247
αἳ μὲν ἐϜείκοσ' ἔβησαν ἐπὶ κρήνην μελάνυδρον,
αἳ δ' αὖθι κατὰ δώματ' ἐπισταμένως 'πονέοντο.
εἰς δ' ἦλθον δρηστῆρες Ἀχαιῶν· οἳ μὲν ἔπειτα 160 cf. α 144

138 ὕπνου] ὕπνοο? cf. § 59. ‖ μιμνήσκοντο U i²] -σκετο G, -σκοιτο mss. cett.; optativus, qui iteratae actioni indicandae inservit (vid. *P* 733 *Υ* 228 *Ω* 14 etc. et ad *Γ* 216, 221), hinc alienus est; vid. ad *M* 465.
139 ἄνωγεν] vitiose additur dativus (nonnisi κ 531 potest conferri, ubi vid.); ἔειπεν IHVoss coll. γ 427.
142 ἀδεψήτῳ] vid. ad μ 48. ‖ οἰῶν] cf. § 74.
143 ἔδραθ' ἐνὶ] -θεν ἐν F. ‖ προδόμῳ] μεγάρῳ U. Cf. υ 1. ‖ ἐπεϜέσσαμεν] ἐπιέσσαμεν mss. ‖ ἦμες § 92] ἡμεῖς mss.
144 μεγάροι' ἐβεβήκει] -ροιο β. mss.; cf. § 59.
145 ἔγχος ἔχων] cf. β 10. ‖ δύω κύνες Bekker] κύνες πόδας (πόδας om. M¹). Cf. β 11 ϱ 62.
147 ἐκέκλετο δῖα γυναικῶν] ἐυπλοκάμοισι κέλευσεν Duentzer.
148] del. PKnight. ‖ Εὐρυκλέει' § 73] -κλει' mss.
149 ἀγρέεθ' § 191] ἀγρεῖθ' mss. ‖ κορήσατε] †, *verrite*, cf. σηκοκόρος ϱ 224. ‖ ποιπνύσασαι] ποιπνύουσαι F U (cf. *Α* 600 *Ξ* 155 *Σ* 421 *Ω* 475 γ 430); aor. etiam *Θ* 219 extat.
152 ἀμφιμάσασθε] comp. †, simplex λ 591 etc.
153 δέπα' H² Y] δέπα mss. cett., cf. § 72.
155 δϜὴν] δὴ mss. complura.
156 ἑορτή] nempe *novilunii* (vid. ξ 162 τ 307 et ad ξ 457), quem diem Apollini (νεομηνίῳ) sacrum fuisse apparet φ 258; vid. etiam υ 276. — Vox ἑορτή nonnisi φ 258 redit, neque dierum festorum in Odyssea alias fit mentio, in Iliade *B* 550 sq. et *I* 534.
158 ἐϜείκοσ' ἔβησαν] ἐείκοσι βῆσαν mss.
159 αὖθι § 322] αὐτοῦ mss. ‖ δώματ'] δῶμα F P M.
160 εἰς] ἐκ P H M mss. alia. ‖ δρηστῆρες]

εὖ καὶ ἐπισταμένως 'κέασαν ξύλα, ταὶ δὲ γυναῖκες 161ᵃ = *K* 265
ἦλθον ἀπὸ κρήνης.
ἐπὶ δέ σφισιν ἦλθε συβώτης,
τρεῖς σιάλους κατάγων, οἳ ἔσαν μετὰ πᾶσιν ἄριστοι.
καὶ τοὺς μέν ῥ' εἴασε καθ' ἕρκεα καλὰ νέμεσθαι,
αὐτὸς δ' αὖτ' Ὀδυσῆα προσηύδα μειλιχίοισι·
„ξεῖν', ἦ' ἄρ τί σε μᾶλλον Ἀχαιοὶ εἰσοράουσι,
ἠέ σ' ἀτιμάζουσι κατὰ μέγαρ', ὡς τὸ πάρος περ;"
τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
„αἲ γὰρ δή, Εὔμαιε, θεοὶ τισαίατο λώβην,
ἣν οἵδ' ὑβρίζοντες ἀϜεικέα μηχανάονται
Ϝοίκῳ ἓν ἀλλοτρίῳ, οὐδ' αἰδόος αἶσαν ἔχουσι." 170 cf. *Α* 695 ϱ 588
ὣς οἳ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
ἀγχίμολον δέ σφ' ἦλθε Μελάνθιος αἰπόλος αἰγῶν, 173 sq. = φ 265 [sq.
αἶγας ἄγων, αἳ πᾶσι μετέπρεπον αἰπολίοισι, 174 sq. = ϱ 213 sq.
δεῖπνον μνηστήρεσσι· δύω δ' ἅμ' ἕποντο νομῆες.
καὶ τὰς μὲν κατέδησαν ὑπ' αἰθούσῃ ἐριδούπῳ, 176 sq.ᵃ cf. 189 sq.
αὐτὸς δ' αὖτ' Ὀδυσῆα προσηύδα κερτομίοισι·
„ξεῖν', εἰ καὶ νῦν ἐνθάδ' ἀνιήσεις κατὰ δῶμα 178 cf. τ 66
ἀνέρας αἰτίζων, ἀτὰρ οὐκ ἔξεισθα θύραζε,
πάντως οὐκέτι νῶι διακρινέεσθαι ὀίω 180ᵇ = σ 149
πρὶν χειρῶν γεύσασθαι, ἐπεὶ σύ περ οὐ κατὰ κόσμον
αἰτίζεις· εἰσὶν δὲ καὶ ἄλλοθι δαῖτες Ἀχαιῶν."
ὣς 'φάτο· τὸν δ' οὔ τι προσέφη πολύμητις Ὀδυσσεύς, 183 cf. *Α* 511
ἀλλ' ἀκέων 'κίνησε κάρη κακὰ βυσσοδομεύων. 184 = ϱ 465
τοῖσι δ' ἐπὶ τρίτος ἦλθε Φιλοίτιος ὄρχαμος ἀνδρῶν,
βοῦν στεῖραν μνηστῆρσιν ἄγων καὶ πίονας αἶγας·

187 πορθμῆες δ' ἄρα τούς γε διήγαγον, οἵ τε καὶ ἄλλους

μνηστῆρες G F; vid. ad ο 330. ‖ Ἀχαιῶν] ἀγήνορες mss. pleraque (ex α 144).
163 μετὰ] ἐν F M mss. alia.
165 προσηύδα] -δαε? cf. § 191 et 195.
166 ἄρ τι] sic Ar., alii olim ἄρτι. ‖ Ἀχαιοὶ εἰσορ.] hiatus vitiosus, cf. *E* 484 et § 14. ‖ εἰσοράουσι § 191] -ρόωσιν mss.
167 ἠέ σ'] ἦ ἔτ' X Y, quae fortasse recipienda erat lectio.
170 ἀϜεικέα] ἀτάσθαλα G X n (ut γ 207 ϱ 588 σ 143 υ 370); cf. υ 394 χ 432. ‖ μηχανάονται § 191] -νόωνται mss.
171 αἰδόος αἶσαν Ahrens coll. π 101 τ 84] αἰδοῦς μοῖραν mss.; cf. § 77.
175] del. Kirchhoff.
176 τὰς F X] τοὺς mss. pleraque. ‖ κατέδησαν] -σεν F H² X.
177 προσηύδα] -δαε? cf. § 191 et 195.
178 εἰ Cobet coll. *M* 248 β 115 etc.] ἔτι mss. (ut τ 66).
182 ἄλλοθι] ἄλλαι mss. multa.
186 αἶγας] οἶας (οἶας) U.
187 sq.] versus insulsos delevimus.
187 πορθμῆες] †, cf. πορθμός δ 671 ο 29.

καὶ τὰς μὲν κατέδησεν ὑπ' αἰθούσῃ ἐριδούπῳ, 189 sq.^{a} cf. 176 sq.
αὐτὸς δ' αὖτ' ἐρέεινε συβώτην ἄγχι παραστάς·
„τίς δὴ ὅδε ξεῖνος νέον εἰλήλουθε, συβῶτα,
ἡμέτερον πρὸς δῶμα; τέων δ' ἒξ εὔχεται εἶναι 192^{b} sq. cf. α 406 sq.
ἀνδρῶν; ποῦ δέ νύ ϝοι γενεὴ καὶ πατρὶς ἄρουρα;
δύσμορος· ἦ τε ϝέϝοικε δέμας βασιλῆι ϝάνακτι·
ἀλλὰ θεοὶ δυάουσι πολυπλάγκτους ἀνθρώπους,
ὁππότε καὶ βασιλεῦσιν ἐπικλώσωνται ὀιζύν.“
ἦ, καὶ δεξιτερῇ 'δεδϝίσκετο χειρὶ παραστὰς
καί μιν φωνήσας ϝέπεα πτερόεντα προσηύδα·
„χαῖρε, πατὴρ ὦ ξεῖνε· γένοιτό τοι εἴς περ ὀπίσσω 199 sq. = σ 122 sq.
ὄλβος· ἀτὰρ μὲν νῦν γε κακοῖσ' ἔχεαι πολέεσσι.
Ζεῦ πάτερ, οὔ τις σεῖο θεῶν ὀλοώτερος ἄλλος· 201 = Γ 365
οὐκ ἐλεαίρεις ἄνδρας, ἐπεὶ δὴ γείνεαι αὐτὸς,
μισγέμεναι κακότητι καὶ ἄλγεσι λευγαλέοισι.
ἴδιον ὡς ἐνόησα, δεδακρύαται δέ μοι ὄσσε
μνησαμένῳ 'Οδυσῆος, ἐπεὶ καὶ κεῖνον ὀίω
τοιάδε λαίφε' ἔχοντα κατ' ἀνθρώπους ἀλαλῆσθαι,
εἴ ποθ' ἔτι ζώει καὶ ὁρᾷ φάος ἠελίοιο. 207 sq. = δ 833 sq.
εἰ δ' ἤδη τέθνηκε καὶ ἐν Ἀϝίδαο δόμοισι,
ὤ μοι ἔπειτ' 'Οδυσῆος ἀμύμονος, ὅς μ' ἐπὶ βουσὶ
εἶσ' ἔτι τυτθὸν ἐόντα Κεφαλλήνων ἐνὶ δήμῳ.

188 ἀνθρώπους πέμπουσιν, ὃ τις σφέας εἰσαφίκηται. 188 = π 228

De Ulixis armentis in continenti pascentibus vid. ξ 100 sqq. υ 210 sqq. || δ' ἄρα] l. a. γάρ.

188 ὃ τις — εἰσαφίκηται] ἐπ' εὐρέα νῶτα θαλάσσης G (cf. δ 560). || ὃ τις] ὅτι mss. multa, ὅστις H^2; ὅ τε LaRoche. Cf. Τ 265.

189 *τὰς μὲν] τὰς μὲν εὖ G^2, τὰ μὲν εὖ (αὖ, οὖν) mss. cett.; cf. vs. 176.

193 πατρίς] πατρὸς n.

194-196] del. PKnight.

194 τε] ῥα apud Nauckium proponitur.

195 sq.] *attamen dii homines multivagos aerumnis deformant, quotiescumque iis, quamquam regibus, miseriam attribuunt.*

195 δυάουσι § 191] δυόωσι mss.; δυόουσι Lobeck. Verbum †, vid. ad ξ 215.

196 ὁππότε καὶ] suspecta habet Hartman. || καὶ] κεν F M. || ἐπικλώσωνται] vid. ad Ω 525.

199 πατὴρ Barnes] πάτερ mss. || (ε)ἴς περ U^1] ὥς περ mss. multa; item σ 122.

201 ὀλοώτερος] vid. ad Γ 365.

202 ἐπεὶ § 326] ἐπὴν mss.

204 ἴδιον] †, *sudabam* (?), cf. Apoll. lex., Ar. Av. 791 Ran. 237 ibique schol., Ruhnken. ad Tim. s. v. ἰδίειν, ἶδος *sudor* Hes. Scut. 397, ἰδάλιμος Oper. 415. Verbum h. l. suspectum; cf. tamen Eur. Phoen. 1388. || ὡς] ὥς σ' Doederlein. || *δεδακρύαται] -υνται mss.; vid. § 119 et ad Χ 491. || μοι ὄσσε] μοι παρειαὶ G (del. μοι?).

205 μνησαμένῳ] -νου X^2, vid. ad ζ 157. || καὶ κεῖνον] κἀκεῖνον mss. multa; cf. § 9 et 97.

206 λαίφε'] vid. ad ν 399.

207 ποθ' § 322] που mss.

208 ἐν § 315] εἰν mss.

210 Κεφαλλήνων ἐνὶ δήμῳ] in continenti, cf. ξ 100 sqq., non in insula Cephallene, cui apud poetam Σάμη vel Σάμος nomen est (vid. ad α 246).

νῦν δ' αἳ μὲν γίγνονται ἀθέσφατοι, οὐδέ κεν ἄλλως 211^{b} = θ 176
ἀνδρί γ' ὑποσταχύοιτο βοῶν γένος εὐρυμετώπων·
τὰς δ' ἄλλοι με κέλονται ἀγινέμεναί σφ' αὐτοῖσι
ἔδμεναι, οὐδέ τι παιδὸς ἐνὶ μεγάροισ' ἀλέγουσι
οὐδ' ὄπιδα τρομέουσι θεῶν· μεμάασι γὰρ ἤδη
κτήματα δάσσασθαι δϝὴν οἰχομένοιο ϝάνακτος. 216^{b} = ξ 376
αὐτὰρ ἐμοὶ τόδε θυμὸς ἐνὶ στήθεσσι φίλοισι
πόλλ' ἐπιδινέεται· μάλα μὲν κακὸν υἷος ἐόντος
ἄλλων δῆμον ἱκέσθαι ἰόντ' αὐτῇσι βόεσσι
ἄνδρας ἒς ἀλλοδαπούς· τὸ δὲ ῥίγιον, αὖθι μένοντα
βουσὶν ἔπ' ἀλλοτρίῃσι καθήμενον ἄλγεα πάσχειν.
καί κεν δὴ πάλαι ἄλλον ὑπερμενέων βασιλήων 222^{b} sq.^{a} = ν 205 sq.
ἐξικόμην φεύγων, ἐπεὶ οὐκέτ' ἀνεκτὰ πέλονται,
ἀλλ' ἔτι τὸν δύστηνον ὀίομαι, εἴ ποθεν ἐλθὼν 224 cf. β 351
ἀνδρῶν μνηστήρων σκέδασιν κατὰ δώματα θήῃ.“ 224^{b} sq. = α 115 sq.
τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις 'Οδυσσεύς·
„βουκόλ', ἐπεὶ οὔτε κακῷ οὔτ' ἄφρονι φωτὶ ϝέϝοικας, 227 cf. ζ 187
γιγνώσκω δὲ καὶ αὐτὸς ὅ τοι πινυτὴ φρένας ἵκει,
τούνεκά τοι ϝερέω καὶ ἐπὶ μέγαν ὅρκον ὀμοῦμαι· 229^{a} = Ζ 334
ϝίστω νῦν Ζεὺς πρῶτα θεῶν ξενίη τε τράπεζα 229^{b} = Λ 233 230 sq. = ξ 158 sq.
ἱστίη τ' 'Οδυσῆος ἀμύμονος ἣν ἀφικάνω,
ἦ σέθεν ἐνθάδ' ἐόντος ἐλεύσεται οἴκαδ' 'Οδυσσεύς·
σοῖσιν δ' ὀφθαλμοῖσιν ἐπόψεαι, αἴ κ' ἐθέλῃσθα,

211 ἄλλως] *melius* (cf. θ 176)? ἄλλῳ (i. e. ἄλλῳ) F H^2 M^2 X U, vHerwerden κ' ἄμεινον.

212 γ'] om. G X. || ὑποσταχύοιτο] †, *succresceret*; cf. (ἀ)στάχυς Β 148 Ψ 598. Vox στάχυς (*spica*) similem imaginem praebet h. l. atque καλάμη ξ 214. Naber ἐπισταχύοιτο coll. Apoll. Rh. I 972.

213 σφ' αὐτοῖσι Fick] σφίσιν αὐτοῖς mss.; cf. § 60.

215 τρομέουσι] φρονέουσι P G^2 (φρομέουσι G^1), cf. ξ 82.

217-221] del. Duentzer.

218 ἐπιδινέεται § 191] -νεῖται mss.

219 ἄλλων] ἄλλον F; cf. ο 228.

222 ὑπερμενέων] ἐυτρεφέων U n, ἐυτροφέων X.

223 οὐκέτ' ἀνεκτὰ πέλονται] caesura vitiosa, adi. autem ἀνεκτός et adv. -κτῶς ceteris locis (Δ 573 Κ 118 Λ 610 Θ 355 ι 350) versum claudunt; *οὐκέτι ἀνσχετὰ ϝέργα (cf. β 63); Hartman οὐκέτι ταῦτά γ' ἀνεκτά.

225 σκέδασιν] vid. ad α 116. || *θήῃ] θείη (ut vs. parall.) mss.; an *θήσει? cf. υ 29.

227 ἐπεὶ οὔτε] synizesis vitiosa, vid. § 8; *ξεῖν', ἐπεὶ (ut vs. par.)? An *βουκόλε (-ος), οὔτε? In F M mss. aliis βουκόλε extat. Menrad ὅ τ' οὔτε. — De structura vid. ad Γ 59 Ζ 334.

228] damnatur apud Nauckium.

229] spurius? vid. ad Ζ 234. || ὀμοῦμαι] cf. § 147.

230 νῦν Ζεὺς πρῶτα] νῦν πρῶτα Ζεὺς F, νῦν πρῶτα P. || ξενίη τε τράπεζα] ὕπατος καὶ ἄριστος G P U (cf. ε 303).

231 ἱστίη] ϝεστίη? cf. ξ 159.

232 οἴκαδ'] neglecto ϝ; ἐνθάδ' G U, cf. ξ 161. PKnight ἦ σέο ϝοῖκοι (Fick σέθεν ἔνδον) ἐόντος ἐλεύσεται ἐνθάδ'.

233 σοῖσιν δ'] Fick σοῖσι δ' ἐν (ut Λ 587 alibi). || ἐπόψεαι] ἐσόψεαι X U n. Cf. Ξ 145.

κτεινομένους μνηστῆρας, οἳ ἐνθάδε κοιρανέουσι.“
τὸν δ' αὖτε προσέϝειπε βοῶν ἐπιβουκόλος ἀνήρ· 235 = φ 199
„αἲ γὰρ τοῦτο, ξεῖνε, ϝέπος τελέσειε Κρονίων·
γνοίης χ' οἵη ἐμὴ δύναμις καὶ χεῖρες ἕπονται.“ 237 cf. φ 202; 237^{a} cf. Γ 53
ὣς οἳ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
μνηστῆρες δ' ἄρα Τηλεμάχῳ θάνατόν τε μόρον τε
ἤρτυον· αὐτὰρ ὃ τοῖσιν ἀριστερὸς ἤλυθεν ὄρνις,
αἰετὸς ὑψιπέτης, ἔχε δὲ τρήρωνα πέλειαν.
τοῖσιν δ' Ἀμφίνομος ἀγορήσατο καὶ μετέϝειπε·
„ὦ φίλοι, οὐχ ἧμιν συνθεύσεται ἥδε γε βουλὴ,
Τηλεμάχοιο φόνος· ἀλλὰ μνησώμεθα δαιτός.“
ὣς ἔφατ' Ἀμφίνομος· τοῖσιν δ' ἐπεϝάνδανε μῦθος. 247 = π 406
ἐλθόντες δ' εἰς δώματ' Ὀδυσσῆος θείοιο
χλαίνας μὲν κατέθεντο κατὰ κλισμούς τε θρόνους τε, 249-251 = ρ 179 sqq.
οἳ δ' ἱέρευον ὄις μεγάλους καὶ πίονας αἶγας,
ἵρευον δὲ σύας σιάλους καὶ βοῦν ἀγελαίην·
σπλάγχνα δ' ἄρ' ὀπτήσαντες ἐνώμαον, ἐν δέ τε ϝοῖνον
κρητῆρσιν 'κεράοντο· κύπελλα δὲ 'νεῖμε συβώτης.
σῖτον δέ σφ' ἐπένειμε Φιλοίτιος ὄρχαμος ἀνδρῶν
καλοῖσ' ἐν κανέοισιν· ἐϝοινοχόει δὲ Μελανθεύς.
οἳ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον. 256 = Ι 91
Τηλέμαχος δ' Ὀδυσῆα καθίδρυε, κέρδεα νωμῶν,
ἐντὸς ἐυσταθέος μεγάρου παρὰ λάινον οὐδὸν, 258^{a} cf. Σ 374^{b}
δίφρον ἀϝεικέλιον καταθεὶς ὀλίγην τε τράπεζαν·

---

238 ὣς δ' αὐτῶς 'Εύμαιος ἐπηύχετο πᾶσι θεοῖσι 238 sq. = φ 203 sq.
νοστῆσαι Ὀδυσῆα πολύφρονα ϝόνδε δόμονδε. 238^{b} sq. = ξ 423 sq.

---

235 ἐπιβουκόλος] cf. γ 422.
237 χ'] om. F mss. alia. ‖ ἐμὴ] ἐμοὶ LaRoche coll. Δ 314 Θ 140. ‖ ἕπονται] ἔσονται U, ἄαπτοι G (cf Θ 450).
238 sq.] del. Duentzer.
238 *ἐπηύχετο] ἐπεύξατο mss.; vid. ξ 423.
242 ὃ] molestum; *ἤρτυνον· τοῖσιν δὲ? vid. Ο 303 λ 366. Axt ἐπεί σφιν pro ὃ τοῖσιν.
244] in G subiungitur Νίσου φαίδιμος υἱὸς ἀγορήσατο καὶ μετέειπεν (cf. π 395).
245 συνθεύσεται] comp. † (simplex passim); cf. συνδραμεῖν Π 335, 337.
247 ἐπεϝάνδανε] ἐπιήνδανε mss.
248 δώματ'] δῶμα P.
251 ἵρευον G] ἱέρευον mss. pleraque.
252 ἐνώμαον § 191] ἐνώμων mss. ‖ δέ τε G P H] δ' ἄρα F M X U n.
253 'κεράοντο § 191] κερόωντο vel κεράσαντο mss.; an *'κίρναντο? vid. § 297.
255 ἐϝοινοχόει] ἐῳνοχόει mss. (ἐνῳνοχόει H^2; cf. Δ 3).
257 καθίδρυε] comp. † (simplex Β 191 etc.).
259] vid. Aristot. Poet. 22. ‖ καταθεὶς H^2 X U n] καθεὶς G, παραθεὶς F P H^1 M, item Ariston. (Ar.?) apud Ammonium s. v. ὀλίγον, de *sella* non recte, cf. Γ 425 π 45 ρ 333 τ 100; *apponitur* mensa (ε 92 φ 29) aut cibus in mensa (α 139 etc.).

πὰρ δ' ἐτίθει σπλάγχνων μοῖραν, ἐνέχευε δὲ ϝοῖνον 260^{b} sq.^{a} = γ 40 sq.
χρυσείῳ δέπαϊ, καί μιν πρὸς μῦθον ἔϝειπε· 261^{a} = γ 41
„ἐνταυθοῖ νῦν ἧσο μετ' ἀνδράσι ϝοινοποτάζων· 262^{a} = σ 105
κερτομίας δέ τοι αὐτὸς ἐγὼ καὶ χεῖρας ἀφέξω
πάντων μνηστήρων, ἐπεὶ οὔ τοι δήμιός ἐστι
ϝοῖκος ὅδ', ἀλλ' Ὀδυσῆος, ἐμοὶ δ' ἐκτήσατο κεῖνος.
ὕμες δὲ, μνηστῆρες, ἐπίσχετε θυμὸν ἐνιπῆς
καὶ χειρῶν, ἵνα μή τις ἔρις καὶ νεῖκος ὄρηται.“
ὣς ἔφαθ'· οἳ δ' ἄρα πάντες ὀδὰξ ἐν χείλεσι φύντες 268 sq. = α 381 sq.
Τηλέμαχον 'θαύμαζον, ὃ θαρσαλέως ἀγόρευε.
τοῖσιν δ' Ἀντίνοος μετέφη 'Ευπείθεος υἱός·
„καὶ χαλεπόν περ ἐόντα δεχώμεθα μῦθον, Ἀχαιοὶ,
Τηλεμάχου· μάλα δ' ἧμιν ἀπειλήσας ἀγορεύει.
οὐ γὰρ Ζεὺς εἴασε Κρονίων· ἦ κέ μιν ἤδη
'παύσαμεν ἐν μεγάροισι λιγύν περ ἐόντ' ἀγορητήν.“ 274^{b} cf. Β 246
ὣς ἔφατ' Ἀντίνοος· ὃ δ' ἄρ' οὐκ ἠμπάζετο μύθων. 275 cf. ρ 488; 275^{b} cf. ι 553
κήρυκες δ' ἀνὰ ϝάστυ θεῶν ἱερὴν ἑκατόμβην
ἦγον· τοὶ δ' ἤγροντο κάρη κομάοντες Ἀχαιοὶ
ἄλσος ὕπο σκιερὸν ϝεκατηβόλου Ἀπόλλωνος.
οἳ δ' ἐπεὶ ὤπτησαν κρέ' ὑπέρτερα καὶ 'ϝερύσαντο, 279 sq. = γ 65 sq.
μοίρας δασσάμενοι 'δαίνυντ' ἐρικυδέα δαῖτα,
πὰρ δ' ἄρ' Ὀδυσσῆι μοῖραν 'θέσαν οἳ 'πονέοντο, 281 cf. ρ 258
ϝίσην, ὡς αὐτοί περ ἐλάγχανον· ὣς γὰρ ἄνωγε
Τηλέμαχος φίλος υἱὸς Ὀδυσσῆος θείοιο. 283 = ο 63

μνηστῆρας δ' οὐ πάμπαν ἀγήνορας εἴα' Ἀθήνη 284-286 = σ 346 sqq.

---

260 μοῖραν GH^2] μοίρας mss. cett. ‖ ἐνέχευε δὲ ϝοῖνον Fick] ἐν δ' οἶνον ἔχευεν mss. Vid. ad γ 40.
261 χρυσείῳ δέπαϊ (Ar.?) Grashof] ἐν δέπαϊ χρυσέῳ mss.; vid. ad γ 41 ο 149.
262 ἐνταυθοῖ] vid. ad Ι 601.
264 πάντων] ἀνδρῶν P.
266 ὕμες § 92] ὑμεῖς mss. ‖ ἐπίσχετε] ἀπίσχετε LaRoche coll. Ω 19 υ 263.
267 χειρῶν] χεῖρας F.
272 ἀπειλήσας] Nauck probabiliter ἀπηλεγέως (cf. Ι 309 α 373 h. Merc. 362).
273 sq.] del. Bergk.
273 οὐ γὰρ — Κρονίων] cf. vs. 241 sqq. ‖ ἦ Hartman] τῷ mss.
275 ἠμπάζετο] ἐμπ. mss.
276-283] del. PKnight, ab ipso poeta ex vetusto carmine desumtos esse opinatur Kirchhoff. De re vid. ad υ 156 φ 350.
277 *ἤγροντο] ἀγέροντο mss.; cf. § 255. ‖ κάρη κομάοντες] vid. ad α 90. ‖ κομάοντες § 191] κομόωντες mss.
279 κρέ' ὑπέρτερα] vid. ad γ 65.
281 'πονέοντο] ῥ' ἐπένοντο F M non male; vid. tamen Ω 444 ρ 258 υ 159.
282 περ ἐλάγχ.] τε λάγχ. F. ‖ ἄνωγε § 225] ἀνώγει mss.
284-344] del. Meister; vs. 284-286 e libro σ irrepsisse suspicatur Kirchhoff.
284 εἴα' § 191] εἴα mss.

λώβης ἴσχεσθαι θυμαλγέος, ὄφρ' ἔτι μᾶλλον
δυίη ἄχος κραδίην Λαερτιάδην Ὀδυσῆα.
ἦν δέ τις ἐν μνηστῆρσιν ἀνὴρ ἀθεμίστια ϝειδὼς, 287a cf. E 9
Κτήσιππος δ' ὄνομ' ἦσκε, Σάμῃ δ' ἐνὶ ϝοικί' ἔναιε·
ὃς δή τοι κτεάτεσσι πεποιθὼς πατρὸς ἑϝοῖο
'μνάσκετ' Ὀδυσσῆος δϝὴν οἰχομένοιο δάμαρτα. 290 cf. ω 125
ὅς ῥα τότε μνηστῆρσιν ὑπερφιάλοισι μετηύδα·
„κέκλυτέ μοι, μνηστῆρες ἀγήνορες, ὄφρα τι ϝείπω. 292 = σ 43
μοῖραν μὲν δὴ ξεῖνος ἔχει πάλαι, ὥς τε ϝέϝοικε,
ϝίσην· οὐ γὰρ καλὸν ἀτεμβέμεν' οὐδὲ δίκαιον 294 cf. φ 312
ξείνους Τηλεμάχοιο, ὅ κεν τάδε δώμαθ' ἵκηται. 295 = φ 313
ἀλλ' ἄγε ϝοι δώω ξεινήιον, ὄφρα καὶ αὐτὸς
ἠὲ λοετροχόῳ δώῃ γέρας ἠέ τιν' ἄλλῳ
δμώων, οἳ κατὰ δώματ' Ὀδυσσῆος θείοιο.“ 298 = ρ 401
ὣς ϝειπὼν ἔρριψε βοὸς πόδα χειρὶ παχείῃ
κείμενον, ἐκ κανέοιο λαβών· ὃ δ' ἀλεύατ' Ὀδυσσεὺς
ἦκα παρακλίνας κεφαλὴν, 'μείδησε δὲ θυμῷ
σαρδάνιον μάλα τοῖον· ὃ δ' εὖ δμητὸν 'βάλε τοῖχον.
Κτήσιππον δ' ἄρα Τηλέμαχος ἠνίπαπε μύθῳ·
„Κτήσιππ', ἦ μάλα τοι τόδε κέρδιον ἔπλετο θυμῷ·

286 δυίη § 114] δύη (δύῃ) mss. ‖ Λαερτιάδην Ὀδυσῆα] -δεω Ὀδυσῆος G; vid. σ 348.
287 ἦν δέ τις ἐν] ἔσκε δ' ἐνὶ Nauck (an ἦσκέ τις?) vid. § 302 et ad E 9.
288 ἦσκε] ἔσκε mss. ‖ ϝοικί' ἔναιε] οἰκία ναῖεν (ναίων F M) mss.
289 πατρὸς ἑοῖο F P H] θεσπεσίοισι(ν) G X U n Eust.
292 *μοι] μευ mss.; vid. § 92 et ad A 37.
293 τε ϝέϝοικε criticus apud Nauckium] ἐπέοικεν mss.; ϝε ϝέϝοικε PKnight.
294 ἀτεμβέμεν n] -μβειν mss. cett.; vid. § 125 et de verbi vi ad β 90.
295 *Τηλεμάχοιο; ὅ] -χου, ὃς mss.; cf. § 59.
296 *δώω ξεινήιον] καὶ (om. F) ἐγὼ δῶ ξείνιον. Cf. ι 356 et § 122.
297 *τιν(ι)] τῳ mss.; vid. § 99. PKnight ἤ τεῳ.
298] om. Eust., del. PKnight.
299 βοὸς πόδα] in usum convivarum appositum (cf. Λ 630 I 217 etc.), *coctum* igitur (vid. Crates apud Eust.)? cf. Athen. 25 *d*. Crudum pedem bovis recens mactati parum probabiliter interpretatur Helbig Hom. Epos[1] p. 86.
301 ἦκα] cf. Ψ 336 Ω 508 σ 94. An *ὦκα? vid. v. l. Γ 155 et Verg. Aen. V 444 *ille ictum venientem a vertice velox* | *praevidit celerique elapsus corpore cessit.*
302 σαρδάνιον H] σαρδόνιον (σαρδώνιον) mss. multa. Vox †, quam cum *Sardiniae* insulae nomine cohaerere fuere qui putarent (cf. schol. et Verg. Ecl. VII 41); apud Apoll. lex. recte deducitur a radice σαρ (σεσηρέναι, σαρκάζειν), quod *canum* est *ringentium* (cf. Hes. Scut. 268 Aristoph. Vesp. 901 Pac. 482 etc.). Fuit igitur olim adverbium σάρδην vel σαρδόν (cf. μίγδην χανδόν etc.), unde derivatum est adiectivum σαρδάνιος vel σαρδόνιος; vid. ad η 106. Restrictis labris ridere est iram aegre cohibentis; cf. O 101 sq. υ 347. ‖ μάλα] δ' ἄρα H K, μέγα l. a. apud Eust. ‖ τοῖον] vid. ad α 209. ‖ δ' εὖ] *δὲ? Alias perpetuo est ἐὺ δμητός.
304 θυμῷ] corruptum iure ducit Hartman; e voce μύθῳ vs. 303 natum?

οὐκ ἔβαλες τὸν ξεῖνον· ἀλεύατο γὰρ βέλος αὐτός.
ἦ γάρ κέν σε μέσον 'βάλον ἔγχεϊ ὀξυόεντι,
καί κέ τοι ἀντὶ γάμοιο πατὴρ τάφον ἀμφεπονεῖτο
ἐνθάδε. τῷ μή τίς μοι ἀϝεικείας ἐνὶ ϝοίκῳ
φαινέτω· ἤδη γὰρ νοέω καὶ ϝοῖδα ϝέκαστα, 309b sq. = σ 228 sq.
ἐσθλά τε καὶ τὰ χέρηα· πάρος δ' ἔτι νήπιος ἦα.
ἀλλ' ἔμπης τάδε μὲν καὶ τέτλαμεν εἰσοράοντες,
μήλων σφαζομένων ϝοίνοιό τε πινομένοιο
καὶ σίτου· χαλεπὸν γὰρ ἐρυκακέμεν ἕνα πολλούς·
ἀλλ' ἄγε μηκέτι μοι κακὰ ῥέζετε δυσμενέοντες. 314b = β 73
εἰ δ' ἤδη μ' αὐτὸν κτεῖναι μενεαίνετε χαλκῷ,
καί κε τὸ βουλοίμην, καί κεν πολὺ κέρδιον εἴη 316 = λ 358
τεθνάμεν' ἢ τάδε γ' αἰὲν ἀϝεικέα ϝέργ' ὁράεσθαι, 317-319 = π 107 sqq.
ξείνους τε στυφελιζομένους δμῳάς τε γυναῖκας
ῥυστάζοντας ἀϝεικελίως κατὰ δώματα καλά.“
ὣς ἔφαθ'· οἳ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ. 320 sq.a = H 398 sq.
ὀψὲ δὲ δὴ μετέϝειπε Δαμαστορίδης Ἀγέλαος·
„ὦ φίλοι, οὔ κεν δή τις ἐπὶ ῥηθέντι δικαίῳ 322-325 = σ 414 sqq.
ἀντιβίοισι ϝέπεσσι καθαπτόμενος χαλεπαίνοι·
μήτε τι τὸν ξεῖνον στυφελίζετε μήτε τιν' ἄλλον
δμώων, οἳ κατὰ δώματ' Ὀδυσσῆος θείοιο.
Τηλεμάχῳ δέ κε μῦθον ἐγὼ καὶ μητέρι φαίην
ἤπιον, εἴ σφωιν κραδίῃ ϝάδοι ἀμφοτέροιιν.
ὄφρα μὲν ὔμιν θυμὸς ἐνὶ στήθεσσ' ἐϝεϝόλπει 328b = T 328
νοστήσειν Ὀδυσῆα πολύφρονα ϝόνδε δόμονδε, 329 cf. α 83
τόφρ' οὔ τις νέμεσις μενέμεν τ' ἦν ἰσχέμεναί τε

306 μέσον 'βάλον] βάλον μέσον G.
308-310] del. PKnight.
310 χέρηα M] χέρεια mss. cett.; cf. § 87.
311-319] del. Duentzer, unum vs. 314 WCKayser.
311 τέτλαμεν] τετλάμεν (schol.?) GHermann, quod vix ferendum nisi *χρὴ τετλάμεν' εἰσοράοντα legas. Non tamen necessaria est coniectura. ‖ εἰσοράοντες § 191] -ρόωντες mss.
313 ἐρυκακέμεν § 126] -κέειν mss.; de re vid. π 88.
315 δ' ἤδη X] ἤδη F, δὴ μή G P H n mss. alia. ‖ κτεῖναι] κτάμεναι? ‖ χαλκῷ] θυμῷ U.
316 εἴη] sic Ar., ἦεν M X L W.
317 τάδε γ'] τάδε τ' D L W, τάδ' F H; vid. ad π 107. ‖ ὁράεσθαι § 191] ὁράασθαι mss.
319 ῥυστάζοντας] vid. ad λ 580.
322 οὔ κεν § 326] οὐκ ἂν mss.
323 ἀντιβίοισι ϝέπεσσι] -οις ἐπέεσσι mss.
324 τὸν] *νυν?
327 κραδίῃ] -ην F U. ‖ ἀμφοτέροιιν] -ροισιν F M X[1] n. ‖ In margine F subiungitur κτῆσιν πήματά τε· τόδε κέρδιον ἔπλετο θυμῷ (cf. vs. 304b).
328 στήθεσσ' ἐϝεϝόλπει] -σσιν ἐόλπει F, ἐώλπει mss. cetera.
329 νοστήσειν G] νοστῆσαι F P H M X n (ex α 83).
330 οὔ τις νέμεσις] cf. Γ 156. ‖ μενέμεν] cf. § 126. ‖ ἦν] ἔεν? cf. § 302.

μνηστῆρας κατὰ δώματ', ἐπεὶ τόδε κέρδιον ἦεν,
εἰ 'νόστησ' Ὀδυσεὺς καὶ ὑπότροπος ἵκετο δῶμα·
νῦν δ' ἤδη τόδε δῆλον, ὅ τ' οὐκέτι νόστιμός ἐστι. 333b cf. δ 806
ἀλλ' ἄγε σῇ τάδε μητρὶ παρεζόμενος κατάλεξον,
γήμασθ', ὅς τις ἄριστος ἀνὴρ καὶ πλεῖστα πόρησι· 335 cf. π 76 sq.
ὄφρα σὺ μὲν χαίρων πατρώια πάντα νέμηαι
ἔσθων καὶ πίνων, ἣ δ' ἄλλου δῶμα κομίζῃ.“ 337a = Ω 476
τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
„οὐ μὰ Ζῆν', Ἀγέλαε, καὶ ἄλγεα πατρὸς ἐμοῖο,
ὅς ποθι τῆλ' Ἰθάκης ἠ' ἔφθιται ἢ ἀλάληται,
οὔ τι διατρίβω μητρὸς γάμον, ἀλλὰ κελεύω
γήμασθ' ᾧ κ' ἐθέλῃ, ποτὶ δ' ἄσπετα δῶρα δίδωμι.
αἰδέομαι δ' ἀϝέκουσαν ἀπὸ μεγάροιο δίεσθαι 343b sq. = ϱ 398 sq.
μύθῳ ἀναγκαίῳ· μὴ τοῦτο θεὸς τελέσειε.“
ὣς 'φάτο Τηλέμαχος· μνηστῆρσι δὲ Παλλὰς Ἀθήνη
ἄσβεστον γέλον ὦρσε, παρέπλαγξεν δὲ νόημα·
οἱ δ' ἤδη γναθμοῖσι 'γελοίαον ἀλλοτρίοισι,
αἱμοφόρυκτα δὲ δὴ κρέα' ἤσθιον, ὄσσε δ' ἄρα σφων
δακρυόφιν 'πίμπλαντο, γόον δ' ὠίετο θυμός. 349 = κ 248
τοῖσι δὲ καὶ μετέϝειπε Θεοκλύμενος θεοϝειδής· 350 = ϱ 151
„ἆ δϝειλοί, τί κακὸν τόδε πάσχετε; νυκτὶ μὲν ὔμων
ϝεϝλύαται κεφαλαί τε πρόσωπά τε νέρθε τε γυῖα·
οἰμωγὴ δὲ δέδηε, δεδακρύαται δὲ παρειαί, 353b = Χ 491

333 δῆλον] suspectum pro δήελον vel δέελον, vid. ad Κ 466 β 167; *νῦν δὲ τὸ δήελον ἤδη?
335] in marg. habet F, om. Z.
337 δῶμα κομίζῃ] δώμαθ' ἵκηται Eust.
339 ἄλγεα] suspectum habet Hartman. || ἐμοῖο] ἐμεῖο G P X n (sic Zen.?); vid. ad Ξ 118.
340 ποθι § 322] που mss.
342 δίδωμι] δίδω(ι)σι Eust. coll. vs. 335; at vix sincera haec est subiunctivi forma (vid. § 112), neque ποτὶ δ' (*et insuper*) sic potest explicari.
344 τοῦτο θεὸς] vid. ad ϱ 399.
346 γέλον M U[2]] γέλω(ν) vel γέλωτ' mss. pleraque; cf. § 63.
347-394] del. Duentzer; vs. 347-389 diasceuastae tribuit Kirchhoff. Vid. ad ο 221-286.
347 γναθμοῖσι — ἀλλοτρίοισι] *malis alienis ridebant* (Horat. Sat. II 3, 72); de eo qui iram vel dolorem risu dissimulet dictum videtur. || 'γελοίαον § 191] γελοίων (γελώων, γελόων, γέλωον) mss.; verbum γελοιᾶν redit h. Ven. 49. Vid. ad σ 111.
348 αἱμοφόρυκτα] †, vid. ad σ 336. || κρέα'] κρέα mss.; cf. Δ 345. In F est κρέατ'. || σφων § 92] σφεων mss.; malumus *σφι coll. Ρ 695 sq.
349 γόον — θυμός] vid. ad κ 248.
351 ἆ δϝειλοί] δαιμόνιοι Plat. Ion. 539a. || ὔμων § 92] ὑμέων mss.
352] vertit Verg. Aen. VI 866: *nox atra caput tristi circumvolat umbra.* || ϝεϝλύαται § 265] εἰλύαται mss. || γυῖα Plat. Ion. 539a] γοῦνα mss.; significatur pars corporis inferior. Cf. ϑ 233.
353] del. Duentzer. || οἰμωγὴ ... δέδηε] cf. Β 93. || *δεδακρύαται] -υνται mss.; vid. § 119 et ad Χ 491.

αἵματι δ' ἐρράδαται τοῖχοι καλαί τε μεσόδμαι· 354 cf. τ 37
ϝειδώλων δὲ πλέον πρόθυρον, πλείη δὲ καὶ αὐλὴ
ϝιεμένων ἔρεβόσδε ὑπὸ ζόφον· ἠέλιος δὲ
οὐρανοῦ ἐξαπόλωλε, κακὴ δ' ἐπιδέδρομεν ἀχλύς.“ 357b cf. ζ 45
ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἐπ' αὐτῷ ϝηδὺ 'γέλασσαν· 358 = Ψ 784
τοῖσιν δ' Εὐρύμαχος Πολύβου πάις ἦρχ' ἀγορεύειν·
„ἀφραίνει ξεῖνος νέον ἄλλοθεν εἰληλουθώς· 360b cf. γ 318
ἀλλά μιν αἶψα, νέοι, δόμου ἐκπέμψασθε θύραζε
εἰς ἀγορὴν ἔρχεσθαι, ἐπεὶ τάδε νυκτὶ ϝεϝίσκει.“
τὸν δ' αὖτε προσέϝειπε Θεοκλύμενος θεοϝειδής·
„Εὐρύμαχ', οὔ τί σ' ἄνωγα ἐμοὶ πομπῆας ὀπάζειν.
εἰσί μοι ὀφθαλμοί τε καὶ οὔατα καὶ πόδες ἄμφω,
τοῖσ' ἔξειμι θύραζε, ἐπεὶ νοέω κακὸν ὔμιν
ἐρχόμενον, τό κεν οὔ τις ὑπεκφύγοι οὐδ' ἀλέαιτο
μνηστήρων, οἳ δῶμα κάτ' ἀντιθέοι' Ὀδυσῆος
ἀνέρας ὑβρίζοντες ἀτάσθαλα μηχανάεσθε.“ 370 cf. Λ 695 ϱ 588
ὣς ϝειπὼν ἐξῆλθε δόμων ἐὺ ναιεταόντων· 371 cf. ϱ 324
ἵκετο δ' εἰς Πείραιον, ὅ μιν πρόφρων ὑπέδεκτο. 372b = ψ 314 cf. Ι 480
μνηστῆρες δ' ἄρα πάντες ἐς ἀλλήλους ὁράοντες 373b = Ω 633
Τηλέμαχον ἐρέθιζον, ἐπὶ ξείνοις γελάοντες·

366 καὶ νόος ἐν στήθεσσι τετυγμένος οὐδὲν ἀϝεικής·

354 μεσόδμαι] -δναι G. De voce vid. ad τ 37.
355 πλέον] πλέων mss. multa (cf. § 62). Alias non πλέος dicitur sed πλεῖος (Β 226 Δ 262 etc.), suspicionem autem movet δὲ ante πλ- correptum; *ϝειδώλων πλεῖον πρόθυρον? Sed servanda videtur particula δέ.
356 ϝιεμένων ἔρεβόσδε] cf. Π 327.
357 ἐπιδέδρομεν] ἐπιτέτροφεν Nauck coll. ψ 237. || ἀχλύς] *caligo*; cf. vs. 362 et ἀχλῦσαι μ 406 ξ 304. Non significantur obscurati morientium procorum oculi (vid. ad Ο 668 η 41).
362 ἀγορὴν] Naber ὀροφὴν coll. χ 298, locum enim indicari debere unde quoquoversus aspectus pateat, propter adverbium θύραζε tamen parum probabiliter. || ϝεϝίσκει] ἐώκει M.
365 πόδες ἄμφω] vid. ad π 15.
366] del. Cobet; non *mente* sed *pedibus* foras est egressurus. || οὐδὲν] οὔ τι in versu spurio scribendum non videtur; vid. § 100 et ad ϑ 136.
368-370] del. PKnight.
368 κεν] μὲν mss. multa (non recte).
369] ἀνδρῶν οἳ κατὰ δώματ' Ὀδυσσῆος θείοιο G et olim alii (cf. vs. 298). || ἀντιθέοι' § 59] -θέου mss.
370 μηχανάεσθε § 191] μηχανάασθε mss. (-νόωνται G, cf. ϱ 588).
372 Πείραιον, ὅ] Πειραίο, καί P; Πειραίου, ὅ IHVoss.
373 ὁράοντες § 191] ὁρόωντες mss.
374 ἐρέθιζον] θαύμαζον G et olim alii (cf. α 382). || ξείνοις] forma novicia (cf. § 60), ξείνῳ F; Nauck ξείνοισι γελῶντες, nos dubitanter *Τηλέμαχον γελάοντες ἐπὶ ξείνοισ' ἐρέθιζον, ita ut ἐπὶ ξείνοισι iungatur cum verbo ἐρεθίζειν. Sed veri est similius, singularem ξείνῳ genuinum esse, superesse autem ex antiquiore carminis forma, in qua Theoclymeni mentio fieret nulla. Nam nimis violentum videtur remedium, deleto versu 380 in versu 377 scribere ἄλλον δή τινα (et ξείνῳ in vs. 374). || γελάοντες § 191] γελόωντες mss.

ὧδε δέ τις 'Ϝείπεσκε νέων ὑπερηνορεόντων· 375 = β 324
„Τηλέμαχ', οὔ τις σεῖο κακοξεινότερος ἄλλος·
οἷον μέν τινα τοῦτον ἔχεις ἐπίμαστον ἀλήτην,
σίτου καὶ Ϝοίνου κεχρημένον οὐδέ τι Ϝέργων
ἔμπαιον οὐδὲ βίης, ἀλλ' αὔτως ἄχθος ἀρούρης· 379ᵇ cf. Σ 104
ἄλλος δ' αὖτέ τις οὗτος ἀνέστη μαντεύεσθαι.
ἀλλ' εἴ μοί τι πίθοιο, τό κεν πολὺ κέρδιον εἴη· 381 = Η 28
εἰς Σικελοὺς πέμψωμεν, ὅθεν κέ τοι ἄξιον ἄλφοι."
ὣς ἔφασαν μνηστῆρες· ὃ δ' οὐκ ἠμπάζετο μύθων, 384 cf. ϱ 488
ἀλλ' ἀκέων πατέρα προσεδέρκετο δέγμενος αἰεί, 384ᵇ cf. ι 553
ὁππότε δὴ μνηστῆρσιν ἀναιδέσι χεῖρας ἐφήσει. 386 cf. ν 376
ἣ δὲ κατ' ἄντηστιν θεμένη περικαλλέα δίφρον
κούρη Ϝικαρίοιο, περίφρων Πηνελόπεια, 388 = α 329
ἀνδρῶν ἐν μεγάροισι Ϝεκάστου μῦθον ἄκουε.
δεῖπνον μὲν γὰρ τοί γε γελαίοντες 'τετύκοντο
Ϝηδύ τε καὶ μενοϜεικὲς, ἐπεὶ μάλα πόλλ' ἱέρευσαν·
δόρπου δ' οὔ κέν πως ἀχαρίστερον ἄλλο γένοιτο,
οἷον δὴ τάχ' ἔμελλε θεὰ καὶ καρτερὸς ἀνὴρ
θησέμεναι· πρότεροι γὰρ ἀϜεικέα 'μηχανάοντο.

382 τοὺς ξείνους ἐν νηὶ πολυκλήιδι βαλόντες

376 κακοξεινότερος F P H] -νώτερος mss. multa; cf. § 20. Adi. †, cf. φιλόξεινος ζ 121 etc.
377 ἔχεις] ἄγεις l. a. apud Eust. || ἐπίμαστον] †, *adscitum* (att. ἐπακτόν), a verbo ἐπιμαίομαι Ρ 564 etc., cf. ἀπροτίμαστος Τ 263.
379] del. PKnight. || ἔμπαιον] *expertum*; adi. redit φ 400. De syllaba -αι- correpta vid. § 17; vHerwerden οὐδ' ἔμπαιον | Ϝέργων.
380 μαντεύεσθαι G X U] -σασθαι F P H M D.
381 εἴ μοί] εἰ δή U (ἤδη F), εἰ δή μοι X (del. igitur ἀλλ').
382] del. Bergk. || τοὺς ξείνους] Duentzer τὸν ξεῖνον.
383 Σικελοὺς] hoc nomen, quod nonnisi ω 211, 366, 389 redit (cf. *Sicaniae* nomen ω 307), prodit diasceuastam; vid. ad vs. 347-394. „In antiquiore carmine nequam „homines ad *Echetum* regem mittuntur σ 85, „116 φ 308" (Kirchhoff). || πέμψωμεν] πέμπωμεν M mss. alia, πέμπομεν F. || τοι ... ἄλφοι] singularis indicio est versum 382 postea irrepsisse; τις ... ἄλφοι TBentley ingeniose, τοι ... ἄλφοιν Dindorf male, vid. § 113 et ad Φ 611 α 414.
384 ἔφασαν] ἄρ' ἔφαν est ϱ 488. || ἠμπάζετο] ἐμπ. mss.
385 προσεδέρκετο] vid. ad Π 10.
386 δὴ μνηστῆρσιν] vitiose μνηστῆρσιν F P H[1] M mss. alia, μνηστήρεσσιν L W. || ἐφήσει] ἐφείη F X n; vid. ad vs. 29 et de locutione ad Α 88.
387-394] del. PKnight.
387 ἄντηστιν] †, voc. ignotum; l. a. ἀντικρύ. Doederlein ἄντησιν. In F est καταντίστην, in P καταντήστη. Cf. φ 5.
390 *γελαίοντες] γελοίωντες Eust., γελόωντες; γελώοντες γελώωντες mss.; γελοιῶντες Buttmann. Vid. σ 111 υ 347 et § 286.
392 οὔ κέν § 326] οὐκ ἄν mss. || ἀχαρίστερον] compar. †, cf. ἀχάριστος θ 236.
394 πρότεροι] -ρον G. || 'μηχανάοντο § 191] -νόωντο mss.

ΟΔΥΣΣΕΙΑΣ φ.

Τόξου θέσις.

τῇ δ' ἄρ' ἐνὶ φρέσ' ἔθηκε θεὰ γλαυκῶπις Ἀθήνη 1 sq. = σ 158 sq.
κούρῃ Ϝικαρίοιο, περίφρονι Πηνελοπείῃ,
τόξον μνηστῆρσιν θέμεναι πολιόν τε σίδηρον 3 = 81 ω 168
ἐν μεγάροισ' Ὀδυσῆος, ἀέθλια καὶ φόνου ἀρχήν. 4ᵇ = ω 169
κλίμακα δ' ὑψηλὴν προσεβήσετο Ϝοῖο δόμοιο, 5 cf. α 330
εἵλετο δὲ κληῖδ' ἐυκαμπέα χειρὶ παχείῃ
καλὴν χαλκείην· κώπη δ' ἐλέφαντος ἐπῆεν.
'βῆ δ' ἴμεναι θάλαμόνδε σὺν ἀμφιπόλοισι γυναιξὶ
ἔσχατον, ἔνθα τέ Ϝοι κειμήλια 'κεῖτο Ϝάνακτος,
χαλκός τε χρυσός τε πολύκμητός τε σίδηρος. 10 = Ζ 48
ἔνθα δὲ τόξον ἔκειτο παλίντονον ἠδὲ φαρέτρη 11 sq. cf. 59 sq.

Poetam, qui τὴν τοῦ τόξου θέσιν excogitavit, ita eam instituisse ut *agnito Ulixe* regina procis hoc certamen proponeret *callida fraude usa*, consciisque coniuge et filio, probabiliter statuit Kayser; cf. ω 167 sq. Quod si verum est, cum vs. 1-4 et posteriore parte libri τ conciliari nequit hic locus (vid. ad τ 346-348 et σ 283).
1 ἐνὶ] ἐπὶ mss.; vid. ad Α 55. || φρέσ' ἔθηκε] φρεσὶ θῆκε mss.
3 *μνηστῆρσιν θέμεναι] μνηστήρεσι θέμεναι F, μνηστήρεσσι θέμεναι L W, μνηστήρεσσι θέμεν mss. pleraque. Vid. § 126.
4] suspectum habet Duentzer.
5 προσεβήσετο] κατεβήσετο U, προσεβήσατο mss. complura, vid. § 152. Sive προσ- legitur sive κατ-, cogitanda est Penelope relicto suo cubiculo scalas *descendens* (ut α 330 alibi), dein cellam adiens, in qua asservantur res pretiosae (vid. ad β 337).
6 κληῖδ'] clavem hic significat, sensu novicio, item vs. 47 et 50; clavis autem usus cum lori mentione (vs. 46) conciliari vix potest. Vid. ad Ω 318 et α 441 sq. || ἐυκαμπέα] ἐπικαμπέα U[1]. Cf. σ 368. || χειρὶ παχείῃ] χερσὶ φίλῃσι Et. Flor. Miller. Mélang. 308. Vid. ad Φ 403.
7 χαλκείην] χρυσείην F P H mss. alia fortasse recte.
9 τέ] δέ mss., item vs. 51; vid. ad Θ 48.
11 ἔκειτο G X n Eust.] κεῖτο mss. pleraque.

ἰοδόκος, πολλοὶ δ' ἔνεσαν στονόεντες ὀιστοί,
δῶρα τά Ϝοι ξεῖνος Λακεδαίμονι 'δῶκε τυχήσας
Ϝίφιτος Εὐρυτίδης ἐπιϜείκελος ἀθανάτοισι. 14 cf. 37

τὼ δ' ἐνὶ Μεσσήνῃ ξυμβλήατο ἀλλήλοιιν
Ϝοίκῳ ἐν Ὀρσιλόχοιο δαΐφρονος. ἦ τοι Ὀδυσσεὺς
ἦλθε μετὰ χρῆος, τό ῥά Ϝοι πᾶς δῆμος ὄφειλε·
μῆλα γὰρ ἐξ Ἰθάκης Μεσσήνιοι ἄνδρες ἄειραν
νηυσὶ πολυκλήισι τριηκόσι' ἠδὲ νομῆας·
τῶν ἕνεκ' ἐξεσίην πολλὴν ὁδὸν ἦλθεν Ὀδυσσεὺς 19ᵇ = Λ 697
παιδνὸς ἐών· πρὸ γὰρ ἧκε πατὴρ ἄλλοι τε γέροντες.
Ϝίφιτος αὖθ' ἵππους διζήμενος, αἵ Ϝοι ὄλοντο
δώδεκα θήλειαι, ὑπὸ δ' ἡμίονοι ταλαϜεργοί·
[αἵ δή Ϝοι καὶ ἔπειτα φόνος καὶ μοῖρ' ἐγένοντο, 23 = δ 636
ἐπεὶ δὴ Διὸς υἱὸν ἀφίκετο καρτερόθυμον
φῶθ' Ἡρακλέεα, μεγάλων ἐπιϜίστορα Ϝέργων·
ὅς μιν ξεῖνον ἐόντα κατέκτανε Ϝῷ ἐνὶ Ϝοίκῳ,
σχέτλιος, οὐδὲ θεῶν ὄπιν ἠδέσατ' οὐδὲ τράπεζαν,
τὴν δή Ϝοι παρέθηκεν· ἔπειτα δὲ 'πέφνε καὶ αὐτόν, 28ᵃ cf. Hes. Op. 187
ἵππους δ' αὐτὸς ἔχε κρατερώνυχας ἐν μεγάροισι.]
τὰς ἐρέων Ὀδυσῆι συνήντετο· 'δῶκε δὲ τόξον,
τὸ πρὶν μέν ῥ' ἐφόρει μέγας Εὔρυτος, αὐτὰρ ὃ παιδὶ
κάλλιπ' ἀποθνήσκων ἐν δώμασιν ὑψηλοῖσι.
[τῷ δ' Ὀδυσεὺς ξίφος ὀξὺ καὶ ἄλκιμον ἔγχος ἔδωκε,
ἀρχὴν ξεινοσύνης προσκηδέος. οὐδὲ τραπέζῃ
'γνώτην ἀλλήλω· πρὶν γὰρ Διὸς υἱὸς ἔπεφνε
Ϝίφιτον Εὐρυτίδην ἐπιϜείκελον ἀθανάτοισι.] 37 cf. 14

12 *ἰοδόκος*] adi. *Ο* 444 φ 60 redit.

14] de *Iphito* vid. ad ϑ 224.

15-41] del. Fick, dubitamus autem an etiam vs. 13 sq. recentioris sint originis; diasceuastae tribuit Kirchhoff. LaRoche del. vs. 24-33, Hentze vs. 16ᵇ-35ᵃ, Seeck vs. 14ᵇ-38ᵃ *ἐπιϜείκελος—ἔδωκε*.

15 *ἐνὶ* Nauck] *ἐν* mss.; cf. § 2. ‖ *Μεσσήνῃ*] *Messeniae* aut *Messeniorum* in Homericis nonnisi h. l. (vs. 15 et 18) fit mentio; non concinit autem vs. 13. ‖ *ξυμβλήατο* Nauck] *ξυμβλήτην* mss.; cf. § 2 et 258. Activum etiam *Π* 565 (ubi vid.) *Φ* 578 ita usurpatur, medium passim. ‖ *ἀλλήλοιιν*] *-λοισιν* F M mss. alia.

16 *Ὀρσιλόχοιο* L W] *Ὀρτιλόχοιο* mss. pleraque. Cf. *Ε* 542 γ 489.

17 *χρῆος* § 190] *χρεῖος* mss. ‖ *ὄφειλε* Eust.] *ὄφελλε* mss.; vid. § 273.

20 *ἐξεσίην*] vox redit *Ω* 235, ubi vid. ‖ *ἦλθεν*] *ἤλυθ'* G.

21 *παιδνός*] adi. redit ω 338 (vid. etiam ad σ 216). ‖ *γὰρ*] **δέ Ϝ'*? cf. *Λ* 195 et 208.

24-30 et **34-37**] vicinis etiam recentiores ducimus; unum vs. 29 del. PKnight.

24 *μοῖρ' ἐγένοντο*] *-ρα γ.* mss.

25 *ἐπεὶ*] cf. § 22.

26 *Ἡρακλέεα* § 73] *-κλῆα* mss. ‖ *ἐπιϜίστορα*] †; cf. *Ϝίστωρ* (*arbiter*) *Σ* 501 etc. et vid. ad γ 422.

28 *ὄπιν*] *ὄπιδ'*? cf. § 66. ‖ *ἠδέσατ'*] *αἰδέσατ'* F M.

29 *δή* U² Eust.] om. H¹ i, *ἥν* mss. cetera.

31 *ἐρέων*] idem quod *διζήμενος* vs. 22.

32 *ῥ'* G] om. mss. pleraque; *μέν ἑ φόρει* (*μέν Ϝ' ἐφόρει*) Grashof.

33 *ἀποθνήσκων*] vid. ad *Χ* 432.

35 *ξεινοσύνης*] †, cf. *ξενίη* ω 286, 314. ‖ *προσκηδέος*] †, *περικηδέος* P, *ἐυκηδέος* U (neutra vox alias extat).

36 *ἀλλήλω* G L W] *-λους* M² X¹ n, *-λων* mss. multa; cf. ψ 109. Genitivus alias verbo *γιγνώσκειν* non iungitur (nam *Δ* 357 est gen. abs.).

37 sq. *ἐπιϜείκελον — ἔδωκε*] del. Bothe, dein pro *τὸ δ'* rescribens *τὸ δή*, vid. ad vs. 15-41.

ἣ δ' ὅτε δὴ θάλαμον τὸν ἀφίκετο δῖα γυναικῶν
οὐδόν τε δρύινον προσεβήσετο, τόν ποτε τέκτων
'ξέσσεν ἐπισταμένως καὶ ἐπὶ στάθμην ἴθυνε, 44 = ρ 341 cf. [ε 245
ἐν δὲ σταθμοὺς ἦρσε, θύρας δ' ἐπέθηκε φαεινάς· 45ᵇ cf. Ξ 169
αὐτίκ' ἄρ' ἥ γ' ἱμάντα θοῶς ἀπέλυσε κορώνης,
ἐν δὲ κληῖδ' ἧκε, θυρέων δ' ἀνέκοπτεν ὀχῆας
ἄντα τιτυσκομένη. τὰ δ' ἀνέβραχεν ἠύτε ταῦρος 48ᵃ cf. 421 χ 266 ω 181
βοσκόμενος λειμῶνι· τόσ' ἔβραχε καλὰ θύρετρα
πληγέντα κληῖδι, 'πετάσθησαν δέ Ϝοι ὦκα.
ἣ δ' ἄρ' ἐφ' ὑψηλῆς σανίδος ἔβη, ἔνθα τε χηλοὶ
ἕστασαν, ἐν δ' ἄρα τῇσι θυώδεα Ϝείματ' ἔκειτο.
ἔνθεν ὀρεξαμένη ἀπὸ πασσάλου ἥνυτο τόξον 53ᵇ cf. Ε 209
αὐτῷ γωρυτῷ, ὅς Ϝοι περίκειτο φαεινός.
ἑζομένη δὲ κατ' αὖθι, φίλοισ' ἐπὶ γούνασι θεῖσα, 55ᵇ cf. τ 401
'κλαῖε μάλα λιγέως, ἐκ δ' ᾕρεε τόξα Ϝάνακτος.
ἣ δ' ἐπεὶ οὖν 'τέρφθη πολυδακρύτοιο γόοιο, 57 = τ 213
'βῆ ῥ' ἴμεναι μέγαρόνδε μετὰ μνηστῆρας ἀγαυοὺς
τόξον ἔχουσ' ἐν χειρὶ παλίντονον ἠδὲ φαρέτρην. 59 cf. 11 Ο 443

ὅς Ϝοι τόξον ἔδωκε· τὸ δ' οὔ ποτε δῖος Ὀδυσσεὺς
ἐρχόμενος πόλεμόνδε μελαινάων ἐπὶ νηῶν
ᾑρέετ', ἀλλ' αὖθι μνῆμα ξείνοιο φίλοιο
'κέσκετ' ἐνὶ μεγάροισι· 'φόρει δέ Ϝε Ϝῆς ἐπὶ γαίης.

40 *ᾑρέετ'* § 191] *ᾑρεῖτ'* mss. ‖ *αὖθι* § 322] *αὐτοῦ* mss.

41 *'κέσκετ'*] cf. ξ 521. ‖ *Ϝε* Bentley] *μιν* mss.; vid. ad *Δ* 315.

42 *δὴ*] *ἐς* K, om. F P H M mss. alia. ‖ *τὸν*] om. F P, *ὃν* U², Nauck *θάλαμόνδε*. Cf. *Ρ* 401; ceteris locis, quibus pronomen *ὃ* substantivo postponitur, additum est pronomen relativum.

43-52] postea additi aut reficti esse videntur, incommoda enim habent haud pauca.

43 *δρύινον*] †, cf. *μέλινος* ρ 339. Alias limina *aerea* (*Θ* 15 etc.) aut *lapidea* (π 41 etc.) dicuntur. ‖ *προσεβήσετο*] *-σατο* mss. nonnulla, cf. § 152.

45 *ἦρσε*] *ἄρσε* mss. ‖ *ἐπέθηκε*] sc. *τῷ θαλάμῳ*, *cubiculum clausit fore* (cf. *Ε* 751 etc.).

46] vid. ad vs. 6. ‖ *κορώνης*] *-νῃ* G P et l. a. apud Eust.; de vocis sensu vid. ad *Δ* 111.

47 *ἐν δὲ κληῖδ' ἧκε*] *clavem immisit*; vid. ad vs. 6. ‖ *θυρέων*] novicium pro *θυράων* (sic F), item vs. 191; cf. § 55. Expectatur *θύρης* (vid. ad ζ 19), sed obstant vs. (45 et) 49 sq. ‖ *ἀνέκοπτεν*] comp. †, cf. *ἀπῶσαι* *Ω* 446.

48 *τὰ*] constructio ad sensum? an textus mutati indicium? ‖ *ἀνέβραχεν*] comp. redit *Τ* 13, simplex extat *Δ* 420 φ 49 etc.

48 sq. *ἠύτε — ἔβραχε*] del. Nauck.

50 *κληῖδι*] *clave*, vid. ad vs. 6.

51 *σανίδος*] *suggesti*. Alias plurali significantur *valvae* (*Μ* 121 β 344 etc.); vid. tamen χ 174. ‖ *ἔβη*] *βῆ* mss. vitio metrico, cf. § 14. ‖ *τε*] *δὲ* mss.; vid. vs. 9.

52 *θυώδεα*] vid. ad ε 60.

53 *ἥνυτο*] *αἴνυτο* mss. ‖ *τόξον*] *τόξα* F (ut vs. 56), sed vid. *Ϝοι* vs. 54.

54 *γωρυτῷ*] †, *involucro*, cf. *Δ* 105.

56 *ᾕρεε*] *ᾕρει* F, *ᾕρετο* P. ‖ *τόξα* Dawes coll. *Φ* 490] *τόξον* mss. Cf. vs. 90 etc.

57 *'τέρφθη*] *τάρφθη* (*τάρπη* U¹) mss.; vid. ad ζ 99.

58 *ἴμεναι* G U] *ἴμεν ἐς* mss. pleraque.

59 *χειρὶ*] *χερσὶ* l, idque praefert Duentzer.

τῇ δ' ἄρ' ἅμ' ἀμφίπολοι 'φέρον ὄγκιον, ἔνθα σίδηρος
'κεῖτο πολὺς καὶ χαλκός, ἀέθλια τοῖο ϝάνακτος.
ἣ δ' ὅτε δὴ μνηστῆρας ἀφίκετο δῖα γυναικῶν, 63-66 = α 332 sqq.
'στῆ ῥα παρὰ σταθμὸν τέγεος πύκα ποιητοῖο
ἄντα παρειάων σχομένη λιπαρὰ κρήδεμνα·
ἀμφίπολος δ' ἄρα ϝοι κεδνὴ ϝεκάτερθε παρέστη.
αὐτίκα δὲ μνηστῆρσι μετηύδα καὶ 'φάτο μῦθον·
„κέκλυτέ μοι, μνηστῆρες ἀγήνορες, οἳ τόδε δῶμα
ἐχράετ' ἐσθέμεναι καὶ πινέμεν' ἐμμενὲς αἰεὶ
ἀνδρὸς ἀποιχομένοιο πολὺν χρόνον· οὐδέ τιν' ἄλλην
μύθου ποιήσασθαι ἐπισχεσίην ἐδύνασθε,
ἀλλ' ἐμὲ ϝιέμενοι γῆμαι θέσθαι τε γυναῖκα.
ἀλλ' ἄγετε, μνηστῆρες, ἐπεὶ τόδε φαίνετ' ἄεθλον. 73 = 106
θήσω γὰρ μέγα τόξον Ὀδυσσῆος θείοιο·
ὃς δέ κε ῥηίτατ' ἐντανύσῃ βιὸν ἐν παλάμῃσι 75-79 = τ 577 sqq.
καὶ διοϊστεύσῃ πελέκεων δύο καὶ δέκα πάντων,
τῷ κεν ἅμ' ἑσποίμην νοσφισσαμένη τόδε δῶμα
κουρίδιον, μάλα καλόν, ἐνίπλειον βιότοιο,
τοῦ ποτε μεμνήσεσθαι ὀίομαι ἔν περ ὀνείρῳ."
ὣς 'φάτο, καί ῥ' Εὔμαιον ἄνωγεν δῖον ὑφορβὸν
τόξον μνηστῆρσιν θέμεναι πολιόν τε σίδηρον. 81 = 3
δακρύσας δ' Εὔμαιος ἐδέξατο καὶ κατέθηκε·
'κλαῖε δὲ βουκόλος ἄλλοθ', ἐπεὶ 'ϝίδε τόξα ϝάνακτος.
Ἀντίνοος δ' ἐνένιπε ϝέπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε· 84 = σ 78

60 ἰοδόκον· πολλοὶ δ' ἔνεσαν στονόεντες ὀιστοί. 60 cf. 12
85 νήπιοι ἀγροιῶται, ἐφημέρια φρονέοντες,

60] del. Bothe. ‖ *ἰοδόκον*] cf. vs. 12.
61 sq.] del. Duentzer.
61 *ὄγκιον*] †, *cistam sagittarum cuspides* (*ὄγκους* Δ 151, 214) *continentem*? Non satis liquet etiamne insint duodecim secures, quarum mentio facta est vs. 3 sq.
62 *τοῖο*] pronomen molestum.
66] om. P H M^1 U^1; cf. σ 211.
67 *μετηύδα*] -*δαε*? vid. § 191 et 195.
68 **μοι*] *μευ* mss.; vid. § 92 et ad Δ 37.
69 *ἐχράετ'*] cf. § 179. ‖ **ἐσθέμεναι*] *ἐσθιέμεν* mss.; vid. § 126 et ad β 305.
71 *μύθου*] *στάσεως* (*tumultus*) mire interpretantur scholia coll. Anacreont. fr. 16. ‖ *ἐπισχεσίην*] †, *praetextum*? Cf. *ἐπίσχεσις* ρ 451, *ἔφεξις* Aristoph. Vesp. 338. ‖ *ἐδύνασθε*] *γε δύνασθε* F.
72] del. apud Nauckium. ‖ *ἀλλ' ... ϝιέμενοι*] *nisi quod gestitis.* ‖ *ἀλλ'*] i. e. *ἢ*; item γ 378 θ 312 λ 559.
73 *φαίνετ' ἄεθλον*] -*ται ἐσθλὸν* H^2.
76 *πελέκεων*] de synizesi vid. § 8.
77 *ἑσποίμην*] cf. § 247.
78 sq.] del. Bothe.
78 *κουρίδιον*] vid. ad τ 579 sq.
80 *ἄνωγε(ν)* k] *ἀνώγει* mss.; cf. § 225.
81 **μνηστῆρσιν θέμεναι*] *μνηστήρεσι θέμεναι* F, *μνηστήρεσσι θέμεν* mss. pleraque. Vid. § 126.
83 *ἄλλοθ'* G] *ἄλλος* F P H M mss. alia. *τόξα* Dawes] *τόξον* mss.
85] versum sententiosum, fortasse aliunde

„ἆ δϝειλώ, τί νυ δάκρυ κατείβετον ἠδὲ γυναικὶ
θυμὸν ἐνὶ στήθεσσιν ὀρίνετον; ἧ τε καὶ ἄλλως
κεῖται ἐν ἄλγεσι θυμός, ἐπεὶ φίλον ὤλεσ' ἀκοίτην.
ἀλλ' ἀκέων δαίνυσθε καθήμενοι, ἠὲ θύραζε
κλαίετον ἐξελθόντε κατ' αὐτόθι τόξα λιπόντε,
μνηστήρεσσιν ἄεθλον ἀνάατον· οὐ γὰρ ὀίω
ῥηιδίως τόδε τόξον ἐύξοον ἐντανύεσθαι.
οὐ γάρ τις μέτα τοῖος ἀνὴρ ἐν τοισίδε πᾶσι,
οἷος Ὀδυσσεὺς ἦσκεν. ἐγὼ δέ μιν αὐτὸς ὄπωπα·
καὶ γὰρ μνήμων εἰμί, πάις δ' ἔτι νήπιος ἦα."
ὣς 'φάτο· τῷ δ' ἄρα θυμὸς ἐνὶ στήθεσσ' ἐϝεϝόλπει 96^b = Τ 328
νευρὴν ἐντανύειν διοϊστεύσειν τε σιδήρου. 97 = 127 cf. τ 587
ἦ τοι ὀιστοῦ γε πρῶτος γεύσεσθαι ἔμελλε
ἐκ χειρῶν Ὀδυσῆος ἀμύμονος, ὃν τότ' ἄτιζε
ἥμενος ἐν μεγάροισ', ἐπὶ δ' ὤρνυε πάντας ἑταίρους. 100^a cf. Ω 209
τοῖσι δὲ καὶ μετέϝειφ' ἱερὴ ϝὶς Τηλεμάχοιο· 101 = β 409
„ὢ πόποι, ἦ μάλα με Ζεὺς ἄφρονα 'θῆκε Κρονίων.
μήτηρ μέν μοι φησὶ φίλη πινυτή περ ἐοῦσα
ἄλλῳ ἅμ' ἕψεσθαι νοσφισσαμένη τόδε δῶμα· 104 cf. τ 579
αὐτὰρ ἐγὼ γελάω καὶ τέρπομαι ἄφρονι θυμῷ.

desumtum, hic certe molestum, del. Adam; particula ἆ (vs. 86) alias initio sententiae semper collocatur. Cf. Verg. Georg. II 458 *o fortunatos nimium sua si bona norint* | *agricolas.*
86 *δϝειλώ*] *δειλοὶ* G Eust.
87 *ἄλλως*] vid. ad Ι 699.
88 *ἐν ἄλγεσι*] vid. Ω 568.
89 *ἀκέων*] hic de *duobus*, h. Ap. 404 de *pluribus*, Δ 22 Θ 459 de *dea*. Iliadis l. l. **μὲν ἀκὴν* videtur scribendum, nostro loco **ἀλλ' ἄγ' ἀκήν*. Eust. commemorat quorundam coniecturam *ἀλλὰ καὶ ὣς δαίνυσθε*. Similis est controversia ψ 93.
91 *ἀνάατον*] *ἀάατον* mss.; vid. ad Ξ 271.
92 *ἐντανύεσθαι*] futurum pass.; vid. vs. 97 et § 147.
93 *μέτα ... ἐν*] altera praepositio abundat, *μάλα ... ἐν* Bothe. ‖ *τοισίδε*] *τοῖσδεσι* G P H mss. alia; vid. § 97.
94 *ἦσκεν*] *ἔσκεν* mss.
95 *μνήμων*] nonnisi θ 163 redit; vid. ad Θ 181.
96 *στήθεσσ' ἐϝεϝόλπει*] *στήθεσσιν ἐώλπει* mss.
97 *ἐντανύειν* Ar. F M U] -*σειν* mss. pleraque; vid. vs. 92, 127, 174 et § 147.
98-100] del. Duentzer; pulcram oppositionem servari mavult Seeck.
98] versus durior; **ἦ τοι γεύσεσθαί γε ὀιστοῦ πρῶτος ἔμελλε*? ‖ *γεύσεσθαι* G H^2] -*σασθαι* mss. multa.
99 *χειρῶν*] *χειρὸς* F. ‖ *τότ'*] *ποτ'* P Eust. male; cf. χ 290. *Hoc ipso momento* vertit Seeck, qui ex vetustiore narratione, secundum quam Ulixes *eodem die* ab Antinoo percuteretur (ρ 462 sqq.) et procos trucidaret, haec remansisse coniecit coll. ρ 496 sq. ‖ *ἄτιζε(ν)* Nauck] *ἀτίμα* mss.; vid. ad π 307.
100 *ἥμενος*] *ἥμενον* PCauer, sed recte observavit vHerwerden participio *ἥμενος* pingi Antinoum in aedibus alienis veluti domi suae impudenter se gerentem. ‖ *μεγάροισ'*] -*ρῳ* (ut locis par.) ed. Flor. ‖ *ὤρνυε*] cf. § 145.
101 *μετέϝειφ'*] *μετέφη* X.
105 *γελάω* § 191] *γελόω* (*γ' ἔσθω* F, *ἔσθω* M) mss.

ἀλλ' ἄγετε, μνηστῆρες, ἐπεὶ τόδε φαίνετ' ἄεθλον, 106 = 73
οἵη νῦν οὐκ ἔστι γυνὴ κατ' Ἀχαιίδα γαῖαν,
οὔτε Πύλοι' ἱερῆς οὔτ' Ἄργεος οὔτε Μυκήνης·
καὶ δ' αὐτοὶ τό γε Fίστε· τί με χρὴ μητέρος αἴνου;
ἀλλ' ἄγε μὴ μύνησι παρέλκετε μηδ' ἔτι τόξου
δFηρὸν ἀποτροπάεσθε τανυστύος, ὄφρα Fίδωμεν.
καὶ δέ κεν αὐτὸς ἐγὼ τοῦ τόξου πειρησαίμην·
εἰ δέ κεν ἐντανύσω διοϊστεύσω τε σιδήρου, 114 cf. τ 587
οὔ κέ μοι ἀχνυμένῳ τάδε δώματα πότνια μήτηρ
λείποι ἅμ' ἄλλῳ ἰοῦσ', ὅτ' ἐγὼ κατόπισθε λιποίμην
οἷός τ' ἤδη πατρὸς ἀέθλια κάλ' ἀνελέσθαι."
 ἦ, καὶ ἀπ' ὤμοιιν χλαῖναν 'θέτο φοινικόεσσαν
ὀρθὸς ἀναΐξας, ἀπὸ δὲ ξίφος ὀξὺ 'θέτ' ὤμων.
πρῶτον μὲν πελέκυς 'στῆσεν, διὰ τάφρον ὀρύξας
πᾶσι μίαν μακρὴν, καὶ ἐπὶ στάθμην ἴθυνε,
ἀμφὶ δὲ γαῖαν ἔναξε· τάφος δ' ἕλε πάντας ἰδόντας 122^{b} cf. γ 372
ὡς εὐκόσμως 'στῆσε· πάρος δ' οὔ πώ ποτ' ὀπώπει.
'στῆ δ' ἄρ' ἐπ' οὐδὸν ἰὼν καὶ τόξου 'πειρήτιζε. 124 = 149, 124^{a} = υ 128
τρὶς μέν μιν 'πελέμιξε Fερύσσασθαι μενεαίνων, 125 sq.^{a} = Φ 176 sq.
τρὶς δὲ μεθῆκε βίης, ἐπιFελπόμενος τό γε θυμῷ

109 οὔτ' αὐτῆς 'Ιθάκης οὔτ' ἠπείροιο μελαίνης. 109 = ξ 98^{a} 97^{b}

108] iure damnasse videtur vHerwerden. ‖ Πύλοι' § 59] Πύλου mss.

109] om. P H M U^{1} n.

110 τό γε l] τόδε aut τόδε γ' mss. cetera. ‖ αἴνου] vid. ad Ψ 652.

111 μύνησι] †, μ' ὤρησι F O Z k sine sensu. Vox ignota; Alcaeus (fr. 89) μυνάμενος dixisse fertur sensu προφασιζόμενος. ‖ παρέλκετε] act. †, med. σ 282. ‖ μηδ' ἔτι] μήτε τι M, μητ' ἔτι F.

112 ἀποτροπάεσθε § 191 et 251] -τροπᾶσθε F H^{2} Y, τρωπᾶσθε mss. cett. ‖ τανυστύος] † (τανύω passim). ‖ Fίδωμεν] ἴδωμαι F.

113 τόξου] τόξοο? cf. § 59.

115 ἀχνυμένῳ] -νη F M X mss. alia. Dativum tuentur Ξ 108 M 374.

117] del. Duentzer; post vs. 114 perperam collocat Bothe, sic enim ἐών vix posset abesse. ‖ οἷός τ' ... ἀνελέσθαι] vid. ad τ 160 sq.

118 'θέτο] βάλε Bothe (vid. μ 171 ξ 500). ‖ φοινικόεσσαν] vid. § 18 et ad K 133 Ψ 717.

120 sqq.] fiunt haec in μεγάρῳ (cf. vs. 262), de cuius pavimento vid. ad δ 627.

120 πελέκυς § 75] πελέκεας mss.

122 ἔναξε] † (stirps non redit). ‖ ἰδόντας] neglecto F, Ἀχαιούς schol. I 193 et Etym. M. 748,29; vid. ad γ 372.

123] del. PKnight. ‖ εὐκόσμως] †, cf. εὐ κοσμητός h. Merc. 384.

124 τόξου] τόξοο? cf. § 59.

125 μιν] δὴ U^{2} q. ‖ ἐρύ(σ)σασθαι F M] ἐρύ(σ)σεσθαι mss. pleraque, item vs. par.; vid. ad B 544. — Loco par. verbum Fερύεσθαι aptissimum est, sed hic expectatur τανύσσαι; vid. tamen O 464. Iordan τανύσσεσθαι (immo -σσασθαι), sed medium illud ita non usurpatur.

126 μεθῆκε βίης] *βίης μεθέηκ'? ‖ τό γε] τόδε G H.

νευρὴν ἐντανύειν διοϊστεύσειν τε σιδήρου. 127 = 97
καί νύ κε δή F' ἐτάνυσσε βίῃ τὸ τέταρτον ἀνέλκων,
ἀλλ' Ὀδυσεὺς ἀνένευε καὶ ἔσχεθε Fιέμενόν περ. 129 cf. δ 284
τοῖσ' αὖτις μετέFειφ' ἱερὴ Fὶς Τηλεμάχοιο· 130 = σ 60 cf. β 409
 „ὢ πόποι, ἦ καὶ ἔπειτα κακός τ' ἔσομαι καὶ ἄκικυς. 131 cf. β 60^{b} sq.
ἀλλ' ἄγεθ', οἵ περ ἐμεῖο βίῃ προφερέστεροί ἐστε,
τόξου πειρήσασθε, καὶ ἐκτελέωμεν ἄεθλον." 135 cf. 180, 268
 ὣς Fειπὼν τόξον μὲν ἀπὸ Fέο 'θῆκε χαμᾶζε 136 cf. 163
κλίνας κολλητῇσιν ἐὺ ξεστῇσι σανίσσι, 137-139 = 164 sqq.
αὐτόθι δ' ὠκὺ βέλος καλῇ πρόσκλινε κορώνῃ·
ἂψ δ' αὖτις κατ' ἄρ' ἕζετ' ἐπὶ θρόνου ἔνθεν ἀνέστη. 139 = σ 157
τοῖσιν δ' Ἀντίνοος μετέφη, Εὐπείθεος υἱός·
 „ὄρνυσθ' ἑξείης ἐπιδέξια πάντες ἑταῖροι,
ἀρξάμενοι τοῦ χώρου ὅθεν τέ περ οἰνοχοεύει."
 ὣς ἔφατ' Ἀντίνοος, τοῖσιν δ' ἐπεFάνδανε μῦθος. 143 = σ 50
Ληώδης δὲ πρῶτος ἀνίστατο, Fοίνοπος υἱὸς,
ὅ σφι θυοσκόος ἦσκε, παρὰ κρητῆρα δὲ καλὸν
ἷζε μυχοίτατος αἰέν· ἀτασθαλίαι δέ Fοι οἴῳ

132 ἠὲ νεώτερός εἰμι καὶ οὔ πω χερσὶ πέποιθα
ἄνδρ' ἀπαμύνασθαι, ὅτε τις πρότερος χαλεπήνῃ. 132^{b} sq. = π 71 sq.

127 ἐντανύειν Ar. F M] -σειν mss. pleraque; vid. vs. 97 et § 147.

128 δή F' (δή ἐ τάνυσσε) Grashof] δὴ F X U, δὴν D L W, δή ῥ' G P H M n; cf. Γ 373. De pronomine Fε = αὐτό vid. ad Δ 315. ‖ ἐτάνυσσε] τανύσειε F et schol. B 215 (vid. ad E 311). ‖ ἀνέλκων] ἀνύσ<σ>ας G.

129 ἀνένευε] -νευσε U.

130 *τοῖσ'] τοῖς (τοῖσι M U^{2}) δ' mss.; cf. § 60 et H 170. Apud Bekkerum proponitur τοῖσιν δ' αὖ (αὖ est in U^{2} D q). ‖ μετέFειφ'] μετέφη X.

131 ἄκικυς] ἄναλκις M K. Vid. ad ι 515.

132 sq.] del. Kirchhoff, solum vs. 133 PKnight.

133 ἀπαμύνασθαι] -νεσθαι P H.

134 προφερέστεροι] πολὺ φέρτεροι X U n; cf. ϑ 129.

135 πειρήσασθε X U^{1}] -σεσθε mss. multa. ‖ καὶ] ἵν' Hartman; cf. μ 383 (Ω 213). ‖ ἐκτελέωμεν] -σωμεν F P.

137 ἐὺ ξεστῇσι σανίσσι(ν) LMeyer] ἐυξέστῃς σανίδεσσιν mss.; item vs. 164. Cf. § 57.

138 αὐτόθι § 322] αὐτοῦ mss. ‖ πρόσκλινε Spitzner] προσέκλινε (προσέθηκε L W) mss., item vs. 165. ‖ κορώνῃ] *manubrio ianuae* (cf. χ 120 et vid. ad Δ 111) acclinat arcum et sagittam (cf. χ 121). *Arcus* κορώνην non recte h. l. et vs. 165 quidam interpretabantur (vid. Eust.).

141 ἐπιδέξια] cf. ἐνδέξια A 597 etc.

142] *spurius? ‖ τοῦ χώρου] *χώροιο? ‖ τέ περ] τ' ἐπι- F X U^{1}. ‖ οἰνοχοεύει] neglecto F; ὅθεν περ Fοινοχοεύει? APlatt ὅθεν τ' ἐπιFοινοχοεύει coll. h. Ven. 205.

143 ἐπεFάνδανε] ἐπιήνδανε mss.

144 Ληώδης] ΛαοFάδης Fick, Λειώδης (Λειόδης U) mss., item φ 168 χ 310; vid. ad P 344. ‖ Οἴνοπος H U] Ἤνοπος (Fήνοπος) G F P M mss. alia fortasse recte; cf. tamen E 707 (nisi ibi Fηνοπίδην legendum).

145 ἦσκε] ἴσκε mss.

146 μυχοίτατος] μυχαίτατος G X mss. alia. Superl. † (cf. μυχός Z 152 etc.); vert. *intimus*, proximus igitur; cf. φ 142. Sedes haec est honoratissima. ‖ αἰέν U^{1}] αἰεί mss. ple-

ἐχθραὶ ἔσαν, πᾶσιν δὲ 'νεμέσσα μνηστήρεσσι·
ὅς ῥα τότε πρῶτος τόξον 'λάβε καὶ βέλος ὠκύ.
'στῆ δ' ἄρ' ἐπ' οὐδὸν ἰὼν καὶ τόξου 'πειρήτιζε, 149 = 124
οὐδέ μιν ἐντάνυσε· πρὶν γὰρ 'κάμε χεῖρας ἀνέλκων 150ᵇ cf. Φ 26
ἀτρίπτους ἀπαλάς. μετὰ δὲ μνηστῆρσιν ἔϝειπε·
„ὦ φίλοι, οὐ μιν ἐγὼ τανύω· λαβέτω δὲ καὶ ἄλλος.
πολλοὺς γὰρ τόδε τόξον ἀριστῆας κεκαδήσει 153ᵇ sq.ᵃ = 170 [sq.
θυμοῦ καὶ ψυχῆς· ἐπεὶ ἦ πολὺ φέρτερόν ἐστι 154ᵇ = Α 169
τεθνάμεν' ἢ ζώοντας ἁμαρτέμεν' οὗ θ' ἕνεκ' αἰεὶ
156 ἐνθάδ' ὁμιλέομεν ποτιδέγμενοι ἤματα πάντα.“ 156ᵇ = β 205
163 ὣς ἄρ' ἐφώνησεν, καὶ ἀπὸ ϝέο τόξον ἔθηκε 163 cf. 136
κλίνας κολλητῇσιν ἐυ ξεστῇσι σανίσσι, 164-166 = 137 sqq.
αὐτόθι δ' ὠκὺ βέλος καλῇ πρόσκλινε κορώνῃ·
ἂψ δ' αὖτις κατ' ἄρ' ἕζετ' ἐπὶ θρόνου ἔνθεν ἀνέστη.
Ἀντίνοος δ' ἐνένιπε ϝέπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε· 167 = σ 78
„Ληῶδες, ποῖόν σε ϝέπος 'φύγεν ἕρκος ὀδόντων; 168 cf. Δ 350
δϝεινόν τ' ἀργαλέον τε, — νεμεσσάομαι δέ τ' ἀκούων, — 169ᵃ = ι 175
εἰ δὴ τοῦτό γε τόξον ἀριστῆας κεκαδήσει 170ᵇ sq.ᵃ = 153 sq.
θυμοῦ καὶ ψυχῆς, ἐπεὶ οὐ δύνασαι σὺ τανύσσαι.
οὐ γάρ τοι σέ γε τοῖον ἐγείνατο πότνια μήτηρ,
οἷόν τε ῥυτῆρα βιοῦ τ' ἔμεναι καὶ ὀιστῶν·

157 νῦν μέν τις καὶ ϝέλπετ' ἐνὶ φρεσὶν ἠδὲ μενοινᾷ
γῆμαι Πηνελόπειαν Ὀδυσσῆος παράκοιτιν·
αὐτὰρ ἐπεὶ τόξου πειρήσεται ἠδὲ ϝίδηται,
ἄλλην δή τιν' ἔπειτα Ἀχαιιάδων ἐυπέπλων
μνάσθω ἐϝέδνοισιν διζήμενος· ἡ δέ κ' ἔπειτα
γήμαιθ' ὅς κε πλεῖστα πόρῃ καὶ μόρσιμος ἔλθῃ. 161 sq = π 391 sq.

raque; cf. ν 255. Nauck οἶος· ἀτασθαλίαι δέ οἱ αἰεὶ (αἰεὶ pro οἴῳ etiam Duentzer).
147 'νεμέσσα μνηστήρεσσι] νεμέσσαε οἷσ' ἑτάροισιν Nauck; vid. ad σ 35.
148 πρῶτος] πρῶσον G.
149 τόξου] τόξοο? cf. § 59.
151 ἀτρίπτους] † (τρίβω Υ 496 etc.).
152 μιν ἐγὼ τανύω] δύναμαι τανύσαι Athen. X 437 e. || μιν Bekker] μὲν (γὰρ D L W) mss.
154-156] vid. ad μ 350 sq.
155 ἁμαρτέμεν' § 125] ἁμαρτεῖν (ἁμαρτάνειν F) mss. || οὗ θ'] οὗ Eust.
157-162] del. PKnight.
159 ἐπεὶ § 326] ἐπὴν mss. || ἠδὲ ϝίδηται] sc. *quid valeat* sive *nullam spem sibi superesse*; ἠδὲ μενοινᾷ F[1]. Naber οὐδὲ δύνηται, vHerwerden dubitanter οὐδὲ τανύσσῃ.
161 δέ κ'] δ' ἂν U[1]; cf § 326.
162 κε] τις G F mss. alia. || πόρῃ ... ἔλθῃ] πόροι ... ἔλθοι (εἴη F, εἴῃ M) mss. pleraque; cf. π 392.
164 sq.] vid. ad vs. 137 sq.
168 Ληῶδες] Λειῶδες mss.; vid. vs. 144.
169 νεμεσσάομαι § 191] -σσῶμαι mss.
170 εἰ δὴ] vid. ad Α 61. || εἰ] ἢ IHVoss.
172 sq. τοῖον ... οἷόν τε ... ἔμεναι] locutioni τοῖος οἷός τε nonnisi h. l. et h. Merc. 342 subiungitur infinitivus; vid. ad β 60.

ἀλλ' ἄλλοι τανύουσι τάχα μνηστῆρες ἀγαυοί.“
ὣς 'φάτο, καί ῥ' ἐκέλευσε Μελάνθιον αἰπόλον αἰγῶν·
„ἄγρεε δή, πῦρ κῆον ἐνὶ μεγάροισι, Μελανθεῦ, 176ᵇ-179ᵃ cf. 181 sqq.
πὰρ δὲ τίθει δίφρον τε μέγαν καὶ κῶας ἐπ' αὐτοῦ·
ἐκ δὲ στέατος ἔνεικε μέγαν τροχὸν ἔνδον ἐόντος,
ὄφρα νέον θάλποντες, ἐπιχρίοντες ἀλοιφῇ,
τόξου πειρώμεσθα καὶ ἐκτελέωμεν ἄεθλον.“ 180 = 268 cf. 185
ὣς 'φάθ'· ὃ δ' αἶψ' ἀνέκαιε Μελάνθιος ἀκάματον πῦρ, 181ᵇ-184 cf. 176 sqq.
πὰρ δὲ φέρων δίφρον 'θῆκεν καὶ κῶας ἐπ' αὐτοῦ,
ἐκ δὲ στέατος ἔνεικε μέγαν τροχὸν ἔνδον ἐόντος·
τῷ ῥα νέον θάλποντες ἐπειρῶντ', οὐδ' ἐδύναντο
ἐντανύσαι, πολλὸν δὲ βίης ἐπιδευέες ἦσαν. 185 cf. ω 171
Ἀντίνοος δ' ἔτ' ἐπεῖχε καὶ Εὐρύμαχος θεοϝειδής, 186 cf. δ 628
ἀρχοὶ μνηστήρων· ἀρετῇ δ' ἔσαν ἔξοχ' ἄριστοι. 187 = δ 629
τὼ δ' ἐκ ϝοίκου ἔβησαν ὁμαρτήσαντες ἅμ' ἄμφω
βουκόλος ἠδὲ συφορβὸς Ὀδυσσῆος θείοιο·
ἐκ δ' αὐτὸς μετὰ τοὺς δόμου ἤλυθε δῖος Ὀδυσσεύς.
ἀλλ' ὅτε δή ῥ' ἐκτὸς θυρέων ἔσαν ἠδὲ καὶ αὐλῆς,
φθεγξάμενός σφε ϝέπεσσι προσηύδα μειλιχίοισι· 192 cf. ι 363
„βουκόλε καὶ σύ, συφορβέ, ϝέπος τί κε μυθησαίμην·
ἢ αὐτὸς κεύθω; φάσθαι δέ με θυμὸς ἀνώγει. 194 cf. δ 140
ποῖοί κ' εἶτ' Ὀδυσῆι ἀμυνέμεν', εἴ ποθεν ἔλθοι

174 τανύουσι] vid. vs. 97 et § 147.
176 ἄγρεε § 191] ἄγρει mss. || δή, πῦρ] πῦρ δὴ ed. Flor. || κῆον § 177] κεῖον mss.
177 μέγαν] e vs. 178 videtur irrepsisse; *φέρων? cf. vs. 182.
178 δὲ στέατος] vid. § 28. — Vox στέαρ (*sebum*) nonnisi vs. 183 redit.
179 νέον Hartman] νέοι mss.; item vs. 184. || θάλποντες] vid. ad τ 319.
181 'φάθ'· ὃ δ' αἶψ'] ἔφαθ'· ὃ δ' αἶψ' G, φάτο, αἶψα δ' F P H M, ἔφατ', αἶψα δ' L W. Fortasse verum est ἔφατ'· αἶψα δ' ἔκαιε (l φάτο, αἶψα δ' ἔκαιε). Et ἀνακαίειν πῦρ dicitur (η 13 ι 251, 308 κ 358 υ 123 h. Merc. 115 Cer. 288) et καίειν (Θ 521 ι 231 ο 97 φ 176), simplex suadet versus vicinus 176. || Μελάνθιος] -θεὺς G.
182 δὲ — 'θῆκεν] *δ' ἄρα δίφρον ἔθηκε φέρων? Fick δ' ἄρ ἔθηκε φέρων δίφρον.
183 δὲ στέατος] vid. ad vs. 178.
184 νέον Hartman] νέοι mss.; cf. vs. 179. || θάλποντες] vid. ad τ 319. || ἐπειρῶντ'] ἐπείρασν Fick.
186-244] del. Kammer.
186] *Antinous vero et Eurymachus nondum victos se fatebantur* (*hielden nog vol*); hoc sensu †. || δ' ἔτ' U[2]] δέ τ(ε) mss. pleraque, item schol. coll. *P* 112 intellegentes *at retinebat*.
188 ἐκ] ἐξ mss. || ἔβησαν Etym. M. 623, 22] βῆσαν mss. || ὁμαρτήσαντες] ἁμαρτήσαντες G P H[1] Y mss. alia (Ar.).
191 θυρέων] vid § 56 et vs. 47. In G n est ἔκτοσθε θυρέων.
192 σφε ϝέπεσσι] σφ' ἐπέεσσι G X, σφιν ἔπεσσι M, μιν ἔπεσσι F P H; cf. vs. 206. || προσηύδα] -δαε? cf. § 191 et 195.
194 αὐτὸς] αὔτως n, αὔτως P fortasse recte.
195 ποῖοί — ἀμυνέμεν'] *quali animo essetis ad opem ferendam*? Hoc uno loco pronomini ποῖος subiungitur infinitivus, vid. ad β 60. || εἶτ'] ἦτ' F D U[2]n mss. alia.

ὧδε μάλ' ἐξαπίνης καί τις θεὸς αὐτὸν ἐνείκαι;
ἦ κε μνηστήρεσσιν ἀμύνοιτ' ἦ Ὀδυσῆι;
Ϝείπεθ' ὅπως ὕμας κραδίη θυμός τε κελεύει."
τὸν δ' αὖτε προσέϜειπε βοῶν ἐπιβουκόλος ἀνήρ· 199 = υ 235
„Ζεῦ πάτερ, αἲ γὰρ τοῦτο τελευτήσειας ἐϜέλδωρ,
ὡς ἔλθοι μὲν κεῖνος ἀνήρ, ἀγάγοι δέ Ϝε δαίμων· 201 = ρ 243
γνοίη χ' οἵη ἐμὴ δύναμις καὶ χεῖρες ἕπονται." 202 cf. υ 237
ὣς δ' αὔτως Εὔμαιος ἐπηύχετο πᾶσι θεοῖσι 203 sq. = υ 238 sq.
νοστῆσαι Ὀδυσῆα πολύφρονα Ϝόνδε δόμονδε.
αὐτὰρ ἐπεὶ δὴ τῶν γε νόον νημερτέ' ἀνέγνω,
ἐξαῦτίς σφε Ϝέπεσσιν ἀμειβόμενος προσέϜειπε· 206 cf. τ 214
„ἔνδον μὲν δὴ ὅδ' αὐτὸς ἐγώ, κακὰ πολλὰ μογήσας 207ᵃ cf. ω 321
ἤλθον ἐϜεικοστῷ Ϝέτεϊ εἰς πατρίδα γαῖαν. 208 = π 206
γιγνώσκω δ' ὡς σφῶιν ἐϜελδομένοισιν ἱκάνω
οἴοισι δμώων· τῶν δ' ἄλλων οὔ τέ' ἄκουσα
εὐξαμένοι' ἐμὲ Ϝοίκαδ' ὑπότροπον αὖτις ἱκέσθαι. 211ᵇ cf. χ 35
σφῶιν δ', ὡς ἔσεταί περ, ἀληθείην καταλέξω·
εἴ χ' ὑπ' ἐμοί γε θεὸς δαμάσῃ μνηστῆρας ἀγαυούς, 213 = τ 488
ἄξομαι ἀμφοτέροισ' ἀλόχους καὶ κτήματ' ὀπάσσω
Ϝοικία τ' ἐγγὺς ἐμεῖο τετυγμένα, καί μοι ἔπειτα
Τηλεμάχοι' ἑτάρω τε κασιγνήτω τ' ἔσσεσθον.
εἶ' ἄγε δὴ καὶ σῆμα ἀριφραδὲς ἄλλο τι δείξω, 217 cf. ψ 73

197 sq.] del. Duentzer.
197 ἀμύνοιτ'] -νητ' H².
198 εἴπεθ' X n] εἴπαθ' mss. pleraque; cf. § 153. ‖ ὕμας § 92] ὑμέας (ὑμῖν U) mss.; probabiliter Fick ὔμμε (ὔμε, dual.).
199 ἐπιβουκόλος] cf. γ 422.
201 κεῖνος] ἐκεῖνος F P¹; cf. § 97.
202 *γνοίη] γνοίης mss. ‖ χ'] om. F; cf. vs. par. ‖ ἐμὴ] cf. vs. par. ‖ ἕπονται] ἔσονται H X; cf. vs. par.
203 ἐπηύχετο] ἐπηύξατο n, ἐπεύξατο G M², ἐπεύχετο mss. cett.; cf. vs. par.
205 τῶν] τόν F M mss. alia. ‖ νημερτέ'] νημερτὲς X.
206 σφε Ϝέπεσσιν] σφ' ἐπέεσσιν mss. pleraque, μιν ἔπε(σ)σιν F M.
207 ἔνδον — ἐγώ] imitatur Verg. Aen. I 595: *coram, quem quaeritis, adsum.*
208 del. Kirchhoff. ‖ ἤλθον (M) ἐεικοστῷ (H²)] ἤλυθον εἰκοστῷ mss. pleraque.
210-216] del. PKnight.
210 τέ' § 99] τευ mss.
211 εὐξαμένοι' § 59] -νου mss. ‖ ἐμὲ Ϝοίκαδ' ὑπότροπον αὖτις Fick] ἐμὲ αὖτις ὑπότροπον (l. a. ἀπότρ.) οἴκαδ' mss. hiatu vitioso et neglecto Ϝ vocis Ϝοίκαδε. Nauck ὑπότροπον ἀπονέεσθαι; sic vero praeterea αὖτίς με scribendum esset, infinitivus autem aoristi requiritur (vid. *B* 401 *I* 184 etc.). Bekker male ὑπότροπα Ϝοίκαδ' (coll. ὑπέρμορα et ὑπόβρυχα); adiectivum requiritur, non adverbium.
213 εἴ χ'] αἴ χ' G F P H M D U, αἴθ' L W (vitiose).
215 ἐμεῖο] ἐμοῖο H U.
216 Τηλεμάχοι' § 59] -χῳ schol. *T* 297, -χου mss.; an *Τηλεμάχῳ θ'? ‖ τ' ἔσσεσθον Fick] τε ἔσεσθον mss. hiatu vitioso.
217 εἶ' § 328] εἰ δ' mss. ‖ δείξω] εἴξω G, λέξω F.

ὄφρα μ' ἐῢ γνῶτον πιστωθῆτόν τ' ἐνὶ θυμῷ,
οὐλήν, τήν ποτέ με σῦς ἤλασε λευκῷ ὀδόντι 219 sq. cf. τ 393 sq.
Παρνησόνδ' ἐλθόντα σὺν υἱάσιν Αὐτολύκοιο." 220 = τ 466
ὣς Ϝειπὼν ῥάκεα μεγάλης ἀπεϜέργαθεν οὐλῆς.
τὼ δ' ἐπεὶ εἰσϜιδέτην ἐῢ τ' ἐφράσσαντο Ϝέκαστα,
'κλαῖον ἄρ' ἀμφ' Ὀδυσῆι δαΐφρονι χεῖρε βαλόντε
καὶ 'κύνεόν Ϝ' ἀγαπαζόμενοι κεφαλήν τε καὶ ὤμους· 224 cf. ρ 35
ὣς δ' αὔτως Ὀδυσεὺς κεφαλὰς καὶ χεῖρας ἔκυσσε.
καί νύ κ' ὀδυρομένοισιν ἔδυ φάος ἠελίοιο, 226 = Ψ 154
εἰ μὴ Ὀδυσσεὺς αὐτὸς ἐρύκακε 'φώνησέν τε·
„παύεσθον κλαυθμοῖο γόοιό τε, μή τις ἴδηται
ἐξελθὼν μεγάροιο, ἀτὰρ Ϝείπῃσι καὶ εἴσω.
ἀλλὰ προμνηστῖνοι ἐσέλθετε μηδ' ἅμα πάντες,
πρῶτος ἐγώ, μετὰ δ' ὔμες. ἀτὰρ τόδε σῆμα τετύχθω·
ἄλλοι μὲν γὰρ πάντες, ὅσοι μνηστῆρες ἀγαυοί, 232ᵇ = β 209
οὔ μοι ἐάσουσιν δόμεναι βιὸν ἠδὲ φαρέτρην·
ἀλλὰ σύ, δῖ' Εὔμαιε, φέρων ἀνὰ δώματα τόξον
ἐν χείρεσσιν ἐμοὶ θέμεναι· Ϝειπεῖν δὲ γυναιξὶ
κληῖσαι μεγάροιο θύρας πυκινῶς ἀραρυίας, 236-239 = 382 sqq.
εἰ δέ κέ τις στοναχῆς ἠὲ κτύπου ἔνδον ἀκούσῃ
ἀνδρῶν ἡμετέροισιν ἐν ἕρκεσι, μή τι θύραζε
προβλώσκειν, ἀλλ' αὖθι ἀκὴν ἔμεναι παρὰ Ϝέργῳ.
σοὶ δέ, Φιλοίτιε δῖε, θύρας ἐπιτέλλομαι αὐλῆς

218] *spurius? Abest loco consimili ψ 73 sq. ‖ γνῶτον πιστωθῆτον] novicia pro γνώετον πιστωθήετον, cf. § 122.
219 sq.] om. U¹ n¹. ‖ με] μοι G n (cf. τ 393).
220 σὺν υἱάσιν Αὐτολύκοιο] ἐς Αὐτόλυκον δὲ (l. τε) καὶ υἷας G, μετ' Αὐτ. τε καὶ υἷας n Eust. (ut τ 394).
221 ἀπεϜέργαθεν] ἀποέργαθεν mss.
222 τὼ] τὴν F. ‖ Ϝέκαστα] ἄνακτα L W n.
223 Ὀδυσῆι δαΐφρονι] -σῆα -να G Eust. (non recte, cf. *Σ* 203 sq. φ 433 ψ 207 sq.).
224 *Ϝ'] adiecimus. ‖ κεφαλήν] l. a. χεῖρας. ‖ καὶ ὤμους] χέρας τε X n male, nam breviorem stirpis formam χερ- nonnisi in dat. sing. (*Θ* 289 *Υ* 182 *Ω* 101) et plur. (et in compositis) admittit dictio epica; vid. tamen h. XVIII 40.
225 αὔτως] *αὔτως σφ'?
228 παύεσθον] -σεσθον G M. ‖ ἴδηται] neglecto Ϝ; *ἀκούσῃ? Fick ἵκηται (vid. ad γ 233), at sequitur ἐξελθών.
229 εἴσω] ἄλλως G¹ (cf. χ 373).
230 προμνηστῖνοι] cf. λ 233.
231 πρῶτος] πρῶτον F P¹ M¹. ‖ μετὰ] vid. ad ο 400. ‖ ὔμες § 92] ὔμμες ὔμμες ὔμμες mss.; an *ὔμε (dual.)? cf. § 92.
233 οὔ μοι ἐάσουσιν PKnight] οὐκ ἐάσουσιν ἐμοὶ mss. cum synizesi durissima (cf. § 8). ‖ ἠδὲ] οὐδὲ X.
234 δῖ'] δὴ H M n mss. alia; cf. π 461.
235 θέμεναι] l. a. δόμεναι. ‖ δὲ] τε U mss. alia.
237 *εἰ δέ κέ τις] ἢν δέ τις ἢ mss.; cf. § 326. ‖ στοναχῆς] ταραχῆς G (quae epica non est vox).
239 αὖθι § 322] αὐτοῦ mss.

κληῖσαι κληῖδι, θοῶς δ' ἐπὶ δεσμὸν ἰῆλαι.“ 241^{b} cf. ϑ 443
ὣς Ϝειπὼν εἰσῆλθε δόμους εὖ ναιετάοντας· 242 = ϱ 324
ἕζετ' ἔπειτ' ἐπὶ δίφρον ἰὼν ἔνθεν περ ἀνέστη. 243 = 392
εἰς δ' ἄρα καὶ τὼ δμῶε ἴτην θείοἰ' Ὀδυσῆος.

Εὐρύμαχος δ' ἤδη τόξον μετὰ χερσὶν ἐνώμα
θάλπων ἔνθα καὶ ἔνθα πυρὸς σέλα'· ἀλλά μιν οὐδ' ὣς
ἐντανύσαι 'δύνατο, μέγα δ' ἔστενε κυδάλιμον κῆρ. 247^{b} = Κ 16
ὀχθήσας δ' ἄρ' ἔϜειπε Ϝέπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε·
„ὢ πόποι, ἦ μοι ἄχος περί τ' αὐτοῦ καὶ περὶ πάντων.
οὔ τι γάμου τοσσοῦτον ὀδύρομαι ἀχνύμενός περ·
εἰσὶ καὶ ἄλλαι πολλαὶ Ἀχαιίδες, αἱ μὲν ἐν αὐτῇ
ἀμφιάλῳ 'Ιθάκῃ, αἱ δ' ἄλλῃσιν πολίεσσι·
ἀλλ' εἰ δὴ τοσσόνδε βίης ἐπιδευέες εἰμὲν
ἀντιθέοἰ' Ὀδυσῆος, ὅ τ' οὐ δυνάμεσθα τανύσσαι
τόξον. ἐλεγχείη δὲ καὶ ἐσσομένοισι πυθέσθαι.“ 255^{b} = Β 119
τὸν δ' αὖτ' Ἀντίνοος προσέφη, Ἐυπείθεος υἱός·
„Εὐρύμαχ', οὐχ οὕτως ἔσται· νοέεις δὲ καὶ αὐτός.
νῦν μὲν γὰρ κατὰ δῆμον ἑορτὴ τοῖο θεοῖο
ἁγνή· τίς δέ κε τόξα τιταίνοιτ'; ἀλλὰ Ϝέκηλοι
κάτθετ'. ἀτὰρ πελέκυς γε καὶ εἴ κ' ἐάωμεν ἅπαντας
ἑστάμεν', οὐ μὲν γάρ τιν' ἀναιρήσεσθαι ὀίω
ἐλθόντ' εἰς μέγαρον Λαερτιάδα' Ὀδυσῆος. 262 cf. π 104
ἀλλ' ἄγε, Ϝοινοχόος μὲν ἐπαρξάσθω δεπάεσσι, 263 sq.^{a} = σ 418 sq.

244] in marg. habet U^{2}. || *θείοἰ'* § 59] *θείου* mss.

246 *θάλπων*] vid. ad τ 319. || *πυρὸς σέλα'* Roehl] *σέλα(ι) πυρός* mss.; cf. Θ 563 et § 13 et 71.

248 *ἄρ' ἔϜειπε*] *ἄρα εἶπε(ν)* mss. || *ἔϜειπε — ὀνόμαζε*] *εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν* (ut Λ 403 etc.) F P H M mss. alia male, cf. vs. 257.

249 *αὐτοῦ*] *αὐτόο*? cf. § 59.

251 sq. *αἱ μὲν ... αἱ δ'*] *ἡμὲν* Eust. ... *ἠδὲ* F Eust.

253 *εἰ δὴ*] vid. ad Α 61.

254 *ἀντιθέοἰ'* § 59] *-ου* mss.

257 *οὐχ οὕτως ἔσται*] *ea quae dicis (times) non evenient*; non enim imbecillitas nostra, dies festus obstat quominus arcum tendamus. Finem ergo nunc faciamus, cras autem Apollini sacra feramus, dein certamen instauremus (vs. 267 sq.).

258-262] del. Kammer, vs. 259-262 Hentze.

258 *ἑορτὴ*] cf. υ 156.

260 *πελέκυς* § 75] *πελέκεας (-κεως)* mss. || *εἴ κ'*] sic Ar. teste Aristonico ad Π 559, mente supplens *καλῶς ἂν ἔχοι* (cf. Α 135 sq.). Sed corrupta haec sunt; l et Eust. *εἴπερ ἐῶμεν*, Bothe *καὶ ἦκ' εἰῶμεν*, Bergk *κεν ἦκ' εἰῶμεν*, Axt *καὶ εὖ κ' εἰῶμεν*: at alienum hinc *ἦκα* aut *εὖ*, praeterea autem molestum esse *ἅπαντας* observat Hartman. || *ἐάωμεν* § 191] *εἰῶπεν* mss. || *ἅπαντας*] *-ντες* G^{2} F H^{1} U.

262 *Λαερτιάδα'* § 55] *-δεω* mss.

263] vid. ad Α 471. || *ἄγε* Bentley] *ἄγετ'* mss.; cf. σ 418.

ὄφρα σπείσαντες καταθήομεν ἀγκύλα τόξα·
ἠῶθεν δὲ κέλεσθε Μελάνθιον αἰπόλον αἰγῶν 265 sq. cf. υ 173 sq.
αἶγας ἄγειν, αἳ πᾶσι μέγ' ἔξοχοι αἰπολίοισι,
ὄφρ' ἐπὶ μηρία θέντες Ἀπόλλωνι κλυτοτόξῳ
τόξου πειρώμεσθα καὶ ἐκτελέωμεν ἄεθλον.“ 268 = 180
ὣς ἔφατ' Ἀντίνοος, τοῖσιν δ' ἐπεϜάνδανε μῦθος. 269 = σ 50
τοῖσι δὲ κήρυκες μὲν ὕδωρ ἐπὶ χεῖρας ἔχευαν, 270-272 = γ 338 sqq.
κοῦροι δὲ κρητῆρας ἐπεστέψαντο ποτοῖο,
'νώμησαν δ' ἄρα πᾶσιν ἐπαρξάμενοι δεπάεσσι.
οἱ δ' ἐπεὶ οὖν 'σπεῖσάν τε 'πίον θ' ὅσον ἤθελε θυμὸς, 273 cf. Ι 177
τοῖσι δολοφρονέων μετέφη πολύμητις Ὀδυσσεύς· 274 cf. σ 51
„κέκλυτέ μοι, μνηστῆρες ἀγακλειτῆς βασιλείης, 275 = ϱ 468
Εὐρύμαχον δὲ μάλιστα καὶ Ἀντίνοον θεοϜειδέα
λίσσομ', — ἐπεὶ καὶ τοῦτο Ϝέπος κατὰ μοῖραν ἔϜειπε,
νῦν μὲν παῦσαι τόξον, ἐπιτρέψαι δὲ θεοῖσι·
ἠῶθεν δὲ θεὸς δώσει κράτος ᾧ κ' ἐθέλῃσι, —
ἀλλ' ἄγ' ἐμοὶ δότε τόξον ἐΰξοον, ὄφρα μεθ' ὕμιν 281 cf. 336
χειρῶν καὶ σθένεος πειρήσομαι, ἢ μοι ἔτ' ἔστι
Ϝίς, οἵη πάρος ἦσκεν ἐνὶ γναμπτοῖσι μέλεσσι, 283 cf. Λ 669
ἢ ἤδη μοι ὄλεσσεν ἄλη τ' ἀκομιστίη τε.“
ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ὑπερφιάλως 'νεμέσησαν 285 = ϱ 481
δϜείσαντες, μὴ τόξον ἐΰξοον ἐντανύσειε.
Ἀντίνοος δ' ἐνένιπε Ϝέπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε· 287 = σ 78
„ἆ δϜειλὲ ξείνων, ἔνι τοι φρένες οὐδ' ἠ̃ βαιαί. 288^{b} cf. Ξ 141
οὐκ ἀγαπᾷς ὃ Ϝέκηλος ὑπερφιάλοισι μεθ' ἧμιν 289 sq.^{a} cf. β 310 sq.

276 ὄφρ' ἔσπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει· 276 = ϱ 469

264 *καταθήομεν ἀγκύλα τόξα*] *missum faciamus certamen* (cf. vs. 279); vHerwerden *κατακείομεν οἴκαδ' ἰόντες* coll. σ 419. || *καταθήομεν* § 122] *-θείομεν* mss.

269 *ἐπεϜάνδανε*] *ἐπιήνδανε* mss.

270 *ἔχευαν*] *-ον* G^{2} F.

271 sq.] vid. ad Α 470 sq.

274 *τοῖσι* U^{2} l] *τοῖσι δὲ* D L W, *τοῖσδε* mss. pleraque; vid. § 60 et ad ο 51.

275 **μοι*] *μευ* mss.; vid. § 92 et ad Α 37.

276] in mss. non legitur; ex ϱ 469 add. editiones Flor. Rom. || *ἔσπω* § 246] *εἴπω* mss.; cf. Η 68.

277 *θεοϜειδέα*] synizesis novicia, cf. § 73; *βασιλῆα* habet editio Florentina (cf. ω 179).

279 *παῦσαι τόξον*] corrupta; **παῦσαι ἄεθλον* (cf. δ 659 ε 584 φ 135 etc.) an **τόξον ἐᾶσαι*?

282 *ἢ* U] *εἰ* mss. pleraque; cf. § 327.

283 *ἦσκεν*] *ἔσκεν* mss.

284] del. PKnight. || *ἢ*] *ἢ Ϝ'(ε)* vHerwerden. || *ἀκομιστίη*] †; cf. *κομίζω* et *κομιδή*. De sono ι vid. § 54.

286] damnatur apud Nauckium.

288 *ἠ̃ βαιαί* § 2] *ἠβαιαί* mss.

289 *οὐκ ἀγαπᾷς*] †, *nonne satis beatus tibi videris quod ...*; cf. *ἦ ὀνόσασθε nonne satis miserum vobis videtur quod ...* (vid. ad Ω 241). ||

δαίνυσαι οὐδέ τι δαιτὸς ἀμέρδεαι, αὐτὰρ ἀκούεις
μύθων ἡμετέρων καὶ ῥήσιος; οὐδέ τις ἄλλος
ἡμετέρων μύθων ξεῖνος καὶ πτωχὸς ἀκούει.
ϝοῖνός σε τρώει μελιϝηδὴς, ὅς τε καὶ ἄλλους
βλάπτει, ὃ κέν μιν χανδὸν ἕλῃ μηδ' αἴσιμα πίνῃ.
ϝοῖνος καὶ κένταυρον ἀγακλυτὸν Εὐρυτίωνα
ἄασ' ἐνὶ μεγάρῳ μεγαθύμου Πειριθόοιο,
εἰς Λαπίθας ἐλθόνθ'· ὃ δ' ἐπεὶ φρένας ἄασε ϝοίνῳ, 297b cf. λ 61
μαινόμενος κάκ' ἔρεξε δόμον κάτα Πειριθόοιο.
ἥρωας δ' ἄχος εἷλε, δὶ' ἐκ προθύρου δὲ θύραζε
εἷλκον ἀναΐξαντες, ἀπ' οὔατα νηλέι χαλκῷ 300b sq.a cf. σ 86
ῥῖνάς τ' ἀμήσαντες· ὃ δὲ φρεσὶ ϝῇσιν ἀασθεὶς
ἤιε ϝὴν ἀάτην ὀχέων ἀεσίφρονι θυμῷ. 302 cf. Hes. Scut. 93
ἐξ οὗ κενταύροισι καὶ ἀνδράσι νεῖκος ἐτύχθη·
ϝοὶ δ' αὐτῷ πρώτῳ κακὸν ἤυρετο ϝοινοβαρείων.
ὣς καὶ σοὶ μέγα πῆμα πιφαύσκομαι, αἴ κε τὸ τόξον
ἐντανύσῃς· οὐ γάρ τε' ἐπητύος ἀντιβολήσεις
ἡμετέρῳ ἐνὶ δήμῳ, ἄφαρ δέ σε νηὶ μελαίνῃ
εἰς Ἔχετον βασιλῆα, βροτῶν δηλήμονα πάντων, 308 = σ 85
πέμψομεν· ἔνθεν δ' οὔ τι σαώσεαι. ἀλλὰ ϝέκηλος
πῖνέ τε μηδ' ἐρίδαινε μετ' ἀνδράσι κουροτέροισι."

ἀγαπᾷς] verbum ἀγαπάω redit ψ 214, ἀμφαγαπάω h. Cer. 440, ἀγαπητός Ζ 401 etc., ἀγαπάζω Ω 464 etc.

291 ῥήσιος] †, vid. ad Φ 445. Vox incommoda post μύθων, vid. tamen δ 597. In sequentibus adverbium πάρος desiderat Hartman.

291b-309a] *spurii? PKnight del. vs. 295-310, Fick vs. 297 sq., Nitzsch vs. 299-304, Duentzer vs. 303 sq., Iordan vs. 303, Lehrs 305b-309a. Vs. 292 sq. (casu omissos) in marg. habet G.

293 τρώει] τρύει Naber (quod verbum in Hom. non extat); verbum τρώω redit Μ 66 π 293 etc., cf. praeterea Eur. Cycl. 422.

294 *ὃ κέν § 326] ὅς ἄν mss. || χανδὸν] †, cf. χανεῖν Δ 182 etc.

295-304] vid. ad Α 266-268 et cf. fabula de Polyphemo inebriato.

296 ἄασ'] ὤλεσ' Ath. XIV 613 a. || μεγαθύμου] -μοο? cf. § 59.

297 ϝοίνῳ] οἶνος Duentzer coll. vs. 295 et λ 61; vid. etiam ι 362.

298 ἔρεξε] ἔρεζε G H. || δόμον κάτα] γάμον κάτα l. a. apud Eust., δόμοις ἐνὶ Ath. XIV 613 a.

300 εἷλκον G X n] ἕλκον mss. cett.

301 ἀμήσαντες] translate dictum †, proprie Ω 451 etc.

302 ἀάτην] ἄτην mss. || ὀχέων] *perferens*, cf. η 211 λ 619; ἀχέων G H^2 mss. alia (item codd. Hes. Scut. 93) male, nam ἀχέω (ἀχεύω) obiectum non admittit. || ἀεσίφρονι] vid. ad Υ 183.

304 δ' G P H] τ' mss. pleraque. || πρώτῳ] πρῶτον X. || ϝοινοβαρείων] vid. ad ι 374.

305 τὸ] σὺ Hartman.

306 τε' § 99] τευ mss. || ἐπητύος] Ar. ἐπητέος (cf. ν 332), ἐδητύος G H^2. Vox †, cf. adi. ἐπητής ν 332 σ 128.

308] om. G X U^1 n. Vid. ad υ 383.

310 τε μηδ'] insolite iunguntur hae particulae; expectaveris τε καὶ μὴ ἔριζε (cf. ν 229), non tamen corrupta videtur vulgata. Apud Nauckium proponitur γε pro τε.

τὸν δ' αὖτε προσέϝειπε περίφρων Πηνελόπεια·
„Ἀντίνο', οὐ μὲν καλὸν ἀτεμβέμεν' οὐδὲ δίκαιον 312 cf. υ 294
ξείνους Τηλεμάχοιο, ὅ κεν τάδε δώμαθ' ἵκηται. 313 = υ 295
ϝέλπεαι, αἴ χ' ὃ ξεῖνος Ὀδυσσῆος μέγα τόξον
ἐντανύσῃ χερσίν τε βίηφί τε ϝῆφι πιθήσας, 315b cf. Χ 107a
ϝοίκαδέ μ' ἄξεσθαι καὶ ἑϝὴν θήσεσθαι ἄκοιτιν;
οὐδ' αὐτός ποθι τοῦτό γ' ἐνὶ στήθεσσι ϝέϝολπε.
μηδέ τις ὑμείων τοῦ γ' εἵνεκα θυμὸν ἀχεύων
ἐνθάδε δαινύσθω, ἐπεὶ οὐδὲ μὲν οὐδὲ ϝέϝοικε." 319b = Μ 212
τὴν δ' αὖτ' Εὐρύμαχος Πολύβου πάις ἀντίον ηὔδα· 320 sq. = π 434 sq.
„κούρη Ϝικαρίοιο περίφρον Πηνελόπεια,
οὔ τί σε τόνδ' ἄξεσθαι ὀιόμεθ'· οὐδὲ ϝέϝοικε.
ἀλλ' αἰσχυνόμενοι φάτιν ἀνδρῶν ἠδὲ γυναικῶν,
μή ποτέ τις ϝείπῃσι κακώτερος ἄλλος Ἀχαιῶν· 324 cf. Χ 106
‚ἦ πολὺ χείρονες ἄνδρες ἀμύμονος ἀνδρὸς ἄκοιτιν
μνάοντ', οὐδέ τι τόξον ἐύξοον ἐντανύουσι·
ἀλλ' ἄλλος τις πτωχὸς ἀνὴρ ἀλαλημένος ἐλθὼν 327b = ν 333
ῥηιδίως ἐτάνυσσε βιὸν, διὰ δ' ἧκε σιδήρου.' 328 cf. ω 177
ὣς ϝερέουσ', ἧμιν δέ κ' ἐλέγχεα ταῦτα γένοιτο."
τὸν δ' αὖτε προσέϝειπε περίφρων Πηνελόπεια·
„Εὐρύμαχ', οὔ πως ἔστιν ἐυκλεέας κατὰ δῆμον
ἔμμεναι, οἳ δὴ ϝοῖκον ἀτιμάζοντες ἔδουσι
ἀνδρὸς ἀριστῆος. τί δ' ἐλέγχεα ταῦτα τίθεσθε;
οὗτος δὲ ξεῖνος μάλα μὲν μέγας ἠδ' ἐυπηγὴς,
πατρὸς δ' ἐξ ἀγαθοῦ γένος εὔχεται ἔμμεναι υἱός. 335 cf. Ξ 113

---

312 ἀτεμβέμεν' § 125] -μβειν mss. De verbi vi vid. ad β 90.

313 *Τηλεμάχοιο, ὅ] -χου, ὅς mss.; cf. § 59.

315 πιθήσας] πεποιθώς P Eust.

316 ϝοίκαδε] αὐτόν Hartman, subiectum desiderans, quod tamen e possessivo ἑϝήν mente suppleri posse videtur, minus autem placet αὐτόν ante αὐτός (vs. 317).

317 ποθι § 322] που mss.

323 αἰσχυνόμενοι] non decurrit sententia; αἰσχυνόμεθα proponitur apud Barnesium.

326 μνάοντ'] μνῶνται G, μνῶνται δε' (vel δ) mss. pleraque; cf. § 14, 190, 191.

329 δέ κ' § 326] δὲ F D L W, δ' ἂν mss. pleraque.

331 ἐυκλεέας § 73] ἐυκλεῖας (-ῆας) mss.

333 ἐλέγχεα...τίθεσθε] *probra ducitis* (cf. vs. 329). || ταῦτα] πάντα H.

334 sq.] del. Adam, unum vs. 335 damnaverat Ernesti propter molestam vocem υἱός. F^1 hos versus ita habet collocatos: 335, 334, 333.

334 οὗτος] αὐτὸς F. || ἐυπηγὴς] †, cf. ἐύπηκτος (de aedificiis) Β 661 etc., πηγός (ad Ι 124), στιβαρός (passim).

335 πατρὸς] ἀνδρὸς F M U n mss. alia. Cf. Ε 247 sq.; Bothe ἀνδρὸς δ' ἐξ ἀγαθοῦ γένεος ἔμεν εὔχεται υἱός. || εὔχεται ἔμμεναι] ἔμμεναι εὔχεται G.

ἀλλ' ἄγε Ϝοι δότε τόξον ἐΰξοον, ὄφρα Ϝίδωμεν. 336 cf. 281
ὧδε γὰρ ἐκϜερέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται· 337 = Α 212
εἴ κέ μιν ἐντανύσῃ, δώῃ δέ Ϝοι εὖχος Ἀπόλλων, 338 cf. Η 81
Ϝέσσω μιν χλαῖνάν τε χιτῶνά τε, Ϝείματα καλά, 339 = π 79
δώσω δ' ὀξὺν ἄκοντα, κυνῶν ἀλκτῆρα καὶ ἀνδρῶν, 340 cf. ξ 531
καὶ ξίφος ἄμφηκες, δώσω δ' ὑπὸ ποσσὶ πέδιλα· 341 cf. π 80
πέμψω δ' ὅππῃ μιν κραδίη θυμός τε κελεύει." 342 = π 81
τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
„μῆτερ ἐμή, τόξον μὲν Ἀχαιῶν οὔ τις ἐμεῖο
κρείσσων ᾧ κ' ἐθέλω δόμεναί τε καὶ ἀρνήσασθαι,
οὔθ' ὅσσοι κραναὴν Ἰθάκην κάτα κοιρανέουσι, 346 cf. α 247
οὔθ' ὅσσοι νήσοισι πρὸς Ἤλιδος ἱπποβότοιο· 347^a cf. α 245
τῶν οὔ τίς μ' ἀϜέκοντα βιήσεται, αἴ κ' ἐθέλωμι
καὶ καθάπαξ ξείνῳ δόμεναι τάδε τόξα φέρεσθαι.
ἀλλ' εἰς Ϝοῖκον ἰοῦσα τέ' αὐτῆς Ϝέργα κόμιζε, 350 sq. = Ζ 490 sq. α 356 sq.
ἱστόν τ' ἠλακάτην τε, καὶ ἀμφιπόλοισι κέλευε
Ϝέργον ἐποίχεσθαι· τόξον δ' ἄνδρεσσι μελήσει 352 cf. Ζ 492 α 358
πᾶσι, μάλιστα δ' ἐμοί· τοῦ γὰρ κράτος ἔστ' ἐνὶ Ϝοίκῳ." 353 = α 359; 353^a = Ζ 493
ἡ μὲν θαμβήσασα πάλιν Ϝοῖκόνδ' ἐβεβήκει· 354 cf. α 360
παιδὸς γὰρ μῦθον πεπνυμένον ἔνθετο θυμῷ. 355-358 = α 361 sqq.
εἰς δ' ὑπερῷ' ἀναβᾶσα σὺν ἀμφιπόλοισι γυναιξὶ
'κλαῖεν ἔπειτ' Ὀδυσῆα φίλον πόσιν, ὄφρα Ϝοὶ ὕπνον
Ϝηδὺν ἐπὶ βλεφάροισι 'βάλε γλαυκῶπις Ἀθήνη.
αὐτὰρ ὃ τόξα λαβὼν 'φέρε καμπύλα δῖος ὑφορβός.
μνηστῆρες δ' ἄρα πάντες ὁμόκλαον ἐν μεγάροισι· 360 cf. χ 211; 360^b = 367
ὧδε δέ τις 'Ϝείπεσκε νέων ὑπερηνορεόντων· 361 = β 324

337 ἐκϜερέω] ἐξερέω mss. || καὶ] οἱ X n.
339 Ϝέσσω μιν] ἕσσωμαι P^1; cf. π 79.
343-355 et **360-378**] del. Adam.
347 νήσοισι] ναίουσι F M^2 n non male, Fick νήσους πρὸς Ϝήλιδος.
349 καθάπαξ] †, cf. ἅπαξ μ 22, 350.
350-353] del. PKnight.
350 Ϝοῖκον] ineptum h. l., item Ϝοῖκόνδε vs. 354; vid. ad α 360. Remansisse hoc e vetustiore narratione, priscum enim poetam Penelopen non in *Ulixis aedibus* sed in *fano Apollinis* (vid. υ 278) procis certamen proponentem finxisse, suspicatur Kirchhoff. || τέ' αὐτῆς] τὰ σ' αὐτῆς vel σαυτῆς mss.; vid. ad Α 185.
352 τόξον] μῦθος G F P M mss. alia (ex α 358).
353] in X n et in marg. M O subiungitur ὣς φάτο ῥίγησε(ν) δὲ περίφρων Πηνελόπεια (cf. ε 116).
354 Ϝοῖκόνδ'] vid. ad vs. 350.
359-391] del. Kammer, in antiquo carmine Telemachum patri arcum attulisse ratus.
360 ἄρα] ἅμα P. || ὁμόκλαον § 191] ὁμόκλεον mss.

„πῇ δὴ καμπύλα τόξα φέρεις, ἀμέγαρτε συβῶτα, 362 cf. ϱ 219
πλαγκτέ; τάχ' αὖ σ' ἐφ' ὕεσσι κύνες ταχέες κατέδονται
οἶον ἀπ' ἀνθρώπων, οὓς ἔτρεφες, εἴ κεν Ἀπόλλων
ἧμιν θ' ἱλήκῃσι καὶ ἀθάνατοι θεοὶ ἄλλοι."
ὣς 'φάσαν· αὐτὰρ ὃ 'θῆκε φέρων αὐτῇ ἐνὶ χώρῃ
δϜείσας, οὕνεκα πολλοὶ ὁμόκλαον ἐν μεγάροισι· 367^b = 360
Τηλέμαχος δ' ἑτέρωθεν ἀπειλήσας ἐγέγωνε·
„ἄττα, πρόσω φέρε τόξα· τάχ' οὐκ εὖ πᾶσι πιθήσεις·
μή σε καὶ ὁπλότερός περ ἐὼν ἀγρόνδε δίωμαι
βάλλων χερμαδίοισι· βίηφι δὲ φέρτερός εἰμι. 371^b cf. ζ 6
αἲ γὰρ πάντων τόσσον, ὅσοι κατὰ δώματ' ἔασι,
μνηστήρων χερσίν τε βίηφί τε φέρτερος εἴην· 373 cf. μ 246 sq.; 373^b sq.* = Π 722
τῷ κε τάχα στυγερῶς τιν' ἐγὼ πέμψαιμι νέεσθαι 374 cf. ψ 23
ἡμετέροι' ἐκ Ϝοίκου, ἐπεὶ κακὰ μηχανάονται."
ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἐπ' αὐτῷ Ϝηδὺ 'γέλασσαν 376 = Ψ 784
μνηστῆρες καὶ δὴ μέθιεν χαλεποῖο χόλοιο
Τηλεμάχῳ· τὰ δὲ τόξα φέρων ἀνὰ δῶμα συβώτης
ἐν χείρεσσ' Ὀδυσῆι δαΐφρονι 'θῆκε παραστάς.
ἐκ δὲ καλεσσάμενος προσέφη τροφὸν Εὐρυκλέειαν· 380 = τ 15
„Τηλέμαχος κέλεταί σε, περίφρων Εὐρυκλέεια,
κληῖσαι μεγάροιο θύρας πυκινῶς ἀραρυίας· 382-385 = 236 sqq.
εἰ δέ κέ τις στοναχῆς ἠὲ κτύπου ἔνδον ἀκούσῃ
ἀνδρῶν ἡμετέροισιν ἐν ἕρκεσι, μή τι θύραζε
προβλώσκειν, ἀλλ' αὖθι ἀκὴν ἔμεναι παρὰ Ϝέργῳ."

362 ἀμέγαρτε] vid. ad ϱ 219.
363 πλαγκτέ] †, *amens*, vid. ad μ 61; in schol. bene redditur παραπλήξ. || τάχ' αὖ] *mox denuo* ad sues tuas reversus a tuis ipsius canibus devoraberis. Verba ab homine irato minus accurate enunciata.
365 θ' F P H] om. mss. complura. || ἱλήκῃσι] cf. ἱλήκοι h. Ap. 165, ἵληθι γ 380 π 184 h. XIX 8 XXII 4 XXXIII 17; vid. § 295.
366 αὐτῇ ... χώρῃ] αὐτοῦ ... χώρῃ G (cf. h. Merc. 123 et Ψ 349), αὐτῷ ... χώρῳ F M mss. alia. Cf. ψ 186.
367 ὁμόκλαον § 191] ὁμόκλεον mss.
368 ἐγέγωνε § 260] ἐγεγώνει mss.
369 πιθήσεις] futurum †, participium aor. πιθήσας (sic h. l. F) legitur Δ 398 etc. Cf. § 217.
371 βίηφι δὲ] βίῃ δὲ F U, βίῃ δέ τε n, βίῃ δέ τι X.
373 μνηστήρων] spurium? coniecimus *αἲ γὰρ πάντων τῶνδε, ὅσοι κ. δ. ἔ., | τόσσον ἐγὼ χερσίν τε etc. || χερσίν τε] χείρεσσι G F mss. alia. || εἴην] ἦα U. De optativi usu vid. ad Δ 314 et § 109.
374 στυγερῶς] cf. Π 723. || τιν'] cf. χ 67.
375 ἡμετέροι' § 59] -ϱου mss. || ἐκ] ἐξ mss. || μηχανάονται § 191] -νόωνται mss.
378 Τηλεμάχῳ] *Telemachi causa*. Item Α 283; cf. Ξ 50 λ 102, 554.
380 Εὐρυκλέειαν § 73] -κλειαν mss.
381] om. F P U^1. || Εὐρυκλέεια § 73] -κλεια mss.
383 *εἰ δέ κέ τις] ἢν δέ τις ἢ mss.; cf. § 326.
385 προβλώσκειν] παρβλώσκειν q. || αὖθι § 322] αὐτοῦ mss. || ἔμεναι] vid. ad φ 239.

ὣς ἄρ' ἐφώνησεν, τῇ δ' ἄπτερος ἔπλετο μῦθος· 386 sq. = τ 29 sq.
'κλήισεν δὲ θύρας μεγάρων ἐὺ ναιεταόντων.
σιγῇ δ' ἐκ Ϝοίκοιο Φιλοίτιος ἆλτο θύραζε,
'κλήισεν δ' ἄρ' ἔπειτα θύρας ἐυερκέος αὐλῆς. 389^{b} cf. Ι 472
'κεῖτο δ' ὑπ' αἰθούσῃ ὅπλον νεὸς ἀμφιϜελίσσης
βύβλινον· ᾧ ῥ' ἐπέδησε θύρας, εἰς δ' ἤιεν αὐτός.
ἕζετ' ἔπειτ' ἐπὶ δίφρον ἰὼν ἔνθεν περ ἀνέστη, 392 = 243
εἰσοράων 'Οδυσῆα.
ὃ δ' ἤδη τόξον ἐνώμα
πάντῃ ἀναστροφάων, πειρώμενος ἔνθα καὶ ἔνθα,
μὴ κέρα' ἶπες ἔδοιεν ἀποιχομένοιο Ϝάνακτος.
ὧδε δέ τις 'Ϝείπεσκε Ϝιδὼν εἰς πλησίον ἄλλον· 396 = Β 271
„ἦ τις θηητὴρ καὶ ἐπίκλοπος ἔπλετο τόξων· 397^{b} cf. Χ 281
ἤ ῥά νύ που τοιαῦτα καὶ αὐτῷ Ϝοίκοθι κεῖται,
ἢ ὅ γ' ἐφορμάεται ποιήμεναι· ὡς ἐνὶ χερσὶ
νωμάει ἔνθα καὶ ἔνθα, κακῶν ἔμπαιος ἀλήτης."
ἄλλος δ' αὖ 'Ϝείπεσκε νέων ὑπερηνορεόντων· 401 = β 331
„αἲ γὰρ δὴ τοσσοῦτον ὀνήσιος ἀντιάσειε,
ὡς οὗτός ποτε τοῦτο δυνήσεται ἐντανύσασθαι."
ὣς ἄρ' ἔφαν μνηστῆρες. ἀτὰρ πολύμητις 'Οδυσσεὺς,

386] om. Z k, in X n est ὣς ἔφαθ', ἣ δὲ μάλ' ὀτραλέως τὸν μῦθον ἄκουσε. ‖ ἄπτερος] vid. ad ρ 57.

388 ἐκ] ἐξ mss.

390 αἰθούσῃ] intellegendus est porticus exterior ianuae aulae affinis (cf. Ω 323 σ 101 sq.), diversus autem ab altero porticu, qui μεγάρῳ et προδόμῳ praestructus est (Ω 644 coll. 673, etc.).

391 βύβλινον F^2 M] βίβλινον mss. pleraque. Significatur *restis papyracea* (cf. Herod. VII 25); adi. †, alias papyri in Hom. non fit mentio. ‖ ἐπέδησε] a verbo ἐπι-δέω, † (simplex passim); alias aor. ἐπέδησα a verbo πεδάω ducitur (Δ 517 etc.). ‖ εἰς] ἐκ G F U k. ‖ αὐτός] αὖτις Bothe probabiliter; vulgatam peperisse videtur lectio vitiosa ἐκ.

393 εἰσοράων § 191] εἰσορόων mss.

394 ἀναστροφάων § 191 et 248] ἀναστρωφῶν (-στρέφων F M, -στροφῶν G^1 X Y) mss.

395 κέρα' § 72] κέρα mss. ‖ ἶπες] †, *vermiculae*. ‖ ἔδοιεν] cf. § 327. ‖ Ϝάνακτος] alias animantium semper respectu habito dicitur quis Ϝάναξ; apud tragicos *remex* κώπης ἄναξ dicitur, *peltasta* πέλτης ἄναξ, etc. (vid. Aesch. Pers. 378 Eur. Alc. 498 etc.).

397 θηητὴρ] †, *admirator* (cum derisione dictum), θηρητὴρ H^2 M^2 X mss. alia male. ‖ ἐπίκλοπος] ἐπίπλοκος H. Adi. genitivum etiam Χ 281 adsciscit, praeterea redit λ 364 ν 291; hic tamen suspectum, Bothe ἐπίσκοπος (cf. θ 163).

398 ἢ] εἴ Doederlein.

399 ἐφορμάεται § 191] -μᾶται mss. ‖ *ποιήμεναι] ποιησέμεν mss. Futurum hinc alienum; vid. ad Β 544 Τ 401, et de infinitivis in -ήμεναι § 195.

400 νωμάει § 191] νωμᾷ mss. metro invito, cf. § 14. ‖ ἔμπαιος] cf. υ 379.

401 αὖ Bentley] αὖτ' mss.

402 τοσσοῦτον] expectatur ὡς vel οὕτως, vid. ad Θ 538 et ad Χ 425. ‖ ὀνήσιος] † (cf. ὀνίνημι Α 503 etc.).

αὐτίκ' ἐπεὶ μέγα τόξον ἐβάστασε καὶ 'Ϝίδε πάντῃ,
ὡς ὅτ' ἀνὴρ φόρμιγγος ἐπιστάμενος καὶ ἀοιδῆς
ῥηιδίως ἐτάνυσσε νέῳ περὶ κόλλοπι χορδὴν,
ἅψας ἀμφοτέρωθεν ἐυστρεφὲς ἔντερον οἰὸς,
ὣς ἄρ' ἄτερ σπουδῆς 'τάνυσεν μέγα τόξον 'Οδυσσεύς.
δεξιτερῇ δ' ἄρα χειρὶ λαβὼν 'πειρήσατο νευρῆς·
ἣ δ' ὑπὸ καλὸν ἄεισε χελιδόνι Ϝεικέλη αὐδήν. 411^{a} cf. Σ 570^{b}
μνηστῆρσιν δ' ἄρ' ἄχος 'γένετο μέγα, πᾶσι δ' ἄρα χρὼς 411^{b} cf. χ 240; 412 $sq.^{a}$ cf. Ν 279
ἐτράπετο· Ζεὺς δὲ μεγάλ' ἔκτυπε σήματα φαίνων.
'γήθησέν τ' ἄρ' ἔπειτα πολύτλας δῖος 'Οδυσσεὺς, 414 = ν 353
ὅττι ῥά Ϝοι τέρας ἧκε Κρόνου πάις ἀγκυλόμητις.
εἵλετο δ' ὠκὺν ὀιστὸν, ὅ Ϝοι παρέκειτο τραπέζῃ
γυμνός· τοὶ δ' ἄλλοι κοίλης ἔντοσθε φαρέτρης
'κείατο, τῶν τάχ' ἔμελλον Ἀχαιοὶ πειρήσεσθαι.
τόν ῥ' ἐπὶ πήχε' ἑλὼν εἷλκεν νευρὴν γλυφίδας τε 419^{b} cf. Δ 122
αὐτόθεν ἐκ δίφροιο, καθήμενος, ἧκε δ' ὀιστὸν 420^{a} cf. Τ 77 ν 56
ἄντα τιτυσκόμενος, πελέκεων δ' οὐκ ἤμβροτε πάντων 421^{a} = ω 181 cf. φ 48
πρώτης στειλειῆς, διὰ δ' ἀμπερὲς ἦλθε θύραζε
ἰὸς χαλκοβαρής. ὃ δὲ Τηλέμαχον προσέϜειπε·

---

405 ἐβάστασε] cf. λ 594.

406 ὡς] ὡς δ' mss. multa. ‖ ἐπιστάμενος] genitivum nonnisi h. l. adsciscit; cf. ἐπιστήμων π 374.

407 νέῳ] νέην Duentzer. ‖ περὶ] ἐπὶ mss. complura. ‖ κόλλοπι] †, cf. Aristoph. Vesp. 574. ‖ χορδὴν] nonnisi h. Merc. 51 redit.

411 ἄεισε] cf. Δ 125 'λίγξε βιός; vid. etiam Soph. fr. 522 et 909, Eur. Iph. Taur. 222 sq. et fr. apud Aristoph. Ran. 1316, Verg. Georg. I 293 Aen. VII 14. Alienus hinc est Σ 570. ‖ χελιδόνι] vox nonnisi versu simili χ 240 redit. ‖ αὐδήν] ἄντην (ut χ 240) Eust.; de *voce humana* (deorumve) alias perpetuo usurpantur αὐδή et αὐδᾶν, perinde atque ἀοιδή et ἀείδειν. Nimis acute hunc locum interpretatur Nitzsch III p. 2.

412 μνηστῆρσιν δ' ἄρ'] μνηστήρεσσι δ' U, fortasse recte.

413 μεγάλ'] μέγαν' (voluitne μέγ' ἀνέκτυπε?) P.

415 ἀγκυλόμητις G^1] -μήτεω mss. cett.; vid. § 83.

416 ὅ] ὅς mss.; cf. α 300.

418 πειρήσεσθαι] -σασθαι F X U.

419 πήχε' § 71] πήχει mss.; de vocis vi vid. Δ 375. ‖ ἑλὼν] ἔχων Doederlein. ‖ εἷλκεν] ἕλκε X. ‖ γλυφίδας] vox Δ 122 redit; significatur *sagittae pars extrema*, quam *crena*, incisa ut nervo firmiter applicari possit, in duas ungulas dividit (hinc pluralis).

421 πελέκεων] de synizesi vid. § 8.

422 στειλειῆς] †, idem est στειλειόν ε 236. Veteres grammatici interpretabantur *foramen* manubrio inserendo, putantes aciem ferri pavimento ita esse infixam, ut per cunctarum securium, manubriis carentium, foramina e regione sibi opposita transmitti posset sagitta. Quibus oblocuti Goebel et Helbig (Hom. Epos[1] p. 252 sqq.) optimo iure statuerunt erectas stare secures, manubria autem solo esse infixa (vid. τ 574); alioquin enim Ulixem sedentem (vs. 420) traicere non potuisse. Verbis πρώτη στειλειή indicatur summa pars manubrii lignei, quod ferri fistulae insertum est, inter cornua bipennis aliquantulum prominens; sagitta stringit manubria nec tamen impingit.

„Τηλέμαχ', οὔ σ' ὃ ξεῖνος ἐνὶ μεγάροισιν ἐλέγχει
ἥμενος, οὐδέ τι τοῦ σκοποῦ ἤμβροτον οὐδέ τι τόξον
δϝὴν ἔκαμον τανύων· ἔτι μοι μένος ἔμπεδόν ἐστι, 426b = Ε 254
οὐχ ὥς με μνηστῆρες ἀτιμάζοντες ὄνονται.
νῦν δ' ὥρη καὶ δόρπον Ἀχαιοῖσιν τετυκέσθαι
ἐν φάε', αὐτὰρ ἔπειτα καὶ ἄλλως ἑψιάεσθαι
μολπῇ καὶ φόρμιγγι· τὰ γάρ τ' ἀναθήματα δαιτός." 430 cf. α 152
ἦ, καὶ ἐπ' ὀφρύσ' ἔνευσεν· ὃ δ' ἀμφέθετο ξίφος ὀξὺ,
ἀμφὶ δὲ χεῖρα φίλην ἔβαλ' ἔγχεϊ, ἄγχι δ' ἄρ' αὐτοῦ
πὰρ θρόνον εἱστήκει κεκορυθμένος αἴθοπι χαλκῷ. 434b = Δ 495

432 Τηλέμαχος φίλος υἱὸς Ὀδυσσῆος θείοιο, 432 = ο 63

424 σ' ὃ] σε? ‖ ἐλέγχει] ἀτίζει Barnes. Verbum redit *Ι* 522, cf. ἔλεγχος *opprobrium*; vert. *pudore afficere* (*te schande maken*).

425 οὐδέ τι τοῦ] οὐ γάρ τι Hartman.

427-430 et **432-434**] del. PKnight, vs. 431-434 et χ 1-7 Duentzer, unum vs. 427 criticus apud Nauckium, unum vs. 432 Kirchhoff.

427 ὄνονται] οἴονται O.

429 φάε' § 71] φάει mss. ‖ ἑψιάεσθαι § 191] ἑψιάασθαι mss.; de verbi sensu vid. ad ρ 530.

430 μολπῇ] *ludo*, vid. ad *Σ* 606. ‖ ἀναθήματα] vox nonnisi α 152 redit, ubi vid.

431 ὀφρύσ' ἔνευσεν] -σι νεῦσεν mss.

433 *ἔβαλ'] βάλεν mss. ‖ ἔγχεϊ] quod praesto ei fuisse etiam υ 306 sumitur; cf. β 10. ‖ αὐτοῦ] *Ulixis*.

434 θρόνον] -νῳ F[2]. Vert. *sedem suam*, quam prope Ulixis scamnum (δίφρον) fuisse collocatam e contextu efficitur. ‖ εἱστήκει] ἑστ. mss. nonnulla. ‖ κεκορυθμένος] *munitus* (ense et hasta). In Iliade de armatis (galea, clipeo, lorica) aptius usurpatur locutio κεκορυθμένος αἴθοπι χαλκῷ (*Δ* 495 etc.) — Male Protodicus -νον, ad hastam referens (ut *Γ* 18 *Δ* 43 *Π* 802 χ 125), sic enim δ' ἄρ' particulae explicari nequeunt et ineptus fit totus versus.

ΟΔΥΣΣΕΙΑΣ χ.

Μνηστηροφονία.

αὐτὰρ ὃ 'γυμνώθη ῥακέων πολύμητις Ὀδυσσεύς,
ἆλτο δ' ἐπὶ μέγαν οὐδὸν ἔχων βιὸν ἠδὲ φαρέτρην
ἰῶν ἐμπλείην, ταχέας δ' ἐκχεύατ' ὀιστοὺς 3b = ω 178
αὖθι πρόσθε ποδῶν, μετὰ δὲ μνηστῆρσιν ἔϝειπε·
„οὗτος μὲν δὴ ἄεθλος ἀνάατος ἐκτετέλεσται·
νῦν αὖτε σκοπὸν ἄλλον, ὃν οὔ πώ τις 'βάλεν ἀνήρ,
ϝείσομαι αἴ κε τύχωμι, πόρῃ δέ μοι εὖχος Ἀπόλλων." 7b cf. Η 81
ἦ, καὶ ἐπ' Ἀντινόῳ ἰθύνετο πικρὸν ὀιστόν.
ἤ τοι ὃ καλὸν ἄλεισον ἀναιρήσεσθαι ἔμελλε
χρύσεον ἄμφουας, καὶ δὴ μετὰ χερσὶν ἐνώμα,
ὄφρα πίοι ϝοίνοιο· φόνος δέ ϝοι οὐκ ἐνὶ θυμῷ
'μέμβλετο· τίς κ' οἴοιτο μετ' ἀνδράσι δαιτυμόνεσσι
μοῦνον ἐνὶ πλεόνεσσι, καὶ εἰ μάλα καρτερὸς εἴη, 13b cf. Ε 410 θ 139
ϝοὶ τεύξειν θάνατόν τε κακὸν καὶ κῆρα μέλαιναν; 14 cf. Φ 66

1-7] del. Duentzer; vid. ad φ 427-430.

3 ἐμπλείην] εὐπλείην F (vid. ρ 467).

4 αὖθι § 322] αὐτοῦ mss.

5 ἀνάατος] ἀάατος mss.; vid. ad *Ξ* 271.

7 ϝείσομαι] *sciam* (*experiar aliumne scopum tangere possim*, cf. ρ 373). An ϝίσομαι, *petam* (§ 201)? Eust. 1916,30 γνώσομαι ἢ ἐπιπορεύσομαι. Sed utrumque incommodum, quapropter locum corruptum esse suspicamur; στήσομαι (*mihi proponam*) Hartman coll. Plat. Rep. V 452 *e*. ‖ τύχωμι M D[2]] τύχοιμι mss. pleraque. ‖ πόρῃ] πόροι G P X mss. alia.

9] hinc Dionysius Thrax repetebat proverbium πολλὰ μεταξὺ πέλει κύλικος καὶ χείλεος ἄκρου *there is many a slip b'tween the cup and the lip* („*inter os atque offam*" Gell. XIII 18); de cuius origine aliam fabellam protulit Aristoteles (in opere deperdito), cf. schol., Zenob. V 71, Tzetz. ad Lycophr. 489.

10 ἄμφουας] sic aut οὐατόεν Fick, nisi spurius sit versus; mss. ἄμφωτον. Cf. § 72 et 83. Theocritus I 28 κισσύβιον … ἀμφῶες. Adi. †, alias huiusmodi poculum dicitur ἀμφικύπελλον (cf. χ 86 etc.).

14 μέλαιναν] φυτεῦσαι P (cf. β 165).

τὸν δ' Ὀδυσεὺς κατὰ λαιμὸν ἐπισχόμενος 'βάλεν ἰῷ·
ἄντικρυς δ' ἁπαλοῖο δι' αὐχένος ἤλυθ' ἀκωκή. 16 = P 49
ἐκλίνθη δ' ἑτέρωσε, δέπας δέ Ϝοι ἔκπεσε χειρὸς 17ª = N 543
βλημένου, αὐτίκα δ' αὐλὸς ἀνὰ ῥῖνας παχὺς ἦλθε
αἵματος ἀνδρομέοιο, θοῶς δ' ἀπὸ Ϝεῖο τράπεζαν
ὦσε ποδὶ πλήξας, ἀπὸ δ' εἴδατα 'χεῦεν ἔραζε· 20ᵇ = 85
σῖτός τε κρέα τ' ὀπτὰ 'φορύνετο. τοὶ δ' ὁμάδησαν
μνηστῆρες κατὰ δῶμα, ἐπεὶ 'Ϝίδον ἄνδρα πεσόντα, 22ᵇ = Λ 745
ἐκ δὲ θρόνων ἀνόρουσαν ὀρινθέντες κατὰ δῶμα
πάντοσε παπταίνοντες ἐὺ δμητοὺς ποτὶ τοίχους· 24ª cf. N 649
οὐδέ πῃ ἀσπὶς ἔην οὐδ' ἄλκιμον ἔγχος ἑλέσθαι.
'νείκειον δ' Ὀδυσῆα χολωτοῖσιν Ϝεπέεσσι· 26 cf. O 210 χ 225
„ξεῖνε, κακῶς ἀνδρῶν τοξάζεαι· οὐκέτ' ἀέθλων
ἄλλων ἀντιάεις· νῦν τοι σάος αἰπὺς ὄλεθρος. 28ᵇ = N 773
καὶ γὰρ δὴ νῦν φῶτα κατέκτανες, ὃς μέγ' ἄριστος
κούρων ἐν Ἰθάκῃ· τῷ σ' ἐνθάδε γῦπες ἔδονται.“ 30ᵇ cf. Π 836
34 τοὺς δ' ἄρ' ὑπόδρα Ϝιδὼν προσέφη πολύμητις Ὀδυσσεύς·
„ὦ κύνες, οὔ μ' ἔτ' ἐφάσκεθ' ὑπότροπον ἀπονέεσθαι 35 cf. Z 501; 35ᵇ cf. φ 211
δήμου ἄπο Τρώων, ὅτι μοι κατεκείρετε Ϝοῖκον,

31 ἴσκε Ϝέκαστος ἀνήρ, ἐπεὶ ἦ 'φάσαν οὐκ ἐθέλοντα
ἄνδρα κατακτεῖναι· τὸ δὲ νήπιοι οὐκ ἐνόησαν, 32ᵇ cf. ι 442
ὡς δή σφιν καὶ πᾶσιν ὀλέθρου πείρατ' ἐφῆπτο. 33ᵇ cf. H 402
31-33 Ar. —

16 ἄντικρυς] § 31 ἀντικρὺ mss.
18 βλημένου] -νον U, -νῳ l. a. apud Eust.; vid. ad ζ 157. || αὐλὸς] *fistula*, hinc h. l. *scaturigo*. Cf. Π 349 sq. E 113 (non P 297).
19 ἀνδρομέοιο] adi. hinc alienum ad imitationem loci ι 373 sq. esse invectum iure statuit Hartman. || θοῶς] ad implendum versum a versificatore additum censet Hartman.
21 'φορύνετο] †, vid. ad σ 336.
22 δῶμα F P] δώμαθ' mss. pleraque; vid. vs. 23. || *ἐπεὶ] ὅπως mss.; vid. Λ 745 et ad Λ 459.
23 ὀρινθέντες κατὰ δῶμα] male abundare observat Hartman.
23-25] hos, certe vs. 24 sq. (quos del. Duentzer), a diasceuasta additos censet Kirchhoff. Vid. ad τ 3-52.
24 παπταίνοντες] καὶ πάπταινον Duentzer. || ποτὶ] ἐπὶ P, κατὰ M.
25 πῃ Eust.] που X, πω mss. pleraque (male). || ἔην] ἔεν? vid. § 302.
26-33] del. PKnight.
27 οὐκέτ'] οὐδ' ἔτ' X n.
28 ἀντιάεις (ἀντιάᾳς) Cobet] ἀντιάσεις mss.; cf. § 211. || σάος § 62] σῶς mss.; de vocis vi vid. ad N 773.
29 δὴ νῦν] νῦν δὴ M, om. δὴ P; cf. λ 160.
30 ἐν P X n] εἰν mss. pleraque, cf. § 315.
31 ἴσκε] † (*inquit*)? Vid. § 246 et ad τ 203.
32 κατακτεῖναι] -κτάμεναι?
33 πείρατ'] vid. ad Z 143.
35 μ' ἔτ'] τί μ' G. || ἀπονέεσθαι Nauck] οἴκαδε νεῖσθαι X U¹ n, οἴκαδ' ἱκέσθαι mss. cetera. In vulgata negligitur Ϝ, Fick αὖτις ἱκέσθαι, sed requiritur futurum (cf. Z 501 sq.); αὖτις ἔσεσθαι (vid. h. Ap. 476)? sed parum placet haec lectio.
36 κατεκείρετε] καταχ. U, cf. δ 686.

δμῳῇσιν δὲ γυναιξὶ παρηυνάζεσθε βιαίως,
αὐτοῦ τε ζώοντος ὑπεμνάεσθε γυναῖκα,
οὔτε θεοὺς δϜείσαντες οἳ οὐρανὸν εὐρὺν ἔχουσι,
οὔτε τιν' ἀνθρώπων νέμεσιν κατόπισθεν ἔσεσθαι.
νῦν ὕμιν καὶ πᾶσιν ὀλέθρου πείρατ' ἐφῆπται.“ 41ᵇ = H 402
42 ὣς 'φάτο, τοὺς δ' ἄρα πάντας ὑπὸ χλωρὸν δϜέος εἷλε· 42ᵇ = Θ 77
44 Εὐρύμαχος δέ μιν οἶος ἀμειβόμενος προσέϜειπε· 44 cf. β 84
„εἰ μὲν δὴ Ὀδυσεὺς Ἰθακήσιος εἰλήλουθας,
ταῦτα μὲν αἴσιμ' ἔϜειπες, ὅσ' ἐρρέζεσκον Ἀχαιοὶ,
πολλὰ μὲν ἐν μεγάροισιν ἀτάσθαλα, πολλὰ δ' ἐπ' ἀγροῦ.
ἀλλ' ὃ μὲν ἤδη κεῖται, ὃς αἴτιος ἔπλετο πάντων,
Ἀντίνοος· οὗτος γὰρ ἐπίηλεν τάδε Ϝέργα,
οὔ τι γάμου τόσσον κεχρημένος οὐδὲ χατίζων,
ἀλλ' ἄλλα φρονέων, τά Ϝοι οὐκ ἐτέλεσσε Κρονίων,
ὄφρ' Ἰθάκης κατὰ δῆμον ἐὺ κτιμένης βασιλεύοι
αὐτὸς, ἀτὰρ σὸν παῖδα κατακτείνειε λοχήσας.
νῦν δ' ὃ μὲν ἐν μοίρῃ πέφαται, σὺ δὲ φείδεο λαῶν
σῶν· ἀτὰρ ἧμες ὄπισθεν ἀρεσσάμενοι κατὰ δῆμον,
ὅσσα τοι ἐκπέποται καὶ ἐδήδεται ἐν μεγάροισι,
τιμὴν ἀμφὶς ἄγοντες ἐϜεικοσίβοια Ϝέκαστος,
χαλκόν τε χρυσόν τ' ἀποδώσομεν, εἰς ὅ κε σὸν κῆρ
ἰανθῇ· πρὶν δ' οὔ τι νεμεσσητὸν κεχολῶσθαι.“ 59ᵇ = I 523

43 'πάπτηνεν δὲ Ϝέκαστος ὅπῃ φύγοι αἰπὺν ὄλεθρον. 43 = Ξ 507

37 παρηυνάζεσθε] comp. †, simplex δ 449 etc. (hoc sensu ε 119 h. Ven. 191).
38] om. G¹, ante 37 habent G² F P H M mss. alia. || ὑπεμνάεσθε § 191] ὑπεμνάασθε (ὑπευνάζεσθε Y) mss.; comp. †, eadem est vis praepositionis in ὑποψωνεῖν, ὑποπίπτειν, ὑπιέναι, ὑποτρέχειν, ὑποθεῖν, ὑπόμνυσθαι etc. (Aristoph. Ach. 842 Eq. 47, 269, 676, 1161 Plut. 725 alibi).
39 sq.] de structura vid. ad Ξ 342.
40 ἔσεσθαι Ar.] ἕπεσθαι L W male, ἔθεσθε M X n. Cf. β 136 sq.
41 πείρατ'] vid. ad Z 143.
43] om. mss. meliora; in U add.: ἔνθ' ἄλλοι μὲν πάντες ἀκὴν ἐγένοντο σιωπῇ (cf. θ 234).
45 εἰ … δὴ] vid. ad Λ 61.
46 αἴσιμ' ἔϜειπες] -μα εἶπες mss. || *ὅσ' ἐρρέζεσκον] ὅσα ῥέζ. mss.
47 ἐπ' ἀγροῦ] ἐν ἀγροῖς G.
49] del. PKnight. || ἐπίηλεν] †, *concitavit* cf. ἐπιπροϊάλλω Λ 628 h. Cer. 327. || Ϝέργα] πάντα G P.
50 γάμου] γάμων H.
51 ἄλλα] ἄλλο P.
52 sq.] del. Bergk.
54 ἐν μοίρῃ] cf. T 186.
55 ἧμες § 92] ἄμμες mss. || ἀρεσσάμενοι] ἀγειράμενοι Hartman coll. ν 14 τ 197.
56 ἐδήδεται l. a. apud Herodianum in Etym. M. 316,25-30] ἐδήδαται Ar. (plur., cf. § 119), ἐδήδοται mss.
57] del. Fick. || ἀμφὶς] *seorsum* (*singuli*). In Etym. M. 758,47 versus sic affertur: τιμὴν ἀλφίσκοντες ἐεικοσάβοιον ἑκάστου. || ἐϜεικοσίβοια (-σάβοια) Bekker coll. α 431] ἐεικοσάβοιον mss.; de re vid. ad Z 236.
58 ἀποδώσομεν] ἀποτίσομεν n.
59 ἰανθῇ] novicium pro ἰανθήῃ, cf. § 122.

τὸν δ' ἄρ' ὑπόδρα ϝιδὼν προσέφη πολύμητις Ὀδυσσεύς·
„Εὐρύμαχ', οὐδ' εἴ μοι πατρώια πάντ' ἀποδοῖτε,
ὅσσα τε νῦν ὔμ' ἔστι καὶ εἴ ποθεν ἄλλ' ἐπιθεῖτε, 62 cf. *I* 380
οὐδέ κεν ὧς ἔτι χεῖρας ἐμὰς λήξαιμι φόνοιο,
πρὶν πᾶσαν μνηστῆρας ὑπερβασίην ἀποτῖσαι. 64 = ν 193
νῦν ὔμιν παράκειται ἐναντίον ἠὲ μάχεσθαι
ἢ φεύγειν, ὅς κεν θάνατον καὶ κῆρας ἀλύξῃ·
ἀλλά τιν' οὐ φεύξεσθαι ὀίομαι αἰπὺν ὄλεθρον."
ὣς 'φάτο, τῶν δ' αὖθι 'λύτο γούνατα καὶ φίλον ἦτορ· 68 cf. *Φ* 114
τοῖσιν δ' Εὐρύμαχος μετεφώνεε δεύτερον αὖτις·
„ὦ φίλοι, οὐ γὰρ σχήσει ἀνὴρ ὅδε χεῖρας ἀάπτους, 70 cf. 248
ἀλλ' ἐπεὶ ἔλλαβε τόξον ἐύξοον ἠδὲ φαρέτρην,
οὐδοῦ ἄπο ξεστοῦ τοξάσσεται, εἰς ὅ κε πάντας
ἦμας κακτείνῃ· ἀλλὰ μνησώμεθα χάρμης. 73^{b} = *O* 477
φάσγανά τε σπάσσασθε καὶ ἀντίσχεσθε τραπέζας
ἰῶν ὠκυμόρων· ἐπὶ δ' αὐτῷ πάντες ἔχωμεν
ἀθρόοι, εἴ κέ μιν οὐδοῦ ἀπώσομεν ἠδὲ θυράων,
ἔλθωμεν δ' ἀνὰ ϝάστυ, βοὴ δ' ὤκιστα γένηται· 77^{b} cf. 133
τῷ κε τάχ' οὗτος ἀνὴρ νῦν ὕστατα τοξάσσαιτο." 78 = 134; 78^{b} cf. *Λ* 232
ὣς ἄρα φωνήσας ἐϝερύσσατο φάσγανον ὀξὺ 79 = *X* 306
χάλκεον, ἀμφοτέρωθεν ἀκαχμένον, ἆλτο δ' ἐπ' αὐτῷ 80 cf. ε 235
σμερδαλέα ϝιϝάχων. ὃ δ' ὁμαρτῇ δῖος Ὀδυσσεὺς
ἰὸν ἀποπροϊεὶς 'βάλε ϝε στῆθος παρὰ μαζὸν,
ἐν δέ ϝοι ἥπατ' ἔπηξε θοὸν βέλος· ἐκ δ' ἄρα χειρὸς
φάσγανον ἧκε χαμᾶζε, περιρρηδὴς δὲ τραπέζῃ

61-63 *οὐδ' εἰ...οὐδέ κεν ὧς*] videatur ad *I* 379-386.
62 *νῦν ὔμ'*] *οἱ νῦν* F. ‖ *ὔμ'* § 92] *ὔμμ'* vel *ὔμμ'* mss.
63 *λήξαιμι*] *παύσαιμι* Nauck; vid. ad *N* 424.
64 *πᾶσαν*] *πάντας* P.
67 *τιν' οὐ*] *τιν' οὐ γὰρ* F^{1} M, *ἀλλ' οὐ γὰρ* LaRoche. De pronominis usu (*τις* = *σύ*) vid. ad *Δ* 289 et cf. φ 374.
68 *αὖθι* § 322] *αὐτοῦ* (*αὐτῶν* F) mss.
69 *μετεφώνεε* G X U n] *προσεφώνεε* mss. cetera male, praecedit enim dativus *τοῖσιν*.
72 *ἄπο*] *ἐπὶ* P H mss. alia.
73 **ἦμας κακτείνῃ*] *ἄμμε* (*ἄμμε*) *κατακτείνῃ* (*-νει* F) mss.; vid. § 92 et de forma *κακτείνῃ* *Z* 164 Hes. Scut. 453 et § 10.
74 *ἀντίσχεσθε*] aoristi forma. Comp. †.
77 *ὤκιστα*] *ἄσβεστος* G (cf. *Λ* 500). ‖ *γένηται* F M X n] *γένοιτο* mss. multa.
79 *ἐϝερύσσατο*] *εἰρύσσατο* mss.
80] del. Lehrs. ‖ *ἀμφοτέρωθεν*] *ἑπταβόειον* absurde P. ‖ *αὐτῷ*] *αὐτὸν* F X.
81 *ὁμαρτῇ* G^{2} H^{2} M X] *ὁμάρτει* F, *ἁμαρτῇ* mss. multa; cf. § 319.
82 *ἀποπροϊεὶς*] *ἀποπροΐει* M X n. ‖ **ϝε*] *δὲ* mss., quod ferri nequit nisi legatur *ἀποπροΐει*, pronomen autem *ϝε* (vel *μιν*) abesse vix potest, dici enim solet *βάλλειν τινά* addito altero accusativo ad indicandam partem corporis qua vulnus infligitur; cf. *Δ* 480 *Θ* 121, 313 *O* 577 *P* 606 etc.
83 *ἥπατ' ἔπηξε*] *-τι πῆξε* mss. ‖ *θοὸν βέλος*] *βέλος θοὸν* U.
84 *περιρρηδὴς*] †, vox obscura; Ar. interpretabatur *περιφερής* sive *περικλασθείς*, alii repetebant a verbo *ῥέω* (perperam) aut a radice *ῥαδ* (*ῥαίνω conspergo*), cf. Apoll. lex.

κάππεσεν ἰδνωθεὶς, ἀπὸ δ' εἴδατα 'χεῦεν ἔραζε 85^{b} = 20
καὶ δέπας ἀμφικύπελλον· ὃ δὲ χθόνα 'τύπτε μετώπῳ
θυμῷ ἀνιάζων, ποσὶ δὲ θρόνον ἀμφοτέροισι 87^{a} = *Φ* 270
λακτίζων ἐτίνασσε, κατ' ὀφθαλμῶν δ' ἔχυτ' ἀχλύς. 88^{b} cf. *E* 696
Ἀμφίνομος δ' Ὀδυσῆος ἐϝίσατο κυδαλίμοιο
ἀντίος ἀίξας, 'ϝέϝρυτο δὲ φάσγανον ὀξὺ,
εἴ πώς ϝοι ϝείξειε θυράων. ἀλλ' ἄρα μιν 'φθῆ
Τηλέμαχος κατόπισθε βαλὼν χαλκήρεϊ δουρὶ 92^{b} = *E* 145
ὤμων μεσσηγὺς, διὰ δὲ στήθεσφιν ἔλασσε· 93 sq.^{a} = *E* 41 sq.
'δούπησεν δὲ πεσὼν, χθόνα δ' ἤλασε παντὶ μετώπῳ. 94^{b} = 296
Τηλέμαχος δ' ἀπόρουσε λιπὼν δολιχόσκιον ἔγχος
αὐτόθ' ἐν Ἀμφινόμῳ, — περὶ γὰρ 'δϝίε μή τις Ἀχαιῶν 96^{b} cf. *P* 666
ἔγχος ἀνελκόμενον δολιχόσκιον ἢ ἐλάσειε
φασγάνῳ ἀίξας ἠὲ προπρηνέα τύψας, — 98^{a} = *E* 81
'βῆ δὲ θέειν, μάλα δ' ὦκα φίλον πατέρ' εἰσαφίκανε, 99 cf. 112
ἄγχι δέ ϝ' ἱστάμενος ϝέπεα πτερόεντα προσηύδα· 100 = *Δ* 203
„ὦ πάτερ, ἤδη τοι σάκος οἴσω καὶ δύο δοῦρε
καὶ κυνέην πάγχαλκον ἐπὶ κροτάφοισ' ἀραρυῖαν, 102 = σ 378
αὐτός τ' ἀμφιβαλεῦμαι ἰὼν, δώσω δὲ συβώτῃ
καὶ τῷ βουκόλῳ ἄλλα· τετευχῆσθαι γὰρ ἄμεινον."
τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·

85 *ἰδνωθεὶς* X n] *δινωθεὶς* vel *δινηθεὶς* mss. pleraque, non recte. Verbum extat etiam *B* 266 *M* 205 (= ϑ 375) *N* 618.
85 sq. *ἀπὸ — ἀμφικύπελλον*] del. vHerwerden *ἠδὲ* pro *ὃ δὲ* scribens.
86 *ὃ δὲ*] vid. ad *Α* 191. ‖ *χθόνα 'τύπτε μετώπῳ*] vertit Verg. Aen. X 349: *fronte ferit terram.*
87 *θυμῷ ἀνιάζων*] languet.
88 *ἐτίνασσε*] *ἐτίναξε* G X U^{1} mss. alia.
89 *ἐϝίσατο* § 201] *ἐείσατο* mss.
90 *ἀντίος*] *ἀντίον* U L W l n (*ἀντίων* G), vid. ad *Z* 54. ‖ *ἀίξας*] Ahrens *ἀῖξαι* coll. *X* 194 sq. ‖ *'ϝέϝρυτο* § 293] *εἴρυτο* mss.
91 *θυράων*] metrum durius; **θύραζ' ἴμεν'*? vid. tamen vs. 107. ‖ *μιν 'φθῆ*] **ϝ' ἔφθη*?
96-98] postea additos esse suspicamur.
96 *αὐτόθ'* § 322] *αὐτοῦ* mss.
97 *ἢ*] *ἠκ'* M Z k (ex σ 92), *ἦ ϝ'* vHerwerden, loco minus apto pronomen inserens. Nobis ipsum *ἢ* suspectum est; **αὐτὸν ἐλάσσαι* (cf. § 113)?
98 *ἠὲ*] *ἠδὲ* Hartman. ‖ *προπρηνέα* H^{2} U^{2} D L W] *pronum*, cf. *Ω* 18; *προπρηνέι* mss. pleraque (cf. *Γ* 218). ‖ *τύψας*] *τύψῃ* P H mss. alia, *τύψει* X, *τύψειε* i, Doederlein *τύψαι*, at *ἐλάσειε* et *τύψαι* opponi inter se nequeunt, quoniam idem significant. Vid. ad vs. 97.
99-125] a diascenasta insertos esse putat Seeck, ut agglutinari posset libri finis ex alia narratione desumtus, quae *arcus certamen* ignorans Ulixem *gladio hastaque* procos trucidantem fingeret (cf. τ 3-52). Kammer del. vs. 103 sq. et 114 sq.
99 *θέειν*] *θέων* F M^{1} U^{1}.
100 **ἄγχι δέ ϝ'* § 318] *ἀγχοῦ δ'* mss.
102 *πάγχαλκον*] *εὔχαλκον* F M (ut *H* 12). Cf. σ 378.
103 *τ'*] *δ'* X. ‖ *ἀμφιβαλεῦμαι*] cf. § 7 et 147. ‖ *ἰὼν*] *ἐγὼ* Hartman.
104 *τετευχῆσθαι*] †, *armatum esse.*

„οἶσε θέων, ἧός μοι ἀμύνεσθαι πάρ' ὀιστοί,
μή μ' ἀποκινήσωσι θυράων μοῦνον ἐόντα."
ὣς 'φάτο· Τηλέμαχος δὲ φίλῳ ἐπεπείθετο πατρί, 108 = τ 14
'βῆ δ' ἴμεναι θάλαμόνδ', ὅθι Ϝοι κλυτὰ τεύχε' ἔκειτο.
ἔνθεν τέσσαρα μὲν σάκε' ἔξελε, δούρατα δ' ὀκτὼ 110 sq. cf. 144 sq.
καὶ πίσυρας κυνέας χαλκήρεας ἱπποδασείας·
'βῆ δὲ φέρων, μάλα δ' ὦκα φίλον πατέρ' εἰσαφίκανε. 112 cf. 99
αὐτὸς δὲ πρώτιστα περὶ χροῒ 'δύσετο χαλκόν·
ὣς δ' αὐτῶς τὼ δμῶε 'δυέσθην τεύχεα καλά,
ἔσταν δ' ἀμφ' Ὀδυσῆα δαΐφρονα ποικιλόμητιν. 115 cf. Λ 482
αὐτὰρ ὅ γ', ὄφρα μὲν αὐτῷ ἀμύνεσθαι ἔσαν ἰοί,
τόφρα μνηστήρων ἕνα γ' αἰεὶ Ϝῷ ἐνὶ Ϝοίκῳ
'βάλλε τιτυσκόμενος· τοὶ δ' ἀγχιστῖνοι ἔπιπτον. 118^{b} = Ρ 361
αὐτὰρ ἐπεὶ 'λίπον ἰοὶ ὀιστεύοντα Ϝάνακτα,
τόξον μὲν πρὸς σταθμὸν ἐυσταθέος μεγάροιο 120 cf. 257, 274; 120^{b} = Σ 374
ἔκλιν' ἑστάμεναι, πρὸς ἐνώπια παμφανάοντα, 121^{b} = Θ 435
αὐτὸς δ' ἀμφ' ὤμοισι σάκος 'θέτο τετραθέλυμνον, 122 cf. Ο 479
κρατὶ δ' ἐπ' ἰφθίμῳ κυνέην εὔτυκτον ἔθηκε 123 sq. = Γ 336 sq.
ἵππουριν, δϜεινὸν δὲ λόφος καθύπερθεν ἔνευε·
εἵλετο δ' ἄλκιμα δοῦρα δύω κεκορυθμένα χαλκῷ. 125 = Λ 43 cf. Γ 338
ὀρσοθύρη δέ τις ἦσκεν ἐὺ δμητῷ ἐνὶ τοίχῳ, —
ἀκρότατον δὲ παρ' οὐδὸν ἐυσταθέος μεγάροιο 127^{b} = Σ 374

106 ἧος § 323] εἵως mss. ‖ ἀμύνεσθαι] -νασθαι mss. complura.

109 τεύχε' ἔκειτο G] τεύχεα κεῖτο mss. pleraque.

110 ἔξελε X] εἵλετο mss. pleraque; cf. vs. 144.

111 πίσυρας] vid. ad Ο 680.

115 ποικιλόμητιν] -μήτην mss. pleraque.

116 αὐτῷ] pronominis usus novicius, cf. § 98. ‖ ἀμύνεσθαι] -νασθαι mss. complura.

119 ὀιστεύοντα] -σαντα P.

120 ἐυσταθέος] vid. ad Σ 374.

121 ἐνώπια] cf. Θ 435. ‖ παμφανάοντα § 191] -νόωντα mss.

122 τετραθέλυμνον] vid. ad Ο 479.

125 εἵλετο] ἐκ δ' ἕλετ' X n. ‖ δοῦρα W[1]] δοῦρε mss. cett.; vid. ad Λ 43.

126-296] del. Kammer, vs. 126-130 Kirchhoff, vs. 129 sq. Duentzer.

126 ὀρσοθύρη] ὀρθοθύρη Crates (legebatne an interpretabatur?) in Etym. M. 634,9. Vox vs. 132 et 333 redit, incertum autem est utrum ianua *postica* significetur an ianua *in parietis parte superiore* (fenestrae igitur similis); posteriorem interpretationem commendavit Holwerda (Mnemos. 1887 p. 299 sqq.), cf. ἀνὰ … ἀναβαίνειν vs. 132. ‖ ἦσκεν] ἔσκεν mss.

127 sq.] in parenthesi collocavit Holwerda l. l.; describitur ὀρσοθύρη, quae *clausa* nunc est, custos autem iussu Ulixis adstat Eumaeus. Sed obscurior est locus.

127] del. Schoemann in vs. 128 scribens ἠδ'. ‖ δὲ παρ'] δ' ὑπὲρ Holwerda l. l., λάινον οὐδόν interpretatus parietum partem inferiorem (κρηπίδωμα) e sectis lapidibus extructam (item υ 258); vid. ad ρ 196. ‖ ἐυσταθέος] vid. ad Σ 374.

ἣν ὁδὸς εἰς λαύρην, σανίδες δ' ἔχον εὖ ἀραρυῖαι, — 128^{b} = ψ 42
τὴν Ὀδυσεὺς φράζεσθαι ἄνωγεν δῖον ὑφορβὸν
ἑσταότ' ἄγχ' αὐτῆς· μία δ' οἴη 'γίγνετ' ἐφορμή.
τοῖσ' Ἀγέλαος ἔϜειπε Ϝέπος πάντεσσι πιφαύσκων· 131 = 247
„ὦ φίλοι, οὔ κεν δή τις ἀν' ὀρσοθύρην ἀναβαίη
καὶ Ϝείποι λαοῖσι, βοὴ δ' ὤκιστα γένοιτο; 133^{b} cf. 77
τῷ κε τάχ' οὗτος ἀνὴρ νῦν ὕστατα τοξάσσαιτο." 134 = 78
τὸν δ' αὖτε προσέϜειπε Μελάνθιος αἰπόλος αἰγῶν·
„οὔ πως ἔστ', Ἀγέλαε διοτρεφές· ἄγχι γὰρ αἰνῶς
αὐλῆς καλὰ θύρετρα, καὶ ἀργαλέον στόμα λαύρης·
καί χ' εἷς πάντας ἐρύκοι ἀνήρ, ὅς τ' ἄλκιμος εἴη.
ἀλλ' ἄγεθ', ὕμιν τεύχε' ἐνείκω θωρηχθῆναι
ἐκ θαλάμοι'· ἔνδον γάρ, ὀίομαι, οὐδέ πη ἄλλη
τεύχεα κατθέσθην Ὀδυσεὺς καὶ φαίδιμος υἱός."
ὣς Ϝειπὼν ἀνέβαινε Μελάνθιος αἰπόλος αἰγῶν
εἰς θαλάμους Ὀδυσῆος ἀνὰ ῥῶγας μεγάροιο.
ἔνθεν δώδεκα μὲν σάκε' ἔξελε, τόσσα δὲ δοῦρα 144 sq. cf. 110 sq.

144 sq. Ar. —

128 ἥν] ἦσκ'? cf. ξ 302. ‖ λαύρην] vox redit vs. 137; circuitionem significari angustam et angulosam, e domus penetralibus aulam versus tendentem, docere videntur rudera regiae quae Tirynthe est effossa. Internae huius viae exitus dicitur στόμα vs. 137. ‖ εὖ ἀραρυῖαι] ἐντὸς ἐῖσαι X U n. Cf. Φ 535 ξ 344.

129 τήν G M X n] τὴν δ' F P H. ‖ φράζεσθαι] φράσσασθαι n. ‖ ἄνωγεν § 225] ἀνώγει mss.

130 ἑσταότ'] ἑσταῶτ' vel ἑστεῶτ' mss. complura; cf. § 160. ‖ μία — ἐφορμή] *unicus hic erat aditus ad* λαύρην. — Vox ἐφορμή †, cf. ὁρμή Δ 466 etc., ἐφορμᾶν Γ 165 etc.

131 *τοῖσ'] τοῖσι δ' G, τοῖς δ' mss. cett.; cf. § 60. ‖ Ἀγέλαος F U[2]] -λαως G, -λεως mss. multa; vid. vs. 136 et § 8 et 62. ‖ ἔειπε(ν) HStephanus] μετέφη G, μετέειπεν mss. cett.

132 φίλοι] πόποι X n. ‖ οὔ κεν § 526] οὐκ ἄν mss. ‖ ὀρσοθύρην] ὀρθοθύρην k. Vid. ad vs. 126. Duentzer ἐν ὀρσοθύρῃ vel ἐς ὀρσοθύρην. ‖ ἀναβαίη] ἐπιβαίη P.

134] e vs. 78 male repetitum censet Kirchhoff, non enim iam sagittari Ulixem.

136 sq. ἄγχι — θύρεθρα] *nimis propinqua est aulae ianua*, ad quam Ulixes eiusque socii collocati sunt. Lingua invita Ernesti interpretatur *bene clausa est aulae ianua*, conferens φ 391.

137 λαύρης] vid. ad vs. 128.

140 sq.] del. Duentzer; versum 141 diasceuastae tribuit Kirchhoff, quo deleto ἔνδον vs. 140 vertendum esset *in aedibus* (*sunt*); vid. ad τ 3-52.

140 θαλάμοι' § 59] -μου mss.

143 ῥῶγας] † (sed vid. l. a. vs. 209); cf. ἀπόρρωξ Β 755 etc. (vid. ad ν 98). Scholion θυρίδας (*fenestras*) interpretatur, cui assensus Holwerda (vid. ad vs. 126) foramina intellegit per quae pars τῆς λαύρης, inter cubicula et utrumque μέγαρον se insinuans, lucis aliquid accipiebat e virorum conclavi, ceteroquin obscura.

144 sq.] Ar. damnabat, Melanthium enim simul omnia haec ferre non potuisse (cf. vs. 183 sq.). Attulit tamen procis, testibus versibus qui sequuntur; saepius igitur eum cubiculum intrasse priusquam ab Eumaeo et Philoetio corriperetur, sumamus oportet.

144 ἔνθεν δώδεκα] ἔνθα δυώδεκα F M. ‖ ἔξελε] εἵλετο U. Cf. vs. 110.

καὶ τόσσας κυνέας χαλκήρεας ἱπποδασείας·
'βῆ δ' ἴμεναι, μάλα δ' ὦκα φέρων μνηστῆρσιν ἔδωκε.
καὶ τότ' Ὀδυσσῆος 'λύτο γούνατα καὶ φίλον ἦτορ, 147 = ε 297
ὡς περιβαλλομένους 'ϝίδε τεύχεα χερσί τε δοῦρα
μακρὰ τινάσσοντας· μέγα δ' αὐτῷ 'φαίνετο ϝέργον. 149ᵇ cf. Μ 416
αἶψα δὲ Τηλέμαχον ϝέπεα πτερόεντα προσηύδα· 150 = ρ 591
„Τηλέμαχ', ἦ μάλα δή τις ἐνὶ μεγάροισι γυναικῶν
νῶιν ἐποτρύνει πόλεμον κακὸν ἠὲ Μελανθεύς."
τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
„ὦ πάτερ, αὐτὸς ἐγὼ τόδε γ' ἤμβροτον, — οὐδέ τις ἄλλος
αἴτιος, — ὃς θαλάμοιο θύρην πυκινῶς ἀραρυῖαν
κάλλιπον ἀγκλίνας· τῶν δὲ σκοπὸς ἦεν ἀμείνων.
ἀλλ' ἴθι, δῖ' Εὔμαιε, θύρην ἐπίθες θαλάμοιο
καὶ φράσαι, ἤ τις ἄρ' ἐστὶ γυναικῶν ἢ τάδε ῥέζει,
ἦ υἱὸς Δολίοιο Μελανθεύς, τόν περ ὀίω."
ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
'βῆ δ' αὖτις θαλαμόνδε Μελάνθιος αἰπόλος αἰγῶν
οἴσων τεύχεα καλά· 'νόησε δὲ δῖος ὑφορβός,
αἶψα δ' Ὀδυσσῆα προσεφώνεεν ἐγγὺς ἐόντα· 163 = Λ 346
„διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
κεῖνος δ' αὖτ' ἀίδηλος ἀνήρ, ὃν ὀιόμεθ' αὐτοί,
ἔρχεται εἰς θάλαμον· σὺ δέ μοι νημερτὲς ἐνίσπε, 166ᵇ = Ξ 470
ἤ μιν ἀποκτείνω, αἴ κε κρείσσων γε γένωμαι,
ἠὲ σοὶ ἐνθάδ' ἄγω, ἵν' ὑπερβασίας ἀποτίσῃ
πολλάς, ὅσσας οὗτος ἐμήσατο σῷ ἐνὶ ϝοίκῳ."
τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
„ἦ τοι ἐγὼ καὶ Τηλέμαχος μνηστῆρας ἀγαυοὺς
σχήσομεν ἔντοσθεν μεγάρων μάλα περ μεμαῶτας·
σφῶι δ' ἀποστρέψαντε πόδας καὶ χεῖρας ὕπερθε 173ᵇ = Ε 122

148 τε] δὲ F M U mss. alia.
152 νῶιν] ἧμιν Eust.
156 ἀγκλίνας] *apertam*. Vid. ad α 441 sq.
157 δῖ' G X (δί' P)] δὴ mss. multa; vid. ad π 461. ‖ θύρην] θύρας G (vid. ad ζ 19).
158 ἦ] εἰ mss.; cf. § 327.
159 Μελανθεύς] -θὲς H U; an *Μελάνθιος, ὄν? cf. vs. 161. ‖ τόν] ὄν F M U n.
162 τεύχεα] ἔντεα U.
163 προσεφώνεεν ἐγγὺς ἐόντα] ἔπεα πτερόεντα προσηύδα P.
164 διογενὲς] cf. § 21.
165 δ'] *ὅδ'? cf. Γ 391 Τ 344.
166 ἐνίσπε U²] ἔνισπε F, ἐνίσπες vel ἔνισπες mss. pleraque; cf. § 246.
167 γε U¹] τε mss. pleraque.
169 οὗτος] αὐτὸς U non male; an *αὖθι? vid. tamen φ 403.
173] desideratur pronomen (κεῖνον vel μιν vel ϝε), *pedes* autem ἀποστρέφεσθαι vix recte dicuntur; aliter se habet res vs. 190, ubi sequitur verbum, praecedit πόδας χεῖράς τε.

εἰς θάλαμον βαλέμεν, — σανίδας δ' ἐκδῆσαι ὄπισθε, —
σειρὴν δὲ πλεκτὴν ἐξ αὐτόο πειρήναντε 175 = 192
κίον' ἀν' ὑψηλὴν ϝερύσαι πελάσαι τε δοκοῖσι, 176 cf. 193
ὥς κεν δϝηθὰ ζωὸς ἐὼν χαλέπ' ἄλγεα πάσχῃ."
ὣς ἔφαθ', οἳ δ' ἄρα τοῦ μάλα μὲν 'κλύον ἠδ' ἐπίθοντο· 178 = Η 379
'βὰν δ' ἴμεν εἰς θάλαμον, 'λαθέτην δέ μιν ἔνδον ἐόντα.
ἦ τοι ὃ μὲν θαλάμοιο μυχὸν κάτα τεύχε' ἐρεύνα,
τὼ δ' ἔσταν ϝεκάτερθε παρὰ σταθμοῖσι μένοντε.
εὖθ' ὑπὲρ οὐδὸν ἔβαινε Μελάνθιος αἰπόλος αἰγῶν,
τῇ ἑτέρῃ μὲν χειρὶ φέρων καλὴν τρυφάλειαν,
τῇ δ' ἑτέρῃ σάκος εὐρὺ γέρον, πεπαλαγμένον ἄζῃ,
Λαέρτα' ἥρωος, ὃ κουρίζων 'φορέεσκε, —
δὴ τότε γ' ἤδη ἔκειτο, ῥαφαὶ δ' ἐλέλυντο ἱμάντων, —
τὼ δ' ἄρ' ἐπαΐξανθ' ἑλέτην 'ϝέρυσάν τέ μιν εἴσω
κουρίξ, ἐν δαπέδῳ δὲ χαμαὶ 'βάλον ἀχνύμενον κῆρ·
σὺν δὲ πόδας χεῖράς τε 'δίδεν θυμαλγέι δεσμῷ
εὖ μάλ' ἀποστρέψαντε διαμπερές, ὡς ἐκέλευσε,

174 βαλέμεν § 126] βαλέειν mss. ‖ σανίδας — ὄπισθε] *valvas cubiculi claudite.* Verba inutilia, vix enim opus erat hoc mandari, neque verbi ἐκδῆσαι qui sit sensus apparet (εὖ δῆσαι vHerwerden). Scholia ὕστερον πρότερον statuunt, *deinde valvas cubiculi claudite* (*egressi*) interpretata, perperam autem ὄπισθε pro adverbio temporis hic habent (ut Δ 362 etc.). Nihili est quod fuere qui coll. Ο 18 putarent, ligneis tabulis gravatas fuisse suspensi Melanthii manus et pedes. Apud Eust. confertur Artayctae viri Persae supplicium, quem Graeci ζώοντα πρὸς σανίδα προσδιαπασσαλεύσαντες ἀνεκρέμασαν (Herod. VII 33 IX 120), cf. etiam Arist. Thesmoph. 930 sq.; hinc Bothe coniecit σανίδος, ipsum tamen versum damnans. Nihil scilicet eiusmodi fit vs. 190 sqq. — Intellegi posset σανίς cuius φ 51 fit mentio (*suggestum*), si non sequerentur vs. 175-177; hos delet Duentzer. ‖ ὄπισθε] l. a. (an interpretamentum?) ἱμαντι. Vert. *a tergo.*
175 αὐτόο § 2 et 59] αὐτοῦ mss. ‖ πειρήναντε] -ντες F X U; de verbo vid. ad μ 37.
176 κίον'] imitatur Soph. Ai. 108, 240.
179 'βὰν] βῆ (P) H¹ M mss. alia sine sensu, nisi sequatur ἰόντε (in G¹ est ἰόντες aut -τας); sic Classen (servato βὰν), at *extra* forem cubiculi utrinque adstantes redeuntem Melanthium opperiuntur.
181 μένοντε] -ντες F D L.
182 εὖθ'] ἔνθ' F mss. alia; vid. ad γ 9.
184 γέρον] neutrum †, neque alias adiectivum est γέρων; languere autem h. l. vocem observat Hartman, 'φέρεν coniciens. In G F X mss. aliis est εὐρύτερον (cf. Γ 194 Ψ 427), in P εὐρὺ γέλον. ‖ ἄζῃ] †, *situ*; cf. ἄζομαι Δ 487 et αὐχμέω ω 250.
185 Λαέρτα' § 55] -ρτεω mss. ‖ ἥρωος] vid. τ 144; γέροντος X (cf. ξ 9). ‖ κουρίζων] κουφίζων L W. Verbum †, = κοῦρος ἐών.
186 δὴ τότε] vid. ad ν 92. ‖ ἤδη] post δὴ officit (in F¹ est τότ' αἰγίδι); probabiliter vHerwerden δὴ τότ' ἀκηδὲς coll. ζ 26 τ 18 ω 187 (ρ 296). ESchulze δὴν τότε γ' ἤδη (cf. v. l. κ 160). ‖ ἔκειτο] κεῖτο mss. ‖ ῥαφαὶ] †, cf. ῥαπτός ω 228 sq.
188 κουρίξ] adv. †; recte Ar. reddebat τῆς κόμης ἐπιλαβόμενοι, male. Crates νεανικῶς (*fortiter*). ‖ δὲ χαμαὶ] χαμάδις M.
189 δίδεν Cobet] δέον mss.; cf. § 198.

σειρὴν δὲ πλεκτὴν ἐξ αὐτόο πειρήναντε 192 = 175
κίον' ἀν' ὑψηλὴν 'ϝέρυσαν 'πέλασάν τε δοκοῖσι. 193 cf. 176
τὸν δ' ἐπικερτομέων προσέφης, Ἐύμαιε συβῶτα· 194a = Π 744
„νῦν μὲν δὴ μάλα πάγχυ, Μελάνθιε, νύκτα φυλάξεις
εὐνῇ ἔνι μαλακῇ καταλέγμενος, ὥς σε ϝέϝοικε·
οὐδὲ σέ γ' ἠριγένεια παρ' Ὠκεανοῖο ῥοάων 197 sq. cf. Ω 12b sq. ψ 347
λήσει ἐπερχομένη χρυσόθρονος, ἡνίκ' ἀγίνεις
αἶγας μνηστήρεσσι δόμον κάτα δαῖτα πένεσθαι.“ 199 cf. β 322
ὣς ὃ μὲν αὖθ' ἐλέλειπτο ταθεὶς ὀλοῷ ἐνὶ δεσμῷ·
τὼ δ' εἰς τεύχεα δύντε, θύρην ἐπιθέντε φαεινήν,
'βήτην εἰς Ὀδυσῆα δαΐφρονα ποικιλόμητιν.
ἔνθα μένος πνείοντες ἐφέστασαν, οἳ μὲν ἐπ' οὐδοῦ
τέσσαρες, οἳ δ' ἔντοσθε δόμων πολέες τε καὶ ἐσθλοί.
τοῖσι δ' ἐπ' ἀγχίμολον θυγάτηρ Διὸς ἦλθεν Ἀθήνη 205 sq. = ω 502 sq.
Μέντορι ϝειδομένη ἠμὲν δέμας ἠδὲ καὶ αὐδήν. 206 = β 268
τὴν δ' Ὀδυσεὺς 'γήθησε ϝιδὼν καὶ μῦθον ἔϝειπε· 207a = ν 226
„Μέντορ, ἄμυνον ἀρήν, μνῆσαι δ' ἑτάροιο φίλοιο,
ὅς σ' ἀγάθ' ἐρρέζεσκον· ὁμηλικίη δέ μοί ἐσσι.“
ὣς 'φάτ', ὀιόμενος λαοσσόον ἔμμεν' Ἀθήνην.
μνηστῆρες δ' ἑτέρωθεν ὁμόκλαον ἐν μεγάροισι· 211 cf. φ 360
πρῶτος τήν γ' ἐνένιπε Δαμαστορίδης Ἀγέλαος·
„Μέντορ, μή σε ϝέπεσσι παραιπεπίθησιν Ὀδυσσεὺς
μνηστήρεσσι μάχεσθαι, ἀμυνέμεναι δὲ ϝοὶ αὐτῷ.
ὧδε γὰρ ἡμέτερόν γε νόον τελέεσθαι ὀίω.
ὁππότε κεν τούτους κτάομεν, πατέρ' ἠδὲ καὶ υἱόν,

191 υἱὸς Λαέρταο πολύτλας δῖος Ὀδυσσεύς.

191] ante vs. 190 habent M X D, in marg. F U, om. G P H n mss. alia. Cf. ϑ 49 etc.

192 αὐτόο § 2 et 59] αὐτοῦ mss. ‖ πειρήναντε] vid. ad μ 37

194 ἐπικερτομέων] vid. ad Ω 649.

196 σε ϝέϝοικε] ἐπέοικεν G^2 F M X K n mss. alia.

198 ἐπερχομένη] ἀνερχομένη M U K. ‖ ἡνίκ'] † ὁππότ' Nitzsch. — Vert. *quo tempore colligere soles.* ‖ ἀγίνεις] mss. ἀγινεῖς, vid. ad Σ 493.

200] in marg. habet F. ‖ αὖθ' ἐλέλειπτο] αὖθι λέλ. mss. ‖ ἐνὶ] ὑπὸ P H M mss. alia.

202 ποικιλόμητιν q] -μήτην mss. cett.

203-240] del. Duentzer; Kirchhoff vs. 205-240 et 249 sq. tribuit diasceuastae, hunc enim prodi *Mentoris* nomine e *Telemachi itinere* desumto, cf. ω 445 sq.; Fick del. vs. 242-247. His oblocutus Seeck librum χ poetae Telemachiae deberi putat.

204 δόμων] δόμου G n (δόμοιο U).

209 ἀγάθ' ἐρρέζεσκον] ἀγαθὰ ῥέζ. mss.

211 ὁμόκλαον § 191] ὁμόκλεον (-αιον H) mss. ‖ ἐν μεγάροισι] ἐκ μεγάροιο G X.

213 σε ϝέπεσσι] σ' ἐπέεσσι mss.

215 τελέεσθαι] τετέλεσθαι F, τελέεσεσθαι M.

216 κτάομεν LMeyer] κτέομεν vel κτέωμεν (κτενέωμεν G, κτενέομεν U) mss.; cf. § 122.

ἐν δὲ σὺ τοῖσιν ἔπειτα πεφήσεαι, οἷα μενοινᾷς 217 cf. Ν 829
ϝερδέμεν' ἐν μεγάρῳ· σῷ δ' αὐτοῦ κράατι τίσεις.
αὐτὰρ ἐπεί χ' ὕμων γε βίας ἀφελώμεθα χαλκῷ,
κτήμαθ' ὁπόσσα τοί ἐστι, τά τ' ἔνδοθι καὶ τὰ θύρηφι,
τοῖσιν Ὀδυσσῆος μεταμίξομεν· οὐδέ τοι υἷας
ζωέμεν' ἐν μεγάροισιν ἐάσομεν οὐδὲ θύγατρας
οὐδ' ἄλοχον κεδνὴν Ἰθάκης κατὰ ϝάστυ πολεύειν.“
ὣς 'φάτ', Ἀθηναίη δὲ 'χολώσατο κηρόθι μᾶλλον· 224b = Φ 136
'νείκεσσεν δ' Ὀδυσῆα χολωτοῖσιν ϝεπέεσσι· 225 cf. Ο 210 χ 26
„οὐκέτι σοί γ', Ὀδυσεῦ, μένος ἔμπεδον οὐδέ τις ἀλκή,
οἵη ὅτ' ἀμφ' Ἑλένῃ λευκωλένῳ ἠυπατείρῃ
εἰνάϝετες Τρώεσσιν ἐμάρναο νωλεμὲς αἰεί,
πολλοὺς δ' ἄνδρας ἔπεφνες ἐν αἰνῇ δηιοτῆτι. 229 cf. λ 516
πῶς δὴ νῦν, ὅτε σόν γε δόμον καὶ κτήμαθ' ἱκάνεις,
ἄντα μνηστήρων ὀλοφύρεαι ἄλκιμος εἶναι;
ἀλλ' ἄγε δεῦρο, πέπον, παρ' ἔμ' ἵστασο καὶ ϝίδε ϝέργον, 233 = Ρ 179
ὄφρα ϝίδῃς οἷός τοι ἐν ἀνδράσι δυσμενέεσσι
Μέντωρ Ἀλκιμίδης ἐυϝεργεσίας ἀποτίνειν.“
ἦ ῥα, καὶ οὔ πω πάγχυ 'δίδου ἑτεραλκέα νίκην, 236b = Ρ 627
ἀλλ' ἔτ' ἄρα σθένεός τε καὶ ἀλκῆς 'πειρήτιζε
ἠμὲν Ὀδυσσῆος ἠδ' υἱοῦ κυδαλίμοιο.
αὐτὴ δ' αἰθαλόεντος ἀνὰ μεγάροιο μέλαθρον

230 σῇ δ' ἐϝάλω βουλῇ Πριάμου πόλις εὐρυάγυια.

218] del. PKnight. ‖ ϝερδέμεν' § 125] ἔρδειν mss. ‖ μεγάρῳ Nauck] -ροισι(ν) F P H U, -ροις mss. pleraque; cf. § 60. ‖ αὐτοῦ] αὐτόο? cf. § 59. ‖ κράατι] † pro κρᾱτί (sic U); cf. κρᾱ́ατα Τ 93 et § 82. An *κράτ'(ι) ἀποτίσεις? vid. v. l. Δ 161.

219 ἐπεί χ' § 326] ἐπὴν mss. ‖ ὕμων § 92] ὑμέων mss.

221 τοῖσιν] τοῖσι δ' F H.

222 ζωέμεν' § 125] ζώειν mss.

223] del. PKnight. ‖ πολεύειν] †, alias est πωλέομαι; comp. ἀμφιπολεύω υ 78 etc.

227 ἠυπατείρῃ LMeyer] εὐπατερείῃ mss.; cf. Ζ 292.

230] delevimus. Ulixis *prudentia* hic non est commemoranda. ‖ ἐϝάλω] ἥλω (εἴλω P) mss.

231 σόν γε G F X U n] σόνδε P, σόν τε mss. multa.

232 ὀλοφύρεαι] *luges* sive *lamentaris*; verbum hinc alienum, expectatur ἐπιλήθεαι. Doederlein post hoc verbum sententiam incidit, sequentia *fortis esto* interpretatus; sic tamen ἴσσο dicendum esset potius neque sequi posset ἀλλ' ἄγε.

233 ἵστασο] ἵσταο H (cf. Κ 291).

234 ὄφρα ἴδῃς X n] ὄφρ' εἰδῇς mss. cetera; ὡς ϝειδῇς proponitur apud Nauckium. ‖ ἐν] ἐγὼ μετ' G (ἐγὼ μετὰ δυσμενέεσσι?).

234 sq. οἷός ... ἀποτίνειν] vid. ad β 272.

235 ἐυϝεργεσίας] vox nonnisi vs. 374 (et v. l. τ 114) redit. ‖ Post hunc versum nonnulla intercidisse putat Bergk, quibus depingeretur Minerva unum ex procis interficiens ceterosque verbis lacessens; at vid. vs. 249.

238 υἱοῦ] *υἷος (cf. § 78)?

239] sic affert schol. Theocr. XIII 13:

ἕζετ' ἀναΐξασα, χελιδόνι Ϝεικέλη ἄντην. 240^{b} cf. φ 411
μνηστῆρας δ' ὤτρυνε Δαμαστορίδης Ἀγέλαος
Εὐρύνομός τε καὶ Ἀμφιμέδων Δημοπτόλεμός τε
Πείσανδρός τε Πολυκτορίδης Πόλυβός τε δαΐφρων·
οἳ γὰρ μνηστήρων ἀρετῇ ἔσαν ἔξοχ' ἄριστοι, 244 cf. δ 629
ὅσσοι ἔτ' ἔζωον περί τε ψυχῆς ἐμάχοντο·
τοὺς δ' ἤδη ἐδάμασσε βιὸς καὶ ταρφέες ἰοί. 246^{b} = Λ 387
τοῖσ' Ἀγέλαος ἔϜειπε Ϝέπος πάντεσσι πιφαύσκων· 247 = 131
„ὦ φίλοι, ἤδη σχήσει ἀνὴρ ὅδε χεῖρας ἀάπτους· 248 cf. 70
καὶ δή Ϝοι Μέντωρ μὲν ἔβη κενέ' εὔγματα Ϝειπὼν,
οἳ δ' οἶοι λείπονται ἐπὶ πρώτῃσι θύρῃσι.
τῷ νῦν μή Ϝ' ἅμα πάντες ἐφίετε δούρατα μακρὰ,
ἀλλ' ἄγεθ' οἳ Ϝὲξ πρῶτον ἀκοντίσατ', αἴ κέ ποθι Ζεὺς 252^{b} = Λ 128
δώῃ Ὀδυσσῆα βλῆσθαι καὶ κῦδος ἀρέσθαι.
τῶν δ' ἄλλων οὐ κῆδος, ἐπεί χ' οὗτός γε πέσῃσι.“
ὣς ἔφαθ'· οἳ δ' ἄρα πάντες ἀκόντισαν, ὡς ἐκέλευε,
Ϝιέμενοι· τὰ δὲ πάντα ἐτώσια 'θῆκεν Ἀθήνη. 256 cf. 273
αὐτὰρ ἐπεὶ δὴ δούρατ' ἀλεύαντο μνηστήρων,
τοῖσ' ἄρα μύθων ἦρχε πολύτλας δῖος Ὀδυσσεύς· 261 = ω 490
„ὦ φίλοι, ἤδη μέν κεν ἐγὼ Ϝείποιμι καὶ ἧμιν
μνηστήρων ἐς ὅμιλον ἀκοντίσαι, οἳ μεμάασι

257 τῶν ἄλλος μὲν σταθμὸν ἐυσταθέος μεγάροιο 257-259 = 274 sqq.
'βεβλήκειν, ἄλλος δὲ θύρην πυκινῶς ἀραρυῖαν· 257 cf. 120
ἄλλου δ' ἐν τοίχῳ μελίη 'πέσε χαλκοβάρεια. 257^{b} = Σ 374
257-259 quidam (Ar.?) —

αὐτοὶ δ' αἰθαλόεντας ἀνὰ ῥῶγας μεγάροιο (vid. ad vs. 143). || ἀνὰ ... μέλαθρον] ὑπὲρ ... μέλαθρα Et. M. 565,36; ὑπὲρ ... μελάθρων Et. Gud. 15,56; IHVoss ἀνὰ ... μελάθρῳ, sed „ἀνὰ μέλαθρον ἀναΐξασα coniungenda sunt, ἕζεσθαι autem per se constat" (Hermann).

240 χελιδόνι Ϝεικέλη] *ceu hirundo* an *in hirundinem mutata*? vid. *Η* 59 et ad ε 51, 353. Posterior opinio in schol. reicitur (vid. ε 51, 353 et ad α 320). — *Hirundinis* nonnisi h. l. et φ 411 in Hom. fit mentio.

242-247] del. Fick; unum vs. 246 damnaverat PKnight.

245 *ψυχῆς] ψυχέων mss.; vid. § 56 et ad vs. 443 sq.

247 *τοῖσ'] τοῖς δ' vel τοῖσι(ν) δ' mss.; cf. § 60. || Ἀγέλαος H M D U^{2} L W] -λεως mss. multa; cf. vs. 131. || ἔειπε(ν) HStephanus] μετέειπε(ν) mss.; cf. vs. 131.

249 κενέ' Bentley] κενεὰ P, κενὰ mss. pleraque. Cf. § 38. || εὔγματα] †, vid. ad κ 526.

251 *Ϝ'(οι)] adiecimus; cf. § 13. || ἐφίετε] sic mss.; vulgo editur μὴ ἅμα ... ἀφίετε.

252 πρῶτον] πρῶτοι Naber. Gravius corruptum esse versum, in ἕξ autem latere ἑξείης, suspicatur Hartman.

253 βλῆσθαι] βαλέμεν vHerwerden.

254 ἐπεί χ' F] ἐπὴν mss. cett., cf. § 326.

257 ἐυσταθέος] vid. ad Σ 374.

260 δούρατ'] Fick δοῦρα.

262 καὶ ἧμιν] verba addubitat Hartman. || ἧμιν § 92] ἄμμι(ν) mss.

ἡμέας ἐξεναρίξαι ἐπὶ προτέροισι κακοῖσι.“
ὣς ἔφαθ'· οἳ δ' ἄρα πάντες ἀκόντισαν ὀξέα δοῦρα
ἄντα τιτυσκόμενοι· Δημοπτόλεμον μὲν Ὀδυσσεὺς, 266^{a} cf. φ 48
Εὐρυάδην δ' ἄρα Τηλέμαχος, Ἔλατον δὲ συβώτης,
Πείσανδρον δ' ἄρ' ἔπεφνε βοῶν ἐπιβουκόλος ἀνήρ.
οἳ μὲν ἔπειθ' ἅμα πάντες ὀδὰξ ἕλον ἄσπετον οὖδας, 269^{b} = Τ 61
μνηστῆρες δ' ἀνεχώρησαν μεγάροιο μυχόνδε·
τοὶ δ' ἄρ' ἐπήιξαν, νεκύων δ' ἒξ ἔγχε' ἕλοντο.
αὖτις δὲ μνηστῆρες ἀκόντισαν ὀξέα δοῦρα
Ϝιέμενοι· τὰ δὲ πολλὰ ἐτώσια 'θῆκεν Ἀθήνη. 273 cf. 256
τῶν ἄλλος μὲν σταθμὸν ἐυσταθέος μεγάροιο 274-276 = 257 sqq.
'βεβλήκειν, ἄλλος δὲ θύρην πυκινῶς ἀραρυῖαν·
ἄλλου δ' ἐν τοίχῳ μελίη 'πέσε χαλκοβάρεια.
Ἀμφιμέδων δ' ἄρα Τηλέμαχον 'βάλε χεῖρ' ἐπὶ καρπῷ 277^{b} cf. Ε 458
λίγδην, ἄκρην δὲ ῥινὸν 'δηλήσατο χαλκός.
Κτήσιππος δ' Ἐύμαιον ὑπὲρ σάκος ἔγχεϊ μακρῷ
ὦμον ἐπέγραψεν· τὸ δ' ὑπέρπτατο, 'πίπτε δ' ἔραζε.
τοὶ δ' αὖτ' ἀμφ' Ὀδυσῆα δαΐφρονα ποικιλόμητιν 281 cf. Λ 482
μνηστήρων ἐς ὅμιλον ἀκόντισαν ὀξέα δοῦρα.
ἔνθ' αὖτ' Εὐρυδάμαντα 'βάλε πτολίπορθος Ὀδυσσεὺς,
Ἀμφιμέδοντα δὲ Τηλέμαχος, Πόλυβον δὲ συβώτης·
Κτήσιππον δ' ἄρ' ἔπειτα βοῶν ἐπιβουκόλος ἀνὴρ
'βεβλήκει πρὸς στῆθος, ἐπευχόμενος δὲ προσηύδα·
„ὦ Πολυθερσεΐδη φιλοκέρτομε, μή ποτε πάμπαν
Ϝείκων ἀφραδίῃ μέγα Ϝειπέμεν', ἀλλὰ θεοῖσι
μῦθον ἐπιτρέψαι, ἐπεὶ ἦ πολὺ φέρτεροί εἰσι. 289^{b} = Κ 557

265 ὀξέα δοῦρα] ὀξέι χαλκῷ P (cf. α 99), ὡς ἐκέλευεν M.

267 Εὐρυάδην] ΕὐρυϜάδην? vid. ad φ 144.

268 ἔπεφνε] ἔπειτα U (ex vs. 285). || ἐπιβουκόλος] cf. γ 422.

270 ἀνεχώρησαν F] ἂρ ἐχώρησαν mss. pleraque.

273 πολλὰ] πάντα X.

274-276] del. PKnight.

274 ἐυσταθέος] vid. ad Σ 374.

278 λίγδην] †, *strictim*; cf. ἐπιλλίγδην *P* 599 (et λικριφίς *Ξ* 463 τ 451?). || ἄκρην X U^{1}] ἄκρον mss. multa.

280 ὑπέρπτατο] cf. § 216.

281 ποικιλόμητιν q] -μῆτιν n, -μήτην mss. cetera.

283 Εὐρυδάμαντα] Εὐρυμέδοντα P H L W.

285 ἐπιβουκόλος] cf. γ 422.

286-292] del. Bergk.

287 Πολυθερσεΐδη] patronymicum †, cf. πολυθαρσής (*P* 156 etc.) et Θερσίτης (*B* 212 etc.); φίλε Θερσείδη U (l. Πολυθερσείδη? nam alienum hinc est adiectivum φίλος). || φιλοκέρτομε] †, M πολυκέρτομε; cf. κερτομέω *B* 256 etc. (κερτομίη *Y* 202 etc., κερτόμιος *Δ* 539 etc.).

288 ἀφραδίῃ Nauck] -ῃς mss., cf. § 57. || εἰπέμεν n] εἰπεῖν mss. cett.; cf. § 125.

τοῦτό τοι ἀντὶ ποδὸς ξεινήιον, ὅν τότ' ἔδωκας
ἀντιθέῳ Ὀδυσῆι δόμον κάτ' ἀλητεύοντι.“
ἦ ῥα βοῶν Ϝελίκων ἐπιβουκόλος. αὐτὰρ Ὀδυσσεὺς
οὖτα Δαμαστορίδην αὐτοσχεδὸν ἔγχεϊ μακρῷ· 293b = Tyrt. fr. 11[29]
Τηλέμαχος δ' Εὐηνορίδην Ληόκριτον οὖτα
δουρὶ μέσον κενεῶνα, διὰ πρὸ δὲ χαλκὸν ἔλασσε· 295b = N 388
ἤριπε δὲ πρηνής, χθόνα δ' ἤλασε παντὶ μετώπῳ. 296b = 94
δὴ τότ' Ἀθηναίη φθισίμβροτον αἰγίδ' ἀνέσχε
ὑψόθεν ἐξ ὀροφῆς· τῶν δὲ φρένες ἐπτοίηθεν. 298a cf. β 147
οἱ δ' ἐφέβοντο κατὰ μέγαρον βόες ὣς ἀγελαῖαι,
τὰς μέν τ' αἰόλος οἶστρος ἐφορμηθεὶς ἐδόνησε
ὥρῃ Ϝεαρινῇ, ὅτε τ' ἤματα μακρὰ πέλονται. 301 = σ 367
οἱ δ', ὥς τ' αἰγυπιοὶ γαμψώνυχες ἀγκυλοχεῖλαι 302 = Π 428
ἐξ ὀρέων ἐλθόντες ἐπ' ὀρνίθεσσι θόρωσι, — 303a cf. τ 538
ταὶ μέν τ' ἐν πεδίῳ νέφεα πτώσσουσαι ἵενται,
οἱ δέ τε τὰς ὀλέκουσ' ἐπιάλμενοι, οὐδέ τις ἀλκὴ
γίγνεται οὐδὲ φυγή, χαίρουσι δέ τ' ἀνέρες ἄγρῃ, —

290] immerito vituperasse videtur vWilamowitz (cf. Seeck Quellen p. 124). || *τότ'* Axt] *ποτ'* mss.; cf. φ 99. || *ἔδωκας*] ironice dictum, quasi dono dedisset Ulixi pedem quo caput eius contumeliose petivit (υ 299).

291 *κάτ' ἀλητεύοντι*] caesura vitiosa, vid. § 3; **κάτα αἰτίζοντι*?

292 *ἐπιβουκόλος*] cf. γ 422.

294 *Ληόκριτον* Nauck] *Λειόκριτον* F[2] U, *Λειώκριτον* G F[1] P H. Vid. ad *P* 344. *Λαόκριτος* hic procus dicitur in fragmentis Bibliothecae Apollodori nuper repertis (Rhein. Mus. 1891 p. 179,33).

297 *φθισίμβροτον*] nonnisi *N* 339 redit, cf. *φθισήνωρ* *B* 833 etc.

298] del. PKnight. || *ἐξ ὀροφῆς*] *ἐκ κορυφῆς* G[1] M X U n (ut β 147). Vox *ὀροφή* †, alias dicitur *μέλαθρον* (e. g. suprà vs. 239); cf. *ὄροφος* Ω 451, *ὑπωρόφιος* *I* 640. || *φρένες ἐπτοίηθεν*] *φρένας ἐπτοίησεν* X Eust.; simplex *πτοιέω* †, cf. Hes. Op. 447, *διαπτοιέω* σ 340.

299-301] cf. Verg. Georg. III 146-151.

299 *ἐφέβοντο*] *ἐφέροντο* F mss. alia (cf. *O* 743 etc.). || *βόες ὣς*] de syllaba *-ες* non producta vid. § 101.

300 *οἶστρος*] †, vid. ad Ω 532.

301] *spurius? || *ὥρῃ* Bentley] *ὥρῃ ἐν* mss. || *Ϝεαρινῇ* § 21] *εἰαρινῇ* mss.

302 *αἰγυπιοί*] vid. ad *H* 59.

304 *νέφεα*] *retia*, in quae fugientes aves incidant (cf. χ 469), interpretantur (Ar.? in) schol. et Eust.; vid. Aristoph. Av. 194 et 528; at *aucupum* ars hinc aliena (vid. ad vs. 306). Neque tamen verae *nubes* possunt intellegi; nihil enim est *νέφεα πτώσσειν*, quod verbum (nisi *Y* 427) accusativum non admittit, *νέφεα ... ἵενται* autem quominus iungamus obstat contextus. || *ἵενται*] neglecto *Ϝ* (cf. § 201); dubitanter coniecimus **τῶν* (masc.) ... *νέφεα πτώσσοντα Ϝίενται* coll. *P* 755 *ψαρῶν νέφος ἠὲ κολοιῶν* (vid. etiam *Δ* 274 *Ψ* 133 *Π* 66), et vs. 305 **τοὺς* pro *τάς*.

305 **ὀλέκουσ' ἐπιάλμενοι*] *-σιν ἐπάλμενοι* mss.

306 *φυγή*] vid. ad ω 57. || *ἄγρῃ*] ipsorum virorum (venatorum) *praedam* intellegunt PKnight Naber, praecedentia de falconibus venatoriis interpretati, qui aviculas in casses urgueant; cf. Aristot. de Animal. IX 36 § 4, Aelian. de Nat. an. IV 26. Cui explicationi favet vis vocis *ἄγρη* nonnisi h. l. et μ 330 obviae, sed parum concinit *ἐξ ὀρέων ἐλθόντες* vs. 303, et repugnant vs. 305 sq., non enim simul in lina se conicere et a falconibus

ὣς ἄρα τοὶ μνηστῆρας ἐπεσσυμένοι κατὰ δῶμα
'τύπτον ἐπιστροφάδην· τῶν δὲ στόνος ὤρνυτ' ἀϜεικὴς 308 cf. *K* 483 ω 184
κράτων τυπτομένων, δάπεδον δ' ἅπαν αἵματ' ἔθυε. 309 = ω 185 309b = λ 420
Ληώδης δ' Ὀδυσῆος ἐπεσσυμένος 'λάβε γούνων, 310 cf. 342
καί μιν λισσόμενος Ϝέπεα πτερόεντα προσηύδα· 311 sq. = 343 sq. cf. Φ 73 sq.
„γουνάομαί σ', Ὀδυσεῦ, σὺ δέ μ' αἴδεο καί μ' ἐλέησον· 311 = 366 h. Ven. 185
οὐ γάρ πώ τινα φημὶ γυναικῶν ἐν μεγάροισι 313a = δ 141
Ϝειπέμεν' οὐδέ τι ῥέξαι ἀτάσθαλον· ἀλλὰ καὶ ἄλλους
'παύεσκον μνηστῆρας, ὅ τις τοιαῦτά γε ῥέζοι. 315b = α 47
ἀλλά μοι οὐ 'πείθοντο κακῶν ἄπο χεῖρας ἔχεσθαι·
τῷ καὶ ἀτασθαλίῃσιν ἀϜεικέα πότμον ἐπέσπον. 317 = 416
αὐτὰρ ἐγὼ μετὰ τοῖσι θυοσκόος, οὔ τι ϜεϜοργὼς,
κείσομαι· ὣς οὐκ ἔστι χάρις μετόπισθ' ἐὺ Ϝερκτῶν.“ 319b = δ 695
τὸν δ' ἄρ' ὑπόδρα Ϝιδὼν προσέφη πολύμητις Ὀδυσσεύς·
„εἰ μὲν δὴ μετὰ τοῖσι θυοσκόος εὔχεαι εἶναι,
πολλάκι που μέλλεις ἀρήμεναι ἐν μεγάροισι
τηλόθ' ἐμοὶ νόστοιο τέλος γλυκεροῖο γενέσθαι,
σοὶ δ' ἄλοχόν τε φίλην σπέσθαι καὶ τέκνα τεκέσθαι·
τῷ οὐ κεν θάνατόν γε δυσηλεγέα προφύγοισθα.“
ὣς ἄρα φωνήσας ξίφος εἵλετο χειρὶ παχείῃ
κείμενον, ὅ ῥ' Ἀγέλαος ἀποπροέηκε χαμᾶζε
κτεινόμενος· τῷ τόν γε κατ' αὐχένα μέσσον ἔλασσε· 328b cf. *K* 455

trucidari possunt aves; ingentibus autem avibus, quae dicuntur *αἰγυπιοί* (vid. ad *H* 59), nemo unquam ad venandum usus est. Itaque *χαίρειν* dicuntur rustici insolitum spectaculum casu oblatum mirantes.

309 *κράτων*] cf. § 82. || *αἵματ' ἔθυε*] *-τι θῦε* mss.

310 *Ληώδης*] *Λειώδης* mss.; vid. φ 144.

312 **γουνάομαι*] *γουνοῦμαι* mss.; cf. § 144 et 191.

313 *τινα ... γυναικῶν*] corrupta esse suspicatur Hartman. || *τινα*] de accusativo verbo *εἰπεῖν* addito vid. ad *M* 60.

314 *Ϝειπέμεν'* § 125] *εἰπεῖν* mss.

318 *οὔ τι* Bentley] *οὐδὲν* mss.; cf. § 100.

319 *ὣς* (*ὧς*) Barnes] *ὡς* mss. || **ἐὺ Ϝερκτῶν*] *εὐεργέων* mss.; cf. *Π* 743 et § 73. Fick *χάρις εὐϜεργεσιάων* coll. vs. 374.

321 *εἰ ... δή*] vid. ad *A* 61.

322 *που*] *μου* G P H M U[2] mss. alia. || *ἀρήμεναι*] aoristi forma notabilis; cf. § 195. Vert. *saepe opinor precatus es*; cf. *N* 776 sq. Φ 83 δ 377 sq. ξ 133 sq. et § 107.

323 *τηλόθ'* § 322] *τηλοῦ* mss. || *ἐμοί*] *ἐμοῦ* P H K[1]. || *γενέσθαι*] non ut *sero* sed ut *nunquam* Ulixes in patriam rediret a diis flagitasse censendus est Leodes, displicet autem *τηλόθι* de *tempore* adhibitum; **γλυκεροῖ' ἀπολέσθαι* (*ut in remotis terris spes redeundi mihi adimeretur*)? cf. ϱ 253 ψ 68. Ameis verba sic explicat: *ut mihi reditus procul abesset*, i. e. *ne unquam reditus particeps fierem.*

324] del. PKnight. || *σπέσθαι*] novicium pro *ἑσπέσθαι*, cf. § 247.

325 *οὔ κεν* § 326] *οὐκ ἂν* mss. || *δυσηλεγέα*] vid. ad *Y* 154. Duentzer *τανηλεγέα*.

327 *χαμᾶζε*] *φέρεσθαι* G[1] (cf. τ 468).

328] scholion: „iure caeditur Leodes, aut enim non verus erat augur aut mortem sibi instare scire poterat.“ Melius Iebb:

φθεγγομένου δ' ἄρα τοῦ γε κάρη κονίῃσιν ἐμίχθη. 329 = *K* 457
Τερπιάδης δ' ἔτ' ἀοιδὸς ἀλύσκανε κῆρα μέλαιναν 330 cf. 363, 382
Φήμιος, ὅς ῥ' ἤειδε μετὰ μνηστῆρσιν ἀνάγκῃ. 331 cf. α 154
ἔστη δ' ἐν χείρεσσιν ἔχων φόρμιγγα λιγεῖαν
ἄγχι παρ' ὀρσοθύρην· δίχα δὲ φρεσὶ 'μερμήριζε,
ἢ ἐκδὺς μεγάροιο Διὸς μεγάλου ποτὶ βωμὸν
ἑρκείοι' ἵζοιτο τετυγμένον, ἔνθ' ἄρα πολλὰ
Λαέρτης Ὀδυσεύς τε βοῶν ἐπὶ μηρί' ἔκηαν,
ἦ γούνων λίσσοιτο προσαΐξας Ὀδυσῆα.
ὧδε δέ Ϝοι φρονέοντι 'δοάσσατο κέρδιον εἶναι· 338 = *N* 458
γούνων ἅψασθαι Λαερτιάδα' Ὀδυσῆος.
ἤ τοι ὃ φόρμιγγα γλαφυρὴν κατέθηκε χαμᾶζε
μεσσηγὺ κρητῆρος ἰδὲ θρόνου ἀργυροήλου,
αὐτὸς δ' αὖτ' Ὀδυσῆα προσαΐξας 'λάβε γούνων 342 cf. 310
καί μιν λισσόμενος Ϝέπεα πτερόεντα προσηύδα· 343 sq. = 311 sq.
„γουνάομαί σ', Ὀδυσεῦ, σὺ δέ μ' αἴδεο καί μ' ἐλέησον.
αὐτῷ τοι μετόπισθ' ἄχος ἔσσεται, εἴ κεν ἀοιδὸν 345^{a} = *I* 249
πέφνῃς, ὅς τε θεοῖσι καὶ ἀνθρώποισιν ἀείδω.
αὐτοδίδακτος δ' εἰμὶ, θεὸς δέ μοι ἐν φρεσὶν οἴμας
παντοίας ἐνέφυσε· ϜέϜοικα δέ τοι παραείδειν
ὥς τε θεῷ· τῷ μή με λιλαίεο δειροτομῆσαι.
καί κεν Τηλέμαχος τά γε Ϝείποι, σὸς φίλος υἱὸς,
ὡς ἐγὼ οὔ τι Ϝεκὼν εἰς σὸν δόμον οὐδὲ χατίζων
'πωλεόμην μνηστῆρσιν ἀεισόμενος μετὰ δαῖτας,

„there are moments when the Homeric hero is almost a savage" (Homer p. 55 coll. Ψ 87 sq. Ω 568 sqq.).

329] om. P, in marg. habet H. Vid. ad *K* 457.

330 *ἀλύσκανε*] *ἀλύσκαζε* F. Camerarius *ἀλύσκασε* (cf. *E* 253 etc.). Verbi forma *ἀλυσκάνω* †.

333 *ὀρσοθύρην*] *ὀρσοθύρη* P, *ὀρθοθύρην* k. Vid. ad vs. 126.

335 *ἑρκείοι'* § 59] *ἑρκείου* mss. — Adi. †, de re vid. ad *Π* 231. ‖ *ἵζοιτο*] *ἕζοιτο* G P H M mss. alia.

339 *Λαερτιάδα'* § 55] *-δεω* mss.

341] del. Duentzer. ‖ *μεσσηγὺ*] *-γὺς* mss.

344 **γουνάομαι*] *γουνοῦμαι* mss.; cf. § 144 et 191.

347 *αὐτοδίδακτος*] †; non a magistro sed ab ipsa musa instructum se gloriatur vates. ‖ *οἴμας*] cf. *ϑ* 74.

348 *παραείδειν*] *περ ἀείδειν* F, *πάρ' ἀείδειν* P H M mss. alia. Comp. †; num aptum huic loco?

350 *τά γε* Nauck] *τάδε* Bentley, *τάδε γ'* mss. ‖ *Ϝείποι*] *εἴπῃ* Eust. fortasse recte; **Ϝείποι* (*-ῃ*) *τά γε?*

351 *σὸν*] *ἑὸν* F; **Ϝεκών γε τεὸν?*

352 *'πωλεόμην* § 191] *πωλεύμην* mss. ‖ *μετὰ*] iungendumne cum participio (*post coenam*) an cum verbo finito (*ut interessem eorum epulis*, cf. *A* 222)? ita tamen *μετά* cum accusativo non solet adhiberi (nam *E* 165 et *Z* 511 aliter res se habet). Eust. perperam interpretatur *ut victum mihi arte mea pararem* (cf. α 184 etc.). Barnes probabiliter *κατὰ*, vid. *A* 424. ‖ *δαῖτας*] *δαῖτα* F P X n Eust. mss. alia.

ἀλλὰ πολὺ πλέονες καὶ κρείσσονες ἦγον ἀνάγκῃ."
ὣς 'φάτο· τοῦ δ' ἤκουσ' ἱερὴ Ϝὶς Τηλεμάχοιο,
αἶψα δ' ἑϜὸν πατέρα προσεφώνεεν ἐγγὺς ἐόντα· 355 cf. *Δ* 346
„ἴσχεο, μηδέ τι τοῦτον ἀναίτιον οὖταε χαλκῷ.
καὶ κήρυκα Μέδοντα σαώσομεν, ὅς τέ με' αἰεὶ
Ϝοίκῳ 'ν ἡμετέρῳ 'κηδέσκετο παιδὸς ἐόντος,
εἰ δὴ μή μιν ἔπεφνε Φιλοίτιος ἠὲ συβώτης
ἠὲ σοὶ ἀντεβόλησεν ὀρινομένῳ κατὰ δῶμα."
ὣς 'φάτο, τοῦ δ' ἤκουσε Μέδων πεπνυμένα Ϝειδώς·
πεπτηὼς γὰρ ἔκειτο ὑπὸ θρόνον, ἀμφὶ δὲ δέρμα
'Ϝέστο βοὸς νεόδαρτον, ἀλύσκων κῆρα μέλαιναν. 363^{b} = 382 cf. 330
αἶψα δ' ὑπὸ θρόνου ὦρτο, θοῶς δ' ἀπέδυνε βοείην,
Τηλέμαχον δ' ἄρ' ἔπειτα προσαΐξας 'λάβε γούνων
καί μιν λισσόμενος Ϝέπεα πτερόεντα προσηύδα· 366 = 311
„ὦ φίλ', ἐγὼ μὲν ὅδ' εἰμί· σὺ δ' ἴσχεο, Ϝειπὲ δὲ πατρὶ,
μή με περισθενέων δηλήσεται ὀξέι χαλκῷ,
ἀνδρῶν μνηστήρων κεχολωμένος, οἵ Ϝοι ἔκειρον
κτήματ' ἐνὶ μεγάρῳ, σὲ δὲ νήπιοι οὔ τι ἔτιον."
τὸν δ' ἐπιμειδήσας προσέφη πολύμητις Ὀδυσσεύς· 371 = *K* 400
„θάρσε', ἐπεὶ δή σ' οὗτος ἐρύσατο ἠδ' ἐσάωσε, 372^{b} cf. *O* 290
ὡς γνώῃς κατὰ θυμὸν, ἀτὰρ Ϝείπῃσθα καὶ ἄλλῳ,
ὡς κακοϜεργεσίης εὐϜεργεσίη μέγ' ἀμείνων.
ἀλλ' ἐξελθόντες μεγάρων ἕζεσθε θύραζε
ἐκ φόνου εἰς αὐλὴν, σύ τε καὶ πολύφημος ἀοιδὸς,
ὄφρα κ' ἐγὼ κατὰ δῶμα πονήσομαι οὗ τεό με χρή."

356 *οὖται*] forma praesentis brevioris stirpis †, cf. § 150.

357 *με'* § 92] *μευ* mss.

359 *εἰ δὴ*] vid. ad *Α* 61.

362 *δὲ δέρμα*] *δ' ἄρ' αὐτῷ* G (cf. *Γ* 362).

364 *ὑπὸ*] *ἀπὸ* F. ‖ *θοῶς* l. a. in schol.] *βοὸς* mss.; *βοὸς* ... *βοείην* negligenter dictum, LaRoche confert *P* 389 *Σ* 582 (vid. etiam ad υ 52).

365 *'λάβε γούνων*] vid. ad *Α* 500.

368 *περισθενέων*] †; *ingenti suo robore usus.* An corruptum?

369 *οἵ Ϝοι*] l. a. *ὅ<σ>σοι*. ‖ *ἔκειρον*] *-ραν* F.

370 *μεγάρῳ*] *-ροις* mss. multa (*-ροισι* F); cf. § 60. ‖ **οὔ τι*] *οὐδὲν* mss.; vid. § 100 et ad *ϑ* 136.

372 *θάρσε'* § 191] *θάρσει* mss. ‖ *ἠδ'(ἐ)* Bekker] *καὶ* mss.; vid. ad *O* 290. PKnight *καί σ'*.

373 sq.] del. PKnight.

373 **ὡς γνώῃς*] *ὄφρα γνῷς* mss.; cf. § 122. ‖ *ἄλλῳ*] *-οις* F, cf. § 60.

374 **κακοϜεργεσίης*] *κακοϜεργίης* mss.; de syllaba ι vid. § 51. Utraque vox †, sed cf. *κακοϜεργός* σ 54. ‖ *εὐϜεργεσίη*] cf. χ 235.

375 *ἐξελθόντες*] *-ντε* Fick. ‖ *ἕζεσθε θύραζε*] vix sana (*ἕζεσθε θ.* P). Apud Athen. V 189*f* affertur *εὖ ναιεταόντων*.

377 *ὄφρα κ'* F U^{2}] *ὄφρ' ἂν* mss. pleraque;

ὣς ᾽φάτο, τὼ δ᾽ ἔξω ᾽βήτην μεγάροιο κιόντε·
ἑζέσθην δ᾽ ἄρα τώ γε Διὸς μεγάλου ποτὶ βωμόν,
380 πάντοσε παπταίνοντε, φόνον ποτιδεγμένω αἰεί. — 380^{a} cf. N 649
᾽πάπτηνεν δ᾽ Ὀδυσεὺς καθ᾽ ἑϜὸν δόμον, εἴ τις ἔτ᾽ ἀνδρῶν
ζωὸς ὑποκλοπέοιτο ἀλύσκων κῆρα μέλαιναν. — 382^{b} = 363
τοὺς δ᾽ ἔϜιδεν μάλα πάντας ἐν αἵματι καὶ κονίῃσι
πεπτεότας πολλοὺς ὥς τ᾽ ἰχθύας, οὕς θ᾽ ἁλιῆες
385 κοῖλον ἐς αἰγιαλὸν πολιῆς ἔκτοσθε θαλάσσης
δικτύῳ ἐκϜέρυσαν πολυωπῷ, τοὶ δέ τε πάντες
κύμαθ᾽ ἁλὸς ποθέοντες ἐπὶ ψαμάθοισι κέχυνται, —
τοὺς μέν τ᾽ ἠέλιος φαέθων ἐξείλετο θυμόν, —
ὣς τότ᾽ ἄρα μνηστῆρες ἐπ᾽ ἀλλήλοισ᾽ ἐκέχυντο.
390 δὴ τότε Τηλέμαχον προσέφη πολύμητις Ὀδυσσεύς·
„Τηλέμαχ᾽, εἶ᾽ ἄγε μοι κάλεσον τροφὸν Εὐρυκλέειαν,
ὄφρα Ϝέπος Ϝείπωμι τό μοι καταθύμιόν ἐστι.“
ὣς ᾽φάτο· Τηλέμαχος δὲ φίλῳ ἐπεπείθετο πατρί, — 393 = τ 14
κινήσας δὲ θύρην προσέφη τροφὸν Εὐρυκλέειαν·
395 „δεῦρο δὴ ὄρσο, γρῆϋ παλαιγενές, ἥ τε γυναικῶν
δμῳάων σκοπός ἐσσι κατὰ μέγαρ᾽ ἡμετεράων·
ἔρχεο· κικλήσκει σε πατὴρ ἐμός, ὄφρα τι Ϝείπῃ.“
ὣς ἄρ᾽ ἐφώνησεν, τῇ δ᾽ ἄπτερος ἔπλετο μῦθος· — 398 = ϱ 57

cf. § 326. || *οὔ τεο] ὅττεο mss.; cf. § 102 et α 124.

378 κιόντε] -ντες P M U^{2}.

379 ποτὶ] παρὰ X n. || βωμὸν] vid. ad Π 231.

380] del. Hartman.

381 εἴ] μή M^{1}.

382 ὑποκλοπέοιτο] *surripere se conaretur.* Verbum †, vid. ad ν 295.

384-389] del. Fick, unum vs. 388 EHFriedlaender.

384 πεπτεότας X] -ηότας -εῶτας -ηῶτας mss. pleraque. Cf. K 200 Φ 503. || πολλοὺς] post πάντας ferri vix posse monet Hartman.

385 κοῖλον ἐς αἰγιαλὸν] adiectivi usus idem est κ 92. — Hoc uno loco Hom. in arsi est syllaba prior, in κόιλος igitur solvi nequit (cf. Apoll. Pron. p. 111 Synt. p. 7 Herodian. π. μον. λέξ. p. 20); Nauck λευρὸν (vid. η 123), Menrad κώιλον αἰγιαλὸν (cf. Mimnermi fr. 12 Alcaei fr. 15).

386 δικτύῳ ... πολυωπῷ] †; retis etiam E 487 χ (304?) 469 fit mentio. || ἐκϜέρυσαν] ἐξέρυσαν mss. || *τοὶ] οἳ mss. hiatu vitioso, vid. § 14.

388 *τοὺς] τῶν mss.; vid. O 460 P 678 et ad T 137 Ω 754 χ 443.

389 ἀλλήλοισ᾽ ἐκέχυντο] -σι κ. mss.

391 εἶ᾽ § 328] εἰ vel εἰ δ᾽ mss. || Εὐρυκλέειαν § 73] -κλειαν mss.

392 εἴπωμι Wolf] εἴποιμι mss. Cf. τ 490.

394 κινήσας δὲ θύρην] vHerwerden ἐκ δὲ καλεσσάμενος coll. τ 15 φ 380, vulgatam enim sine vs. ψ 42 sqq. intellegi vix posse. || Εὐρυκλέειαν § 73] -κλειαν mss.

395 sq.] *spurii? Rhetorica verbositas gravius etiam displicet quam versus 395 metrum durum.

395 ὄρσο] ὄρσεο Anecd. Oxon. IV 337, item IHilberg Silbenwägung p. 25, at vid. § 25 (Ludwich Arist. II p. 360).

398 ἄπτερος] vid. ad ϱ 57.

ὤιξεν δὲ θύρας μεγάρων εὖ ναιεταόντων, — 399^{a} = α 436
400 ᾽βῆ δ᾽ ἴμεν· αὐτὰρ Τηλέμαχος πρόσθ᾽ ἡγεμόνευε. — 400^{b} = ω 155
ηὗρεν ἔπειτ᾽ Ὀδυσῆα μετὰ κταμένοισι νέκυσσι — 401 cf. ψ 45
αἵματι καὶ λύθρῳ πεπαλαγμένον ὥς τε λέοντα, — 402 = ψ 48; 402^{a} = Z 268
ὅς ῥά τε βεβρωκὼς βοὸς ἔρχεται ἀγραύλοιο, —
πᾶν δ᾽ ἄρα Ϝοι στῆθός τε παρήϊά τ᾽ ἀμφοτέρωθε — 404^{b} sq.^{a} cf. Π 159
405 αἱματόεντα πέλει, δϜεινὸς δ᾽ εἰς ὦπα Ϝιδέσθαι, —
ὣς Ὀδυσεὺς ᾽πεπάλακτο πόδας καὶ χεῖρας ὕπερθε. — 406^{b} = E 122
ἡ δ᾽ ὡς οὖν νέκυάς τε καὶ ἄσπετον εἰσέϜιδ᾽ αἷμα,
ἴθυσέν ῥ᾽ ὀλολῦξαι, ἐπεὶ μέγα εἴσϜιδε Ϝέργον·
ἀλλ᾽ Ὀδυσεὺς κατέρυκε καὶ ἔσχεθε Ϝιεμένην περ, — 409 cf. δ 284
410 καί μιν φωνήσας Ϝέπεα πτερόεντα προσηύδα·
„ἐν θυμῷ, γρηῦ, χαῖρε καὶ ἴσχεο μηδ᾽ ὀλόλυζε·
412 οὐχ ὁσίη κταμένοισιν ἐπ᾽ ἀνδράσιν εὐχετάεσθαι.
417 ἀλλ᾽ ἄγε μοι σὺ γυναῖκας ἐνὶ μεγάρῳ κατάλεξον, — 417 sq. cf. τ 497 sq.
αἵ τέ μ᾽ ἀτιμάζουσι καὶ αἳ νηλείτιδές εἰσι.“ — 418 cf. π 317
τὸν δ᾽ αὖτε προσέϜειπε φίλη τροφὸς Εὐρύκλεεια· — 419 = τ 21
420 „τοιγὰρ ἐγώ τοι, τέκνον, ἀληθείην καταλέξω. — 420 = π 226
421 πεντήκοντά τοι εἰσὶν ἐνὶ μεγάροισι γυναῖκες·

413 τούσδε δὲ μοῖρ᾽ ἐδάμασσε θεῶν καὶ σχέτλια Ϝέργα·
οὔ τινα γὰρ ᾽τίεσκον ἐπιχθονίων ἀνθρώπων, — 414 sq. = ψ 65 sq.
οὐ κακὸν οὐδὲ μὲν ἐσθλόν, ὅ τις σφέας εἰσαφίκοιτο· — 415^{a} = Z 489
τῷ καὶ ἀτασθαλίῃσιν ἀϜεικέα πότμον ἐπέσπον. — 415^{b} cf. μ 40; 416 = 317
422 δμῳαί, τὰς μέν τ᾽ ἔργα ᾽διδάξαμεν ἐργάζεσθαι,

403 βεβρωκὼς βοὸς] de genitivo vid. ι 102 ο 373.

405 πέλει] novicium pro πέλεται; cf. § 275.

407 *εἰσέϜιδ᾽] εἴσιδεν mss.

408 ὀλολῦξαι] *alta voce* (ut in sacrificiis) *deos invocare*; vid. vs. 412 et ad γ 450.

411 γρηῦ] γρῆυ H n fortasse recte (γρῆν P); vid. ad τ 383. || ὀλόλυζε] vid. vs. 408.

412] *nefas est inter caesorum hominum corpora ad deos precari*; cf. Z 268. Non vertendum esse *gloriari caeso hoste* recte observat schol. coll. Δ 449; sic tamen locum accepisse interpolatorem cui debentur vs. 413-416 iure statuit Hartman, videatur etiam Archilochi versus in schol. laudatus (fr. 66): οὐ γὰρ ἐσθλὰ κατθανοῦσι κερτομεῖν ἐπ᾽ ἀνδράσι. Ex his Archilochi verbis nostrum versum fluxisse non recte contendit Seeck (Quellen p. 332). || ὁσίη] vid. ad π 423. || εὐχετάεσθαι § 191] -τάασθαι mss.

413 τούσδε δὲ] τοὺς δὴ F, τοὺς δὲ G P.

413-416] del. Hartman, vid. ad vs. 412; vs. 414-416 del. Kirchhoff, unum vs. 415 PKnight, unum vs. 416 Bothe.

415 ὅ τις] ὅτι P W^{1} n q, ὅστις G, ὅ τε La-Roche. Cf. T 265.

417-480] del. Kammer.

417 μεγάρῳ Nauck] -ροις (-ροισι F U) mss.; cf. § 60.

418 νηλείτιδες] νηλίτιδες F, νηλιτεῖς G, νηλητεῖς H M (νητεῖς P). Vid. ad π 317.

419 φίλη τροφὸς] περίφρων G (cf. τ 491). || Εὐρυκλέεια § 73] -κλεια mss.

420] in marg. habet G.

422 sq.] del. PKnight, unum vs. 423 Duentzer.

422 ἔργα ... ἐργάζεσθαι] bis neglectum Ϝ (Bentley μὲν Ϝέργα).

424 τάων δώδεκα πᾶσαι ἀναιδεΐης ἐπέβησαν,
425 οὔτ' ἐμὲ τίουσαι οὔτ' αὐτὴν Πηνελόπειαν.
428 ἀλλ' ἄγ' ἐγὼν ἀναβᾶσ' ὑπερώια σιγαλόεντα
Ϝείπω σῇ ἀλόχῳ, τῇ τις θεὸς ὕπνον ἐπῶρσε."
τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
„μή πω τήνδ' ἐπέγειρε· σὺ δ' ἐνθάδε Ϝειπὲ γυναιξὶ
ἐλθέμεν', αἵ περ πρόσθεν ἀϜεικέα 'μηχανάοντο."
ὣς ἄρ' ἔφη· γρῆυς δὲ δι' ἐκ μεγάροι' ἐβεβήκει — 433 sq. = σ 185 sq.
ἀγγελέουσα γυναιξὶ καὶ ὀτρυνέουσα νέεσθαι.
αὐτὰρ ὃ Τηλέμαχον καὶ βουκόλον ἠδὲ συβώτην — 435 cf. ψ 367 = 359, 363
εἰς Ϝὲ καλεσσάμενος Ϝέπεα πτερόεντα προσηύδα·
„ἄρχετε νῦν νέκυας φορέειν καὶ ἄνωχθε γυναῖκας·
αὐτὰρ ἔπειτα θρόνους περικαλλέας ἠδὲ τραπέζας — 438 = 452
ὕδατι καὶ σπόγγοισι πολυτρήτοισι καθαίρειν. — 439 cf. 453
αὐτὰρ ἐπεὶ δὴ πάντα δόμον διακοσμήσησθε, — 440 sq. cf. 457 sq.
δμῳὰς ἐξαγαγόντες ἐυσταθέος μεγάροιο — 441b = Σ 374
μεσσηγύς τε θόλου καὶ ἀμύμονος ἕρκεος αὐλῆς — 442 = 459
θεινέμεναι ξίφεσιν τανυήκεσιν, εἰς ὅ κε πάσας

423 εἰριά τε ξαίνειν καὶ δουλοσύνην ἀνέχεσθαι·
426 Τηλέμαχος δὲ νέον μὲν ἀέξετο, οὐδέ Ϝε μήτηρ
σημαίνειν εἴασκεν ἐπὶ δμῳῇσι γυναιξί.

423 ξαίνειν] †, *carpere*, idem dicitur πείκειν σ 316. ‖ δουλοσύνην M U] -νης mss. pleraque, idque praefert Eust. (Ar.?), item Matthiae Gramm. § 359 coll. Eur. Troad. 101 Plat. Rep. VIII 564*d*; illis tamen locis genitivus absolutus esse potest. Vid. etiam GHermann ad Soph. Oed. R. 174. Accusativus est Ω 518 ψ 302; versum ϱ 13 huc non pertinere vere observat Eust. — Vox †; vid. ad Γ 409.
424 ἐπέβησαν] vid. ad ψ 13.
425 οὔτ' ἐμὲ] οὔτε σὲ vHerwerden coll. vs. 418. ‖ τίουσαι] τιμῶσαι F; vid. ad Α 46.
426 sq.] del. vHerwerden, vs. 425-429 Duentzer.
426 ἀέξετο] i. e. ἥβασκε; cf. ν 360.
427 ἐπὶ δμῳῇσι] Bothe ὑποδμώῃσι (cf. δ 386).
429 ἐπῶρσε] ἔχευε(ν) P H M mss. alia (cf. β 395).
431 τήνδ'] τήν γ' Hartman.
432 'μηχανάοντο § 191] -νόωντο mss.
433 μεγάροι' ἐβεβήκει] -ροιο βεβ. mss.; cf. § 59.
434 νέεσθαι] vid. ad Φ 48.
435 ὃ] om. G F X n.
440 ἐπεὶ U] ἐπὴν mss. cett.; cf. § 326. ‖ διακοσμήσησθε G X U n] κατακοσμήσησθε mss. cett.; διακ. redit loco par. et activum Β 126, 476, κατακοσμέω (act.) est Δ 118. — Non videtur scribendum κάτα κοσμ.
441 ἐυσταθέος] vid. ad Σ 374.
442 θόλου] vox redit vs. 459 et 466 (vid. etiam ad η 131). Rotundum hoc aedificium in aulae angulo fuisse extructum patet, sed quis eius usus fuerit ignoratur; *armarium* intellegunt veteres, *sepulcrum* Gardner, *latrinam* Hirt et Joseph (coll. vs. 462).
443 sq. *πάσας | ψυχὴν] πασέων | ψυχὰς mss.; novicia est forma πασέων (πασῶν F), vid. § 56. Correximus coll. Υ 436 σε … ἀπὸ θυμὸν ἕλωμαι, Ο 460 Ρ 678 μιν … ἐξείλετο θυμόν, vid. etiam ad Τ 137 Ω 754 χ 388 δ 646. Simile vitium est vs. 471 sq.; pluralis pro singulari irrepsit etiam Γ 273 Ι 441 χ 245.

ψυχὴν ἐξαφέλησθε καὶ ἐκλελάθητ' Ἀφροδίτης,
τὴν ἄρ' ὑπὸ μνηστῆρσιν ἔχον 'μίσγοντό τε λάθρῃ."
ὣς ἔφαθ'· αἳ δὲ γυναῖκες ἀϜολλέες ἦλθον ἅπασαι
αἴν' ὀλοφυρόμεναι, θαλερὸν κατὰ δάκρυ χέουσαι.
πρῶτα μὲν οὖν νέκυας 'φόρεον κατατεθνηῶτας,
κὰδ δ' ἄρ' ὑπ' αἰθούσῃ 'τίθεσαν ἐυερκέος αὐλῆς — 449b cf. Ι 472
ἀλλήλοισιν ἐρείδουσαι· 'σήμαινε δ' Ὀδυσσεὺς
αὐτὸς ἐπισπέρχων· ταὶ δ' ἐκφόρεον καὶ ἀνάγκῃ.
αὐτὰρ ἔπειτα θρόνους περικαλλέας ἠδὲ τραπέζας — 452 = 438
ὕδατι καὶ σπόγγοισι πολυτρήτοισ' ἐκάθαιρον. — 453 cf. 439
αὐτὰρ Τηλέμαχος καὶ βουκόλος ἠδὲ συβώτης — 454 = ψ 297
λίστροισιν δάπεδον πύκα ποιητοῖο δόμοιο
'ξῦον· ταὶ δ' ἔφερον δμῳαί, 'τίθεσαν δὲ θύραζε.
αὐτὰρ ἐπεὶ δὴ πᾶν μέγαρον διεκοσμήσαντο, — 457 sq. cf. 440 sq.
δμῳὰς δ' ἐξαγαγόντες ἐυσταθέος μεγάροιο — 458b = Σ 374
μεσσηγύς τε θόλου καὶ ἀμύμονος ἕρκεος αὐλῆς — 459 = 442
'Ϝέλλον ἐνὶ στένεϊ, ὅθεν οὔ πως ἦεν ἀλύξαι.
τοῖσι δὲ Τηλέμαχος πεπνυμένος ἦρχ' ἀγορεύειν· — 461 cf. Η 347 Σ 249
„μὴ μὲν δὴ καθαρῷ θανάτῳ ἀπὸ θυμὸν ἑλοίμην
τάων, αἳ δὴ ἐμῇ κεφαλῇ κατ' ὀνείδε' ἔχευαν
μητέρι θ' ἡμετέρῃ παρά τε μνηστῆρσιν ἴαυον."

Fick tentat εἰς ὅ κε θυμὸν | τάων ἐξαφέλησθ' αἳ ἐμοὶ κατ' ὀνείδε' ἔχευαν | αἰδοίῃ τ' ἀλόχῳ, παρά τε μνηστῆρσιν ἴαυον, dein pro vs. 461-473 reponens θεῖνον δὲ ξίφεσιν, πάσας τ' ἀπὸ θυμὸν ἕλοντο.
444 ἐξαφέλησθε] comp. †. ‖ ἐκλελάθητ' GHermann] ἐκλελάθωντ' G, -θοιτ' Apoll. lex., -θοιντ' mss. pleraque. Cf. Β 600 Ο 60 h. Ven. 40 et § 221.
445] verba suspecta, vix enim Graecum est Ἀφροδίτην ἔχειν. ‖ 'μίσγοντο] μίγνυντο G, μίσγονθ' ὅτε HStephanus non recte.
447 αἴν'] οἰκτρ' n (cf. ω 59).
448 κατατεθνηῶτας U L W] -ειῶτας (-εῶτας -ηκότας) mss. pleraque; cf. § 160.
450 sq.] del. Duentzer.
450 ἀλλήλοισιν M et l. a. apud Eust.] -λῃσιν mss. pleraque. Cf. ψ 47. — IHVoss ἀλλήλοις ἐνερείδουσαι.
451 ἐπισπέρχων] ἐπιστείχων mss. multa.
453 πολυτρήτοισ' ἐκάθαιρον] -σι κ. mss.
455 λίστροισιν] †, cf. λιστρεύειν ω 227 et vid. ad δ 627.
456 'ξῦον] vid. ad ζ 269. ‖ ἔφερον X n] ἐφόρεον vel ἐκφόρεον mss. pleraque; vid. § 7 et 191 et ad κ 358. Desideratur obiectum; *ταὶ δὲ ῥύπ' ἐκφόρεον (cf. ζ 93)?
458 δ' P H mss. alia] om. pleraque. ‖ ἐυσταθέος] vid. ad Σ 374.
459 θόλου] vid. vs. 442.
460 *'Ϝέλλον ἐνὶ στένεϊ] εἴλεον ἐν στείνει mss.; de verbo Ϝέλλειν vid. § 265, de voce στένεϊ § 71, cum tota sententia cf. μ 210. Ceteris locis στεῖνος dicitur, in *arsi* enim est vocis syllaba prior; cf. verbum στένω-στείνομαι. Menrad εἴλεον ἐς στεῖνος (coll. Φ 8 Χ 12) aut εἴλεον ἐν στένεϊ (coll. Aesch. Eum. 520).
462] cf. Eur. Helen. 306 sqq. ‖ δὴ G F U] ἐν P H L W vitiose. ‖ καθαρῷ θανάτῳ] insolite dictum esse observat Fick. Vid. ad vs. 442. ‖ ἑλοίμην] ἕλησθε U i.
463 ὀνείδε' ἔχευαν] -δεα χεῦαν mss.

ὣς ἄρ' ἔφη, καὶ πεῖσμα νεὸς κυανοπρῴροιο
κίονος ἐξάψας μεγάλης περίβαλλε θόλοιο,
ὑψόσ' ἐπεντανύσας, μή τις ποσὶν οὖδας ἵκοιτο.
ὡς δ' ὅτε κ' ἢ κίχλαι τανυσίπτεροι ἠὲ πέλειαι
ἕρκε' ἐνιπλήξωσι, τό θ' ἑστήκῃ ἐνὶ θάμνῳ,
αὔλιδα Ϝιέμεναι, στυγερὸς δ' ὑπεδέξατο κοῖτος,
ὣς αἵ γ' ἑξείης κεφαλὰς ἔχον, ἀμφὶ δὲ δειρῇ
πάσῃσι βρόχοι ἦσαν, ὅπως οἴκτιστα θάνοιεν.
ἤσπαιρον δὲ πόδεσσι μίνυνθά περ, οὔ τι μάλα δϜήν. 473ᵇ = Λ 416
ἐκ δὲ Μελάνθιον ἦγον ἀνὰ πρόθυρόν τε καὶ αὐλήν·
τοῦ δ' ἀπὸ μὲν ῥῖνάς τε καὶ οὔατα νηλέι χαλκῷ 475 sq. cf. σ 86 sq.
'τάμνον μήδεά τ' ἐκϜέρυσαν, κυσὶν ὠμὰ δάσασθαι,
χεῖρας δ' ἠδὲ πόδας 'κόπτον κεκοτηότι θυμῷ.
οἳ μὲν ἔπειτ' ἀπονιψάμενοι χεῖράς τε πόδας τε
εἰς Ὀδυσῆα δόμονδ' ἔκιον· 'τετέλεστο δὲ Ϝέργον.
αὐτὰρ ὅ γε προσέϜειπε φίλην τροφὸν Εὐρυκλέειαν·
„οἶσε θέειον, γρῆυ, κακῶν ἄκος, οἶσε δέ μοι πῦρ,
ὄφρα θεειώσω μέγαρον. σὺ δὲ Πηνελόπειαν
ἐλθέμεν' ἐνθάδ' ἄνωχθι σὺν ἀμφιπόλοισι γυναιξί·
πάσας δ' ὄτρυνον δμῳὰς κατὰ δῶμα νέεσθαι.“
τὸν δ' αὖτε προσέϜειπε φίλη τροφὸς Εὐρυκλέεια· 485 = τ 21
„ναὶ δὴ ταῦτά γε, τέκνον ἐμὸν, κατὰ μοῖραν ἔϜειπες. 486 cf. Ψ 626
ἀλλ' ἄγε τοι χλαῖνάν τε χιτῶνά τε Ϝείματ' ἐνείκω,
μηδ' οὕτω ῥάκεσιν πεπυκασμένος εὐρέας ὤμους
ἕσταθ' ἐνὶ μεγάροισι· νεμεσσητὸν δέ κεν εἴη.“ 489ᵇ = Γ 410
τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·

---

466 θόλοιο] vid. vs. 442.
467 ὑψόσ' ἐπεντανύσας] ὑψόσ' ἐπαντανύσας F n, ὑψόσε πᾶν τανύσας G; ὕψοσέ τ' ἐντάνυσεν Hartman. || ἵκοιτο] ἵκηται F P H n mss. alia.
468 ὅτε κ' § 326] ὅτ' ἂν mss. || κίχλαι] †, *turdi*.
469 ἕρκε' § 71] ἕρκει mss. || ἐνιπλήξωσι] vid. ad *M* 72. || τό θ' Eust.] τὸ δ' mss., ὃ θ' Apoll. lex.
470 *αὔλιδα Ϝιέμεναι] αὖλιν (αὖλιν F P) ἐσιέμεναι (εἰσιέναι P) mss. — Vox αὖλις *cubile* redit *I* 232 h. Merc. 71 Ven. 169, cf. αὐλή *Δ* 433 etc., ἔπαυλος ψ 358, μέσσαυλος *Λ* 548 etc., αὐλίζομαι μ 265 ξ 412. De termino -ιδα vid. § 66, de verbo Ϝίεμαι § 201.
471 sq. *δειρῇ | πάσῃσι] πάσαις (-σῃς M² U¹, -σάων q, -σων U³) δειρῇσι mss.; vid. § 57. Simile est vitium vs. 443 sq., ubi vid.
472 βρόχοι] cf. λ 278.
476 μήδεα] vid. ad ζ 129. || ἐκϜέρυσαν] ἐξέρυσαν mss.
477 δ' Bekker] τ' mss.
480 Εὐρυκλέειαν § 73] -κλειαν mss.
482-491] del. Duentzer.
483 ἐλθέμεν' § 125] ἐλθεῖν mss.
484 νέεσθαι] vid. ad Φ 48.
485 Εὐρυκλέεια § 73] -κλεια mss.
486 τέκνον ἐμὸν] πάντα, τέκος G (ut vs. par.).
489 ἕσταθ'] ἵστασ' G.

„πῦρ νῦν μοι πρώτιστον ἐνὶ μεγάροισι γενέσθω.“
ὣς ἔφατ', οὐδ' ἀπίθησε φίλη τροφὸς Εὐρυκλέεια,
ἤνεικεν δ' ἄρα πῦρ καὶ θήιον· αὐτὰρ Ὀδυσσεὺς
εὖ ἐθεείωσεν μέγαρον καὶ δῶμα καὶ αὐλήν. 494ᵇ cf. Ζ 316
γρῆυς δ' αὖτ' ἀπέβη διὰ δώματα κάλ' Ὀδυσῆος
ἀγγελέουσα γυναιξὶ καὶ ὀτρυνέουσα νέεσθαι. 496 = σ 186
αἳ μὲν ἄρ' ἀμφεχέοντο καὶ ἠσπάζοντ' Ὀδυσῆα
καὶ 'κύνεον ἀγαπαζόμεναι κεφαλήν τε καὶ ὤμους 499 = ρ 35
χεῖράς τ' αἰνύμεναι· τὸν δὲ γλυκὺς ἵμερος ᾕρει
κλαυθμοῦ καὶ στοναχῆς, 'γίγνωσκε δ' ἄρα φρεσὶ πάσας.

---

497 αἱ δ' ἴσαν ἐκ μεγάροιο δάος μετὰ χερσὶν ἔχουσαι. 497 = Ω 647

---

491 πρώτιστον] -στα? vid. ad δ 577.
492 φίλη τροφὸς G F] περίφρων P H n mss. alia; cf. υ 134. || Εὐρυκλέεια § 73] -κλεια mss.
493 θήιον] alias est θέειον (vs. 481 etc.), cf. θεειόω χ 482, 494 ψ 50; *πῦρ τε θέειόν τ'? An designatur vasculum ad suffiendum? Vel sic tamen suspecta est forma vocabuli.
494 (ἐ)θεείωσεν PKnight] διεθείωσε(ν) mss.; vid. ad vs. 493. || μέγαρον καὶ δῶμα καὶ αὐλήν] *conclave* (in quo strages procorum facta est) totasque *aedes* atque *aulam*. Incipit ab ipso qui caede pollutus est loco, dein totam domum lustrat. Perperam Ameis-Hentze μέγαρον h. l. *mulierum conclave* (cf. σ 198 etc.), δῶμα autem *virorum* (cf. ρ 541 etc.) interpretantur.
496 νέεσθαι] vid. Φ 48.
497] del. Duentzer (cf. vs. 484), item vs. 500 sq., dubitans an totus locus vs. 495-501 sit spurius. || δάος] δᾷδα; M; vid. ad Ω 647 δ 300.

ΟΔΥΣΣΕΙΑΣ ψ.

'Οδυσσέως ὑπὸ Πηνελόπης ἀναγνωρισμός.

γρῆυς δ' εἰς ὑπερῷ' ἀνεβήσετο καγχαλάουσα,
δεσποίνῃ Ϝερέουσα φίλον πόσιν ἔνδον ἐόντα·
γούνατα δ' ἐρρώσαντο, πόδες δ' ὑπὸ ἠκταίνοντο.
'στῆ δ' ἄρ' ὑπὲρ κεφαλῆς καί μιν πρὸς μῦθον ἔϜειπε· 4 = Ψ 68
„ἐγρέο, Πηνελόπεια, φίλον τέκος, ὄφρα Ϝίδηαι
ὀφθαλμοῖσι τεοῖσι τὰ Ϝέλδεαι ἤματα πάντα·
ἦλθ' Ὀδυσεὺς καὶ Ϝοῖκον ἱκάνεται ὀψέ περ ἐλθών,
μνηστῆρας δ' ἔκτεινεν ἀγήνορας, οἵ θ' ἑϜὸν οἶκον

---

1 ἀνεβήσετο] -σατο G P M n mss. alia; cf. § 152. ‖ καγχαλάουσα § 191] -λόωσα mss.

3 ἐρρώσαντο] *properabant*; cf. Σ 411 Υ 37 etc. ‖ ὑπὸ ἠκταίνοντο] ὑποακταίνοντο Hesych. s. v., addito glossemate ἔτρεμον. Melius γαυριᾶν καὶ ἀτάκτως πηδᾶν (ut equi luxuriantes) redditur in lex. Timaei, ubi vid. Ruhnkenius (p. 21); item Etym. M. 54,34. Vert. *subsultabant pedes* vel *trepidabant* (studio anili). Apud Aesch. Eum. 36 verbum ἀκταίνειν valet *sustentare* (item fr. 416?). — Mss. habent ὑπεριχταίνοντο, idque Lysanias in Etym. M. 779,10 dicitur explicuisse ἔτρεμον; quem ὑποακταίνοντο igitur legisse suspicatur Ruhnken. l. l.; vid. etiam Heliodorus in Apoll. lex. ὑποκατεκλῶντο οὐκ εὐτονοῦντες. In schol. et in lex. Apoll. Aristarchus dicitur interpretatus esse ἀνεπάλλοντο vel ἄγαν ἐπάλλοντο propter festinationem aniculae decrepitae, Crates vero ὑπερεξετείνοντο, tertia autem proponitur explicatio, qua a voce ἴκταρ (= ἐγγύς, Hes. Theog. 691 Aesch. Agam. 116 Eum. 997) deducitur verbum. Cratetis Aristarchique observationes confusae sunt in Etym. M. 779,9, apud Apollonium autem additur Aristarchum verbum dividendum putasse ὑπ-εριχταίνοντο; sed suo iure vHerwerden statuit primitus non ὑπεριχταίνοντο fuisse in mss. sed ὑπερηχταίνοντο, sinceram autem videri praepositionem ὑπο- collatis ὑποδεῖν ὑπολύειν ὑποτρέμειν. — Verbum divisim scripsimus, nisi autem fallimur, Aristarchus (Heliodorus Lysanias) legebat id quod dedimus (aut sine augmento -ακτ.), Crates ὑπερηχταίνοντο, recentissimae vero aetatis sunt lectio ὑπεριχταίνοντο et hariolationes de eius origine (ἴκταρ, ὑπ-εριχτ.).

6 τὰ PKnight] τά τ' mss., & l. a. apud Eust.

8 θ' ἑϜόν] τεόν X, τί οἱ Eust.; ἕο Nauck. ‖ οἶκον] neglecto Ϝ.

'κήδεσκον καὶ κτήματ' ἔδον 'βιάοντό τε παῖδα."
τὴν δ' αὖτε προσέϜειπε περίφρων Πηνελόπεια·
„μαῖα φίλη, μάργην σε θεοὶ 'θέσαν, οἵ τε δύνανται
ἄφρονα ποιῆσαι καὶ ἐπίφρονά περ μάλ' ἐόντα,
καί τε χαλιφρονέοντα σαοφροσύνης ἐπέβησαν·
οἵ σέ περ ἔβλαψαν· πρὶν δὲ φρένας αἰσίμη ἦσθα.
τίπτε με λωβεύεις πολυπενθέα θυμὸν ἔχουσαν
ταῦτα παρ' ἐκ Ϝείρουσα καὶ ἐξ ὕπνου μ' ἀνεγείρεις 16^{b} cf. 22
Ϝηδέος, ὅς μ' ἐπέδησε φίλα βλέφαρ' ἀμφικαλύψας; 17^{b} = ε 493
οὐ γάρ πω τοιόνδε κατέδραθον, ἐξ οὗ Ὀδυσσεὺς
ᾤχετ' ἐποψόμενος ΚακοϜίλιον οὐκ ὀνομαστήν. 19 = τ 260
ἀλλ' ἄγε νῦν κατάβηθι καὶ ἔρχεο ἂψ μεγαρόνδε.
εἰ γάρ τίς μ' ἄλλη γε γυναικῶν, αἵ μοι ἔασι,
ταῦτ' ἐλθοῦσ' ἤγγειλε καὶ ἐξ ὕπνου μ' ἀνέγειρε, 22^{b} cf. 16
τῷ κε τάχα στυγερῶς μιν ἐγὼν ἀπέπεμψα νέεσθαι 23 cf. φ 374
αὖτις ἔσω μέγαρον· σὲ δὲ τοῦτό γε γῆρας ὀνήσει." 23^{a} = Π 723
τὴν δ' αὖτε προσέϜειπε φίλη τροφὸς Εὐρυκλέεια· 25 = δ 742
„οὔ τί σε λωβεύω, τέκνον φίλον, ἀλλ' ἔτυμόν τοι
ἦλθ' Ὀδυσεὺς καὶ Ϝοῖκον ἱκάνεται, ὡς ἀγορεύω·
ὃ ξεῖνος, τὸν πάντες ἀτίμασαν ἐν μεγάροισι.
Τηλέμαχος δὲ πάλαι μιν ἐϜείδεεν ἔνδον ἐόντα,
ἀλλὰ σαοφροσύνηφι νοήματα πατρὸς ἔκευθε,
ὄφρ' ἀνδρῶν τίσαιτο βίην ὑπερηνορεόντων."

---

9 'βιάοντο § 191] βιόωντο mss.

11 μάργην] vid. ad π 421.

13] del. Kirchhoff. ‖ χαλιφρονέοντα] †, vid. ad δ 371; χαλαίφρον' ἐόντα Doederlein. ‖ σαοφροσύνης] nonnisi vs. 30 redit, cf. σαόφρων Φ 462 δ 158 h. VI 49. ‖ ἐπέβησαν] translate ut Β 234 Θ 285; item ἐπιβαίνειν (intransit.) χ 424 (ψ 52) h. Merc. 166, 173, 465 Cer. 211.

14 σέ περ ἔβλαψαν] σε παρέβλαψαν X, καί σ' ἔβλαψαν l.

15 λωβεύεις] vid. ad β 323. ‖ πολυπενθέα] vid. ad λ 39.

16 ἐκ] ἐξ mss. ‖ (Ϝ)είρουσα Axt] ἐρέουσα mss., εἰποῦσα Duentzer. Cf. § 306.

19 ΚακοϜίλιον] vid. ad σ 73.

20 *ἔρχεο ἄψ] ἄψ ἔρχεο vel ἔρχευ mss.; cf. § 117.

21-24] damnat criticus apud Nauckium; si delentur, simul reiciendus videtur vs. 20.

21 μ'] i. e. μοι (sic G P H); cf. § 13.

22 μ' G U Eust.] om. mss. pleraque.

23 στυγερῶς] vid. ad Π 723.

24 μέγαρον M X D] μεγάρων mss. pleraque. Cf. Φ 125 Ω 155, 184, 199 l. a. σ 24; genitivus tamen extat η 135 ϑ 290.

25 Εὐρυκλέεια § 73] -κλεια mss.

26 λωβεύω] vid. ad β 323.

28 ἀτίμασαν Nauck] -μων vel -μεον mss.; cf. π 307 φ 99 et § 144.

29 δὲ πάλαι μιν PKnight] δ' ἄρα μιν πάλαι mss. ‖ ἐϜείδεεν § 160] ᾔδεεν mss.; Bekker δ' ἄρα μιν Ϝῄδη (l. 'Ϝείδει) πάλαι.

30 σαοφροσύνηφι] -νησι mss.; vHerwerden σαοφροσύνῃ νόστον Ϝοῦ πατρὸς ἔκευθε. De voce vid. vs. 13.

ὣς ἔφαθ'· ἣ δ' ἐχάρη καὶ ἀπὸ λέκτροιο θοροῦσα
γρηῒ περιπλέχθη, βλεφάρων δ' ἀπὸ δάκρυον ἧκε,
καί μιν φωνήσασ' ἔπεα πτερόεντα προσηύδα·
„εἶ' ἄγε δή μοι, μαῖα φίλη, νημερτὲς ἐνίσπε· 35 cf. μ 112
εἰ ἐτεὸν δὴ Ϝοῖκον ἱκάνεται, ὡς ἀγορεύεις,
ὅππως δὴ μνηστῆρσιν ἀναιδέσι χεῖρας ἐφῆκε 37 sq. cf. υ 39 sq.
μοῦνος ἐών, οἳ δ' αἰὲν ἀϜολλέες ἔνδον ἔμιμνον.“ 37 cf. ψ 376
τὴν δ' αὖτε προσέϜειπε φίλη τροφὸς Εὐρυκλέεια· 39 = δ 742
„οὐ 'Ϝίδον, οὐ 'πυθόμην, ἀλλὰ στόνον οἶον ἄκουσα 40 cf. h. Merc. 263, 363
κτεινομένων· ἧμες δὲ μυχῷ θαλάμων εὐ πηκτῶν
ἥμεθ' ἀτυζόμεναι, σανίδες δ' ἔχον εὖ ἀραρυῖαι, 42ᵇ = χ 128
πρίν γ' ὅτε δή με σὸς υἱὸς ἀπὸ μεγάροι' ἐκάλεσσε
Τηλέμαχος· τὸν γάρ ῥα πατὴρ προέηκε καλέσσαι.
ηὗρον ἔπειτ' Ὀδυσῆα μετὰ κταμένοισι νέκυσσι 45 cf. χ 401
ἑσταόθ'· οἳ δέ μιν ἀμφὶ, κραταίπεδον οὖδας ἔχοντες,
'κείατ' ἐπ' ἀλλήλοισι· Ϝιδοῦσά κε θυμὸν ἰάνθης.
νῦν δ' οἳ μὲν δὴ πάντες ἐπ' αὐλείῃσι θύρῃσι
ἁθρόοι, αὐτὰρ ὃ δῶμα θεειόεται περικαλλὲς,
πῦρ μέγα κηάμενος· σὲ δέ με προέηκε καλέσσαι.
ἀλλ' ἕπε', ὄφρα σφῶιν ἐυφροσύνης ἐπιβῆτον
ἀμφοτέρων φίλον ἦτορ, ἐπεὶ κακὰ πολλὰ πέπασθε. 53ᵇ = Γ 99
νῦν δ' ἤδη τόδε μακρὸν ἐϜέλδωρ ἐκτετέλεσται·
ἦλθε μὲν αὐτὸς ζῳὸς ἐφέστιος, ηὗρε δὲ καὶ σὲ
καὶ παῖδ' ἐν μεγάροισι· κακῶς δ' οἵ πέρ μιν ἔρεζον

48 αἵματι καὶ λύθρῳ πεπαλαγμένον ὥς τε λέοντα. 48 = χ 402

33 δάκρυον ἧκε] vid. ad π 191.
34 ἔπεα] neglecto Ϝ; vid. ad O 35.
35 εἶ' § 328] εἰ δ' mss. || ἐνίσπε U] ἔνισπε F, ἐνίσπες mss. pleraque; cf. § 246.
36 εἰ...δὴ] vid. ad Α 61.
37 χεῖρας ἐφῆκε] vid. ad Α 88.
39 Εὐρυκλέεια § 73] -κλεια mss.
40 οὐ] οὐκ mss. || ἄκουσα] ἄκουον U n.
41 ἧμες § 92] ἡμεῖς mss.
43 μεγάροι' ἐκάλεσσε] -ροιο κ. mss.; cf. § 59.
44] *spurius?
46 ἑσταόθ' L W n] ἑστεῶθ' vel ἑσταῶθ' mss. pleraque; cf. λ 583 Ω 701. || κραταίπεδον] †, cf. κραταιγύαλος Τ 361.
48] om. mss. pleraque.
49 δ'] om. F mss. alia.
50 θεειόεται § 191] θεειοῦται mss.
51] del. Duentzer. || κηάμενος G[2] F] κειάμενος mss. cett.; cf. § 177.
52-57] del. PKnight.
52 ἕπε' § 117] ἕπευ mss. || ἐυφροσύνης] ἐπιφροσύνης G. || ἐπιβῆτον] forma novicia pro -βήετον (cf. § 122), conciliari autem nequit cum vocibus σφῶιν et ἀμφοτέρων. WCKayser σφῶι (Axt σφῶΐ γ')...ἐπιβῆτον ἀμφοτέρω, Bekker ἐπιβήῃ (cf. χ 424), Hartman ἐπιβήσω coll. η 223. Vid. ad ψ 13.
53 ἀμφοτέρων] ἀμφοτέρω mss. complura; cf. υ 327. || πέπασθε Ar. (G[1]?) J] πέποσθε mss. cett.; cf. § 160.
55 ἦλθε — ἐφέστιος] Fick ἦλθ' αὐτὸς ζῳὸς ἐπιϜέστιος, sed vid. ad γ 234.

μνηστῆρες, τοὺς πάντας ἐτίσατο Ϝῷ ἐνὶ Ϝοίκῳ.“
τὴν δ' αὖτε προσέϜειπε περίφρων Πηνελόπεια·
„μαῖα φίλη, μή πω μέγ' ἐπεύχεο καγχαλάουσα.
Ϝοῖσθα γὰρ ὥς κ' ἀσπαστὸς ἐνὶ μεγάροισι φανείη
πᾶσι, μάλιστα δ' ἐμοί τε καὶ υἱέι τὸν 'τεκόμεσθα· 61ᵃ = Z 493
ἀλλ' οὐκ ἔσθ' ὅδε μῦθος ἐτήτυμος, ὡς ἀγορεύεις, 62ᵇ cf. δ 157
ἀλλά τις ἀθανάτων 'κτεῖνε μνηστῆρας ἀγαυοὺς,
ὕβριν ἀγασσάμενος θυμαλγέα καὶ κακὰ Ϝέργα. 64ᵇ = ω 326
οὔ τινα γὰρ 'τίεσκον ἐπιχθονίων ἀνθρώπων, 65 sq. = χ 414 sq.
οὐ κακὸν οὐδὲ μὲν ἐσθλὸν, ὅ τις σφέας εἰσαφίκοιτο·
τῷ δι' ἀτασθαλίας ἔπαθον κακόν. αὐτὰρ Ὀδυσσεὺς
ὤλεσε τηλόθι νόστον Ἀχαιίδος, ὤλετο δ' αὐτός.“ 68 cf. X 104 η 60
τὴν δ' ἠμείβετ' ἔπειτα φίλη τροφὸς Εὐρυκλέεια· 69ᵇ sq. = τ 491 sq.
„τέκνον ἐμὸν, ποῖόν σε Ϝέπος 'φύγεν ἕρκος ὀδόντων;
ἣ πόσιν ἔνδον ἐόντα παρ' ἐσχάρῃ οὔ ποτε φῆσθα
Ϝοίκαδ' ἐλεύσεσθαι· θυμὸς δέ τοι αἰὲν ἄπιστος. 72 cf. ξ 150
ἀλλ' ἄγε τοι καὶ σῆμα ἀριφραδὲς ἄλλο τι Ϝείπω, 73 cf. φ 217
οὐλὴν, τήν ποτέ μιν σῦς ἤλασε λευκῷ ὀδόντι· 74 = τ 393
τὴν ἀπονίζουσα 'φρασάμην, ἔθελον δὲ σοὶ αὐτῇ
Ϝειπέμεν', ἀλλά με κεῖνος ἑλὼν ἐπὶ μάστακα χερσὶ 76 cf. τ 480
οὐκ εἴα Ϝειπεῖν πολυκερδεΐῃφι νόοιο. 76ᵇ cf. δ 287
ἀλλ' ἕπε'· αὐτὰρ ἐγὼν ἐμέθεν περιδώσομαι αὐτῆς,
αἴ κέν σ' ἐξαπάφω, κτεῖναί μ' οἰκτίστῳ ὀλέθρῳ.“
τὴν δ' ἠμείβετ' ἔπειτα περίφρων Πηνελόπεια·
„μαῖα φίλη, χαλεπόν σε θεῶν αἰειγενετάων
δήνεα ϜεϜρῦσθαι μάλα περ πολύϜιδριν ἐοῦσαν.

58 αὖτε προσέϜειπε] Duentzer ἠμείβετ' ἔπειτα et vs. 69 αὖτε προσέειπε.
59 καγχαλάουσα § 191] -λόωσα mss.
66] del. PKnight. || ὅ τις] ὅτι vel ὅστις mss. nonnulla, ὅ τε LaRoche. Cf. Τ 265. || εἰσαφίκοιτο] -κηται mss. complura.
68 τηλόθι § 322] τηλοῦ mss.
69] vid. ad vs. 58. || Εὐρυκλέεια § 73] -κλεια mss.
71 ἣ] ἦ F P. || ποτε φῆσθα] ποτ' ἔφησθα mss. multa. Aptius est praesens; cf. ξ 149.
73-77] del. PKnight.
75 αὐτῇ] αὐτὴ Hartman.
76 μάστακα] os vel fauces; vid. Ι 324 et de re τ 480.
77 οὐκ εἴα εἰπεῖν U n] οὐκ ἔα εἰπεῖν X, οὐκ ἔα εἰπέμεναι mss. pleraque; *Ϝειπέμεν' οὐκ εἴα? sed versus praecedens ab eodem infinitivo orditur. || πολυκερδεΐῃφι] πολυκερδίῃσι G F P H M, πολυϊδρ(ε)ίῃσι X U non male. Vox πολυκερδεΐῃ redit ω 167, cf. πολυκερδής ν 255; πολυϜιδρείῃ extat β 346, cf. πολύϜιδρις ο 459 ψ 82.
78 ἕπε' § 117] ἕπευ mss. || περιδώσομαι] cf. Arist. Equit. 791 ἐθέλω περὶ σῆς κεφαλῆς περιδόσθαι et vid. ad Ψ 485.
79 κτεῖναι] κτάμεναι?
81 σε] cf. Π 620.
82 δήνεα] cf. Δ 361. || ϜεϜρῦσθαι § 293] εἴρυσθαι mss.; PKnight ῥύσασθαι (cf. Π 620

ἀλλ' ἔμπης ἴομεν μετὰ παῖδ' ἐμὸν, ὄφρα Ϝίδωμαι
ἄνδρας μνηστῆρας τεθνηότας ἠδ' ὃς ἔπεφνε."
ὣς φαμένη κατέβαιν' ὑπερώια· πολλὰ δέ Ϝοι κῆρ
ὥρμαιν', ἢ ἀπάνευθε φίλον πόσιν ἐξερεείνοι
ἢ παρστᾶσα κύσειε κάρη καὶ χεῖρε λαβοῦσα.
ἡ δ' ἐπεὶ εἰσῆλθεν καὶ ὑπέρβη λάινον οὐδὸν, 88b = π 41
ἕζετ' ἔπειτ' Ὀδυσῆος ἐναντίον ἐν πυρὸς αὐγῇ
τοίχου τοῖ' ἑτέροι'· ὃ δ' ἄρα πρὸς κίονα μακρὴν 90a = Ω 598
ἧστο κάτω ὁράων, ποτιδέγμενος εἴ τί Ϝε Ϝείποι
ἰφθίμη παράκοιτις, ἐπεὶ 'Ϝίδεν ὀφθαλμοῖσι.
ἡ δ' ἄνεω δϜὴν ἧστο, τάφος δέ Ϝοι ἦτορ ἵκανε·
ὄψιι δ' ἄλλοτε μέν μιν ἐνωπαδίως ἐϜέϜισκε,
ἄλλοτε δ' ἠγνώσασκε κακὰ χροῒ Ϝείματ' ἔχοντα. 95b = ξ 506
Τηλέμαχος δ' ἐνένιπε Ϝέπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε· 96 cf. O 552
„μῆτερ ἐμὴ δύσμητερ, ἀπηνέα θυμὸν ἔχουσα,
τίφθ' οὕτω πατρὸς νοσφίζεαι οὐδὲ παρ' αὐτὸν
ἑζομένη μύθοισιν ἀνείρεαι οὐδὲ μεταλλᾷς;
οὐ μέν κ' ἄλλη γ' ὧδε γυνὴ τετληότι θυμῷ 100-102 = 168 sqq.
ἀνδρὸς ἀφεσταίη, ὅς Ϝοι κακὰ πολλὰ μογήσας
ἔλθοι ἐϜεικοστῷ Ϝέτεϊ εἰς πατρίδα γαῖαν. 102 cf. π 206

sq.), Nauck ῥύεσθαι. ‖ πολύϜιδριν] cf. vs. 77.
83 Ϝίδωμαι] ἴδωμεν U n.
84 τεθνηότας] -ειῶτας F M[1] X.
85 κατέβαιν' ὑπερώια] vid. ad σ 206.
87 χεῖρε λαβοῦσα] χεῖρας ἁάπτους G (cf. Θ 450 υ 237).
89 Ὀδυσῆος] vid. ad ξ 278. ‖ ἐναντίον] ἐναντίη P H mss. alia; cf. ε 198 ρ 257 ψ 165 etc.
90 τοῖ' ἑτέροι' § 59] τοῦ ἑτέρου mss. Vid. ad I 219.
91 κάτω] cf. P 136. ‖ ὁράων § 191] ὁρόων mss. ‖ Ϝε Bentley] μιν mss. De accusativo vid. ad M 60; Heyne γε.
93 ἄνεω] vox obscura ceteris locis (B 323 Γ 84 η 144 κ 71 I 30, 695 β 240) de pluribus dicitur et nominativus plur. esse creditur. Quod si verum est, h. l. ἄνεως scribendum; at cf. § 62. — Similis est controversia φ 89.
94 sq.] del. Duentzer.
94 ὄψιι § 74] ὄψει mss. ‖ ἐνωπαδίως P H] ἐνωπιδίως mss. pleraque; adv. †, cf. κατ' ἐνῶπα O 320, ἐνωπῇ E 374 Φ 510, ἐνώπια Θ 435 etc. ‖ ἐϜέϜισκε § 242] ἤισκεν l. a. apud Didymum, ἐσίδεσκεν mss. sine sensu. Vert. *agnoscere sibi videbatur*. IHVoss ἄλλοτε μέν μιν ἤισκεν ἐνωπαδίως ἐσιδοῦσα.
95 ἠγνώσασκε] ἀγνώ(σ)σασκε aut -εσκε mss. De forma insolita vid. § 192; *ἠγνοίεσκε (cf. A 537 etc.)?
97 δύσμητερ] †, vid. ad Γ 39 σ 73. Nauck δύσμητορ.
100-103] del. Duentzer, vs. 100-102 Bothe. Telemachus matri non potest indignari in mendico squalido (vid. ν 430 sqq. π 175 sqq., 456) maritum suum non agnoscenti. Kirchhoff tamen non spurios hos vs. ducit, sed superesse hoc putat e fabula vetustiore, quam poeta partim expresserit partim refinxerit; in hac enim Ulixem verum senem, multo dolore et labore fractum, in patriam redisse, ne suae quidem uxori agnoscendum.
101 ἀφεσταίη] ἀποσταίη G X U mss. alia non recte; cf. vs. 169.

σοὶ δ' αἰεὶ κραδίη στερεωτέρη ἐστὶ λίθοιο."
τὸν δ' αὖτε προσέϜειπε περίφρων Πηνελόπεια·
„τέκνον ἐμὸν, θυμός μοι ἐνὶ στήθεσσι τέθηπε,
οὐδέ τι προσφάσθαι δύναμαι Ϝέπος οὐδ' ἐρέεσθαι
οὐδ' εἰς ὦπα Ϝιδέσθαι ἐναντίον. εἰ δ' ἐτεὸν δὴ
ἔστ' Ὀδυσεὺς καὶ Ϝοῖκον ἱκάνεται, ἦ μάλα νῶι
γνωσόμεθ' ἀλλήλω καὶ λώιον· ἔστι γὰρ ἧμιν
σήμαθ', ἃ δὴ νῶι κεκρυμμένα Ϝίδμεν ἀπ' ἄλλων."
ὣς 'φάτ'· ἐμείδησεν δὲ πολύτλας δῖος Ὀδυσσεὺς,
αἶψα δὲ Τηλέμαχον Ϝέπεα πτερόεντα προσηύδα· 112 = ρ 591
„Τηλέμαχ', ἦ τοι μητέρ' ἐνὶ μεγάροισιν ἔασον
πειράζειν ἐμέθεν· τάχα δὲ φράσεται καὶ ἄρειον.
νῦν δ' ὅτι δὴ ῥυπάω, κακὰ δὲ χροῒ Ϝείματα Ϝεῖμαι, 115 cf. τ 72
τούνεκ' ἀτιμάζει με καὶ οὔ πω φησὶ τὸν εἶναι.
ἧμες δὲ φραζώμεθ' ὅπως ὄχ' ἄριστα γένηται. 117 cf. ν 365; 117b cf. γ 129
καὶ γάρ τίς θ' ἕνα φῶτα κατακτείνας ἐνὶ δήμῳ,
ᾧ μὴ πολλοὶ ἔωσιν ἀοσσητῆρες ὀπίσσω, 119 cf. δ 165
φεύγει πηούς τε προλιπὼν καὶ πατρίδα γαῖαν·
ἧμες δ' ἕρμα πόληος ἀπέκταμεν, οἳ μέγ' ἄριστοι
κούρων ἐν Ἰθάκῃ· τὰ δέ σε φράζεσθαι ἄνωγα."
τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
„αὐτὸς ταῦτά γε λεῦσσε, πάτερ φίλε· σὴν γὰρ ἀρίστην
μῆτιν ἐπ' ἀνθρώπους φάσ' ἔμμεναι, οὐδέ κέ τίς τοι
ἄλλος ἀνὴρ ἐρίσειε καταθνητῶν ἀνθρώπων."

127 ἧμες δ' ἐμμεμαῶτες ἅμ' ἑψόμεθ', οὐδέ τι φημὶ 127 sq. = N 785 sq.

107 εἰ . . . δή] vid. ad A 61.
109 ἀλλήλω D U (?) q] -λων mss. cett.; vid. ad φ 36.
110 *νῶι] καὶ νῶι mss.; molesta est particula καί, novicia autem syllabae κε- ante κρ correptio (cf. § 25 et λ 443 etc.); Bothe κατὰ νῶι (coll. δ 247 η 205) vel μούνω (coll. ι 192 π 239 h. Merc. 193), GHermann participium κεκρυμμένα corruptum ducebat.
111-176] hos, certe vs. 117-170, diasceuastae tribuit Kirchhoff; vs. 117-152 del. Kammer, vs. 118-126 et 137-140 et 156 Duentzer.
111 'φάτ'· ἐμείδησεν] φάτο· μ. mss.
115 ὅτι δή Nauck coll. τ 72] ὅττι (ὅτι F U[1]) mss. ‖ ῥυπάω § 191] ῥυπόω mss.; vid. ad τ 72.
116 τὸν εἶναι] suspecta; *καὶ οὐ φήσ' ἔμμεναι αὐτόν?
117 ἧμες § 92] ἡμεῖς mss. ‖ ὄχ' ἄριστα γένηται] ἔσται τάδε ἔργα P (cf. ρ 274).
118 δήμῳ] οἴκῳ P.
119 ἔωσιν ἀοσσητῆρες ὀπίσσω] ἀοσσητῆρες ἔωσιν ὀπίσσω F (ὀπίσσω ἀ. ἐ.? vid. δ 165). ‖ ἔωσιν] ἔασιν G U[2] Y n.
120 πηούς] cf. Γ 163.
121 ἧμες § 92] ἡμεῖς mss. ‖ ἕρμα πόληος] cf. A 486; verba suspecta Fickio.
122 ἐν P n] εἰν mss. pleraque, vid. § 315. ‖ τὰ δέ] τῶ mss. multa.
127 sq.] habet Eust., in marg. habent G F H n, om. mss. cetera.
127 ἧμες § 92] ἡμεῖς mss.

129 τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
130 „τοιγὰρ ἐγὼ ϝερέω, ὥς μοι δοκεῖ ἔμμεν' ἄριστα. 130 cf. *I* 103
πρῶτα μὲν ἂρ λούσασθε καὶ ἀμφιϝέσασθε χιτῶνας, 131 cf. 142
δμῳὰς δ' ἐν μεγάροισιν ἀνώγετε ϝείμαθ' ἑλέσθαι·
αὐτὰρ θεῖος ἀοιδὸς ἔχων φόρμιγγα λιγεῖαν
ἡγείσθω ἧμιν φιλοπαίγμονος ὀρχηθμοῖο,
135 ὥς κέν τις φήῃ γάμον ἔμμεναι ἐκτὸς ἀκούων,
ἢ ἀν' ὁδὸν στείχων ἤ' οἳ περιναιετάουσι·
μὴ πρόσθε κλέος εὐρὺ φόνου κατὰ ϝάστυ γένηται
ἀνδρῶν μνηστήρων, πρίν γ' ἡμέας ἐλθέμεν' ἔξω
ἀγρὸν ἐς ἡμέτερον πολυδένδρεον· ἔνθα δ' ἔπειτα
140 φρασσόμεθ' ὅττι κε κέρδος Ὀλύμπιος ἐγγυαλίξῃ."
ὣς ἔφαθ'· οἳ δ' ἄρα τοῦ μάλα μὲν 'κλύον ἠδ' ἐπίθοντο. 141 = *H* 379
πρῶτα μὲν οὖν 'λούσαντο καὶ ἀμφεϝέσαντο χιτῶνας, 142 cf. 131
ὥπλισθεν δὲ γυναῖκες· ὃ δ' εἵλετο θεῖος ἀοιδὸς
φόρμιγγα γλαφυρήν, ἐν δέ σφισιν ἵμερον ὦρσε
145 μολπῆς τε γλυκερῆς καὶ ἀμύμονος ὀρχηθμοῖο. 145 = *N* 637
τοῖσιν δὲ μέγα δῶμα περιστεναχίζετο ποσσὶ 146b cf. *κ* 454
ἀνδρῶν παιζόντων καλλιζώνων τε γυναικῶν. 147b = *Ω* 698
ὧδε δέ τις 'ϝείπεσκε δόμων ἔκτοσθεν ἀκούων·
„ἦ μάλα δή τις ἔγημε πολυμνήστην βασίλειαν·
150 σχετλίη, οὐδ' ἔτλη πόσιος ϝοῦ κουριδίοιο
εἰρῦσθαι μέγα δῶμα διαμπερές, ὄφρ' ἀφίκοιτο."
ὣς ἄρα τις 'ϝείπεσκε· τὰ δ' οὐ 'ϝίσαν ὡς ἐτέτυκτο. 152 = *δ* 772

128 ἀλκῆς δευήσεσθαι, ὅση δύναμίς γε πάρεστι.

130 *δοκεῖ*] vid. ad *I* 103. ‖ *ἔμμεν'* § 125] *εἶναι* mss.
131 *λούσασθε*] *λοέσασθε*? vid. § 295.
132] suspectum ducit Hartman.
133 *θεῖος*] *δῖος* Nauck.
134 **ἡγείσθω ἧμιν*] *ἡμῖν* (*ὑμῖν* X n) *ἡγείσθω* mss.; an **ἧμισιν ἡγείσθω*? cf. § 93. ‖ *φιλοπαίγμονος*] *πολυπαίγμονος* P H D K mss. alia; *φιλοπαίσμονος* Cobet. Vox †.
135 *φήῃ* Kirchhoff] *φαίη* mss.
138 *πρίν — ἔξω*] suspecta Fickio.
139 *ἀγρὸν ... ἡμέτερον*] cf. *α* 190.
142 *οὖν* G F X] *ἂρ* P H mss. alia. ‖ *'λούσαντο*] *'λοέσαντο*? vid. § 295. ‖ *ἀμφεϝέσαντο*] *ἀμφιέσαντο* mss.
143 *ὥπλισθεν* X n] *ὅπλ.* mss. cetera. Aoristus pass. †; sensus verbi idem est *H* 417. ‖ *θεῖος*] *δῖος* Nauck.
145 *μολπῆς*] *ludi*; vid. ad *Σ* 606.
146 *περιστεναχίζετο*] *περιστον αχίζετο* P mss. alia.
147 *ἀνδρῶν*] *κούρων* Apoll. lex.
148 *ἀκούων*] *ἀπάντων* U (voluitne *ἀπαντῶν*?).
151 *εἰρῦσθαι* § 164] *εἴρυσθαι* mss.; PKnight *ῥύσασθαι*, Nauck *ῥύεσθαι*; cf. *γ* 268. ‖ **ὄφρ' ἀφίκοιτο*] *ὄφρ' ἂν* (*ἕως* X !) *ἵκοιτο* mss.; vid. *κ* 65 *ρ* 298 et ad *O* 23 *ω* 430. Etiam **ἧος ἵκοιτο* (vid. *N* 141 *τ* 367 *β* 78) et **ὄφρα νέοιτο* possunt proponi.
152 *οὐ*] *οὐκ* mss.

αὐτὰρ Ὀδυσσῆα μεγαλήτορα ϝῷ ἐνὶ ϝοίκῳ 153-155 cf. *ω* 365 sqq.
Εὐρυνόμη ταμίη 'λοῦσεν καὶ 'χρῖσεν ἐλαίῳ, 154 sq. cf. *Ω* 587 sq.
155 ἀμφὶ δέ μιν φᾶρος καλὸν 'βάλεν ἠδὲ χιτῶνα· 155 = *γ* 467
156 αὐτὰρ κὰκ κεφαλῆς 'χεῦεν πολὺ κάλλος Ἀθήνη,
163 ἐκ δ' ἀσαμίνθου ἔβη δέμας ἀθανάτοισιν ὁμοῖος. 163 cf. *γ* 468
ἂψ δ' αὖτις κατ' ἄρ' ἕζετ' ἐπὶ θρόνου ἔνθεν ἀνέστη, 163a = *ω* 370 164 = *σ* 157
165 ἀντία ϝῆς ἀλόχου, καί μιν πρὸς μῦθον ἔϝειπε·
„δαιμονίη, περὶ σοί γε γυναικῶν θηλυτεράων
κῆρ ἀτέραμνον ἔθηκαν Ὀλύμπια δώματ' ἔχοντες.
οὐ μέν κ' ἄλλη γ' ὧδε γυνὴ τετληότι θυμῷ 168-170 = 100 sqq.
ἀνδρὸς ἀφεσταίη, ὅς ϝοι κακὰ πολλὰ μογήσας
170 ἔλθοι ἐϝεικοστῷ ϝέτεϊ εἰς πατρίδα γαῖαν.
ἀλλ' ἄγε μοι, μαῖα, στόρεσον λέχος, ὄφρα καὶ αὐτὸς
λέξομαι· ἦ γὰρ τῇ γε σιδήρεον ἐν φρεσὶν ἦτορ." 172 cf. *X* 357
τὸν δ' αὖτε προσέϝειπε περίφρων Πηνελόπεια·
„δαιμόνι', οὔτ' ἄρ τι μεγαλίζομαι οὔτ' ἀθερίζω
175 οὔτε λίην ἄγαμαι, μάλα δ' εὖ ϝοῖδ', οἷος ἔησθα
ἐξ Ἰθάκης ἐπὶ νηὸς ἰὼν δολιχηρέτμοιο. 176b = *τ* 339
ἀλλ' ἄγε ϝοι στόρεσον πυκινὸν λέχος, Εὐρυκλέεια,
ἐντὸς ἐυσταθέος θαλάμου, τόν ῥ' αὐτὸς ἐποίει·

157 μείζονά τ' εἰσϝιδέμεν καὶ πάσσονα, κὰδ δὲ κάρητος 157-161 = *ζ* 230 sqq.
ϝούλας ἧκε κόμας ὑακινθίνῳ ἄνθει ὁμοίας.
ὡς δ' ὅτε τις χρυσὸν περιχεύεται ἀργύρῳ ἀνὴρ
160 ϝίδρις, ὃν Ἥφαιστος 'δέδαεν καὶ Παλλὰς Ἀθήνη
τέχνην παντοίην, χαρίεντα δὲ ϝέργα τελείει·
ὣς μὲν τῷ περίχευε χάριν κεφαλῆς τε καὶ ὤμων, 162 cf. *ζ* 235

154 *'λοῦσεν*] *'λόεσεν*? vid. § 295.
156 *'χεῦεν ... κάλλος*] *κάλλος ... χεῦεν* U k.
157-162] hos versus, de quibus vid. ad *ζ* 230 sqq., e libro *ζ* huc invectos et cum praecedentibus male cohaerentes del. Clarke.
157 *κὰδ δὲ κάρητος*] *θῆκεν ἰδέσθαι* G (cf. *θ* 20).
162 *περίχευε*] loco parallelo est *κατέχευε*. ‖ **κεφαλῆς ... ὤμων*] *κεφαλήν ... ὤμους* M, *-λῆς ... -μοις* mss. cett.; vid. § 60 et ad *ζ* 235.
163 *δ'*] *ῥ'* G P mss. alia. ‖ *ἔβη*] *βῆ* mss.
165 *ἀντία* Bentley] *ἀντίον* mss.; cf. *Γ* 425 *ο* 377 etc.
167 *ἀτέραμνον*] †, *durum* (*flecti nescium*), cf. *ἀτεράμων* Aristoph. Ach. 181 Vesp. 730 etc. et *ἀτειρής* *E* 292 etc.
168 *μέν*] *γάρ* Hartman.
169 *ἀφεσταίη* U[1]] *ἀποσταίη* mss. pleraque; cf. vs. 101.
172 *σιδήρεον ἐν φρεσὶν ἦτορ*] *σιδήρεος ἐν φρεσὶ θυμός* X (ut *X* 357 *ε* 191). Cf. *B* 490 *Ω* 205.
174 sq. *οὔτ' ἄρ ... οὔτ' ... οὔτε*] *οὐ γάρ ... οὐδ' ... οὐδὲ* mss. complura.
175 *λίην ἄγαμαι*] verba obscura. ‖ *δ' εὖ*] **δὲ*? ‖ *ἔησθα*] *ἔεσθα*? vid. § 302.
177 *Εὐρυκλέεια* § 73] *-κλεια* mss.
178 *ἐντὸς* ed. Flor.] *ἐκτὸς* mss.; vid. ad vs. 179. ‖ *ἐυσταθέος*] vid. ad *Σ* 374. ‖ *θαλάμου*] *μεγάρου* G P errore manifesto. ‖ *τόν*] *τό* X. Cf. vs. 192-194. ‖ *ἐποίει*] **ἔτευξε* vel **ἔδειμε*? quorsum enim imperfectum?

ἔνθα Ϝοι ἐνθεῖσαι πυκινὸν λέχος ἐμβάλετ' εὐνήν,
κώεα καὶ χλαίνας καὶ ῥήγεα σιγαλόεντα." 180 cf. λ 189
ὣς ἄρ' ἔφη πόσιος πειρωμένη. αὐτὰρ Ὀδυσσεὺς
ὀχθήσας ἄλοχον προσεφώνεε κεδνὰ Ϝιδυῖαν·
„ὦ γύναι, ἦ μάλα τοῦτο Ϝέπος θυμαλγὲς ἔϜειπες· 183 cf. Γ 204
τίς δέ μοι ἄλλοσ' ἔθηκε λέχος; χαλεπὸν δέ κεν εἴη
καὶ μάλ' ἐπισταμένῳ, ὅτε μὴ θεὸς αὐτὸς ἐπελθὼν 185^{b} sq.^{a} = π 197 sq.
ῥηιδίως ἐθέλων θείη ἄλλῃ ἐνὶ χώρῃ.
ἀνδρῶν δ' οὔ κέν τις ζῳὸς βροτὸς, οὐδὲ μάλ' ἡβῶν, 187^{b} = Μ 382
ῥεῖα μετοχλίσσειεν, ἐπεὶ μέγα σῆμα τέτυκται 188^{a} cf. Ω 567
ἐν λέχε' ἀσκητῷ· τὸ δ' ἐγὼ 'κάμον οὐδέ τις ἄλλος.
θάμνος ἔφυ τανύφυλλος ἐλαίης ἕρκεος ἐντός,
ἀκμηνὸς θαλέθων· πάχετος δ' ἦν ἠύτε κίων·
τῷ δ' ἐγὼ ἀμφιβαλὼν θάλαμον 'δέμον, ὄφρ' ἐτέλεσσα,
πυκνῇσιν λιθάδεσσι καὶ εὖ καθύπερθεν ἔρεψα, 193^{a} cf. ξ 36
κολλητὰς δ' ἐπέθηκα θύρας πυκινῶς ἀραρυίας. 193^{b} cf. Ω 450
καὶ τότ' ἔπειτ' ἀπέκοψα κόμην τανυφύλλου ἐλαίης,
κορμὸν δ' ἐκ ῥίζης προταμὼν ἀμφέξεσα χαλκῷ
εὖ καὶ ἐπισταμένως καὶ ἐπὶ στάθμην ἴθυνα, 197 cf. ε 245
ἑρμῖν' ἀσκήσας, 'τέτρηνα δὲ πάντα τερέτρῳ. 197^{a} = Κ 265
ἐκ δὲ τοῦ ἀρχόμενος λέχος ἔξεον, ὄφρ' ἐτέλεσσα,

179 *ἐνθεῖσαι] ἐκθεῖσαι mss. (ἐκθέσθαι H^2 M X); Hartman mavult ἔνθ' ἄρα Ϝοι θεῖσαι. Absurde Penelope in vulgata ancillas iubet Ulixi lectum struere extra thalamum; non enim iam negat eum maritum suum esse (ἔησθα vs. 175, αὐτός vs. 178), sed callido consilio fingit torum non amplius collocatum esse in cubiculo; cf. vs. 184. — Idem vitium in mss. plerisque est vs. 201, vid. etiam ι 235, 239, 338.

180 κώεα] δέμνια Ammonius et schol. η 347 (ut λ 189 τ 318).

182 κεδνὰ Ϝιδυῖαν § 160] κέδν' εἰδυῖαν mss.

184 δέ μοι] γάρ μ'(οι) Hartman.

187 οὔ κέν § 326] οὐ κάν P, οὐκ ἄν M U Y mss. alia. ‖ μάλ' ἡβῶν P H] γυναικῶν G F M X U n.

188 μετοχλίσσειεν] -χλήσειεν P U L W, l. a. μετεχράσειεν (?). Vid. Ω 567 et ad Μ 448. ‖ τέτυκται] τέτυκτο M^1 fortasse recte.

189] del. Hartman, vitiose enim dictum esse ἐν λέχεϊ. ‖ λέχε' § 71] λέχει mss.

190 τανύφυλλος] IHVoss τανυφύλλου. De adiectivo videatur ad ν 102. ‖ ἐλαίης] vid. ad Ρ 53.

191] del. PKnight. ‖ ἀκμηνὸς] sic Ar.; adi. †, *florens*? Nauck δὶς μηνὸς (ΔΚ-ΔΙC), sed miraculi hoc instar foret; Bothe ἀκμὴν ἐς. Diversum est adi. ἄκμηνος Τ 163 etc. ‖ πάχετος] cf. θ 187. ‖ ἦν] ἔεν? cf. § 302.

193 λιθάδεσσι] λιθάκεσσι P H U mss. alia (ut ε 415). Vox redit ξ 36.

195 κόμην] sensu *frondis* † (ὑψίκομος Ξ 398 etc., ἀμφίκομος Ρ 677 †); vid. tamen ad Α 235. ‖ τανυφύλλου] vid. ad ν 102. ‖ ἐλαίης] vid. ad Ρ 53.

196 κορμὸν] †, *truncum*; cf. Aristoph. Lys. 255 etc. ‖ δ' ἐκ] δὲ Apoll. lex. ‖ ἀμφέξεσα] comp. †, simplex Ε 81 etc.

198-201] vid. ad Γ 448.

198 ἑρμῖν'] cf. θ 278. ‖ τερέτρῳ] vid. ad ε 246.

199 ἔξεον] ἔξεα P, ἔντυνον M (metro invito); *ἤντῦον? vid. Ε 720 ψ 289 et cf. § 263.

δαιδάλλων χρυσῷ τε καὶ ἀργύρῳ ἠδ' ἐλέφαντι·
ἐν δ' ἐτάνυσσ' ἱμάντα βοὸς φοίνικι φαεινόν.
οὕτω τοι τόδε σῆμα πιφαύσκομαι· οὐδέ τι Ϝοῖδα,
ἤ μοι ἔτ' ἔμπεδόν ἐστι, γύναι, λέχος, ἠέ τις ἤδη
ἀνδρῶν ἄλλοσ' ἔθηκε, ταμὼν ὕπο πυθμέν' ἐλαίης."
ὣς 'φάτο· τῆς δ' αὖθι 'λύτο γούνατα καὶ φίλον ἦτορ 205 sq. cf. ω 345 [sq.
σήματ' ἀναγνούσης, τά Ϝοι ἔμπεδα 'πέφραδ' Ὀδυσσεύς· 205 cf. Φ 114, 425
δακρύσασα δ' ἔπειτ' ἰθὺς 'κίεν, ἀμφὶ δὲ χεῖρας 206 cf. τ 250
δειρῇ ἔβαλλ' Ὀδυσῆι, κάρη δ' ἔκυσ' ἠδὲ προσηύδα· 207 cf. ρ 33
„μή μοι, Ὀδυσσεῦ, σκύζε', ἐπεὶ τά περ ἄλλα μάλιστα
ἀνθρώπων 'πέπνυσο· θεοὶ δ' ὤπαζον ὀιζύν,
οἳ νῶιν ἀγάσαντο παρ' ἀλλήλοισι μένοντε
ἥβης ταρπῆναι καὶ γήραος οὐδὸν ἱκέσθαι.
αὐτὰρ μὴ νῦν μοι τόδε χώεο μηδὲ νεμέσσα, 213 cf. ε 215
οὕνεκά σ' οὐ τὸ πρῶτον, ἐπεὶ 'Ϝίδον, ὧδ' ἀγάπησα.
αἰεὶ γάρ μοι θυμὸς ἐνὶ στήθεσσι φίλοισι
ἐρρίγει, μή τίς με βροτῶν ἀπάφοιτο Ϝέπεσσι
ἐλθών· πολλοὶ γὰρ κακὰ κέρδεα βουλεύουσι.

οὐδέ κεν Ἀργεΐη Ἑλένη Διὸς ἐκγεγαυῖα 218 cf. δ 184
ἀνδρί περ ἀλλοδαπῷ ἐμίγη φιλότητι καὶ εὐνῇ,
εἰ 'Ϝείδειν ὅ μιν αὖτις ἀρήιοι υἷες Ἀχαιῶν
ἀξέμεναι Ϝοῖκόνδε φίλην εἰς πατρίδ' ἔμελλον.
τὴν δ' ἦ τοι ῥέξαι θεὸς ὤρορε Ϝέργον ἀϜεικές·
218-224 Ar. —

201] lora, quae posteri τόνους (*institas*) vocabant (Aristoph. Lys. 923), Ulixes inserit τῷ λέχει et intendit. Hinc τρητά dicuntur λέχεα Γ 448 etc. ‖ ἐν G X U Eust.] ἐκ mss. cett. male; vid. ad vs. 179. ‖ ἐτάνυσσ'] (ἐ)τάνυσσα mss. pleraque (ἐκ πλήρους, more antiquo). ‖ φοίνικι φαεινόν] ἶφι κταμένοιο P H M U n (ut Γ 375 et l. a. μ 423). Cf. Ζ 219 Ο 538 Ε 727 et l. a. Θ 116.

203 ἤ H] εἴ G F P X U n mss. alia; cf. § 327.

204 ὕπο] ἀπὸ P H mss. alia.

205 sq. τῆς ... ἀναγνούσης F U] τῇ ... ἀναγνούσῃ P, τῆς ... ἀναγνούσῃ mss. pleraque (vid. ad Ι 635). Gen. est locis parallelis (Φ 114 etc.), dat. legitur τ 249 sq. ‖ αὖθι § 322] αὐτοῦ mss.

207 κίεν G P H M D n] δράμεν F X U (quod minus aptum propter versum 205).

208 ἔβαλλ'] βάλλ' mss. ‖ προσηύδα] πρόσωπα F (male).

209 σκύζε' § 117] σκύζευ mss.; an *σκύζε', Ὀδυσσεῦ?

209 sq. ἐπεὶ — 'πέπνυσο] suspecta habet Hartman.

212 ταρπῆναι] *ταρπέσθαι? cf. § 125. ‖ γήραος οὐδὸν] vid. ad Χ 60.

214 ἀγάπησα] vid. ad φ 289.

216 ἀπάφοιτο Ϝέπεσσι] -φοιτ' ἐπέεσσιν mss.

218-224] versus ab argumento alieni unde desumti et quo consilio inserti sint obscurum est.

219 *περ] πάρ' mss. (ἐπ' ἀλλοδαπῶν H^2 i). Ferri nequit praepositio, sed fortasse verum est *ἀνέρι ἀλλοδαπῷ. ‖ ἐμίγη] μίγη G U.

220 'Ϝείδειν § 160] ᾔδει (ᾔδη) mss.

221 πατρίδ' ἔμελλον] -δα γαῖαν F P mss. alia vitio aperto.

νῦν δ', ἐπεὶ ἤδη σήματ' ἀριφραδέα κατέλεξας,
πείθεις δή μοι θυμὸν ἀπηνέα περ μάλ' ἐόντα."
ὣς 'φάτο, τῷ δ' ἔτι μᾶλλον ὑφ' ἵμερον ὦρσε γόοιο· 231 cf. Ψ 108 τ 249
'κλαῖε δ' ἔχων ἄλοχον θυμαρέα, κεδνὰ Ϝιδυῖαν.
ὡς δ' ὅτε νηχομένοισ' ἀσπαστὸς γαῖα φανήῃ,
ὧν τε Ποσειδάων ἐυϜεργέα νῆ' ἐνὶ πόντῳ
ῥαίσῃ ἐπειγομένην ἀνέμῳ καὶ κύματι πηγῷ, —
παῦροι δ' ἐξέφυγον πολιῆς ἁλὸς ἤπειρόνδε
νηχόμενοι, πολλὴ δὲ περὶ χροῒ τέτροφεν ἅλμη,
ἀσπάσιοι δ' ἐπέβαν γαίης, κακότητα φυγόντες, —
ὣς ἄρα τῇ ἀσπαστὸς ἔην πόσις εἰσοραούσῃ·
δειρῆς δ' οὔ πω πάμπαν ἀφίετο πήχεε λευκώ.
καί νύ κ' ὀδυρομένοισι 'φάνη ῥοδοδάκτυλος Ἠώς, 241 cf. Ψ 109, 154
εἰ μὴ ἄρ' ἄλλ' ἐνόησε θεὰ γλαυκῶπις Ἀθήνη. 242 cf. β 382

τὴν δ' ἀάτην οὐ πρόσθεν ἑϜῷ ἐγκάτθετο θυμῷ
224 λυγρήν, ἐξ ἧς πρῶτα καὶ ἡμέας ἵκετο πένθος.
226 εὐνῆς ἡμετέρης, τὴν οὐ βροτὸς ἄλλος ὀπώπει,
ἀλλ' οἶοι σύ τ' ἐγώ τε καὶ ἀμφίπολος μία μούνη
Ἀκτορίς, ἥν μοι ἔδωκε πατὴρ ἔτι δεῦρο κιούσῃ, 228^b = δ 736
ἣ νῶιν ἔρρυτο θύρας πυκινοῦ θαλάμοιο,

---

223 ἀάτην] ἄτην (αὔτην H[1]) mss.
226-229] delevimus; vs. 228 sq. deleverat PKnight, vs. 229 om. F[1] Z k. Versus 226 inutilis; pro ὀπώπει Nauck coniecit ὄπωπεν, sed non hoc dicere debet Penelope, nullum mortalium praeter Ulixem (unamque ancillam) suum torum *conspexisse*, sed neminem *adfuisse cum fieret*; hoc autem ne ex vulgata quidem elici potest. Vs. 227-229 pugnant cum vs. 110, nam Ulixi torum genialem struenti ipsumque cubiculum aedificanti *nemo* adfuerat; importune autem hi versus interrumpunt Penelopes orationem et fidem minuunt.
226 τήν] ἥν mss. multa.
227 μούνη] οἴη G.
228 Ἀκτορίς] aliunde ignota. Vid. ad σ 182. || ἔδωκε] δῶκε mss.
229 ἔρρυτο § 164] εἴρυτο mss.
230 μοι l et Eust. 1940,45 (non 1946,33)] με P, μευ (i. e. μεο) mss. cetera; cf. § 92. || ἀπηνέα] malis ἀπειθέα (quo tamen adi. poeta non utitur) aut ἄπιστον; at vid. vs. 97.
231 ἔτι] ἄρα mss. complura.
232 θυμαρέα] vid. ad κ 362. || κεδνὰ Ϝιδυῖαν § 160] κεδν' εἰδυῖαν mss.
233-237] similis est comparatio *H* 4-6.
233 *ὅτε νηχομένοισ' ἀσπαστὸς γαῖα] ὅταν ἀσπασίως (-σιος G[2] M) γῆ νηχομένοισι mss.; de particula ὅταν vid. § 326, de adverbio ἀσπασίως ad *Σ* 270 ν 33, de novicia forma γῆ ψ 238 et § 58. Fick ὅτε γαῖ' ἐφάνη ἀσπαστὸς νηχομένοισι metro duriore, nos tentavimus etiam *ὅτε κ' ἀσπάσιος γαῖα ναύτῃσι coll. *T* 375. || φανήῃ n] φανείη mss. cett.; cf. § 122.
235 πηγῷ] vid. ad *I* 124 ε 388.
237 τέτροφεν] δέδρομεν P (male); de verbo vid. ad *E* 903.
239 ἔην] ἔεν? vid. § 302. || εἰσοραούσῃ § 191] -ρόωσῃ mss.
240 πω] πως PCauer.
241 ὀδυρομένοισι — 'Ἠώς] ὀδυρομένοισιν ἔδυ φάος ἠελίοιο P (ut Ψ 154 π 220 φ 226).
242-247 ἄρ' ἄλλ' — καὶ τότε] ab interpolatore, qui finem libri confecit, inserta videntur; cf. infra vs. 347 sqq.; versus 241-246 del. PKnight, unum vs. 246 Bothe.

νύκτα μὲν ἐν περάτῃ δολιχὴν 'σχέθεν, Ἠόα δ' αὖτε
'ρύσατ' ἐπ' Ὠκεανῷ χρυσόθρονον οὐδ' ἔα' ἵππους
ζεύγνυσθ' ὠκύποδας φάος ἀνθρώποισι φέροντας,
Λάμπον καὶ Φαέθονθ', οἵ τ' Ἠόα πῶλοι ἄγουσι.
καὶ τότε Ϝὴν ἄλοχον προσέφη πολύμητις Ὀδυσσεύς·
„ὦ γύναι, οὐ γάρ πω πάντων ἐπὶ πείρατ' ἀέθλων
ἤλθομεν, ἀλλ' ἔτ' ὄπισθεν ἀμέτρητος πόνος ἔσται,
πολλὸς καὶ χαλεπός, τὸν ἐμὲ χρὴ πάντα τελέσσαι.
ὣς γάρ μοι ψυχὴ 'μαντεύσατο Τειρεσίαο
ἤματι τῷ, ὅτε δὴ κατέβην δόμον ἌϜιδος εἴσω
νόστον ἑταίροισιν διζήμενος ἠδ' ἐμοὶ αὐτῷ.
ἀλλ' ἔρχευ, λέκτρονδ' ἴομεν, γύναι, ὄφρα καὶ ἤδη 254^b sq. = Ω 635 sq.
ὕπνῳ ὕπο γλυκερῷ ταρπώμεθα κοιμηθέντε."
τὸν δ' αὖτε προσέϜειπε περίφρων Πηνελόπεια·
„εὐνὴ μὲν δὴ σοί γε τότ' ἔσσεται, ὁππότε θυμῷ
σῷ ἐθέλῃς, ἐπεὶ ἄρ σε θεοὶ 'ποίησαν ἱκέσθαι 258^b cf. δ 475
Ϝοῖκον ἐὺ κτίμενον καὶ σὴν εἰς πατρίδα γαῖαν· 259 = δ 476
ἀλλ' ἐπεὶ ἐφράσθης καί τοι θεὸς ἔμβαλε θυμῷ, 260 = τ 485
Ϝείπ' ἄγε μοι τὸν ἄεθλον, ἐπεὶ καὶ ὄπισθεν, ὀίω,
πεύσομαι, αὐτίκα δ' ἐστὶ δαήμεναι οὔ τι χέρειον."
τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
„δαιμονίη, τί τ' ἄρ' αὖ με μάλ' ὀτρύνουσα κελεύεις
Ϝειπέμεν'; αὐτὰρ ἐγὼ μυθήσομαι οὐδ' ἐπικεύσω.
οὐ μέν τοι θυμὸς κεχαρήσεται· οὐδὲ γὰρ αὐτὸς
χαίρω, ἐπεὶ μάλα πολλὰ βροτῶν ἐπὶ Ϝάστε' ἄνωγε
ἐλθέμεν', ἐν χείρεσσιν ἔχοντ' εὐῆρες ἐρετμόν, 268 sq. cf. λ 121 sq.

243-246] cf. Σ 239 sq.
243 περάτῃ] †, *horizon* designari videtur. || δολιχήν] *ita ut diuturna fieret*. De usu adiectivi vid. ad λ 172. || 'Ηόα § 77] 'Ηῶ mss.
244 'ρύσατ'] 'Ϝρύσσατ'? cf. § 293. || ἔα' § 191] ἔα mss.
245 ζεύγνυσθ'] ζεύξασθ' G M.
246 Φαέθονθ', οἵ τ'] Φαέθοντα, οἵ Fick. || 'Ηόα § 77] 'Ηῶ mss.
247-288] del. LaRoche.
247 τότε Bentley] τότ' ἄρ' mss.
248 ἀέθλων] ὀλέθρων G.
249 ἔτ' ὄπισθεν] ἔτι κεῖθεν F. || ἀμέτρητος] vid. *Γ* 315 ε 512. || ἔσται] ἐστί(ν) F U.
251 'μαντεύσατο] μυθήσατο F M X n mss. alia; similis est lectionis varietas ο 172.
254 ἔρχευ] novicium pro ἔρχεο, cf. § 117; *ἀλλ' ἄγε (ἴθι) δὴ vel *ἔρχεό νυν?
255 ταρπώμεθα] τερπώμεθα F, l. a. (Ar.) παυσώμεθα; cf. *Ω* 636 δ 295. || κοιμηθέντε P H[2] M W n] -ντες mss. pleraque.
259 ἐὺ κτίμενον] ἐς ὑψόροφον Bekker.
260] quid h. l. significet rogat Hartman. || ἐφράσθης] vid. ad ε 183.
264 τ' ἄρ'] γὰρ U; cf. Σ 182. || ὀτρύνουσα] -νέουσα mss. pleraque.
266 θυμὸς κεχαρήσεται] θυμῷ κεχαρήσεαι P H (?) D K q.
268 ἐλθέμεν' § 125] ἐλθεῖν mss.
268^b-284^a] de his vid. ad λ 121—137.

εἰς ὅ κε τοὺς ἀφίκωμαι, οἳ οὐ Ϝίσσασι θάλασσαν
ἀνέρες οὐδέ θ' ἅλεσσι μεμιγμένον εἶδαρ ἔδουσι· 270-272 = λ 123 sqq.
οὐδ' ἄρα τοὶ Ϝίσσασι νέας φοινικοπαρήους
οὐδ' ἐυήρε' ἐρετμά, τά τε πτερὰ νηυσὶ πέλονται.
σῆμα δέ μοι τόδ' ἔϜειπεν ἀριφραδές, οὐδέ σε κεύσω· 273 sq. cf. λ 126 [sq.
ὁππότε κεν δή μοι ξυμβλήμενος ἄλλος ὁδίτης 273 cf. Ψ 326; 273^a = ω 329
φήῃ ἀθηρηλοιγὸν ἔχειν ἀνὰ φαιδίμῳ ὤμῳ, 275 = λ 128
καὶ τότε δὴ γαίῃ πήξαντ' ἐκέλευσεν ἐρετμόν, 276 sq. cf. λ 129 sq.
ῥέξανθ' ἱερὰ καλὰ Ποσειδάωνι Ϝάνακτι,
ἀρνειὸν ταῦρόν τε συῶν τ' ἐπιβήτορα κάπρον, 278-280 = λ 131 sqq.
Ϝοίκαδ' ἀποστείχειν Ϝέρδειν θ' ἱερὰς ἑκατόμβας
ἀθανάτοισι θεοῖσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσι,
πᾶσι μάλ' ἑξείης. θάνατος δέ μοι ἐξ ἁλὸς αὐτῷ 281 sq. cf. λ 134 sq.
ἀβληχρὸς μάλα τοῖος ἐλεύσεται, ὅς κέ με πέφνῃ
γήρα' ὕπο λιπαρῷ ἀρημένον· ἀμφὶ δὲ λαοὶ $283 sq.^a$ = λ 136 sq.
ὄλβιοι ἔσσονται. τὰ δέ μοι 'φάτο πάντα τελεῖσθαι."
τὸν δ' αὖτε προσέϜειπε περίφρων Πηνελόπεια·
„εἰ μὲν δὴ γῆράς γε θεοὶ τελέουσιν ἄρειον,
Ϝελπωρή τοι ἔπειτα κακῶν ὑπάλυξιν ἔσεσθαι." 287^a = β 280
ὣς οἳ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον·
τόφρα δ' ἄρ' Εὐρυνόμη τε ἰδὲ τροφὸς ἤντυνον εὐνὴν
Ϝεσθῆτος μαλακῆς, δαΐδων ὕπο λαμπομενάων. 290^b = Σ 492
αὐτὰρ ἐπεὶ 'στόρεσαν πυκινὸν λέχος ἐγκονέουσαι, 291 = η 340
τοῖσιν δ' Εὐρυνόμη θαλαμηπόλος ἡγεμόνευε
ἐρχομένοισι λέχοσδε, δάος μετὰ χερσὶν ἔχουσα· 294^b cf. Ω 647
εἰς θάλαμον δ' ἀγαγοῦσα πάλιν 'κίεν. οἳ μὲν ἔπειτα
ἀσπάσιοι λέκτροιο παλαιοῦ θεσμὸν ἵκοντο.

---

292 γρῆυς μὲν κείουσα πάλιν Ϝοῖκόνδ' ἐβεβήκει,

---

271 φοινικοπαρήους] κυανοπρωρείους G (cf. γ 299).
276 δή] μ' ἐν F.
277 ῥέξανθ' X U] ἔρξανθ' vel ἔρξανθ' mss. cett.
284 τελεῖσθαι] novicium pro τελέεσθαι; cf. § 147.
286 εἰ ... δή] vid. ad Α 61. ‖ ἄρειον] ὀπίσσω G.
289 ἤντυον] mss. ἔντυον aut ἔντυνον (vid. ad vs. 199).
290 Ϝεσθῆτος] suspectum habet Hartman.
291 ἐγκονέουσαι] vid. ad Ω 648.
292] del. Kirchhoff. De voce Ϝοῖκόνδε male adhibita vid. ad α 360.
293 θαλαμηπόλος] cf. η 8.
294 δάος] φάος n (cf. τ 24). De voce δάος vid. ad Ω 647.
295 μὲν] poetam scripsisse δ' ἄρ', diasceuastam autem μὲν substituisse ut addi possent sequentia, suspicatur Kirchhoff.
296 παλαιοῦ] -όο? cf. § 59. ‖ θεσμόν] †, *sedem*; vid. ad α 3. ‖ In hoc versu finem habere Odysseam iure statuerunt Aristophanes et Aristarchus. Hic tamen non cuncta quae sequuntur damnabat, sed partim tantum (ψ 310-343 et ω 1-204) obelo notabat. Ipsi diasceuastae finem libri ψ et totum librum ω tribuit Kirchhoff, sed vix credibile videtur eidem viro deberi manium garrulorum nugas molestas (vid. ad ω 1-204) et suave filii nondum agniti cum moesto patre colloquium, neque persuadet Kirchhoff de hac re sic scribens (p. 533): „non est cur „negemus diasceuastam post mala multa „etiam boni aliquid proferre potuisse."

αὐτὰρ Τηλέμαχος καὶ βουκόλος ἠδὲ συβώτης 297 = χ 454
'παῦσαν ἄρ' ὀρχηθμοῖο πόδας, 'παῦσαν δὲ γυναῖκας,
αὐτοὶ δ' ηὐνάζοντο κατὰ μέγαρα σκιόεντα. 299 cf. κ 479
τὼ δ' ἐπεὶ οὖν φιλότητος ἐταρπήτην ἐρατεινῆς,
'τερπέσθην μύθοισι πρὸς ἀλλήλους ἐνέποντε· 301 cf. Λ 643
ἣ μέν, ὅσ' ἐν μεγάροισιν ἀνέσχετο δῖα γυναικῶν
ἀνδρῶν μνηστήρων ἐσορῶσ' ἀίδηλον ὅμιλον, 303 cf. π 29
οἳ Ϝέθεν εἵνεκα πολλά, βόας καὶ Ϝίφια μῆλα,
ἔσφαζον, πολλὸς δὲ πίθων ἠφύσσετο Ϝοῖνος·
αὐτὰρ ὃ διογενὴς Ὀδυσεύς, ὅσα κήδε' ἔθηκε
ἀνθρώποισ' ὅσα τ' αὐτὸς ὀιζύσας ἐμόγησε, 307 cf. δ 152
πάντ' ἔλεγ'· ἣ δ' ἄρ' ἐτέρπετ' ἀκούουσ', οὐδέ Ϝοι ὕπνος
'πίπτεν ἐπὶ βλεφάροισι πάρος καταλέξαι ἅπαντα.

ἤρξατο δ', ὡς πρῶτον Κίκονας 'δάμασ', αὐτὰρ ἔπειτα
ἦλθ' εἰς Λωτοφάγων ἀνδρῶν πίειραν ἄρουραν·
ἠδ' ὅσα Κύκλωψ 'Ϝέρξε, καὶ ὡς ἀπετίσατο ποινὴν
ἰφθίμων ἑτάρων, οὓς ἤσθιεν οὐδ' ἐλέαιρε·
ἠδ' ὡς Αἴολον ἷκεθ', ὅ μιν πρόφρων ὑπέδεκτο 314^b = υ 372
καὶ 'πέμπ', οὐδέ πω αἶσα φίλην εἰς πατρίδ' ἱκέσθαι
ἦην, ἀλλά μιν αὖτις ἀναρπάξασα θύελλα 316^b sq. = δ 515 sq.
πόντον ἐπ' ἰχθυόεντα 'φέρεν βαρέα στενάχοντα·
ἠδ' ὡς Τηλέπυλον Λαιστρυγονίην ἀφίκανε, 318 cf. κ 82^a
οἳ νῆάς τ' ὄλεσαν καὶ ἐυκνήμιδας ἑταίρους
[πάντας, Ὀδυσσεὺς δ' οἶος ὑπέκφυγε νηὶ μελαίνῃ]·
καὶ Κίρκης κατέλεξε δόλον πολυμηχανίην τε,
ἠδ' ὡς εἰς ἌϜιδος δόμον ἤλυθεν ἠερόεντα 322 cf. κ 512
310-343 Ar. —

---

298 πόδας] om. H D L W Z. ‖ γυναῖκας] -κες H^3 fortasse recte.
301 ἐνέποντε H^1 D] -ντες mss. cett.; an *ἀλλήλω ἐνέποντε?
306 ὃ] om. U fortasse recte. ‖ διογενής] cf. § 21.
308 sq.] del. Nauck.
310-343] versus hos *triginta tres* (non legebat igitur versum 320) Ar. damnavit utpote ἀνακεφαλαίωσιν καὶ ἐπιτομὴν τῆς Ὀδυσσείας; cf. Ο 64-71. Etiam versus praecedentes (vs. 300-309) del. Fick.
311 ἦλθ' εἰς] ἦλθε(ν) G F M X n.
316 ἦην] εἶα vel εἴην mss. nonnulla; de forma vitiosa ἦην vid. § 302 et ad τ 282 sq. Nauck ἔπλετο.
317 βαρέα G F M X n] μεγάλως P, μεγάλα mss. multa. Cf. δ 516.
318 Τηλέπυλον] vid. ad κ 82. ‖ ἀφίκανε] ἀφίκοντο F M X U n.
320] versum Aristarcho ignotum (vid. ad vs. 310-343) habet H^2, in marg. U^2, om. mss. pleraque.
321 πολυμηχανίην] †, cf. -νος Β 173 etc.
322 *ἌϜιδος] Ἀίδεω (-δαο G^1 P) mss.;

εἰς ὅ κε τοὺς ἀφίκωμαι, οἳ οὐ Ϝίσσασι θάλασσαν
ἀνέρες οὐδέ θ' ἅλεσσι μεμιγμένον εἶδαρ ἔδουσι· 270-272 = λ 123 sqq.
οὐδ' ἄρα τοὶ Ϝίσσασι νέας φοινικοπαρήους
οὐδ' ἐυήρε' ἐρετμά, τά τε πτερὰ νηυσὶ πέλονται.
σῆμα δέ μοι τόδ' ἔϜειπεν ἀριφραδές, οὐδέ σε κεύσω· 273 sq. cf. λ 126 [sq.
ὁππότε κεν δή μοι ξυμβλήμενος ἄλλος ὁδίτης 273 cf. Ψ 326; 273ª = ω 329
φήῃ ἀθηρηλοιγὸν ἔχειν ἀνὰ φαιδίμῳ ὤμῳ, 275 = λ 128
καὶ τότε δὴ γαίῃ πήξαντ' ἐκέλευσεν ἐρετμόν, 276 sq. cf. λ 129 sq.
ῥέξανθ' ἱερὰ καλὰ Ποσειδάωνι Ϝάνακτι,
ἀρνειὸν ταῦρόν τε συῶν τ' ἐπιβήτορα κάπρον, 278-280 = λ 131 sqq.
Ϝοίκαδ' ἀποστείχειν Ϝέρδειν θ' ἱερὰς ἑκατόμβας
ἀθανάτοισι θεοῖσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσι,
πᾶσι μάλ' ἑξείης. θάνατος δέ μοι ἐξ ἁλὸς αὐτῷ 281 sq. cf. λ 134 sq.
ἀβληχρὸς μάλα τοῖος ἐλεύσεται, ὅς κέ με πέφνῃ
γήρα' ὕπο λιπαρῷ ἀρημένον· ἀμφὶ δὲ λαοὶ 283 sq.ª = λ 136 sq.
ὄλβιοι ἔσσονται. τὰ δέ μοι 'φάτο πάντα τελεῖσθαι."
τὸν δ' αὖτε προσέϜειπε περίφρων Πηνελόπεια·
„εἰ μὲν δὴ γῆράς γε θεοὶ τελέουσιν ἄρειον,
Ϝελπωρή τοι ἔπειτα κακῶν ὑπάλυξιν ἔσεσθαι." 287ª = β 280
ὣς οἳ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον·
τόφρα δ' ἄρ' Εὐρυνόμη τε ἰδὲ τροφὸς ἤντυον εὐνὴν
Ϝεσθῆτος μαλακῆς, δαΐδων ὕπο λαμπομενάων. 290ᵇ = Σ 492
291 αὐτὰρ ἐπεὶ 'στόρεσαν πυκινὸν λέχος ἐγκονέουσαι, 291 = η 340
293 τοῖσιν δ' Εὐρυνόμη θαλαμηπόλος ἡγεμόνευε
ἐρχομένοισι λέχοσδε, δάος μετὰ χερσὶν ἔχουσα· 294ᵇ cf. Ω 647
εἰς θάλαμον δ' ἀγαγοῦσα πάλιν 'κίεν. οἳ μὲν ἔπειτα
ἀσπάσιοι λέκτροιο παλαιοῦ θεσμὸν ἵκοντο.

292 γρῆυς μὲν κείουσα πάλιν Ϝοῖκόνδ' ἐβεβήκει,

271 φοινικοπαρήους] κυανοπρωρείους G (cf. γ 299).
276 δὴ] μ' ἐν F.
277 ῥέξανθ' X U] ἔρξανθ' vel ἔρξανθ' mss. cett.
284 τελεῖσθαι] novicium pro τελέεσθαι; cf. § 147.
286 εἰ ... δὴ] vid. ad Α 61. ‖ ἄρειον] ὀπίσσω G.
289 ἤντυον] mss. ἔντυον aut ἔντυνον (vid. ad vs. 199).
290 Ϝεσθῆτος] suspectum habet Hartman.
291 ἐγκονέουσαι] vid. ad Ω 648.
292] del. Kirchhoff. De voce Ϝοῖκόνδε male adhibita vid. ad α 360.
293 θαλαμηπόλος] cf. η 8.
294 δάος] φάος n (cf. τ 24). De voce δάος vid. ad Ω 647.
295 μὲν] poetam scripsisse δ' ἄρ', diasceuastam autem μὲν substituisse ut addi possent sequentia, suspicatur Kirchhoff.
296 παλαιοῦ] -όο? cf. § 59. ‖ θεσμὸν] †, *sedem*; vid. ad α 3. ‖ In hoc versu finem

αὐτὰρ Τηλέμαχος καὶ βουκόλος ἠδὲ συβώτης 297 = χ 454
'παῦσαν ἄρ' ὀρχηθμοῖο πόδας, 'παῦσαν δὲ γυναῖκας,
αὐτοὶ δ' ηὐνάζοντο κατὰ μέγαρα σκιόεντα. 299 cf. κ 479
τὼ δ' ἐπεὶ οὖν φιλότητος ἐταρπήτην ἐρατεινῆς,
'τερπέσθην μύθοισι πρὸς ἀλλήλους ἐνέποντε· 301 cf. Λ 643
ἣ μέν, ὅσ' ἐν μεγάροισιν ἀνέσχετο δῖα γυναικῶν
ἀνδρῶν μνηστήρων ἐσορῶσ' ἀΐδηλον ὅμιλον, 303 cf. π 29
οἳ Ϝέθεν εἵνεκα πολλά, βόας καὶ Ϝίφια μῆλα,
ἔσφαζον, πολλὸς δὲ πίθων ἠφύσσετο Ϝοῖνος·
αὐτὰρ ὃ διογενὴς Ὀδυσεύς, ὅσα κήδε' ἔθηκε
ἀνθρώποισ' ὅσα τ' αὐτὸς ὀιζύσας ἐμόγησε, 307 cf. δ 152
πάντ' ἔλεγ'· ἣ δ' ἄρ' ἐτέρπετ' ἀκούουσ', οὐδέ Ϝοι ὕπνος
309 'πίπτεν ἐπὶ βλεφάροισι πάρος καταλέξαι ἅπαντα.

ἤρξατο δ', ὡς πρῶτον Κίκονας 'δάμασ', αὐτὰρ ἔπειτα
ἦλθ' εἰς Λωτοφάγων ἀνδρῶν πίειραν ἄρουραν·
ἠδ' ὅσα Κύκλωψ 'Ϝέρξε, καὶ ὡς ἀπετίσατο ποινὴν
ἰφθίμων ἑτάρων, οὓς ἤσθιεν οὐδ' ἐλέαιρε·
ἠδ' ὡς Αἴολον ἵκεθ', ὅ μιν πρόφρων ὑπέδεκτο 314ᵇ = υ 372
καὶ 'πέμπ', οὐδέ πω αἶσα φίλην εἰς πατρίδ' ἱκέσθαι
ἤην, ἀλλά μιν αὖτις ἀναρπάξασα θύελλα 316ᵇ sq. = δ 515 sq.
πόντον ἐπ' ἰχθυόεντα 'φέρεν βαρέα στενάχοντα·
ἠδ' ὡς Τηλέπυλον Λαιστρυγονίην ἀφίκανε, 318 cf. κ 82ª
οἳ νῆάς τ' ὄλεσαν καὶ ἐυκνήμιδας ἑταίρους
[πάντας, Ὀδυσσεὺς δ' οἶος ὑπέκφυγε νηὶ μελαίνῃ]·
καὶ Κίρκης κατέλεξε δόλον πολυμηχανίην τε,
ἠδ' ὡς εἰς ᾟΑϜιδος δόμον ἤλυθεν ἠερόεντα 322 cf. κ 512
310-343 Ar. —

habere Odysseam iure statuerunt Aristophanes et Aristarchus. Hic tamen non cuncta quae sequuntur damnabat, sed partim tantum (ψ 310-343 et ω 1-204) obelo notabat. Ipsi diasceuastae finem libri ψ et totum librum ω tribuit Kirchhoff, sed vix credibile videtur eidem viro deberi manium garrulorum nugas molestas (vid. ad ω 1-204) et suave filii nondum agniti cum moesto patre colloquium, neque persuadet Kirchhoff de hac re sic scribens (p. 533): „non est cur „negemus diasceuastam post mala multa „etiam boni aliquid proferre potuisse."
298 πόδας] om. H D L W Z. ‖ γυναῖκας] -κες H^2 fortasse recte.
301 ἐνέποντε H^1 D] -ντες mss. cett.; an *ἀλλήλω ἐνέποντε?
306 ὃ] om. U fortasse recte. ‖ διογενὴς] cf. § 21.
308 sq.] del. Nauck.
310-343] versus hos *triginta tres* (non legebat igitur versum 320) Ar. damnavit utpote ἀνακεφαλαίωσιν καὶ ἐπιτομὴν τῆς Ὀδυσσείας; cf. Ο 64-71. Etiam versus praecedentes (vs. 300-309) del. Fick.
311 ἦλθ' εἰς] ἦλθε(ν) G F M X n.
316 ἤην] εἶα vel εἴην mss. nonnulla; de forma vitiosa ἤην vid. § 302 et ad τ 282 sq. Nauck ἔπλετο.
317 βαρέα G F M X n] μεγάλως P, μεγάλα mss. multa. Cf. δ 516.
318 Τηλέπυλον] vid. ad κ 82. ‖ ἀφίκανε] ἀφίκοντο F M X U n.
320] versum Aristarcho ignotum (vid. ad vs. 310-343) habet H^2, in marg. U^2, om. mss. pleraque.
321 πολυμηχανίην] †, cf. -νος Β 173 etc.
322 *ᾟΑϜιδος] Ἀΐδεω (-δαο G^1 P) mss.;

ἡ δ' αὖτ' ἄλλ' ἐνόησε θεὰ γλαυκῶπις Ἀθήνη· 344 cf. β 382
ὁππότε δή ῥ' Ὀδυσῆα ἐϜέλπετο Ϝὸν κατὰ θυμὸν 345ᵇ = N 8
εὐνῆς Ϝῆς ἀλόχου ταρπήμεναι ἠδὲ καὶ ὕπνου,
αὐτίκ' ἀπ' Ὠκεανοῦ χρυσόθρονον ἠριγένειαν 347 cf. χ 197 sq.
ὦρσεν, ἵν' ἀνθρώποισι φάος φέροι. ὦρτο δ' Ὀδυσσεὺς
εὐνῆς ἐκ μαλακῆς, ἀλόχῳ δ' ἐπὶ μῦθον ἔτελλε·
„ὦ γύναι, ἤδη μὲν πολέων κεκορήμεθ' ἀέθλων
ἀμφοτέρω, σὺ μὲν ἐνθάδ' ἐμὸν πολυκηδέα νόστον
κλαίουσ', αὐτὰρ ἐμὲ Ζεὺς ἄλγεσι καὶ θεοὶ ἄλλοι
Ϝιέμενον 'πεδάεσκον ἐμῆς ἀπὸ πατρίδος αἴης.

ψυχῇ χρησόμενος Θηβαίου Τειρεσίαο 323 cf. κ 492
νηὶ πολυκλήιδι καὶ εἴσϜιδε πάντας ἑταίρους
μητέρα θ' ἥ μιν ἔτικτε καὶ ἔτρεφε τυτθὸν ἐόντα· 325ᵇ = α 435
ἠδ' ὡς Σειρήνων ἀδινάων φθόγγον ἄκουσε,
ὥς θ' ἵκετο Πλαγκτὰς πέτρας δϜεινήν τε Χάρυβδιν
Σκύλλην θ', ἣν οὔ πώ ποτ' ἀκήριοι ἄνδρες ἄλυξαν·
ἠδ' ὡς Ἠελίοιο βόας κατέπεφνον ἑταῖροι,
ἠδ' ὡς νῆα θοὴν ἔβαλε ψολόεντι κεραυνῷ
Ζεὺς ὑψιβρεμέτης, ἀπὸ δ' ἔφθιθεν ἐσθλοὶ ἑταῖροι
πάντες ὁμῶς, αὐτὸς δὲ κακὰς ὑπὸ κῆρας ἄλυξε·
ὥς θ' ἵκετ' Ὠγυγίην νῆσον νύμφην τε Καλυψώ,
ἣ δή μιν κατέρυκε λιλαιομένη πόσιν εἶναι 334ᵇ sq.ᵃ cf. α 15
ἐν σπέεσι γλαφυροῖσι καὶ ἔτρεφεν ἠδέ Ϝ' ἔφασκε 335ᵇ cf. ε 135 η 256
θησέμεν' ἀθάνατον καὶ ἀγήραον ἤματα πάντα· 336 = ε 136 η 257
ἀλλά Ϝοι οὔ ποτε θυμὸν ἐνὶ στήθεσσιν ἔπειθε· 337 cf. η 258
ἠδ' ὡς εἰς Φαίηκας ἀφίκετο πολλὰ μογήσας, 338ᵇ cf. ο 489
οἳ δή μιν περὶ κῆρι θεὸν ὣς 'τιμήσαντο 339 sq. cf. ε 36 sq.
καὶ 'πέμψαν σὺν νηὶ φίλην εἰς πατρίδα γαῖαν, 339 = τ 280
χαλκόν τε χρυσόν τε Ϝάλις Ϝεσθῆτά τε δόντες. 341 = ε 38
τοῦτ' ἄρα δεύτατον εἶπε Ϝέπος, ὅτε Ϝοι γλυκὺς ὕπνος 342ᵇ sq.ᵃ cf. Ψ 232ᵇ
λυσιμελὴς ἐπόρουσε, λύων μελεδήματα θυμοῦ. 343ᵇ = Ψ 62

---

vid. λ 635 et § 55. ‖ ἠερόεντα l. a. in schol.] εὐρώεντα mss.; vid. ad Υ 65.

323 Θηβαίου] -οο? cf. § 59.

326 ἀδινάων] *crebrarum*? at duae erant (vid. ad μ 39). An *alte* vel *perpetuo clamantium*? sic veteres; at *vocis* mentio sic omitti non poterat (cf. h. Cer. 67). Bothe probabiliter ἁλιάων, cf. Σ 432 etc.; nisi vitium est interpolatoris vocem obsoletam male adhibentis. De adi. vid. ad Β 87.

330 ψολόεντι] *torrido*; fulminis epitheton redit ω 539 h. Ven. 289.

331 ἔφθιθεν] vid. ad ε 110.

333 Καλυψώ] vid. § 77.

335 σπέεσι § 71] σπέ(σ)σι mss. ‖ Ϝ' ἔφασκε (Ϝε φάσκε) Bentley] ἔφασκεν mss.; vid. ad ε 135.

336 θησέμεν' § 125] θήσειν mss. ‖ ἀγήραον] ἀγήρων q; cf. ε 136 et § 62.

337 οἱ Nauck] τοῦ mss.; τῷ editores usque ad Nauckium.

342 τοῦτ'] τοῦτο δ' metro invito F M X. ‖ εἶπε] neglecto Ϝ. Grashof δεύτατα.

343 λυσιμελής] vid. υ 57.

347-349] vid. supra vs. 243-246.

348 φάος U Z] φόος G, φόως mss. pleraque; cf. § 71.

351 ἀμφοτέρω] -ροι U; vid. ad vs. 354. ‖ πολυκηδέα] †.

353 'πεδάεσκον § 191] πεδάασκον mss.

νῦν δ' ἐπεὶ ἀμφοτέρω πολυήρατον ἱκόμεθ' εὐνήν,
κτήματα μέν, τά μοι ἔστι, κομιζέμεν' ἐν μεγάροισι,
μῆλα δ', ἅ μοι μνηστῆρες ὑπερφίαλοι κατέκειραν,
πολλὰ μὲν αὐτὸς ἐγὼ ληίσσομαι, ἄλλα δ' Ἀχαιοὶ
δώσουσ', εἰς ὅ κε πάντας ἐνιπλήσωσιν ἐπαύλους.
ἀλλ' ἦ τοι μὲν ἐγὼ πολυδένδρεον ἀγρὸν ἄπειμι
ὀψόμενος πατέρ' ἐσθλόν, ὅ μοι πυκινῶς ἀκάχηται·
σοὶ δέ, γύναι, τάδ' ἐπιστέλλω, πινυτῇ περ ἐούσῃ·
αὐτίκα γὰρ φάτις εἶσιν ἅμ' ἠελίῳ ἀνιόντι 362ᵇ = Σ 136
ἀνδρῶν μνηστήρων, οὓς ἔκτανον ἐν μεγάροισι.“
ἦ ῥα, καὶ ἀμφ' ὤμοισιν ἐδύσετο τεύχεα καλά, 366ᵇ = Γ 328
ὦρσε δὲ Τηλέμαχον καὶ βουκόλον ἠδὲ συβώτην, 367 cf. χ 435
πάντας δ' ἔντε' ἄνωγεν ἀρήια χερσὶν ἑλέσθαι.
οἳ δέ Ϝοι οὐκ ἀπίθησαν, ἐθωρήσσοντο δὲ χαλκῷ,
ὤιξαν δὲ θύρας, ἐκ δ' ἤισαν· ἦρχε δ' Ὀδυσσεύς. 370 cf. ω 501
ἤδη μὲν φάος ἦι' ἐπὶ χθόνα, τοὺς δ' ἄρ' Ἀθήνη 370ᵃ cf. α 436
νυκτὶ κατακρύψασα θοῶς ἐξῆγε πόληος.

εἰς ὑπερῷ' ἀναβᾶσα σὺν ἀμφιπόλοισι γυναιξὶ 364 = δ 751
ἧσθαι, μηδέ τινα προτιόσσεο μηδ' ἐρέεινε. 365 cf. η 31

---

354 ἀμφοτέρω U] -ροι mss. pleraque; vid. ad vs. 351.

356 κατέκειραν] -ρον U (cf. χ 36).

358 ἐπαύλους] †, vid. ad χ 470; ἐναύλους P H mss. alia (vid. ad Π 71).

359 ἄπειμι] ἔπειμι U[1] Eust.

361 τάδ' G P H] τόδ' mss. multa male. ‖ ἐπιστέλλω G] ἐπιτέλλω mss. cett.; cf. Δ 384. Vertatur: *tibi haec omnia mando* (i. e. *trado, credo*); ferri igitur nequeunt versus 364 sq.

364 sq.] del. criticus apud Nauckium.

366 ὤμοισιν] ὤμοιιν L W. ‖ ἐδύσετο X n] -σατο mss. pleraque; cf. § 152.

370 ἤισαν Nauck] ἤιον mss.; vid. § 308 et ad κ 146.

371 μὲν] γὰρ Hartman. ‖ ἦι' (ἤιεν) Cobet] ἦεν mss.; vid. ad σ 253 et § 308.

ΟΔΥΣΣΕΙΑΣ ω.

Νέκυια δευτέρα (vs. 1-204). — *Σπονδαί* (vs. 205 sqq.).

ψυχὰς δ' Ἑρμείας Κυλλήνιος ἐξεκαλεῖτο
ἀνδρῶν μνηστήρων· ἔχε δὲ ῥάβδον μετὰ χερσὶ
καλὴν χρυσείην, τῇ τ' ἀνδρῶν ὄμματα θέλγει 3^{b} sq. = Ω 343 sq.
ὧν ἐθέλῃ, τοὺς δ' αὖτε καὶ ὑπνώοντας ἐγείρει·
τῇ ῥ' ἄγε κινήσας, ταὶ δὲ τρίζουσαι ἕποντο.
ὡς δ' ὅτε νυκτερίδες μυχῷ ἄντρου θεσπεσίοιο 6^{b} = ν 363

1—204 Ar. —

1-204] *δευτέραν* hanc *νέκυιαν*, vile opus ex locis Homericis sine arte aut ingenio consutum, iure damnavit Ar., cuius haec argumenta (sed complura omitti credibile) afferuntur in schol. ad ω 1: Mercurium *ψυχοπομπόν* vel *χθόνιον* Homero ignotum esse neque *Cyllenium* alias vocari; — procorum *nondum sepultorum* animis aditum ad inferos non patuisse (vid. ad vs. 11-14), *albam* autem rupem quam praeterire dicuntur aliunde esse ignotam; — ineptum esse Achillis cum Agamemnone colloquium, et falso *Agamemnonem* ad cogendas copias Graeciam perlustrasse dici (vs. 115), *Nestoris* enim hoc fuisse munus; — *corpus Achillis* incorruptum per multos dies (vs. 63) servari non potuisse; — *Musarum* certum numerum (vs. 60) Homerum non nosse; — absurde Graecos dici *ad naves* properasse (vs. 50) ut deam marinam effugerent; — *Amphimedontem* (vs. 150 sqq.) referre quae comperta habere non potuerit. Quae argumenta Porphyrius in schol. refellere conatur, pleraque tamen sunt invicta. — Diasceuastae ut cetera quae post ψ 296 leguntur sic etiam hanc *νέκυιαν* tribuit Kirchhoff; ex fonte satis antiquo ab eo desumtam censet Seeck. Nos cum Fickio arbitramur Odysseae sero demum insertam esse; sexto saeculo ineunte factam esse conicit Fick.

1 **ψυχὰς δ' Ἑρμείας*] *Ἑρμῆς δὲ ψυχὰς* mss., quod non ipsius auctoris esse vitium testatur vs. 10. Cf. § 58. ‖ *Κυλλήνιος*] *Mercurii* hoc epitheton redit h. Merc. 304, 318, 387, 408 XVII 1 XVIII 31 (*gentile* est O 518). ‖ *ἐξεκαλεῖτο*] *ἐξεκάλεσσε* probabiliter Barnes.

2 *μνηστήρων*] *ἡρώων* Diod. Sic. I 96, cf. vs. 25.

4 *ἐθέλῃ* H M] *-λει* mss. pleraque; cf. Ω 344. ‖ *ὑπνώοντας*] vid. § 190 et ad Ω 344. ‖ In K et in marg. H subiungitur *τὴν μετὰ χερσὶν ἔχων πέτετο κρατὺς Ἀργειφόντης* (= Ω 345).

τρίζουσαι ποτάονται, ἐπεί κέ τις ἀποπέσῃσι
ὁρμαθοῦ ἐκ πέτρης, ἀνά τ' ἀλλήλῃσιν ἔχονται·
ὣς αἱ τετριγυῖαι ἅμ' ἤισαν, ἦρχε δ' ἄρα σφι
Ἑρμείας ἀκάκητα κατ' ἠερόεντα κέλευθα. 10^{a} cf. Π 185
πὰρ δ' ἴσαν Ὠκεανοῦ τε ῥοὰς καὶ Λευκάδα πέτρην, 10^{b} = υ 64
ἠδὲ παρ' Ἠελίοιο πύλας καὶ δῆμον ὀνείρων
ἤισαν· αἶψα δ' ἵκοντο κατ' ἀσφοδελὸν λειμῶνα, 13^{b} = λ 539
ἔνθα τε ναίουσι ψυχαί, ϝείδωλα καμόντων.   14 cf. Ψ 72
ηὗρον δὲ ψυχὴν Πηληιάδα' Ἀχιλῆος   15-18 = λ 467 sqq.
καὶ Πατροκλέεος καὶ ἀμύμονος Ἀντιλόχοιο
Αἴαντός θ', ὃς ἄριστος ἔην ϝεῖδός τε δέμας τε
τῶν ἄλλων Δαναῶν μετ' ἀμύμονα Πηλεΐωνα.
ὣς οἱ μὲν περὶ κεῖνον ὁμίλεον· ἀγχίμολον δὲ 19^{a} cf. Π 644
ἤλυθ' ἔπι ψυχὴ Ἀγαμέμνονος Ἀτρεΐδαο   20 cf. λ 387
ἀχνυμένη· περὶ δ' ἄλλαι ἀγηγέραθ', ὅσσοι ἅμ' αὐτῷ 20^{a} cf. Ψ 65
ϝοίκῳ ἐν Αἰγίσθοιο 'θάνον καὶ πότμον ἐπέσπον.   21 sq. = λ 388 sq.
τὸν προτέρη ψυχὴ προσεφώνεε Πηλεΐωνος·
„Ἀτρεΐδη, περὶ μέν σε 'φάμεν Διὶ τερπικεραύνῳ
ἀνδρῶν ἡρώων φίλον ἔμμεναι ἤματα πάντα,
οὕνεκα πολλοῖσίν τε καὶ ἰφθίμοισ' ἐϝάνασσες   26 cf. τ 110
δήμῳ ἔνι Τρώων, ὅθ' ἐπάσχομεν ἄλγε' Ἀχαιοί.   27 = γ 220
ἦ τ' ἄρα καὶ σοὶ πρῶι παραστήσεσθαι ἔμελλε
μοῖρ' ὀλοή, τὴν οὔ τις ἀλεύατο, ὅς κε γένηται.
ὡς ὄφελες τιμῆς ἀπονήμενος, ἧς περ ἄνασσες,

---

7 *ποτάονται* § 216] *ποτέονται* mss. ‖ *ἀποπέσῃσι*] cf. § 21.

8 *ὁρμαθοῦ*] †, *e serie (catena)*; cf. Aristoph. Lys. 647 Ran. 914 Plut. 765, *ὅρμος* Σ 401 etc.

9 *τετριγυῖαι*] *κεκριγυῖαι* Et. M. 539,1 (vid. ad Π 470).

10 *ἠερόεντα* Nauck] *εὐρόεντα* U, *εὐρώεντα* mss. cetera; vid. ad Υ 65.

11-14] de manibus virorum *nondum sepultorum* (cf. vs. 187 et 417 sqq.) haec non recte narrari observavit Aristarchus, vid. Ariston. ad Ψ 73.

11 *Λευκάδα πέτρην*] nomen aliunde ignotum; fortasse alludit Aristoph. Ran. 194.

13 *ἀσφοδελὸν*] vid. ad λ 539.

14 *καμόντων*] vid. ad Γ 278.

15 *Πηληιάδα'(ο)* P, *-δεω* mss. cetera; cf. § 55.

16 *Πατροκλέεος* § 73] *-κλῆος* mss.

17 *ἔην*] *ἔεν*? vid. § 302.

19 *ὣς . . . ὁμίλεον· ἀγχίμολον*] *ὣς . . . ὁμίλεον, ἀγχίμ.* LaRoche.

21 *ἄλλαι*] *ἄλλοι* n. ‖ *ὅσσοι* F n] *ὅσοι* M, *ὅσσαι* mss. pleraque. Cf. λ 388.

24 *τερπικεραύνῳ*] vid. § 251.

26 *ἰφθίμοισ' ἐϝάνασσες*] *-σιν ἄνασσες* mss.

27 *ὅθ' ἐπάσχομεν*] *ὅθι π.* mss.

28 *πρῶι*] *πρῶτα* G P H mss. alia.

29 *ἀλεύατο* Thiersch] *ἀλεύαται* P^{1} M, *ἀλεύεται* mss. pleraque. Praesens *ἀλεύομαι* nullum fuit, vid. § 180. ‖ *κε γένηται*] *κε(ν) ἴδηται* M (a manu schol.) Q.

30 *ἧς περ ἄνασσες*] corrupta (*ᾗ* G^{1} D U^{2} L W q). Non prosunt collati Υ 181 Ψ 649, neque sufficit *ᾗ (τ') ἐϝάνασσες*. Naber *ἧς περ ἔχεσκες*

δήμῳ ἔνι Τρώων θάνατον καὶ πότμον ἐπισπεῖν· 31^b cf. *B* 359
τῷ κέν τοι τύμβον μὲν ἐποίησαν Παναχαιοί, 32 sq. cf. α 239 sq.
ἠδέ κε καὶ σῷ παιδὶ μέγα κλέος ἤρε' ὀπίσσω·
νῦν δ' ἄρα σ' οἰκτίστῳ θανάτῳ εἵμαρτο Ϝαλῶναι.“ 34 cf. Φ 281
τὸν δ' αὖτε ψυχὴ προσεφώνεεν Ἀτρεΐδαο·
„ὄλβιε Πηλέος υἱὲ, θεοῖσ' ἐπιϜείκελ' Ἀχιλλεῦ,
ὃς 'θάνες ἐν Τροίῃ Ϝεκὰς Ἄργεος· ἀμφὶ δέ σ' ἄλλοι
'κτείνοντο Τρώων καὶ Ἀχαιῶν υἷες ἄριστοι
μαρνάμενοι περὶ σεῖο· σὺ δ' ἐν στροφάλιγγι κονίης 39^b sq. cf. *Π* 775 sq.
'κεῖσο μέγας μεγαλωστὶ, λελασμένος ἱπποσυνάων.
ἦμες δὲ πρόπαν ἦμαρ ἐμαρνάμεθ'· οὐδέ κε πάμπαν
'παυσάμεθα πτολέμοι', εἰ μὴ Ζεὺς λαίλαπ' ἔπαυσε.
αὐτὰρ ἐπεί σ' ἐπὶ νῆας ἐνείκαμεν ἐκ πολέμοιο,
κάτθεμεν ἐν λεχέεσσι καθήραντες χρόα καλὸν 44^a cf. Σ 233
ὕδατί τε λιαρῷ καὶ ἀλείφατι· πολλὰ δέ σ' ἀμφὶ
δάκρυα θέρμ' ἔχεον Δαναοὶ 'κείροντό τε χαίτας. 46^a cf. *H* 426
μήτηρ δ' ἐξ ἁλὸς ἦλθε σὺν ἀθανάτῃσ' ἁλίῃσι 47 cf. 55
ἀγγελίης ἀίουσα· βοὴ δ' ἐπὶ πόντον ὀρώρει 47^b cf. Σ 86; 48^b cf. Δ 500
θεσπεσίη, ὑπὸ δὲ τρόμος ἔλλαβε πάντας Ἀχαιούς.
καί νύ κ' ἀναΐξαντες ἔβαν κοίλας ἐπὶ νῆας,
εἰ μὴ ἀνὴρ κατέρυκε παλαιά τε πολλά τε Ϝειδὼς, 51^b = β 188
Νέστωρ, οὗ καὶ πρόσθεν ἀρίστη 'φαίνετο βουλή· 52 sq. = *H* 325 sq.
ὅ σφιν ἐὺ φρονέων ἀγορήσατο καὶ μετέϜειπε·
‚ἴσχεσθ', Ἀργέιοι· μὴ φεύγετε, κοῦροι Ἀχαιῶν· 54 cf. Γ 82
μήτηρ ἐξ ἁλὸς ἥδε σὺν ἀθανάτῃσ' ἁλίῃσι 55 cf. 47
ἔρχεθ' ἑϜοῦ παιδὸς τεθνηότος ἀντιάουσα.‘ 55^b cf. Σ 86
„ὣς ἔφαθ'· οἳ δ' ἔσχοντο φόβου μεγάθυμοι Ἀχαιοί. 57^a = Γ 84

32] om. G U[1].
33 ἤρε' § 284] ἤρα'(ο) (ἤρατ', ἤραθ') mss.
34 σ'(ε)] etiam locis parallelis Φ 281 et ε 312 accusativus cum infinitivo iungitur verbo εἵμαρτο.
36 θεοῖσ' ἐπιϜείκελ'] μέγα φέρτατ' G (cf. λ 478).
39 δ' ἐν G[2] F X U] δὲ mss. pleraque; cf. Θ 337.
40 μέγας μεγαλωστὶ] cf. *Π* 776.
41 ἦμες § 92] ἡμεῖς mss.
42 πτολέμοι' § 59] -μου mss. ‖ λαίλαπ' ἔπαυσε] -πι παῦσε mss., cf. § 13.
45 ἀμφὶ] ἀμφὶς M X mss. alia; cf. § 316.
46 θέρμ' ἔχεον] θερμὰ χέον mss. ‖ κείροντο U Eust.] -αντο mss. pleraque. De re vid. δ 198.
48 ἐπὶ πόντον] ἄσβεστος G (cf. Δ 500).
49 ὑπὸ] ἐπὶ P H mss. alia. ‖ ἔλλαβε] ἤλυθε G F M mss. alia (cf. κ 31).
55 σὺν] μετ' F M.
56 ἔρχεθ' ἑϜοῦ (ἔρχετ' ἑϜοῦ) Bekker] ἔρχεται οὗ mss. ‖ τεθνηότος] -ειότος (-ειῶτος) mss. multa; cf. § 160. ‖ ἀντιάουσα § 191] -ιόωσα mss.
57 φόβου] in Odyssea †, in Iliade saepius legitur; contra φυγή nonnisi in Odyssea (κ 117 χ 306), φύγαδε vero in Iliade tantum obvium.

ἀμφὶ δέ σ' ἔστησαν κοῦραι ἁλίοιο γέροντος
οἴκτρ' ὀλοφυρόμεναι, περὶ δ' ἄμβροτα Ϝείματ' ἔϜεσσαν· 59^a cf. δ 719; 59^b cf. *Π* 670
μοῦσαι δ' ἐννέα πᾶσαι ἀμειβόμεναι Ϝοπὶ καλῇ 60 cf. Α 604
'θρήνεον. ἔνθα κεν οὔ τιν' ἀδάκρυτόν γ' ἐνόησας
Ἀργείων· τοῖον γὰρ ὑπώρορε μοῦσα λιγεῖα.
ἑπτὰ δὲ καὶ δέκα μέν σε δμῶς νύκτας τε καὶ ἦμαρ 63^b = *E* 490
'κλαίομεν ἀθάνατοί τε θεοὶ θνητοί τ' ἄνθρωποι· 64 cf. h. Merc. 9
ὀκτωκαιδεκάτῃ δὲ 'δόμεν πυρὶ, πολλὰ δέ σ' ἀμφὶ
μῆλα κατεκτάνομεν μάλα πίονα καὶ Ϝέλικας βοῦς.
'καίεο δ' ἐν Ϝεσθῆτι θεῶν καὶ ἀλείφατι πολλῷ
καὶ μέλιτι γλυκερῷ· πολλοὶ δ' ἥρωες Ἀχαιοὶ
τεύχεσιν ἐρρώσαντο πυρὴν πέρι καιομένοιο,
πεζοί θ' ἱππῆές τε· πολὺς δ' ὀρυμαγδὸς ὀρώρει. 70 = *B* 810
αὐτὰρ ἐπεὶ δή σε φλὸξ ἤνυσεν Ἡφαίστοιο,
ἠῶθεν δή τοι 'λέγομεν λεύκ' ὀστέ', Ἀχιλλεῦ,
Ϝοίνῳ ἓν ἀκρήτῳ καὶ ἀλείφατι. 'δῶκε δὲ μήτηρ
χρύσεον ἀμφιφορῆα· Διωνύσοιο δὲ δῶρον 74^a cf. Ψ 92
'φάσκ' ἔμεναι, Ϝέργον δὲ περικλυτοῦ Ἡφαίστοιο.
ἐν τῷ τοι κεῖται λεύκ' ὀστέα, φαίδιμ' Ἀχιλλεῦ,
μίγδα δὲ Πατρόκλοιο Μενοιτιάδαο θανόντος,
χωρὶς δ' Ἀντιλόχοιο, τὸν ἔξοχα 'τῖες ἁπάντων
τῶν ἄλλων ἑτάρων μετὰ Πάτροκλόν γε θανόντα. 79 cf. Ω 575
ἀμφ' αὐτοῖσι δ' ἔπειτα μέγαν καὶ ἀμύμονα τύμβον
'χεύαμεν Ἀργείων ἱερὸς στρατὸς αἰχμητάων
ἀκτῇ ἔπι προεχούσῃ, ἐπὶ πλατέ' Ἑλλησπόντῳ, 82^b = *H* 86

59 Ϝείματ' ἔϜεσσαν] εἵματα (εἵματ' M) ἕσσαν mss.
60] *Musarum* certus numerus alias in Homericis non commemoratur.
61 'θρήνεον] cf. Ω 722.
62] *postmodo insertus? cf. vs. 60. Vert. *tum lugubri sono Musa(e) succinebant Nereidibus plorantibus.* ‖ ὑπώρορε G H] ἐπώρορε mss. multa, ἐπόρνυε (immo ἐπόρνυτο) l. a. apud Eust. Verbum alias nonnisi in tmesi occurrit (Ψ 108 etc.); de aoristo intransitive usurpato vid. ad Θ 539. ‖ μοῦσα] insolite de *cantu* usurpatur vox; perperam schol. contendunt mente supplendum esse πένθος.
63] de temporis hoc spatio vid. ad *H* 85.
65 δέ σ' ἀμφὶ Wolf] δέ σ' ἀμφὶς M D U, δ' ἐπ' αὐτῷ G F P H. De particula ἀμφί(ς) vid. vs. 45 et § 316.
67 ἐν Bekker] ἔν τ' mss.
68 μέλιτι] vid. ad *H* 85.
68^b-70] imitatur Verg. Aen. XI 188-190.
70] om. k, in marg. habet F.
74] Bacchum hanc urnam, a Vulcano acceptam, Thetidi dono dedisse cum Lycurgum effugiens comiter apud eam receptus esset (cf. *Z* 136), Stesichorus narravit sec. schol. Ψ 92. — De Baccho vid. ad *Z* 130-141.
75 περικλυτοῦ] -τὸν H[2].
76 κεῖται] *κέαται?
82 προεχούσῃ] προυχ. mss. ‖ πλατέ' § 71] πλατεῖ mss.

ὥς κεν τηλεφανὴς ἐκ ποντόφιν ἀνδράσιν εἴη
τοῖσ' οἳ νῦν γεγάασι καὶ οἳ μετόπισθεν ἔσονται.
μήτηρ δ' αἰτήσασα θεοὺς περικαλλέ' ἄεθλα
'θῆκε μέσῳ ἐν ἀγῶνι ἀριστήεσσιν Ἀχαιῶν.
ἤδη μὲν πολέων τάφῳ ἀνδρῶν ἀντεβόλησας — 87 cf. λ 416
ἡρώων, ὅτε κέν ποτ' ἀποφθιμένου βασιλῆος
ζώννυνταί τε νέοι καὶ ἐπεντύνονται ἄεθλα·
ἀλλά κε κεῖνα μάλιστα Ϝιδὼν 'θηήσαο θυμῷ, — 90 cf. λ 418
οἷ' ἐπὶ σοὶ κατέθηκε θεὰ περικαλλέ' ἄεθλα
ἀργυρόπεζα Θέτις· μάλα γὰρ φίλος ἦσθα θεοῖσι.
„ὣς σὺ μὲν οὐδὲ θανὼν ὄνομ' ὤλεσας, ἀλλά τοι αἰεὶ
πάντας ἐπ' ἀνθρώπους κλέος ἔσσεται ἐσθλὸν, Ἀχιλλεῦ·
αὐτὰρ ἐμοὶ τί τόδ' ἦδος, ἐπεὶ πόλεμον 'τολύπευσα; — 95[a] cf. Σ 80, 95[b] = α 238
ἐν νόστῳ γὰρ Ζεύς μοι ἐμήσατο λυγρὸν ὄλεθρον — 96[b] = γ 194
Αἰγίσθοι' ὑπὸ χερσὶ καὶ ὀλομένης ἀλόχοιο." — 97 cf. λ 410
ὣς οἳ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
ἀγχίμολον δέ σφ' ἦλθε διάκτορος Ἀργεϊφόντης,
ψυχὰς μνηστήρων κατάγων Ὀδυσῆι δαμέντων·
τὼ δ' ἄρα θαμβήσαντ' ἰθὺς 'κίον, ὡς ἐϜιδέσθην.
ἔγνω δὲ ψυχὴ Ἀγαμέμνονος Ἀτρεΐδαο
παῖδα φίλον Μελανῆος, ἀγακλυτὸν Ἀμφιμέδοντα·
ξεῖνος γάρ Ϝοι ἔην Ἰθάκῃ ἔνι Ϝοικία ναίων.
τὸν προτέρη ψυχὴ προσεφώνεεν Ἀτρεΐδαο·
„Ἀμφίμεδον, τί παθόντες ἐρεμνὴν γαῖαν ἔδυτε
πάντες κεκριμένοι καὶ ὁμήλικες; οὐδέ κεν ἄλλως

---

83 sq.] interpolator expressit locum *H* 87-91.
83 *τηλεφανὴς*] †.
87 *ἀντεβόλησας* F] *-σα* mss. multa; cf. *λ* 416.
88 sq.] *delendi?
88 *ὅτε κέν ποτ'*] corrupta; vitiosum enim est *κεν* cum indicativo (D L W *καί*), frustra autem Thiersch *ζώννυνται* (vel *-ννῦνται*) subiunctivi esse formam contendit (cf. § 122) et pro *ἐπεντύνονται* scribit *-νωνται*. Simile est vitium Hes. Scut. 377.
90 *κε*] *γε* Z k Eust. ‖ *'θηήσαο*] *ἐτεθήπεα* F[2] U n mss. alia; vid. v. l. vs. 87 et *ζ* 166.
95 *τόδ' ἦδος*] *τὸ Ϝῆδος*? vid. § 41.
96 *Ζεύς μοι ἐμήσατο* Nauck] *μοι Ζεὺς ἐμήσατο* P H D L W, *μοι Ζεὺς μήσατο* mss. pleraque.
97 *Αἰγίσθοι'* § 59] *-σθου* mss. ‖ *ὀλομένης* § 21] *οὐλ.* mss. ‖ *ἀλόχοιο*] caedis particeps fuisse Clytaemnestra alias apud H. non dicitur.
101 *ἐϜιδέσθην*] *ἰδέσθην* U L W, *ἐσιδέσθην* mss. pleraque.
103 *Μελανῆος*] *Μελανθῆος* F M (metro invito); Barnes *παῖδα Μελανθῆος τόν*.
104 *ἔην*] *ἔεν*? vid. § 302.
106 *τί παθόντες*] cf. *Λ* 313. ‖ *γαῖαν ἔδυτε*] cf. *Z* 19.
107 *ἄλλως*] *ἄλλος* F M[2] n mss. alia; an **ἄλλους*?

κρινάμενος λέξαιτο κατὰ πτόλιν ἄνδρας ἀρίστους. — 108 cf. δ 530
ἦ ὔμ' ἐν νήεσσι Ποσειδάων ἐδάμασσε — 109-112 cf. λ 399 sqq.
ὄρσας ἀργαλέους ἀνέμους καὶ κύματα μακρά; — 110 cf. Ξ 254
ἦ ποθ' ἀνάρσιοι ἄνδρες ἐδηλήσαντ' ἐπὶ χέρσου — 111 cf. κ 459
βοῦς περιταμνομένους ἠδ' οἰῶν πώεα καλὰ, — 112 cf. Σ 528 λ 402
ἠὲ μαχειόμενοι πτόλιος πέρι ἠδὲ γυναικῶν; — 113 = λ 403
Ϝειπέ μοι εἰρομένῳ· ξεῖνος δέ τοι εὔχομαι εἶναι. — 114[a] = ο 263
οὐ μέμνησ' ὅτε κεῖσε κατήλυθον ὑμέτερον δῶ — 115[a] = O 18
ὀτρυνέων Ὀδυσῆα σὺν ἀντιθέῳ Μενελάῳ
Ϝίλιον εἷς ἅμ' ἕπεσθαι ἐυσσέλμων ἐπὶ νηῶν; — 117[a] cf. N 717
μηνὶ δ' ἄρ' οὔλῳ πάντα 'περήσαμεν εὐρέα πόντον,
σπουδῇ παρπεπιθόντες Ὀδυσσῆα πτολίπορθον." — 119[a] = Ψ 37
τὸν δ' αὖτε ψυχὴ προσεφώνεεν Ἀμφιμέδοντος·
„μέμνημαι τάδε πάντα, διοτρεφὲς, ὡς ἀγορεύεις·
σοὶ δ' ἐγὼ εὖ μάλα πάντα καὶ ἀτρεκέως καταλέξω,
ἡμετέρου θανάτοιο κακὸν τέλος, οἷον ἐτύχθη.
'μνώμεθ' Ὀδυσσῆος δϜὴν οἰχομένοιο δάμαρτα· — 125 cf. υ 290
ἡ δ' οὔτ' ἠρνέετο στυγερὸν γάμον οὔτ' ἐτελεύτα, — 126 cf. α 249
ἧμιν φραζομένη θάνατον καὶ κῆρα μέλαιναν.
ἀλλὰ δόλον τόνδ' ἄλλον ἐνὶ φρεσὶ 'μερμήριξε· — 128 cf. β 93
στησαμένη μέγαν ἱστὸν ἐνὶ μεγάροισιν ὕφαινε, — 129-142 = β 94 sqq.
λεπτὸν καὶ περίμετρον, ἄφαρ δ' ἧμιν μετέϜειπε·
‚κοῦροι, ἐμοὶ μνηστῆρες, ἐπεὶ 'θάνε δῖος Ὀδυσσεὺς,

---

121 *Ἀτρεΐδη κύδιστε, Ϝάναξ ἀνδρῶν Ἀγάμεμνον,* — 121 = B 434

---

108 *λέξαιτο*] desideratur pronomen *τις*, vid. ad *X* 199.
109 *ἦ ὔμ'*] *ἠέ που* F (ex vs. 111). ‖ *ὔμ'* § 92] *ὔμμ'* vel *ὕμμ'* mss. De pluribus *ὔμε* (*ὔμμε*) non recte dicitur (vid. § 92); **ὔμας ἐν(ὶ) νηὶ* (vel *νηυσὶ*)? Nisi interpolatoris hoc est vitium, qui ex libro *λ* haec desumsit.
111 *ποθ'* § 322] *που* mss.
112 *περιταμνομένους*] *-νων* P, *περιμαρναμένους* Barnes. Vid. ad *Σ* 528 *λ* 402. ‖ *ἠδ' — καλὰ*] *καὶ ὄις καὶ πίονας αἶγας* P (cf. *β* 56).
113 **μαχειόμενοι πτόλιος πέρι*] *περὶ πτόλιος μαχεούμενοι* (*-χαι-* F P) mss.; vid. ad *λ* 403. — Interpolatorem metri causa usum esse nominativo, licet accusativum posceret sententia, putat Kirchhoff.
115 *οὐ* Brandreth] *ἦ οὐ* mss.; cf. § 8. ‖ *μέμνησ'*] *μέμνῃ* mss.; vid. § 117 et ad *O* 18.
117] om. P.
118 sq.] del. Duentzer.
118 *ἄρ'*] *ἐν* Ar. apud Didymum ad *K* 48. ‖ *οὔλῳ*] vid. ad *ρ* 343. ‖ *πάντα*] sententiae vix aptum; Bekker *ἔπειτα*.
119] invitus (*σπουδῇ*, i. e. *aegre, vix tandem*) in bellum profectus esse Ulixes in Homericis alias non dicitur.
121] om. F M U[1] mss. alia.
122 sq. *διοτρεφὲς — πάντα*] om. D W q.
123 *καταλέξω*] *ἀγορεύσω* U n.
124 *τέλος*] *μόρον* H D L W (quod cum *θανάτοιο* iungi nequit; vid. ad *Y* 302).
126 *ἠρνέετο* § 191] *ἠρνεῖτο* mss.
127] del. Bothe.
128-146] de his vid. ad *β* 93 sqq.

μίμνετ' ἐπειγόμενοί περ ἐμὸν γάμον, εἰς ὅ κε φᾶρος
ἐκτελέσω, μή μοι μεταμώνια νήματ' ὄληται,
Λαέρτῃ ἥρωι ταφήιον, εἰς ὅτε κέν μιν
μοῖρ' ὀλοὴ καθέλῃσι τανηλεγέος θανάτοιο·
μή τίς μοι κατὰ δῆμον Ἀχαιιάδων νεμεσήσῃ,
αἴ κεν ἄτερ σπείρου κέεται πολλὰ κτεατίσσας.'
ὣς ἔφαθ', ἧμιν δ' αὖτ' ἐπεπείθετο θυμὸς ἀγήνωρ.
ἔνθα καὶ ἠματίη μὲν ὑφαίνεσκεν μέγαν ἱστὸν,
νύκτας δ' ἀλλύεσκεν, ἐπεὶ δαΐδας παραθεῖτο.
ὣς τρίϝετες μὲν ἔληθε δόλῳ καὶ ἔπειθεν Ἀχαιούς·
ἀλλ' ὅτε τέτρατον ἦλθε ϝέτος καὶ ἐπήλυθον ὧραι,
καὶ τότε δή τις ἔϝειπε γυναικῶν, ἣ σάφ' ἐϝείδει, 144-146 = β 108 sqq.
καὶ τήν γ' ἀλλύουσαν ἐφηύρομεν ἀγλαὸν ἱστόν.
ὣς τὸ μὲν ἐξετέλεσσε καὶ οὐκ ἐθέλουσ', ὑπ' ἀνάγκης.
„εὖθ' ἡ φᾶρος ἔδειξεν, ὑφήνασα μέγαν ἱστὸν,
πλύνασ', ἠελίῳ ἐναλίγκιον ἠὲ σελήνῃ,
καὶ τότε δή ῥ' Ὀδυσῆα κακός ποθεν ἤγαγε δαίμων
ἀγροῦ ἐπ' ἐσχατιὴν, ὅθι δώματα 'ναῖε συβώτης. 150 cf. δ 517
ἔνθ' ἦλθεν φίλος υἱὸς Ὀδυσσῆος θείοιο
ἐκ Πύλου ἠμαθόεντος ἰὼν σὺν νηὶ μελαίνῃ·
τὼ δὲ μνηστῆρσιν θάνατον κακὸν ἀρτύναντε 153 sq.^{a} cf. π 169 sq.
ἵκοντο προτὶ ϝάστυ περικλυτὸν, ἤ τοι Ὀδυσσεὺς
ὕστερος, αὐτὰρ Τηλέμαχος πρόσθ' ἡγεμόνευε. 155^b = χ 400
τὸν δὲ συβώτης ἦγε κακὰ χροῒ ϝείματ' ἔχοντα, 156^b = ξ 506
πτωχῷ λευγαλέῳ ἐναλίγκιον ἠδὲ γέροντι, 157 = ρ 202
οὐδέ τις ἡμείων 'δύνατο γνῶναι τὸν ἐόντα
ἐξαπίνης προφανέντ', οὐδ' οἳ προγενέστεροι ἦσαν,
ἀλλ' ἔπεσίν τε κακοῖσιν ἐνίσσομεν ἠδὲ βολῇσι.
„αὐτὰρ ὃ τῆος ἐτόλμα' ἐνὶ μεγάροισιν ἑϝοῖσι

143 μηνῶν φθινόντων, περὶ δ' ἤματα πόλλ' ἐτελέσθη· 143 = τ 153
158 σκηπτόμενον· τὰ δὲ λυγρὰ περὶ χροῒ ϝείματ' ἔϝεστο. 158 = ρ 203

143] habent D U L W, om. mss. cett.; vid. ad β 107. || πόλλ' ἐτελέσθη] πολλὰ τελ. mss.
147 εὖθ'] ἔνθ' P, vid. ad γ 9.
150] vid. ad ν 408.
153 ἀρτύναντε] ὀτρύναντε P.
155] de metro vid. Spitzner Vers. Her. p. 9.
158] e libro ρ insertum esse vidit Wolf; post versum 156 ferri nequit. || ϝείματ' ἔϝεστο] εἵματα ἕστο mss., l. a. εἵματ' ἔχοντα.
159 γνῶναι τὸν] γνῶναι τοῖον F, cf. λ 144; *τὸν γνώμεν'? vid. § 125 et ad β 159.
161 ἔπεσιν] neglecto ϝ; ἀλλὰ ϝέπεσσι Bekker; an vitium hoc est interpolatoris?
162-166] del. Duentzer.
162 τῆος § 323] τέως μὲν mss. || ἐτόλμα' § 191] ἐτόλμα mss.

βαλλόμενος καὶ ἐνισσόμενος τετληότι θυμῷ·
ἀλλ' ὅτε δή μιν ἔγειρε Διὸς νόος αἰγιόχοιο, 164^b = O 242
σὺν μὲν Τηλεμάχῳ περικαλλέα τεύχε' ἀείρας
εἰς θάλαμον κατέθηκε καὶ ἐκλήισεν ὀχῆας·
αὐτὰρ ὃ ϝὴν ἄλοχον πολυκερδεΐηφιν ἄνωγε
τόξον μνηστῆρσιν θέμεναι πολιόν τε σίδηρον, 168 = φ 3
ἥμισιν αἰνομόροισιν ἀέθλια καὶ φόνου ἀρχήν. 169^a = ι 53 169^b = φ 4
οὐδέ τις ἡμείων 'δύνατο κρατεροῖο βιοῖο
νευρὴν ἐντανύσαι, πολλὸν δ' ἐπιδευέες ἦμεν· 171 cf. φ 185
ἀλλ' ὅτε χεῖρας ἵκανεν Ὀδυσσῆος μέγα τόξον,
ἔνθ' ἦμες μὲν πάντες ὁμοκλάομεν ϝεπέεσσι
τόξον μὴ δόμεναι, μηδ' εἰ μάλα πόλλ' ἀγορεύοι,
Τηλέμαχος δέ μιν οἶος ἐποτρύνων ἐκέλευσε.
αὐτὰρ ὃ 'δέξατο χειρὶ πολύτλας δῖος Ὀδυσσεὺς,
ῥηιδίως δ' ἐτάνυσσε βιὸν, διὰ δ' ἧκε σιδήρου· 177 cf. φ 328
'στῆ δ' ἄρ' ἐπ' οὐδὸν ἰὼν, ταχέας δ' ἐκχεύατ' ὀιστοὺς 178^a = υ 128
δϝεινὸν παπταίνων, 'βάλε δ' Ἀντίνοον βασιλῆα. 178^b = χ 3
αὐτὰρ ἔπειτ' ἄλλοισ' ἐφίει βέλεα στονόεντα
ἄντα τιτυσκόμενος· τοὶ δ' ἀγχιστῖνοι ἔπιπτον. 181^a = φ 421 181^b = P 361
γνωτὸν δ' ἦν, ὅ ῥά τίς σφι θεῶν ἐπιτάρροθος ἦεν·
αὐτίκα γὰρ κατὰ δώματ' ἐφεσπόμενοι μένεϊ σφῷ . 183^b = ξ 262
'κτεῖνον ἐπιστροφάδην, τῶν δὲ στόνος ὤρνυτ' ἀϝεικὴς 184 cf. K 483 χ 308
κράτων τυπτομένων· δάπεδον δ' ἅπαν αἵματ' ἔθυε. 185 = χ 309
„ὣς ἦμες, Ἀγάμεμνον, ἀπωλόμεθ'· ὧν ἔτι καὶ νῦν
σώματ' ἀκηδέα κεῖται ἐνὶ μεγάροισ' Ὀδυσῆος·
οὐ γάρ πω ϝίσσασι φίλοι κατὰ δῶμα ϝεκάστου,
οἵ κ' ἀπονίψαντες μέλανα βρότον ἐξ ὠτειλέων

167 sq.] falsane haec est Amphimedontis opinio? non concinit enim cum libro φ. Ita Barnes rem satis probabiliter expediebat. An aliam narrationem secutus est is qui νέκυιαν confecit? vid. ad libri φ initium.
167 πολυκερδεΐηφιν] -δίῃσιν vel -δείῃσιν mss.; cf. ψ 77.
168 *μνηστῆρσιν θέμεναι] μνηστήρεσσι θέμεν mss.; vid. φ 3 et § 126.
169 ἥμισιν § 93] ἡμῖν mss.
173 ἦμες § 92] ἡμεῖς mss. || ὁμοκλάομεν § 191] ὁμοκλέομεν mss.
179 βασιλῆα] vid. ad α 386.
180 βέλεα] l. a. <στονόεντα> βέλεμνα. Cf. O 590 Hes. Theog. 684.
182 ἦν, ὅ ῥά] ἦεν, ὅ LMeyer; cf. § 302.
183 δώματ'] δῶμα P. || ἐφεσπόμενοι § 247] ἐπισπ. mss. || σφῷ] σφῶν F D U n mss. alia.
185 κράτων] cf. § 82. || αἵματ' ἔθυε] -τ' θῦε mss.
186 ἦμες § 92] ἡμεῖς mss.
187] videatur ad vs. 11-14. || κεῖται] *κείατ'?
188 ϝίσσασι § 160] ἴσασι mss. || δῶμα] δώμαθ' mss. Vid. ad Ω 1 β 258 σ 428.
189 ὠτειλέων] vid. § 56 et ad Δ 140.

κατθέμενοι γοάοιεν, ὃ γὰρ γέρας ἐστὶ θανόντων.“ 190^{b} = ψ 9
τὸν δ' αὖτε ψυχὴ προσεφώνεεν Ἀτρεΐδαο·
„ὄλβιε Λαέρταο πάις, πολυμήχαν' Ὀδυσσεῦ,
ἦ ἄρα σὺν μεγάλῃ ἀρετῇ ἐκτήσα' ἄκοιτιν·
ὡς ἀγαθαὶ φρένες ἦσαν ἀμύμονι Πηνελοπείῃ
κούρῃ Ϝικαρίοι', ὡς εὖ 'μέμνητ' Ὀδυσῆος,
ἀνδρὸς κουριδίου. τῷ Ϝοι κλέος οὔ ποτ' ὀλεῖται 196^{b} cf. Β 325
Ϝῆς ἀρετῆς, τεύξουσι δ' ἐπιχθονίοισιν ἀοιδὴν
ἀθάνατοι χαρίεσσαν ἐχέφρονα Πηνελόπειαν,
οὐχ ὡς Τυνδαρέου κούρη κακὰ 'μήσατο Ϝέργα, 199 $sq.^{a}$ cf. λ 429 sq.
κουρίδιον κτείνασα πόσιν· στυγερὴ δέ τ' ἀοιδὴ
ἔσσετ' ἐπ' ἀνθρώπους, χαλεπὴν δέ τε φῆμιν ὄπασσε
θηλυτέρῃσι γυναιξί, καὶ ἥ κ' εὐϜεργὸς ἔῃσι.“ 202 = λ 434
ὣς οἳ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον,
ἑσταότ' ἐν ἈϜίδαο δόμοισ' ὑπὸ κεύθεσι γαίης. 204 cf. Χ 482

οἳ δ' ἐπεὶ ἐκ πόλιος κατέβαν, τάχα δ' ἀγρὸν ἵκοντο 205^{a} = Ω 329
καλὸν Λαέρταο τετυγμένον, ὅν ῥά ποτ' αὐτὸς
Λαέρτης 'κτεάτισσεν, ἐπεὶ μάλα πόλλ' ἐμόγησε.
ἔνθα Ϝ' ἔην Ϝοῖκος, περὶ δὲ κλίσιον 'θέε πάντῃ,
ἐν τῷ ἐσιτέσκοντο καὶ ἵζανον ἠδ' ἐνίαυον
δμῶες ἀναγκαῖοι, τοί Ϝοι φίλα 'Ϝεργάζοντο.

190 ὃ γὰρ] vid. § 101 et ad Κ 127.
192 πάις n] πάι mss. cetera.
193 σὺν μεγάλῃ ἀρετῇ] corrupta; male Eust. interpretatur εὐτυχίᾳ, requiritur autem epitheton Penelopes (cf. vs. 197). || ἐκτήσα' § 117] ἐκτήσω mss.
194 ἀμύμονι] ἐχέφρονι F U n mss. alia (vid. vs. 198).
195 Ϝικαρίοι' § 59] -ρίου mss.
196 ὀλεῖται] cf. § 147 et Β 325.
198 ἐχέφρονα Πηνελόπειαν Bothe] ἐχέφρονι (ἀμύμονι U n, ut vs. 194) Πηνελοπείῃ mss.; cf. Ζ 358 θ 580 ω 200.
200 τ'] om. Eust., Bothe γ'. || ἀοιδὴ] cf. Ζ 358 θ 580 ω 197 sq.
201 δέ τε F U] δ' ἐνὶ mss. complura. || ὄπασσε Eust.] ὀπάσσει mss. (omnia?)
204 ἑσταότ' F L] ἑστεῶτ' (ἑσταῶτ') mss. pleraque; cf. ψ 46. || ἐν § 315] εἰν mss. || δόμοισ'] πύλαις (immo leg. πύλῃσ') habet M.
207 'κτεάτισσεν] *sibi paraverat* (τεμένους loco); vid. Π 57 et praesertim β 102. Male schol. reddit ἔκτισεν.
208 *Ϝ' ἔην Ϝοῖκος] οἱ οἶκος ἔην mss.; vid. ad Ζ 289. || ἔην] ἔεν? vid. § 302. || κλίσιον] GDindorf κλισιών. Vox †, quam integra commentatione illustrasse Dorotheum dicit Porphyrius ad Ι 90, variis autem explicationibus prolatis *domum* interpretatur ipse, melius Ar. ibidem στιβάδας. Accurate tractatur nomen in lex. Ebelingi. || 'θέε] cf. Hes. Scut. 146.
209 ἐσιτέσκοντο] σιτ. mss.; verbum †. || *ἠδ' ἐνίαυον] ἠδ' ἴαυον U, ἠδὲ ἴαυον mss. cetera hiatu vitioso. Cf. ι 187 ο 557.
210 ἀναγκαῖοι] sensu passivo (*coacti*) nonnisi h. l. et vs. 499. || φίλα] corruptum ducit Hartman.

ἓν δὲ γυνὴ Σικελὴ γρῆυς 'πέλετ', ἥ ῥα γέροντα
ἐνδυκέως 'κομέεσκεν ἐπ' ἀγροῦ νόσφι πόληος. 212^{b} = α 185
ἔνθ' Ὀδυσεὺς δμώεσσι καὶ υἱέι μῦθον ἔϜειπε·
„ὕμες μὲν νῦν ἔλθετ' ἐὺ κτίμενον δόμον εἴσω,
δεῖπνον δ' αἶψα συῶν ἱερεύσατε ὅς τις ἄριστος· 215 cf. ξ 414
αὐτὰρ ἐγὼ πατρὸς πειρήσομαι ἡμετέροιο,
ἤ κέ μ' ἐπιγνώῃ καὶ φράσσεται ὀφθαλμοῖσι,
ἠέ κεν ἀγνοιῇσι πολὺν χρόνον ἀμφὶς ἐόντα.“
ὣς Ϝειπὼν δμώεσσιν ἀρήια τεύχε' ἔδωκε·
οἳ μὲν ἔπειτα δόμονδε θοῶς 'κίον, αὐτὰρ Ὀδυσσεὺς
ἆσσον ἴεν πολυκάρπου ἀλωῆς πειρητίζων.
οὐδ' ηὗρεν Δολίον, μέγαν ὄρχατον εἰς καταβαίνων,
οὐδέ τινα δμώων οὐδ' υἱῶν· ἀλλ' ἄρα τοί γε
αἱμασιὰς λέξοντες ἀλωῆς ἔμμεναι ἕρκος
ᾤχοντ', αὐτὰρ ὃ τοῖσι γέρων ὁδὸν ἡγεμόνευε.
τὸν δ' οἶον πατέρ' ηὗρεν ἐὺ κτιμένῃ ἐν ἀλωῇ 226^{b} = Υ 496
λιστρεύοντα φυτόν· ῥυπόεντα δὲ 'Ϝέστο χιτῶνα
ῥαπτὸν ἀϜεικέλιον, περὶ δὲ κνήμῃσι βοείας
κνημῖδας ῥαπτὰς 'δέδετο, γραπτῦς ἀλεείνων,
χειρῖδάς τ' ἐπὶ χερσὶ βάτων ἕνεκ'· αὐτὰρ ὕπερθε
αἰγείην κυνέην κεφαλῇ ἔχε, πένθος ἀέξων.
τὸν δ' ὡς οὖν ἐνόησε πολύτλας δῖος Ὀδυσσεὺς
γήραϊ τειρόμενον, μέγα δὲ φρεσὶ πένθος ἔχοντα,

211 Σικελὴ] vid. ad υ 383. || 'πέλετ' § 275] πέλεν mss.
212 ἐπ' ἀγροῦ] ἐπεὶ ἄγε n. || ἀγροῦ] ἀγρόο? cf. § 59.
214 ὕμες § 92] ὑμεῖς mss. || δόμον εἴσω] πτολίεθρον F.
217] om. M^1, post vs. 218 collocant P H. || ἤ § 327] αἴ mss., εἰ IHVoss. || ἐπιγνώῃ GHermann] ἐπιγνοίῃ (ἔτι γνοίῃ) mss.
218 κεν] κέ μ' IHVoss.
221 πολυκάρπου] vid. ad η 122.
222 Δολίον] cf. δ 735 et ω 387.
223 υἱῶν] υἱέων mss. pleraque; cf. § 78.
224 αἱμασιὰς] cf. σ 359.
227 λιστρεύοντα] †, *circumfodientem*, cf. λίστρον χ 455; idem ω 242 dicitur ἀμφιλαχαίνειν. || ῥυπόεντα F] ῥυπόωντα mss. cetera; vid. ad ζ 87.
228 sq. ῥαπτὸν ... ῥαπτὰς] adi. verb. non redit; cf. ῥαφή χ 186, ῥάπτω Μ 296 etc.
229 γραπτῦς] †, *veprium vulnera*, cf. γράφω Ρ 599, ἐπιγράφω Δ 139 etc.
230 χειρῖδας] †, *manicas*. || βάτων] †, *ruborum* (*veprium*), cf. βατοδρόπος h. Merc. 190.
231 αἰγείην] ἀργείην P. Cf. Κ 257, 335 etc. || πένθος ἀέξων] *dolorem suum fovens* (cf. Ρ 139 λ 195 ρ 489). Sed causa potius indicanda est cur pileo caput texerit senex, vid. vs. 229 sq.; vHerwerden θάλπος ἀλέξων, ESchulze πνῖγος ἀλέξων; neutrum tamen substantivum in Homero extat, neque activum ἀλέξειν usurpatur de eo qui *se ipsum* defendit. Si quid eiusmodi latet, suspicamur senem potius ad ψῦχος vel ὄμβρον (Hartman, cf. Ar. Nub. 268) vitandum capiti imposuisse pileum; vid. ad ρ 196.

στὰς ἄρ᾽ ὑπὸ βλωθρὴν ὄγχνην κατὰ δάκρυον εἶβε.
'μερμήριξε δ᾽ ἔπειτα κατὰ φρένα καὶ κατὰ θυμὸν 235 = *E* 671
κύσσαι καὶ περιφύμεν᾽ ἑϝὸν πατέρ᾽ ἠδὲ ϝέκαστα
237 ϝειπέμεν᾽, ὡς ἔλθοι καὶ ἵκοιτ᾽ εἰς πατρίδα γαῖαν. 237 cf. ϱ 539
239 ὧδε δέ ϝοι φρονέοντι 'δοάσσατο κέρδιον εἶναι· 239 = *N* 458
πρῶτον κερτομίοισι ϝέπεσσιν πειρηθῆναι.
τὰ φρονέων ἰθὺς 'κίεν αὐτοῦ δῖος 'Οδυσσεύς.
ἤ τοι ὃ μὲν κατέχων κεφαλὴν φυτὸν ἀμφελάχαινε·
τὸν δὲ παριστάμενος προσεφώνεε φαίδιμος υἱός·
„ὦ γέρον, οὐκ ἀδαημοσύνη σ᾽ ἔχει ἀμφιπολεύειν
ὄρχατον, ἀλλ᾽ εὔ τοι κομιδὴ ἔχει, οὐδέ τι πάμπαν,
οὐ φυτὸν, οὐ συκῆ, οὐκ ἄμπελος, οὐ μὲν ἐλαίη,
οὐκ ὄγχνη, οὐ πρασιή τοι ἄνευ κομιδῆς κατὰ κῆπον.
ἄλλο δέ τοι ϝερέω, σὺ δὲ μὴ χόλον ἔνθεο θυμῷ· 248ᵇ cf. *Z* 326
αὐτόν σ᾽ οὐκ ἀγαθὴ κομιδὴ ἔχει, ἀλλ᾽ ἅμα γῆρας
λυγρὸν ἔχει σ᾽ αὐχμεῖς τε κακῶς καὶ ἀϝεικέα ϝέσσαι.
οὐ μὲν ἀϝεργίης γε ϝάναξ ἕνεκ᾽ οὔ σε κομίζει,
οὐδέ τί τοι δούλειον ἐπιπρέπει, εἰσοράεσθαι

238 ἢ πρῶτ᾽ ἐξερέοιτο ϝέκαστά τε πειρήσαιτο. 238 = δ 119

234 *βλωθρὴν*] vid. ad *N* 390. ‖ *ὄγχνην*] vid. ad η 115-121.
236 *περιφύμεν᾽* § 125] *περιφῦναι* mss.
237 *ϝειπέμεν᾽* § 125] *εἰπεῖν* mss. ‖ *ἔλθοι ... ἵκοιτ᾽*] de optativo vid. § 109.
238] om. U[1], e libro δ interpolatum esse vidit Kirchhoff. ‖ *ἐξερέοιτο ... πειρήσαιτο*] *ἐξερέεσθαι ... πειρήσασθαι* IHVoss.
240] *prius callidis verbis patris animum pertentare et praeparare*, non ioci causa (ut locus explicari solet), quod turpe foret et inhumanum, sed ne homo grandaevus nihil eiusmodi suspicatus inexpectato filii adspectu violentius percelleretur. ‖ *κερτομίοισι ϝέπεσσιν* § 60] *-οις ἐπέεσσιν* mss. ‖ *ϝέπεσσιν*] Wernicke metri causa *ἔπεσσί γε* (cf. § 25). An spuria est vox? vid. *Λ* 539 ι 474 υ 177.
241 *αὐτοῦ*] *αὐτόο*? vid. § 59.
242 *μὲν κατέχων*] *κάτω ἔχων* P, *μὲν κάτω ἔχων* H[1] mss. alia; „genuina scriptura latet" (Nauck), *κατέχειν* sensu *demittendi* alias non reperitur. ‖ *κεφαλὴν*] *ἐν χερσὶν* F[1]. ‖ *ἀμφελάχαινε*] †, cf. vs. 227; de *stercoratione* intellegit Cicero de Senect. XV 54.
244 *ἀδαημοσύνη* Apoll. lex. et l. a. in schol.] †, *ἀδαημονίη* mss. et Hesych., quae prava forma ipsi poetae imputanda non videtur. Cf. adi. *ἀδαήμων* *E* 634 *N* 811 μ 208 ϱ 283.
245 *εὖ ... ἔχει*] *bene (se) habet*; in Hom. non redit locutio.
246 sq. *συκῆ ... ἐλαίη ... ὄγχνη*] vid. ad η 115-121.
246 *συκῆ*] cf. § 58.
247 *ὄγχνη, οὐ*] synizesis novicia, cf. § 8; Bothe male *ὄγχνη πρασίη τε*. ‖ *πρασίη*] vid. ad η 127.
248 *μὴ ... ἔνθεο*] cf. *Δ* 410.
249 *ἀγαθὴ κομιδὴ*] *κομιδὴ ἀγαθὴ* P.
250 *ἔχει σ᾽* U[2] W J probante Cobeto] *ἔχεις* mss. cett.; vid. ad λ 196 et κ 376. ‖ *αὐχμεῖς*] †, *squales*, cf. *αὐχμήεις* h. XVIII 6. Alias radix *αὐχμ-* non occurrit apud Hom., sed fortasse cohaeret *ἀυσταλέος* τ 327; cf. *ἄζομαι* *Δ* 487 et *ἄζη* χ 184. Opp. est *λιπαρός*, cf. Aristoph. Nub. 442, 920, 1120 etc. (v. l. τ 72).
251 *ἀϝεργίης*] †, cf. *ἄϝεργος* *I* 320 τ 27. De sono ῑ vid. § 54.
252 *δούλειον*] †, *δούλιον* *Z* 463 ξ 340 ϱ 323; adi. novicium, vid. ad *Γ* 409. ‖ *ἐπιπρέπει*] comp. †, simplex *M* 104 etc. ‖ *εἰσοράεσθαι* § 191] *-ράασθαι* mss.

ϝεῖδος καὶ μέγεθος· βασιλῆι γὰρ ἀνδρὶ ϝεϝοικας. 253ᵇ cf. *Γ* 170
τοιούτῳ δὲ ϝέϝοικεν, ἐπεὶ λούσαιτο φάγοι τε,
εὑδέμεναι μαλακῶς· ἣ γὰρ δίκη ἐστὶ γερόντων. 255ᵇ cf. λ 218ᵃ τ 43ᵃ
ἀλλ᾽ ἄγε μοι τόδε ϝειπὲ καὶ ἀτρεκέως κατάλεξον· 256 = *K* 384
τεῦ δμώς ἐσσ᾽ ἀνδρῶν; τέο δ᾽ ὄρχατον ἀμφιπολεύεις;
καί μοι τοῦτ᾽ ἀγόρευσον ἐτήτυμον, ὄφρ᾽ εὖ ϝείδω, 258 = α 174
εἰ ἐτεόν γ᾽ 'Ιθάκην τήνδ᾽ ἱκόμεθ᾽, ὥς μοι ἔϝειπε
οὗτος ἀνὴρ νῦν δὴ ξυμβλήμενος ἐνθάδ᾽ ἰόντι·
οὔ τι μάλ᾽ ἀρτίφρων, ἐπεὶ οὐ 'τόλμησε ϝέκαστα
ϝειπέμεν᾽ ἠδ᾽ ἐπακοῦσαι ἐμὸν ϝέπος, ὥς ϝ᾽ ἐρέεινον
ἀμφὶ ξείνῳ ἐμῷ, ἤ που ζώει τε καὶ ἔστι,
ἢ ἤδη τέθνηκε καὶ ἐν Ἀϝίδαο δόμοισι. 264 = δ 834
ἐκ γάρ τοι ϝερέω, σὺ δὲ σύνθεο καί με᾽ ἄκουσον. 265 = ο 318
ἄνδρα ποτ᾽ ἐξείνισσα φίλῃ ἐνὶ πατρίδι γαίῃ
ἡμέτερόνδ᾽ ἐλθόντα, καὶ οὔ πώ τις βροτὸς ἄλλος
ξείνων τηλεδαπῶν φιλίων ἐμὸν ἵκετο δῶμα· 268 = τ 351
ηὔχετο δ᾽ ἐξ 'Ιθάκης γένος ἔμμεναι, αὐτὰρ ἔφασκε
Λαέρτην Ἀρκεσσιάδην πατέρ᾽ ἔμμεναι ἐσθλόν.
τὸν μὲν ἐγὼ πρὸς δώματ᾽ ἄγων εὖ ἐξείνισσα 271 sq. = τ 194 sq.
ἐνδυκέως φιλέων, πολλῶν κατὰ ϝοῖκον ἐόντων,
καί ϝοι δῶρ᾽ ἔπορον ξεινήια, οἷ᾽ ἐϝεϝοίκει·
χρυσοῦ μέν ϝοι ἔδωκ᾽ εὐϝεργέος ἑπτὰ τάλαντα, 274 sq. cf. ι 202 sq.
